Iosepho, tenditque ad Adamum ac Deum. Atqui oportebat, siquidem hi consona et consentanea scribebant, vel Lucam adscendentem in Abrahamo consistere; vel Matthaeum haud ex Abrahamo genealogiam ordiri, sed ex Adamo in quem Lucas desivit. — Facilis est huius quoque quaestionis explicatio, neque multo sermonis artificio indiget: uterque enim evangelista una via graditur. Nam et illos qui prorsum sursumque, itemque illos qui advorsum eadem via incedunt, haud quisquam diceret diversa uti: quia scilicet una ab ascendentibus descendentibusque via teritur. Eadem ratio est in generis successionibus. Atque hic mos magnopere Hebraeis placuit, et in divinis scripturis sollemnis est. Revera in Ruthae libro genus Davidis superne a Iuda evolvitur sic: " hae sunt generationes Phares: „ (hic erat Iudae patriarchae filius) Phares genuit Esronem; Esron genuit Aramum; Aramus genuit Aminadabum; Aminadabus genuit Naassonem; Naasson genuit Salmonem; Salmon genuit Boozum; Boozus genuit Obedum; „ Obedus genuit Iessaeum; Iessaeus genuit Davidem „. Hunc igitur Matthaeus quoque morem sectatus est. At primus regum liber, qui Ruthae historiam

A ποιηκεν ὁ Λουκᾶς· τὸν γοῦν πατέρα τοῦ Σαμουὴλ τὸν Ἐλκανᾶ γενεαλογοῦσα ὧδε φησί· " καὶ ἐγένετο ἄνθρωπος ἐξ Ἀρ- Reg. I. 1.
„ μαθεμ σουφὶμ ἐξ ὄρους Ἐφραὶμ, καὶ ὄνομα αὐτῷ Ἐλκα-
„ νᾶ· υἱὸς Ἱερεμιὴλ· υἱοῦ Ἐλίου, υἱοῦ Θοοῦ, υἱοῦ Σοὺρ,
„ ἐφραταῖος „. ἀλλὰ καὶ ἐν ταῖς παραλειπομέναις ποτὲ μὲν
B ἀπὸ τῶν πρώτων ἐπὶ τοὺς καθεξῆς δευτέρους πρόεισιν ὁ λόγος, τῇ τοῦ Ματθαίου γραφῇ παραπλησίως· ποτὲ δὲ ἐμφερῶς τῷ Λουκᾷ γενεαλογεῖ· ἄκουσον γοῦν καὶ τῶνδε· " Δαβὶδ φησὶν ἦν Paral. I.3.10.
„ υἱὸς (Σολομῶν·) υἱοὶ Σολομῶν Ῥοβοὰμ· Ἀβιὰ υἱὸς αὐτοῦ·
„ Ὀσὰ υἱὸς αὐτοῦ· Ἰωσαφὰτ υἱὸς αὐτοῦ Ἰωρὰμ υἱὸς αὐτοῦ· Ὀχο-
C „ ζῆ υἱὸς αὐτοῦ· Ἰωὰς υἱὸς αὐτοῦ Ἀμεσίας (υἱὸς αὐτοῦ) „· καὶ οὕτως καθεξῆς κάτεισι μέχρι τοῦ Ἰεχονία καὶ τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας, ὡς ὁ Ματθαῖος. Ὡς δὲ ὁ Λουκᾶς, ἡ αὐτὴ πάλιν ἄνεισι γραφὴ τὸν Σαμουὴλ γενεαλογοῦσα· φησὶ γοῦν· Paral. I.6.34.
" Σαμουὴλ υἱοῦ Ἐλκανᾶ· υἱοῦ Ἱεροβοὰμ· υἱοῦ Ἡλιὴλ· υἱοῦ
D „ Θοοῦ· υἱοῦ Σουφέ· υἱοῦ Ἐλκανᾶ· υἱοῦ Ἰωὴλ· υἱοῦ Ἀζα-
„ ρίου· υἱοῦ Σοφονίου· υἱοῦ Θαὰρ· υἱοῦ Ἀσείρ· υἱοῦ Ἀβια-
„ σὰρ· υἱοῦ Κορέ· υἱοῦ Ἰσσαάρ· υἱοῦ Καὰθ· υἱοῦ Λευί·
„ υἱοῦ Ἰσραὴλ „· καὶ ὅρα εἰ μὴ ἄντικρυ τὸν ὅμοιον τούτοις μεμίμηται τρόπον ὁ Λουκᾶς· μυρία δ' ἂν καὶ αὐτὸς εὕροις
E τοιαῦτα ἀφ' ὧν λείπεται ὁμολογεῖν, μηδὲν ξενίζον πεποιηκέ-

subsequitur, inferne ascendit, ut fit apud Lucam. Quippe Helcanae, qui pater fuit Samuelis, genus recensens, ait: " fuit vir ex Armatem suphir e monte
„ Ephraimi; nomen eius Helcana; filius Hieremielis; filii Eliae; filii Thoi;
„ ephrataeus „. Sed et in paralipomenis modo a superioribus ad posteros fluit sermo, modo aeque ac apud Lucam prosapiae scribuntur. Audi et haec: " Davidis, inquit praedictus liber, filius erat Solomon; huius filius Rhoboa-
„ mus; huius filius Abia; huius filius Osa; huius filius Iosaphatus; huius fi-
„ lius Ioramus; huius filius Ochozias; huius filius Ioasus; huius filius Ame-
„ sias „. Atque ita ex ordine descendit usque ad Iechoniam atque ad babylonicam captivitatem, non secus atque Matthaeus. Contra, uti Lucas, eadem rursus ascendit scriptura dum Samuelis genus enarrat. Ait enim: " Samuelis filii Hel-
„ canae, filii Hieroboami, filii Helielis, filii Thoi, filii Suphi, filii Helcanae, fi-
„ lii Ioelis, filii Azariae, filii Sophoniae, filii Thaari, filii Asiri, filii Abia-
„ saris, filii Corae, filii Issaari, filii Caathi, filii Levini, filii Israelis „. Porro vides ut plane hunc morem Lucas imitetur. Sexcenta eiusmodi exempla ipsemet invenies: unde sequitur ut fateamur, nihil insolitum fecisse servatoris

ναι τοὺς τοῦ σωτῆρος ἡμῶν εὐαγελιστάς· οὐκ ὀρθῶς γὰρ οἴε- A
ταί τις αὐτοὺς διαφωνεῖν· ἑκάτερος γὰρ οἰκείῳ λογισμῷ τὴν ἔκθεσιν πεποίηται τῆς γραφῆς· ὁ μὲν ἀπὸ τοῦ Ἀβραὰμ ἀρξάμενος διὰ τὴν οἰκονομίαν τοῦ παρ' αὐτῷ λόγου, ὃν οὐ καιρὸς νῦν ἑρμηνεύειν· ὁ δὲ καὶ τὸν Ἀβραὰμ ὑπερβὰς, ἐπί τε τὸν πρῶτον ἄνθρωπον ἀνελθών· καὶ μηδὲ μέχρι τούτου στὰς, τὸν B
πάντα δὲ λόγον ἐπὶ τὸν θεὸν ἀναρτήσας, διὰ τῆς ἐν χριστῷ παλιγγενεσίας μυστήριον ἀναβιβάζει.

Πῶς ὁ μὲν Ματθαῖος ἀπὸ τοῦ Δαβὶδ καὶ Σαλομῶνος διαδόχων ἐπὶ Ἰακὼβ καὶ Ἰωσὴφ τὰ γένη κατάγει· ὁ δὲ Λουκᾶς C
ἀπὸ Δαβὶδ καὶ Νάθαν παιδῶν ἐπὶ Ἡλὶ καὶ Ἰωσὴφ ἐναντίως γενεαλογῶν τῷ Ματθαίῳ.

Τὸ τρίτον τῶν προτάσεων καιρὸς ἐπισκέψασθαι. Ἀτενὲς οὖν ταῖς λέξεσιν αὐταῖς ἐπερείσομεν τὴν ἑαυτῶν διάνοιαν· D
ἴδωμεν δὲ τί φησὶν ὁ Λουκᾶς· " καὶ αὐτὸς ὁ Ἰησοῦς ἦν ἀρ-
,, χόμενος ὡσεὶ ἐτῶν τριάκοντα ὢν υἱὸς ὡς ἐνομίζετο τοῦ Ἰω-
,, σὴφ, τοῦ Ἡλὶ, τοῦ Μελχὶ ,,· ἀλλ' οὐχ' ὅγε Ματθαῖος ἐχρήσατο τῇ ὡς ἐνομίζετο φωνῇ· ἀλλὰ τί φησί; Ματθὰν δὲ ἐγέννησε τὸν Ἰακώβ· Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰωσήφ· ἄλλο δὲ E

nostri evangelistas: neque merito quisquam putabit eos invicem dissidere. Uterque enim proprio calculo descriptionem instituit: alter ab Abrahamo initium capiens, ob sui sermonis peculiarem rationem, quam in praesenti non vacat exponere: alter ipsum Abrahamum praetergressus, ad primum usque hominem venit: neque in hoc sistit, sed suam omnem historiam cum Deo nectit, dum eam videlicet per regenerationis in Christo mysterium in sublime evehit.

III. Quomodo Matthaeus a Davide eiusque successore Solomone ad Iacobum et Iosephum prosapias deducat: Lucas autem a Davide atque Nathane atque a liberis huius ad Helim et Iosephum, contrariam Matthaeo genealogiam scribens.

Tertia iam quaestio consideranda est. Prolatis igitur verbis attente dispiciamus eorumdem notionem. Agesis videamus quid Lucas dicat: " et ipse
,, Iesus erat incipiens quasi annorum triginta, ut putabatur filius Iosephi, filii
,, Heli, filii Melchi ,,. Haud tamen Matthaeus usus est voce, ut putabatur. Quid porro ait? Matthanus genuit Iacobum; Iacobus autem genuit Iosephum.

A δήπου ἐστὶ τὸ νομίζειν, ἄλλο δὲ δήπου τὸ οὕτως ἔχειν διαβεβαιοῦσθαι· εἰ μὲν δὴ τοῦ Ματθαίου διαβεβαιωσαμένου τὸν Ἰωσὴφ υἱὸν εἶναι τοῦ Ἰακὼβ καὶ τοῦ Ματθὰν, ὁ Λουκᾶς ὁμοίως διϊσχυρίσατο τὸν Ἰωσὴφ γεγονέναι υἱὸν τοῦ Ἡλὶ καὶ τοῦ Μελχὶ, ἀληθῶς μάχη τις ἦν καὶ πόλεμος, καὶ ἦν τῶν διαιτησόν-
B των αὐτοῖς χρεία· νῦν δὲ ὅτε τοῦ Ματθαίου διαβεβαιωσαμένου ὁ Λουκᾶς διατείνεται, δόξαν δὲ παρὰ τοῖς πολλοῖς νενομισμένην τίθεσιν οὐ τὴν παρ᾽ αὐτῷ κρατοῦσαν, οἶμαι μηδεμίαν ὑπολείπεσθαι ζήτησιν· διαφόρων γὰρ παρὰ Ἰουδαίοις ὑπολήψεων περὶ τοῦ χριστοῦ κεκρατημένων, καὶ πάντων μὲν συμ-
C φώνως ἐπὶ τὸν Δαβὶδ ἀναγόντων, διὰ τῆς πρὸς τὸν Δαβὶδ τοῦ θεοῦ ἐπαγγελίας· ἤδη δὲ τῶν μὲν ἀπὸ Δαβὶδ καὶ Σαλομῶνος καὶ τοῦ βασιλικοῦ γένους πειθομένων ἔσεσθαι τὸν χριστόν· τῶν δὲ ταύτην μὲν φευγόντων διὰ τὸ πλείστην ἐμφέρεσθαι τῶν βασιλευσάντων κατηγορίαν· διά τε τὸ ἐκκήρυκτον ὑπὸ τοῦ προ-
D φήτου Ἱερεμίου γεγονέναι τὸν Ἰεχονίαν· καὶ διὰ τὸ εἰρῆσθαι μὴ ἀναστήσεσθαι ἐξ αὐτοῦ σπέρμα καθήμενον ἐπὶ θρόνου Δαβίδ· Hier. xxxvi. 30.
διὰ δὲ οὖν ταῦτα, ἑτέραν ὁδευόντων, καὶ ἀπὸ μὲν Δαβὶδ ὁμολογούντων, οὐ μὲν διὰ Σολομῶντος, ἀλλὰ διὰ Νάθαν, ὃς ἦν τοῦ Δαβὶδ παῖς· φασὶ δὲ τὸν Νάθαν καὶ προφητεῦσαι κατὰ τὰ
E ἐν ταῖς βασιλείαις φερόμενα· ἀπό τε τοῦ Νάθαν διαδόχων προσελεύσεσθαι τὸν χριστὸν διαβεβαιουμένων· καὶ τόν γε Ἰωσὴφ ἐκεῖ-

Aliud vero est putare, aliud ceu res ita se habeat adfirmare. Si igitur Matthaeo adfirmante Iosephum filium esse Iacobi et Matthani Lucas similiter contenderet filium esse Heli ac Melchi, vere pugna quaedam esset atque conflictus, atque opus esset arbitro qui evangelistas componeret. Nunc autem quum Matthaeus firmiter adseveret, Lucas vero ita scribat, ut opinionem tantummodo proferat apud multos pervagatam, non quae apud se vigeret, nulla ut opinor quaestio superest. Nam quum variae de Christo famae inter Iudaeos versarentur; et cuncti quidem concorditer a Davide eum repeterent propter Dei promissiones Davidi significatas; interim tamen alii a Davide et Salomone regioque stemmate putarent Christum adfore; alii ab hac linea recederent propter multas regibus inustas criminationes, et propter proscriptum abs Hieremia propheta Iechoniam, cum ait non surrecturum ex eius stirpe qui in Davidis throno sederet; quumque ob id alia via pergerent; et quum in Davidis genere conspirarent, non tamen per Salomonem sed per Nathanem Davidis item filium deducerent; (qui idem Nathan propheta fuisse dicitur secundum ea quae feruntur in regum libris) atque ab huius posteris venturum Christum adsererent; ipsumque Iosephi genus

θεν πόθεν γενεαλογούντων, σφόδρα ἀναγκαίως ὁ Λουκᾶς τὴν A
τούτων ἀπιστορῶν δόξαν ἀλλ' οὐ τὴν αὐτοῦ, προσέθηκε τῇ κατ'
αὐτὸν ἱστορίᾳ τὸ ὡς ἐνομίζετο· τῷ Ματθαίῳ παραχωρή-
σας μὴ τὸ ὡς ἐνομίζετο ἱστορεῖν, ἀλλ' ὡς εἶχεν ἀληθείας τὰ
τῆς γενέσεως· αὕτη μὲν οὖν ἡ πρώτη ἀπόδοσις. Εἴη δ' ἄν τις
καὶ ἄλλος ἐν τοῖς προκειμένοις λόγος. Ματθαῖος μὲν γὰρ ὁμο- B
λογουμένως τὴν ἔνσαρκον γένεσιν ἱστορῶν τοῦ χριστοῦ, καὶ τὸν
Ἰωσὴφ ἀποδεῖξαι βουλόμενος ἀληθῶς ἐκ Δαβὶδ, ὅθεν ἐχρῆν
τῇ εἰσβολῇ κέχρηται τοῦ λόγου· τὸν δὲ Λουκᾶν ἡγοῦμαι μὴ
τὴν κατὰ σάρκα γένεσιν τοῦ Ἰησοῦ γενεαλογεῖν ἐθέλοντα νῦν
τοῦτο πεποιηκέναι· τοῦτο μὲν γὰρ εἰ κατὰ γνώμην ἔπραττεν, C
οὐκ ἠγνόει ὅτι ἐχρῆν ταύτην ἐκθέσεσθαι· ἐπειδὴ δὲ νῦν τῆς διὰ
λουτροῦ ἀναγεννήσεως μέμνηται, υἱὸν αὐτὸν εἰσάγων θεοῦ, βού-
λεται ὡς ἐν ὑποδείγματι παραστῆσαι ὅτι δὴ πᾶς ὁ ἐν θεῷ
ἀναγεννώμενος, κἂν ἀληθῶς υἱὸς εἶναι ἀνθρώπων νομίζοιτο δι'
ἣν περίκειται σάρκα, ἀλλ' οὐχ ἵσταταί γε αὐτῷ τὰ τῆς γε- D
νέσεως εἰς τοὺς κατὰ σάρκα γονεῖς· οὐδὲ μέχρι τῶν τοῦ σώμα-
τος προπατόρων φθάνει· ἀλλ' εἰ καὶ νομίζοιτο ἀνθρώπων εἶναι
υἱὸς διὰ τὴν τοῦ σώματος γένεσιν, ὅμως δ' οὖν οὐκ ἀλλότριος
τῆς τοῦ θεοῦ υἱοθεσίας ὑφέστηκεν· ἐπειδὴ δὲ οὖν οὐ κατὰ τὴν
αὐτὴν τῷ Ματθαίῳ διάνοιαν ἐξετίθετο τὴν διήγησιν, εἰκότως E
τὸν αὐτὸν ἐκείνῳ καιρὸν ὑπερβὰς ἐπὶ τὴν ἀναγέννησιν τὴν διὰ

inde usque repeterent; necessario Lucas qui illorum opinionem refert, non suam, adiecit narrationi ut putabatur; Matthaeo permittens narrare non ut putabatur, sed uti revera se habebat origo generis. Atque haec prima esto responsio. Tum et alio orationis genere de re proposita disputare licet. Matthaeus humanam Christi naturam diserte describens, vereque volens Iosephum Davide oriundum demonstrare, eo quo par erat sermonis ingressu utitur; Lucas autem, ut opinor, quia nollet carneam Christi naturam describere, ita nunc se gessit. Nam si hoc ei propositum fuisset, non ignorabat opus esse naturam eiusmodi exponere. Sed quoniam eo evangelii loco regenerationis per lavacrum mentionem facit, Iesumque ut Dei filium exhibet; idcirco hoc veluti exemplo demonstrare nititur, quemvis hominem in Deo regeneratum, etiamsi vere filius hominum habeatur ob carnem qua indutus est, non tamen cum sua natura in carneis genitoribus sistere, neque non ultra corporis procreatores excurrere: verum etiamsi filius hominum videatur ob corporis nativitatem, nihilominus haud alienum a Dei adoptione censeri. Quandoquidem ergo Lucas haud secundum Matthaei mentem historiam suam scribit, consentaneum erat ut Matthaei tempora praetergressus ad regenerationem per la-

A λουτρου̃ παραγίνεται· καὶ ἐνταῦθα τὴν ἐναντίαν ἐκτίθεται τῶν γενῶν διαδοχήν· ὁμοῦ καὶ ἀνάγων ἀπὸ τῶν ὑστάτων ἐπὶ τὰ πρῶτα· ὁμοῦ καὶ τὴν μνήμην τῶν παρὰ τῷ Ματθαίῳ ὑπαιτίων καὶ ἁμαρτωλῶν ἀνδρῶν ἀποσειόμενος· ἐπειδήπερ ὁ παρὰ τῷ θεῷ ἀναγεγεννημένος, ἀλλότριος καθίσταται τῆς ἐνσάρκου γε-
B νέσεως καὶ τῶν κατὰ σάρκα ἁμαρτωλῶν πατέρων, υἱὸς ἀποφαινόμενος θεοῦ, καὶ πάντων τῶν κατὰ θεὸν ἀνεπιλήπτως βεβιωκότων· οἷον ὡς ἐπὶ παραδείγματος· Παῦλος ὁ ἀπόστολος ἐχέτω μὲν κατὰ σάρκα πατέρα ἰουδαῖον ὅντινα ὡς εἰκὸς ἄπιστον· ἐχέτω δὲ καὶ κατὰ θεὸν, οὗ κατὰ τοὺς τρόπους ἐβίου:
C εἰ δὲ οὖν μέλλει τὶς αὐτὸν κατὰ σάρκα γενεαλογεῖν, τίνος εἰκότως ἂν ἐμνήσθη, ἢ πάντως που̃ του̃ κατὰ σάρκα πατρός; εἰ δ' αὖ πάλιν ἕτερος τὴν ἐν χριστῷ γένεσιν αὐτου̃ δηλου̃ν ἐθέλοι, τίνος ἂν τὴν μνήμην θείη ἂν εἰκότως, ἢ πάντως του̃ κατὰ θεὸν αὐτὸν ἀναγεννήσαντος; Οὕτω καὶ τῷ Ἀβραὰμ εἴρηται· "σὺ Gen. xv. 15.
D ,, δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου τραφεὶς ἐν γήρᾳ καλῷ,,. οὐδήπου τοὺς κατὰ σάρκα πατέρας δηλου̃ντος του̃ λόγου, εἰ μὴ καὶ θεοσεβεῖς λέγοιντο γεγονέναι· τοὺς δὲ ἐν θεῷ πατέρας διὰ τὴν τῆς εὐσεβείας ὁμοιοτροπίαν αἰνιττομένου· οὕτω καὶ οἱ ἐξ Ἀβραάμ, ἀσεβεῖς ἦσαν μὲν κατὰ σάρκα οἱ υἱοὶ Ἀβραάμ, κα-
E τὰ δὲ τὸν τρόπον, υἱοὶ Σοδόμων καὶ Γομόῤῥας· διὸ λέγεται πρὸς

vacrum veniret, ibique contrariam poneret prosapiarum successionem: simul pergens a postremis ad initia, simulque memoriam sontium ac scelestorum qui sunt apud Matthaeum hominum vitans: quia regeneratus apud Deum alienus fit a carnea natura, et a peccatoribus secundum carnem patribus, Dei nimirum declaratus filius, et omnium qui secundum Deum sine culpa vixerunt. Exempli gratia Paulus apostolus patrem secundum carnem habuit iudaeum, ut credibile est, a fide alienum: habuit quoque patrem secundum Deum, cuius videlicet vitae institutum amplexus est. Siquis ergo Pauli secundum carnem genus narrare velit, quemnam merito patrem memorabit nisi carnalem? Sin rursum aliquis Pauli in Christo nativitatem ostendere velit, cuiusnam potius mentionem parentis faciet, quam eius a quo secundum Deum regeneratus est? Sic Abrahamo quoque dictum fuit: " tu vero abibis ad patres tuos bona saturatus senectute ". Qui profecto sermo haud carneos patres demonstrat, nisi hi forte pii quoque fuisse credantur; sed de patribus in Deo loquitur propter pietatis similitudinem. Sic Abrahami sontes filii, huius quidem secundum carnem filii erant, moribus autem Sodomorum filii atque Gomorrhae. Idcir-

Isai. I. 10. αὐτούς· ἀκούσατε λόγον κυρίου ἄρχοντες Σοδόμων, προσέ- A
χετε νόμον θεοῦ λαὸς Γομόῤῥας· ὡς αὖ παλιν ἐξ ὧν ἤμελλον
υἱοὶ Ἀβραὰμ γίγνεσθαι· οἱ γοῦν ἐξ ἐθνῶν εἰς τὸν χριστὸν
τοῦ θεοῦ πεπιστευκότες κατὰ σάρκα πατέρων ἀλλοφύλων φύν-
τες, υἱοὶ γεγόναμεν Ἀβραὰμ· χριστοῦ γενόμενοι παῖδες καὶ
τῶν χριστοῦ μαθητῶν· ὥστε καὶ δευτέραν ἡμᾶς ἐπιγράφεσ- B
θαι γένους διαδοχὴν πολὺ κρείττονα τῆς κατὰ σάρκα διὰ τὴν
κατὰ χριστὸν ἀναγέννησιν· εἰκότως τοιγαροῦν καὶ ὁ Λουκᾶς
ἅτε τὴν ἀναγέννησιν ἱστορῶν οὐ τὴν αὐτὴν ὁδεύει τῷ Ματ-
θαίῳ, οὐ τοῦ Σαλομῶνος καὶ τῆς τοῦ Οὐρίου, οὐ τῆς Θά-
μαρ, οὐ τῆς Ῥοῦθ, οὐ τοῦ Ἰεχονίου καὶ τῶν μεταξὺ δια- C
βεβλημένων ἀνδρῶν τὴν παράθεσιν πεποίηται, ἀλλὰ δι᾽ ἑτέρων
ἀνεπιλήπτων ἄνεισι, καὶ δὴ καὶ ἐκ τοῦ προφήτου Ναθαν ἀναγε-
γεννημένον εἰσάγει· καὶ ὁ μὲν παρὰ τῷ Ματθαίῳ κατὰ σάρκα γε-
γεννημένος, υἱὸς ἦν Ἀβραὰμ ἐντεῦθεν γενεαλογούμενος· ἐπειδή-
περ τῷ Ἀβραὰμ πρώτῳ ἡ ἐπαγγελία δέδοτο τῆς τῶν ἐθνῶν εὐ- D
λογίας, οὐκ ἄλλως ἢ διὰ τοῦ ἐκ σπέρματος αὐτοῦ προσελευσομέ-
νου γενησομένης· ὁ δὲ ἐν θεῷ ἀναγεγεννημένος, ἑτέρους πατέρας
τοὺς κατὰ θεὸν ἐπιγραψάμενος· οὐδ᾽ αὐτοὺς ἀληθῶς ἐσχηκώς,
ἀλλ᾽ ὡς ἐνομίζετο διὰ τὴν τῶν ἠθῶν ὁμοιοτροπίαν, ἄνεισιν ἐπὶ τὸν
ἀληθῆ πατέρα, μετὰ πάντας χρηματίσας υἱὸς τοῦ θεοῦ. E

co dicitur illis : " audite sermonem Domini principes Sodomorum, adtendite " Dei legem popule Gomorrhae " : tamquam rursus si ex his essent Abrahami filii proventuri. Qui igitur ex gentibus Christo Dei credidimus, quamquam infidelibus secundum carnem geniti patribus, in Abrahami domum migravimus, Christi eiusque discipulorum nacti adoptionem : atque ita in aliam nosmet inscripsimus generis successionem, multo carnea meliorem propter in Christo regenerationem. Merito igitur Lucas, cum de regeneratione loquatur, haud eadem qua Matthaeus semita pergit : nempe non Solomonis, non uxoris Uriae, non Thamarae, non Ruthae, non Iechoniae, nec quorumvis praeter hos reorum mentionem facit : sed per alios reprehensione carentes graditur ; Christumque a propheta Nathane progenitum exhibet : ita ut qui apud Matthaeum carnaliter gignitur, idem apud Lucam veluti Abrahami filius ponatur. Certe Abrahamo haud aliter benedictio gentium promissa fuit, quam quod ea futura erat ob gignendum de genere eius. Atque hic est, qui in Deo regeneratus, atque alios patres secundum Deum nactus, re tamen verâ haud ipsos habet patres, sed ita credebatur propter morum similitudinem : qua videlicet ad parentem verum conscendit post omnes existens filius Dei.

Ἀφρικανοῦ περὶ τῆς ἐν τοῖς ἱεροῖς εὐαγγελίοις γενεαλογίας.

A Οἱ μὲν οὖν ἤτοι τὴν εὐαγγελικὴν ἱστορίαν ἠγνοηκότες ἢ
συνεῖναι μὴ δυνηθέντες, δοξολογούσῃ πλάνῃ τὴν ἀγνωσίαν ἐπύκνωσαν εἰπόντες ὅτι δικαίως γέγονεν ἡ διάφορος αὕτη τῶν ὀνομάτων καταρίθμησίς τε καὶ ἐπιμιξία τῶν τε ἱερατικῶν ὡς οἷόν τε καὶ τῶν βασιλικῶν· ἵνα δειχθῇ δικαίως ὁ χριστὸς ἱε-
B ρεύς τε καὶ βασιλεὺς γενόμενος· ὥσπερ τινος ἀπειθοῦντος ἢ ἑτέραν ἐσχηκότος ἐλπίδα· ὅτι χριστὸς ἀΐδιος μὲν ἀρχιερεὺς πατρὸς, τὰς ἡμετέρας πρὸς αὐτὸν εὐχὰς ἀναφέρων, βασιλεὺς δ' ὑπερκόσμιος, οὓς ἠλευθέρωσε νέμων τῷ πνεύματι, συνεργὸς εἰς τὴν διακόσμησιν τῶν ὅλων γενόμενος· καί τοι ἀγνοεῖν αὐ-
C τοὺς οὐκ ἐχρῆν ὡς ἑκατέρα τῶν κατηριθμημένων τάξις τὸ τοῦ Δαβὶδ ἐστὶ γένος ἢ τοῦ Ἰούδα φυλὴ βασιλική· εἰ γὰρ προφήτης ὁ Νάθαν· ἀλλ' ὅπως καὶ Σαλομὼν ὅ τε τούτων πατὴρ ἑκατέρου· ἐκ πολλῶν δὲ φυλῶν ἐγένοντο προφῆται· ἱερεῖς δὲ οὐ δεῖνες τῶν δώδεκα φυλῶν, μόνοι δὲ λευῖται· μάτην ἄρα πέ-
D πλασται τὸ ἐψευσμένον· μὴ δὴ κρατοίη τοιοῦτος λόγος ἐν ἐκκλησίᾳ χριστοῦ καὶ θεοῦ πατέρων ἀκριβοῦς ἀληθείας, ὅτι ψεῦδος σύγκειται εἰς αἶνον καὶ δοξολογίαν χριστοῦ· ἵνα οὖν

IIII. Africani super genealogia quae in sacris evangeliis est.

Nonnulli seu evangelicam historiam nescientes seu intelligere nequeuntes, laudativo errore inscitiam cumulant dicentes, merito fieri differentem nominum recensionem, mixtionemque sacerdotalium cum regalibus, ut iure Christus sacerdos atque rex demonstretur: quasi aliquis de hoc dubitet, aut aliam spem habeat; nempe quin Christus aeternus sit apud patrem pontifex, nostras ei preces exhibens: rex autem supramundanus, quos liberavit pascens spiritu, socius effectus in omnium rerum gubernatione. Atqui eos ignorare non oportebat, utramque numeratorum ordinem genus esse Davidis, seu Iudae regiam tribum. Namque ut forte propheta Nathan fuerit, et quidem etiam Salomon et horum utriusque parens, atque ex multis tribubus prophetae; certe sacerdotes haud quilibet erant de duodecim tribubus, sed soli levitae. Frustra igitur compositum est mendacium; neque praevalebit hic sermo in ecclesia Christi et Dei contra accuratam veritatem; ita ut falsa oratio consarcinetur in Christi laudem atque prae-

Apud Euseb. hist. eccl. I. 7. Hieronym. comm. in Matth. I. 16.

καὶ τοῦτο μὲν τοῦ εἰρηκότος ἐλέγξωμεν τὴν ἀμαθίαν, παύσωμεν A δὲ τοῦ μηδένα ὑπ' ἀγνοίας ὁμοίας σκανδαλισθῆναι, τὴν ἀληθῆ τῶν γεγονότων ἱστορίαν ἐκθήσομαι. Ἐπειδὴ γὰρ τὰ ὀνόματα τῶν γενῶν ἐν Ἰσραὴλ ἠριθμεῖτο ἢ φύσει ἢ νόμῳ· φύσει μὲν γνησίου σπέρματος διαδοχῇ, νόμῳ δὲ ἑτέρου παιδοποιουμένου εἰς ὄνομα τελευτήσαντος ἀδελφοῦ ἀτέκνου· οὐδέπω γὰρ αὐτοῖς δέδοτο ἐλπὶς B ἀναστάσεως· ἀφ' ἧς τὴν μέλλουσαν ἐπαγγελίαν ἀναστάσει ἐμιμοῦντο θνητῇ· ἵνα ἀνέκλειπτον τὸ ὄνομα μείνῃ τοῦ μετηλλαχότος. Ἐπεὶ οὖν οἱ τῇ γενεαλογίᾳ ταύτῃ ἐμφερόμενοι, οἱ μὲν διεδέξαντο παῖς πατέρα γνησίως· οἱ δὲ ἑτέροις μὲν ἐγεννήθησαν, ἑτέροις δὲ προσετέθησαν κλήσει· ἀμφοτέρων γέγονεν ἡ μνήμη καὶ τῶν γεγεν- C νηκότων καὶ τῶν ὡς γεγεννηκότων· οὕτως οὐδέτερον τῶν εὐαγγελίων ψεύδεται καὶ φύσιν ἀριθμοῦν καὶ νόμον· ἐπεπλάκει γὰρ ἀλλήλοις τὰ γένη τά τε ἀπὸ Σαλομῶνος καὶ τοῦ Νάθαν ἀναστάσει ἀτέκνων καὶ δευτερογαμίαις καὶ ἀναστάσει σπερμάτων· ὡς δικαίως τοὺς αὐτοὺς ἄλλοτε ἄλλων νομίζεσθαι· τῶν μὲν δοκούντων πατέ- D ρων, τῶν δὲ ὑπαρχόντων· καὶ ἀμφοτέρας τὰς διηγήσεις κυρίως ἀληθεῖς οὔσας ἐπὶ τὸν Ἰωσὴφ πολυπλόκως μέν, ἀλλ' ἀκριβῶς κατελθεῖν. Ἵνα δὲ σαφὲς ᾖ τὸ λεγόμενον, τὴν ἐπαλλαγὴν τῶν γενῶν διηγήσομαι· ἡ κατὰ φύσιν γένεσίς ἐστι Ματθαίου· ἡ κα-

conium. Quare ut et ita loquentium coarguam inscitiam, et in posterum caveam nequis in huiusmodi imperitiam incurrat, veram gestarum rerum historiam proferam. Scilicet apud Israelitas prosapiarum nomina aut natura numerabantur aut lege; natura genuini generis successio; lege cum alius gignebat liberos fratris nomine, qui prolis expers obiisset: nondum enim ipsis ostensa fuerat resurrectionis spes: unde futuram promissionem quodammodo exprimebant resurrectione mortali, ne defuncti nomen extingueretur. Age vero quoniam ii, qui hac genealogia continentur, partim germano traduce filius patrem consecutus est, partim ab aliis geniti, neque tamen naturali sed alienae appellationi addicti fuerunt; utrorumque facta est mentio, nempe et eorum qui genuerunt, et eorum item qui pro gignentibus habiti sunt. Ita neutrum evangelium mentitur, dum naturam numerat atque legem. Implicabantur enim inter se genera salomonicum et nathanicum reparatione sterilium et secundis nuptiis et generis excitatione: ita ut merito iidem homines alias aliis patribus adscribantur, nempe et iis qui specie, et rursus iis qui reapse genitores sunt: atque ambae narrationes apprime verae ad Iosephum varie quidem sed tamen adamussim deveniant. Ut autem quod aio perspicuum fiat, permutationem generum patefaciam. Generatio naturalis est illa Matthaei: generis excitatio legalis est

A τὰ νόμον ἀνάστασις γένους, ἔστιν ἡ τοῦ Λουκᾶ· Ματθὰν ὁ ἀπὸ Σολομῶνος, ἐγέννησε τὸν Ἰακώβ· Ματθὰν ἀποθανόντος, Μελχὶ ὁ ἀπὸ Νάθαν ἐκ τῆς αὐτῆς γυναικὸς ἐγέννησε τὸν Ἡλί· ὁμομήτριοι ἀδελφοί, Ἡλὶ καὶ Ἰακώβ· Ἡλὶ ἀτέκνου ἀποθανόντος, ὁ Ἰακὼβ ἀνέστησεν αὐτῷ σπέρμα, γεννήσας τὸν Ἰω-
B σήφ, κατὰ φύσιν μὲν ἑαυτῷ, κατὰ νόμον δὲ τῷ Ἡλί· οὕτως ἀμφοτέρων υἱὸς Ἰωσήφ.

Διὰ τί ὁ Ματθαῖος τοῦ Ἀβραὰμ προτάττει τὸν Δαβὶδ ἐν τῇ τοῦ χριστοῦ γενεαλογίᾳ φήσας· βίβλος Ἰησοῦ χριστοῦ
C υἱοῦ Δαβὶδ υἱοῦ Ἀβραάμ.

Ἐπειδὴ πρώτῳ καὶ μόνῳ τῷ Δαβὶδ μεθ' ὅρκου διαβεβαιώσεως, ἐξ αὐτοῦ κατὰ σάρκα φῦναι ὁ χριστὸς ἐθεσπίζετο· γέγραπται οὖν " ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν Ps. cxxxi.
D „ θρόνον σου· καὶ πάλιν διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου· 11. lxxxviii.
„ ὤμοσα Δαβὶδ τῷ δούλῳ μου· ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ 4.
„ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρό-
„ νον σου „ · καὶ τὰ μὲν τῆς ἐπαγγελίας τοῦ προφητευομένου, τοιαῦτα ἦν· τοῦ δὲ Σαλόμωνος τῆς βασιλείας οὐκ ἄδηλος ὁ
E χρόνος· λέγεται δὲ οὖν ἐπὶ μόνοις ἔτεσι τεσσαράκοντα βασι-

illa Lucae. Matthanus Solomone oriundus genuit Iacobum. Matthano defuncto, Melchi Nathane oriundus, e Matthani uxore Helim suscepit. Igitur uterini fratres Heli et Iacobus. Heli mortuo sine liberis, Iacobus excitavit ei sobolem genito Iosepho, suo naturaliter filio, ex legis autem forma Heli filio. Sic utriusque filius Iosephus.

V. Cur Matthaeus ante Abrahamum ponat Davidem in Christi genealogia dicens: liber generationis Iesu Christi filii Davidis filii Abrahami.

Rei causa est quia primo solique Davidi vaticinium iure iurando confirmatum fuit, fore ut ex eo Christus humanitus nasceretur; scriptum est enim: " de fructu ventris tui ponam super sedem tuam. Rursusque: posui testamentum „ electis meis. Iuravi Davidi servo meo, usque in aeternum praeparabo semen „ tuum. Et aedificabo in generationem et generationem sedem tuam „. Atque hae sunt propheticae promissiones. Regni autem salomonici spatium non est obscurum: dicitur enim quadraginta tantummodo annis Israelis scep-

λεῦσαι ἐπὶ τὸν Ἰσραὴλ· πῶς οὖν γένοιτ' ἂν ἀληθὲς εἰς αὐτὸν A
II. Reg. VII. 13. ἀναφερόμενον τὸ ἀνορθώσω τὸν θρόνον αὐτοῦ εἰς τὸν αἰῶνα; ἀλλ'
εἰ λέγοι τίς περὶ τῆς ἐξ αὐτοῦ διαδοχῆς εἰρῆσθαι ταῦτα, οὐκ
ἀγνοητέον ὅτι μέχρις Ἰεχονίου καὶ τῆς εἰς Βαβυλῶνα αἰχμα-
λωσίας· καὶ ἡ ἀπὸ Δαβὶδ καὶ Σαλομῶνος διαδοχὴ τῆς βασιλείας
διήρκησε, μηδενὸς μετὰ τὸν Ἰεχονίαν ἐπὶ τὸν θρόνον τοῦ Δαβὶδ κα- B
II. Reg. VII. 14. τασταντος· θέα δὲ ὡς καὶ τοῦτο προσέθηκεν ἡ προφητεία περὶ τοῦ
Ps. LXXXVIII. 27. θεσπιζομένου φήσασα· „ ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα· καὶ αὐ-
„ τὸς ἔσται μοι εἰς υἱόν „· καὶ ἐν ἑτέρῳ πάλιν· “ αὐτὸς ἐπικαλέ-
„ σεταί με πατήρ μου εἶ σύ· κἀγὼ πρωτότοκον θήσομαι αὐτόν „·
III. Reg. XI. ὅπερ ἀνοίκειον γένοιτ' ἂν Σαλόμωνι· παραθετέον δὲ τὰ περὶ αὐ- C
τοῦ ἐν βασιλείαις ἱστορούμενα ἐν τούτοις· “ καὶ ὁ βασιλεὺς Σα-
„ λομῶν ἦν φιλογύνης· καὶ ἔλαβε γυναῖκας ἀλλοτρίας πολλάς:
„ καὶ τὴν θυγατέρα Φαραὼ, μωαβίτιδας, καὶ ἀμμανίτιδας, καὶ
„ ἰδουμαίας, σύρας, χετταίας, καὶ ἀμορραίας, ἐκ τῶν ἐθνῶν ὧν
„ ἀπεῖπεν κύριος ὁ θεὸς τοῖς υἱοῖς Ἰσραὴλ οὐκ εἰσελεύσεσθε εἰς D
„ αὐτούς „. οἷς ἐπιφέρει· “ καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ τελεία
„ μετὰ κυρίου θεοῦ αὐτοῦ, καθὼς ἡ καρδία Δαβὶδ τοῦ πατρὸς
„ αὐτοῦ „· καὶ μετὰ βραχύ· “ τότε ᾠκοδόμησε Σαλομῶν ὑψη-
„ λὸν τῷ Χαμὼς εἰδώλῳ Μωὰβ ἐν τῷ ὄρει ἐπὶ πρόσωπον Ἱερου-
„ σαλήμ· καὶ τῷ Μολχὼν εἰδώλῳ υἱῶν Ἀμμών, καὶ τῇ Ἀστάρ- E

trum tenuisse. Qui ego fieri potest ut vere ad hunc referantur verba “ erigam „ thronum eius in aeternum? „ Quod siquis dicat, haec de regia illius successione Deum esse locutum; non est ignorandum, usque tantummodo ad Iechoniam et babylonicam captivitatem davidici ac salomonici regni successionem perseveravisse, nemine post Iechoniam in regia Davidis sede constituto. Et animadverte uti hoc etiam addiderit prophetia de promisso germine dicens: ego ero illi in patrem, et ipse erit mihi in filium. Rursusque alibi: ipse invocabit me, pater meus est tu; et ego primogenitum ponam illum: quae incongruentia sunt Salomoni. Adiungenda sunt etiam quae de eodem in regum libris narrantur sic: “ atque rex Salomon mulierosus erat; duxitque feminas alienigenas multas; filiam Pharaonis, et moabitidas, ammonitidas, idumaeas, syras, chettaeas, amorrhaeas: de gentibus scilicet, quibus interdixit Dominus filiis Israelis ne sociarentur eis „ Insuper additur: “ et non erat cor eius perfectum cum domino Deo suo, sicuti cor Davidis patris „ eius. Pauloque post: tunc aedificavit Salomon excelsum Chamoso idolo „ Moabitarum in monte qui est e regione Hierosolymorum: itemque Molocho „ idolo Ammonitarum, et Astartae impuritati Sidoniorum. Atque ita morem

A „ τῇ βδελύγματι σιδωνίων· καὶ οὕτως ἐποίησε πάσαις ταῖς γυ-
„ ναιξὶν αὐτοῦ ταῖς ἀλλοτρίαις· αἳ ἐθυμίων καὶ ἔθυον τοῖς εἰ-
„ δώλοις αὐτῶν· καὶ ὠργίσθη κύριος ἐπὶ Σαλομῶν, ὅτι ἐξέ-
„ κλινε καρδίαν αὐτοῦ ἀπὸ κυρίου θεοῦ Ἰσραήλ „· ἤδη τὰ
τοιαῦτα τοῦ Σαλόμωνος κατηγορεῖται· πῶς οὖν ἐφαρμόσεις
B αὐτῷ τὰ τοῦ ὅρκου ἐφ᾽ ᾧ εἴρηται πρὸς τοῖς ἄλλοις καὶ τὸ
“ ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς
„ υἱόν „· ἀλλὰ γὰρ ἄντικρυς Σαλόμωνος μὲν ἀλλότρια ταῦ-
τα· ἀνάγοιτο δ᾽ ἂν ἐπὶ τὸν ἐκ σπέρματος Δαβὶδ ἥξειν θεσπι-
ζόμενον χριστὸν τοῦ θεοῦ, ὃς ἐκ σπέρματος Δαβὶδ ἀνέστη.

C

Διὰ τί μετὰ τὸν Δαβὶδ οὐκ ἐπὶ τοὺς ἑξῆς διαδόχους τοῦ γένους κατάγει, ἀνατρέχει δὲ ἐπὶ τὸν Ἀβραάμ, ἀλλ᾽ οὐκ ἐπὶ τὸν Ἀδάμ, οὐδ᾽ ἐφ᾽ ἕτερόν τινα τῶν πάλαι θεοφιλῶν ἀνδρῶν.

D

Ἐπειδὴ πρώτῳ πάλιν τῷ Ἀβραὰμ περὶ τῆς κλήσεως τῶν ἐθνῶν διάφοροι ἐλέγοντο χρησμοί· πρὸ γὰρ τῆς Μωσέως νομοθεσίας, καὶ πρὸ τοῦ ἰουδαίων ἔθνους, οὐ μὴν ἀλλὰ καὶ πρὸ τῆς περιτομῆς, ἀλλοεθνὴς ὢν ὁ Ἀβραάμ, καὶ τῆς χαλδαίων γῆς
E ὁρμώμενος, ἀπολείπει μὲν τὰ πατρῷα, θεὸν δὲ γνοὺς τὸν ἐπὶ

„ gessit cunctis feminis suis alienigenis, quae tura adolebant diis patriis et sacrifi-
„ cabant „. Porro iratus est Dominus Salomoni quod aversum esset cor eius a domino Deo Israelis. En haec omnia ad Salomonis criminationem dicuntur. Quomodo ergo accommodabis ei iusiurandum, in quo praeter cetera dictum est: et ego ero illi in patrem, ipse erit mihi in filium? Immo vero manifeste haec aliena a Salomone sunt: praeclare autem referuntur ad eum, cuius de genere Davidis praedictus fuerat adventus, quique reapse e davidico stemmate emersit.

VI. Cur Matthaeus post Davidem ad consectaneos generis successores non veniat, sed transiliat ad Abrahamum, non tamen ad Adamum, neque ad alium quemlibet ex antiquis Deo dilectis hominibus.

Quia primo similiter Abrahamo varia edita fuerant de vocatione gentium oracula. Namque ante mosaicam legislationem, atque ante Iudaeorum ipsum genus, immo et ante circumcisionem alienigena fuit Abrahamus: qui regione chaldaica migrans patria instituta deseruit, supremoque Deo agnito, testimo-

πάντων, μεμαρτύρηται ὡς ἄρα ἐπίστευσε τῷ θεῷ· καὶ ἐλογίσθη A
αὐτῷ εἰς δικαιοσύνην· δίκαιός τε καὶ θεοφιλὴς ἀποπέφανται,
οὐ διὰ περιτομὴν σώματος, οὐδὲ διὰ φυλακὴν ἡμέρας σαββά-
του, ἢ ἑορτῶν, ἢ νουμενιῶν, οὐδέ γε δι' ἄλλης τινὸς παρὰ Μω-
σεῖ φερομένης ἐθελοθρησκείας, ἀλλὰ δι' ἐπιγνώσεως τοῦ ἐπὶ
πάντων θεοῦ, ἐπιφανείας δὲ τοῦ ὀφθέντος αὐτῷ κυρίου· οὗτος δὲ B
ἦν ὁ ἡμέτερος σωτὴρ, ὁ τοῦ θεοῦ λόγος· διά τε σεμνοῦ καὶ ἐναρέ-
του βίου· τούτον δ' οὖν αὐτῷ κατορθοῦντι τῆς θεοσεβείας τὸν
τρόπον, ἡ περὶ τῶν ἐθνῶν δέδοτο ἐπαγγελία, ὡς καὶ αὐτῶν πο-
τὲ κατὰ τὸν τοῦ Ἀβραὰμ ζῆλον θεοσεβῶν ὄντων, καὶ τῆς ἴσης
τῷ θεοφιλεῖ καταξιωθησομένων εὐλογίας· ὧν οὕτως ἐχόντων, C
ἀκόλουθον ἦν τῆς τῶν ἐθνῶν κλήσεως προπάτορα ὄντα τὸν Ἀβ-
ραὰμ, ὑπὸ τοῦ εὐαγγελιστοῦ δεύτερον παραληφθῆναι μετὰ
τὸν Δαβίδ· δυοῖν γὰρ τούτων ἐπιφανῶν ἀνδρῶν πρώτων ἠξιωμέ-
νων τῆς τοῦ θεοῦ ἐπαγγελίας περί τε τῆς τοῦ χριστοῦ γενέσεως καὶ
περὶ τῆς κλήσεως τῶν ἐθνῶν, χρῆναι δήπου τὸν μὲν περὶ τῆς γενέ- D
σεως τοῦ πάντων ἀνθρώπων σωτῆρος τὰς ὑποσχέσεις εἰληφότα,
προτιμηθῆναι τῇ τάξει τοῦ τὰς περὶ τῶν ἐθνῶν ἐπαγγελίας κα-
ταδεξαμένου· δεύτερον δὲ ἐν τῇ γενεαλογίᾳ παραληφθῆναι τὸν
τῶν ἐθνῶν ἀρχηγόν· διόπερ ἡ βίβλος Ἰησοῦ χριστοῦ πρώτῳ
μὲν ἀνάκειται τῷ κατὰ σάρκα Ἰησοῦ χριστοῦ προπάτορι, δεύ- E

nium retulit quod Deo crediderit; idque illi reputatum est ad iustitiam. Iustus autem piusque visus est non ob corporis circumcisionem, neque ob sabbati observantiam aut festorum aut kalendarum, neque ob quaslibet a Mose invectas religiones; sed ob summi Dei cognitionem, atque ob Domini, qui illi oblatus est, manifestationem (qui quidem erat servator noster, Dei scilicet Verbum) et ob suam denique sanctam ac virtutibus praeditam vitam. Huic igitur qui eiusmodi pietatis genus sectatus fuerat, facta promissio est de gentibus, veluti quae aliquando secundum Abrahami zelum piae futurae erant, paremque religioso patriarchae benedictionem consecuturae. Quae cum ita se habeant, consentaneum erat, ut Abrahamus vocatarum gentium princeps, ab evangelista adsumeretur secundus post Davidem. Namque hi duo fuerunt illustres viri, queis primis Deus Christi adventum gentiumque vocationem dignanter ante significavit. Par autem fuit, ut is cui nativitas servatoris omnium hominum promissa fuit, praeponeretur illi qui de vocandis gentibus promissiones accepit: secundus tamen in genealogia scriberetur gentium ipsarum patriarcha. Quare liber Iesu Christi capit auspicia primum quidem ab eo qui fuit carnalis Iesu Christi progenitor;

A τερον δὲ τῷ κατὰ πνεῦμα πατρὶ τῶν διὰ χριστοῦ σωθησομένων· ἡγεῖτο γὰρ ὁ σώζων τῶν σωζομένων ἐθνῶν.

Διὰ τί τῆς Θάμαρ οὐχὶ δὲ καὶ ἑτέρας ἐπ' ἀγαθοῖς κατορθώμασι μαρτυρουμένης γυναικὸς ἐμνημόνευσεν ὁ Ματθαῖος.

B

Τὴν Θάμαρ εἴ τις ὡς πόρνην διαβάλλειν πειρῷτο, αὐτοῦ δὴ τοῦ Ἰούδα ἐπακουσάτω λέγοντος· " δεδικαίωται Θάμαρ ἢ „ ἐγώ· οὗ ἕνεκεν οὐκ ἔδωκα αὐτὴν Σιλὼμ τῷ υἱῷ μου „. οὐ γὰρ δὴ πορνεύειν προθεμένη ἐπὶ τοῦ τέγους ἔστη· λογισμῷ δὲ Gen. xxxviii. 26.
C σεμνῷ παιδοποιΐας χάριν τὸν Ἰούδαν θηρᾶται· οὐκ ἄδηλος δὲ καὶ ἡ αἰτία· ὁ μὲν γὰρ αὐτῇ παρακελεύεται μένειν ἐπ' οἴκου, ἕως μέγας γένηται Σιλὼμ ὁ υἱὸς αὐτοῦ, ὡς αὐτὸς ληψόμενος αὐτήν· ἡ δὲ ἐπείθετο προθύμως, ἄπαις μένουσα καὶ χήρα, τὰς τοῦ Ἰούδα παρεγγυὰς ἐκδεχομένη· ὡς δὲ οὐκ ἐπῆγε ταῖς ἐπαγγε-
D λίαις τέλος, τοῦ περὶ παῖδας πόθου τοῖς τότε ἀνθρώποις διὰ σπουδῆς ἀγομένου, καὶ τῆς ἀτεκνίας ἐν ἐσχάτοις κακοῖς παρὰ πᾶσι τότε λελογισμένης· διαψευσάμενον αὐτῇ συνιδοῦσα τὸν Ἰούδαν, καὶ τὰς ἀπὸ τοῦ παιδὸς ἐλπίδας εἰς μάτην παραληφθείσας, αὕτη ἐπιτίθεται τῷ ἀνδρί· οὐ πώποτε νόμου Μω-
E σέως, οὐδέ γε προφητῶν, οὐδὲ ἑτέρου τινὸς ἀπαγορεύοντος τὰ

deinde ab illo qui spiritu pater erat servandorum per Christum. Servator enim servatis gentibus praevertendus erat.

VII. Cur Thamarae facta mentione, nullam praeterea mulierem commemoraverit evangelista recte factorum laude illustrem.

Thamaram siquis ceu meretricem traducere studet, is audiat Iudam dicentem: " Thamara iustior me est, qui non eam tradidi Silomo filio meo „. Haud enim fornicandi causa prostitit in cella, sed pudico consilio et liberorum gratia Iudam venata est. Neque rei causa latet. Huic quippe Iudas mandaverat domi ut maneret, donec Silomus adolesceret filius suus, qui eam deinde uxorem duceret. Ipsa vero alacriter obtemperaverat, sterilitatis patiens atque viduitatis, Iudae sponsionibus freta. Sed enim cum hic promissa non faceret, illa liberorum desiderio percita; quod eorum temporum homines maxime urgebat, sterilitatem in summis malis vulgo ponere solitos; seque a Iuda delusam sentiens, frustraque spem in eius filio collocatam; ipsa sibi virum conciliat, nulla adhuc lege Mosis aut prophetarum aut cuiuslibet hominis id vetante. Tum sollerter excogitat

τοιαῦτα· κἄπειτα σοφίζεται τὴν ἐξ αὐτοῦ παιδοποιΐαν· μὴ A
δείξασα γοῦν ἑαυτὴν τίς ποτε ἦν, συνελθεῖν αὐτῷ μηχανᾶται·
ὁμοῦ τὸ σῶφρον τὸ ἑαυτῆς, κἀκείνου τὸ ἀκρατὲς ἀπελέγχουσα·
ἡ μὲν γὰρ μακροῖς ἔτεσιν αὐτῷ πειθομένη, χήρα καὶ ἄπαις
διέμενεν· ἀλλὰ καὶ παρὸν γήμασθαι ἑτέρῳ, καὶ τέκνων μητέρα
ἔκ τινος ἀλλογενοῦς καταστῆναι ἀνδρὸς, οὐ ποιεῖ τοῦτο· B
τῆς τῶν προγόνων τοῦ Ἰούδα, Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ δὴ καὶ
τῆς τοῦ Ἰσραὴλ, συγγενείας ἐφιεμένη· ὁ δὲ χηρεύειν τὴν παῖδα
καταλιπὼν, καὶ κόρην ἄπαιδα ἐπὶ μακροὺς ἀναρτήσας χρόνους,
οὐχ' οἷός τε ἦν κρατεῖν ἑαυτοῦ μετὰ τὴν τῆς γυναικὸς τελευτήν·
ἀλλ' ἅμα τελευτᾷ ἡ τοῦ Ἰούδα γυνὴ, ὁ δὲ, μηδενὸς πῶς C
νόμου τῶν τοιῶνδε ἀπείργοντος, πόρνην ὑπολαβὼν τὴν εἰρημένην,
ἡλίσκετο πρὸς αὐτῆς οὐ δίκαια πράττων· ὅτι δὴ τοιοῦτος
ὢν αὐτὸς τὴν ἐπὶ μακροῖς ἔτεσι τὰς ὑποσχέσεις ἐκδεξαμένην τὰς
αὐτοῦ, φιλόσοφόν τε καὶ σώφρονα βίον ἐπιδεδειγμένην, ἀποστέρει
τοῦ περὶ τὴν παιδοποιΐαν καρποῦ· ταύτη οὖν τὸν ἄνδρα D
ὑποδῦσα, ἐκ πρώτης ὁμιλίας διδύμου γονῆς ἐξ αὐτοῦ γίνεται
μήτηρ· τοῦτον αὐτῇ τοῦ θεοῦ καρπὸν τῆς ἀγαθῆς προθέσεως
ἕνεκα δεδωρημένου· παρὸν γὰρ ἄλλοις ἑαυτὴν ἀγαγεῖν, καὶ ἑτέροις
ἀλλοφύλοις καὶ ἀσεβέσι συναφθῆναι, τοῦτο μὲν οὐ διενοήθη·
τοῦ δὲ τῶν θεοφιλῶν γένους εὐχὴν θεμένη καταξιωθῆ- E

quanam ratione ex ipso liberos suscipiat. Ergo celata conditione sua struit insidias ut cum eo rem habeat; simul temperantiam suam atque illius incontinentiam coargutura. Namque ipsa dum multis annis illi obtemperat, vidua sterilisque permanserat: cumque ei facultas esset nubendi alteri, matrique fieri liberorum ex quovis alienigena, non tulerat: sed Iudae maiorum, Abrahami nempe Isaaci atque Israelis, cognationes maluerat. Contra is qui filiam in viduitate reliquerat, sterilemque puellam in longum tempus distulerat, temperare sibi non potuit post uxoris obitum. Nam statim ac Iudae uxor defuncta est; is, nulla fortasse lege rem eiusmodi prohibente; dum feminam meretricem esse existimat, ab ea, cui fuerat iniurius, deceptus est: qui tam lubrico ingenio praeditus puellam tot iam annis promissionibus eius fidentem, et solitariae temperantique vitae deditam, liberorum fructu privabat. Haec igitur peractis nuptiis geminae statim prolis mater evasit; hoc illi praemium boni propositi largiente Deo. Quae enim aliis se tradere potuerat, atque amasiis alienigenis ethnicisque frui; nihil eiusmodi molita est: sed potius rogavit ut piorum hominum genere digna fieret. Et quidem cum ipsa esset stirpe

A ναὶ, καίπερ οὖσα ἀλλόφυλος, τὴν τοσαύτην συνεσκευάσατο δρα-
ματουργίαν· οὐ πρότερον δὲ ἡ Θάμαρ ἐτόλμα παρεῖναι ἐπὶ
τὴν τοῦ Ἰούδα κοινωνίαν, ἢ ἐκποδῶν γενέσθαι τὴν προτέραν αὐ-
τοῦ γαμετήν· πρὸ τοῦ ταύτης θανάτου οὐχ᾽ ὅσιον ἡγουμένη τὸ
ἐπιχείρημα· ἔμενε γοῦν παρ᾽ ἑαυτῇ ἐν τῷ οἴκῳ τοῦ πατρὸς
B αὐτῆς, καίπερ οὖσα ἄτεκνος κἂν μέχρι τέλους ἄπαις διέμενεν,
εἰ μὴ τὸν καιρὸν αὐτῇ συλλαβέσθαι ἡγήσατο· διὸ δὴ ὡς ἔφην
θεοῦ καταξιοῦται συνεργοῦ, ὃς ἐκ μιᾶς τοῦ Ἰούδα κοινωνίας,
παίδων αὐτῇ διττῶν ἀθρόως ἐδωρήσατο καρπόν· ὁμοῦ περὶ τὴν
τῶν παίδων γένεσιν μυστηριώδεις ἐπιτελῶν οἰκονομίας· δι᾽ ἃς
C καὶ οἶμαι μάλιστα τὸν θαυμάσιον εὐαγγελιστὴν τὴν πᾶσαν μνή-
μην αὐτῶν τῇ τοῦ σωτῆρος ἡμῶν συμπεριλαβεῖν γενεαλογίᾳ·
διδύμων γὰρ παίδων ἐξ αὐτῆς γενομένων, τοῦ τε Ζαρᾶ καὶ τοῦ
Φαρὲς, οὐ τὰ τυχόντα μοι δοκεῖ ἐκ τῆς τούτων γενέσεως ὁ τῆς
γραφῆς αἰνίττεσθαι λόγος· διὸ καὶ ἀμφοῖν μνημονεῦσαι τὸν
D Ματθαῖον τῆς τε τούτων μητρὸς εἰπόντα. " Ἰούδας δὲ ἐγέννησε
„ τὸν Φαρὲς καὶ τὸν Ζαρᾶ ἐκ τῆς Θάμαρ „· διὰ τί γὰρ οὐκ
ἠρκέσθη φάναι, Ἰούδας ἐγέννησε τὸν Φαρὲς, παραλιπὼν τὸν Ζα-
ρᾶ; ὅπερ πεποίηκεν ἐπὶ τοῦ Ἰακὼβ· μονου γὰρ τοῦ Ἰακὼβ
μνησθεὶς, ἀποσιωπᾷ τὸν Ἠσαῦ· προστίθησι δὲ καὶ ἀπό τινος
E μητρὸς λέγων ἐκ τῆς Θάμαρ· παρακαλῶν ἐπισκέψασθαι τὴν
περὶ τούτων ἱστορίαν· γράφει γοῦν ὁ Μωσῆς ἐν τῇ γενέσει λέ-

alienigena, talem tamque laudabilem personam sustinuit. Praeter quam quod Thamara haud prius ausa est rem habere cum Iuda, quam huius uxor obiit: qua nondum extincta, tale quid adgredi nefas esse putaverat. Mansisset itaque patria in domo vel perpetuo liberorum expers, nisi occasionem sibi favere cognovisset: ideoque, ut dixi, Deo usa est adiutore, qui ex uno cum Iuda congressu gemellae prolis cumulatum ei largitus est fructum: simul in liberorum generatione arcanam machinans providentiam: ob quam potissimum existimo ab inclyto evangelista omnem huius rei mentionem in servatoris nostri genealogia fuisse comprehensam. Gemellis enim e Thamara natis liberis Zara et Phares, non vulgares eventus videtur mihi ex horum generatione scriptura portendere. Atque idcirco Matthaeus amborum cum matre meminit his verbis: " Iu-
„ das genuit Phares et Zaram de Thamar „. Cur enim ei non suffecit dicere: Iudas genuit Phares? praetermisso Zara; quod fecit in Iacobo, quo uno memorato, Esavum retinuit. Addit etiam ex qua matre sint nati, nempe e Thamara: quibus verbis hortatur quodammodo nos ad considerandam horum historiam. Age vero in genesi Moses haec ait: " cum iam esset paritura Tha-

Gen. XXXVIII. 27. γων· " ἐγένετο δὲ ἡνίκα ἔτικτε Θάμαρ, καὶ τῇδε ἦν δίδυμα A
,, ἐν τῇ γαστρὶ αὐτῆς· ἐγένετο δὲ ἐν τῷ τίκτειν αὐτὴν, ὁ εἷς
,, προεξήνεγκε τὴν χεῖρα· λαβοῦσα δὲ ἡ μαῖα, ἔδησεν ἐπὶ
,, τὴν χεῖρα αὐτοῦ κόκκινον, λέγουσα, οὗτος προεξελεύσεται
,, πρότερος· ὡς δὲ ἐπισυνήγαγε τὴν χεῖρα, εὐθὺς ἐξῆλθεν ὁ
,, ἀδελφὸς αὐτοῦ· ἡ δὲ εἶπεν τί διεκόπη διὰ σὲ φραγμός· B
,, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Φαρές· καὶ μετὰ τοῦτο ἐξῆλ-
,, θεν ὁ ἀδελφὸς αὐτοῦ, ἐφ' ᾧ ἐπὶ τῇ χειρὶ αὐτοῦ κόκκινον·
,, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαρᾶ ,,· ὁρᾷς ὁπόσα τῶν εἰ-
ρημένων ἡ γένεσις περιέχει; ὧν ἕνεκα ἡγοῦμαι μὴ παρασε-
σιωπῆσθαι τὰ παρὰ τῷ θαυμασίῳ εὐαγγελιστῇ τὰ ἐν τού- C
τοις αἰνίγματα· φησὶν οὖν ὁ ἱερὸς ἀπόστολος διερμηνεύων τα πε-
ρὶ τοῦ φραγμοῦ τάχα που περὶ οὗ εἴρηται, τί διεκόπη διὰ σὲ
Cap. II. 14. φραγμὸς, ὧδέ πως ἐν τῇ πρὸς ἐφεσίους ἐπιστολῇ· " αὐτὸς
,, γάρ ἐστιν ἡ εἰρήνη ὑμῶν ποιήσας τὰ ἀμφότερα ἓν· καὶ τὸ
,, μεσότοιχον τοῦ φραγμοῦ λύσας· τὴν ἔχθραν ἐν τῇ σαρκὶ D
,, αὐτοῦ· τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα
,, τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, καὶ ἀπαλ-
,, λάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ θεῷ ,,· τούτοις
οὖν τὴν διάνοιαν ἐπιστήσας, θέα μήποτε ἡ τῶν δυοῖν τῶν εἰρη-
μένων μία γένεσις· ἥ τε τοῦ Φαρὲς δι' ὃν διεκόπη φραγμός· καὶ E
ἡ τοῦ πρώτου μὲν τὴν χεῖρα προβάλλοντος· δευτέρου δὲ προ-

,, mara, gemelli erant in utero eius: dumque pareret, unus protulit manum,
,, qua arrepta obstetrix illigavit ei coccinum dicens, hic prior exibit. Sed
,, enim eo retrahente manum, statim exiit frater eius. Aitque mulier: cur
,, divisa est propter te maceria: dixitque nomen eius Phares. Deinde egres-
,, sus est frater eius, in cuius manu erat coccinum: vocavitque nomen eius
,, Zaram ,,. Vides generatio praedictorum quanta contineat, quorum causa
opinor non esse silentio pressa quae apud inclytum evangelistam significantur
ab his mysteria. Itaque sacer apostolus vocabulum maceriae interpretans (et
quidem fortasse quo loco dictum est, cur divisa est propter te maceria?) sic
ait in epistula ad Ephesios: " ipse enim est pax vestra qui fecit utraque
,, unum, et medium parietem maceriae solvens, inimicitias in carne sua; legem
,, mandatorum decretis evacuans, ut duos condat in semet ipso in unum no-
,, vum hominem; et reconciliet ambos in uno corpore Deo ,,. Iamvero his
mentem intendens, videsis num forte duorum praedictorum coniuncta nativitas,
nempe et Phares propter quem facta est divisio, et prioris qui manum pro-

A ἐλθόντος, αἰνίττεται δύο βίων τρόπους τῶν ἠξιωμένων τῆς παρὰ τῷ θεῷ γεννήσεως· ὧν ὁ μὲν κατὰ τὸ εὐαγγέλιον, ὁ δὲ κατὰ τὸν Μωσέως ὑπέστη νόμον· ἀλλὰ γὰρ τούτων πρῶτος μὲν τὴν χεῖρα προβέβλητο ὁ κατὰ τὸ εὐαγγέλιον· οὐ μὴν καὶ πρῶτος πρόεισιν εἰς φῶς· ὑποστείλας δὲ τὴν χεῖρα, τῷ κα-
B τὰ Μωσῆ δευτέρῳ ἰόντι προσελθεῖν ἐπιτρέπει πρώτῳ· εἶθ' οὕτως αὐτὸς πρῶτος ὢν ὕστατος ἔξεισι μετὰ τοῦ περὶ τὴν χεῖρα συμβόλου τοῦ πρῶτον αὐτὸν συνιστῶντος· ἦν δ' ὁ τῶν πρὸ Μωσέως θεοφιλῶν ἀνδρῶν βίος ὁ κατὰ τὸ τοῦ χριστοῦ εὐαγγέλιον· καθ' ὃν διαπρέψαι μνημονεύονται οἱ ἀμφὶ τὸν Ἀβραάμ,
C καὶ Ἰσαάκ, καὶ Ἰακώβ, Μελχισεδέκ τε, καὶ Ἰώβ, καὶ πολὺ τούτων πρότεροι οἱ ἀμφὶ Νῶε καὶ Σήμ, καὶ Ἰάφεθ, Ἐνώχ τε καὶ ὅσοι ἄλλοι τούτοις γεγόνασι παραπλήσιοι· δίκαιοι γοῦν οἵδε πάντες· καὶ εὐσεβεῖς καὶ θεοφιλεῖς· εἰ καί τινες ἕτεροι μαρτυρηθέντες, τῆς μὲν κατὰ Μωσέα νομοθεσίας πάμπαν ὑπῆρ-
D χον ἀλλότριοι· προλαβόντες δὲ τὸν κατὰ Μωσέα τρόπον, ἡμῖν ὁμοίως τῇ κατὰ τὸ εὐαγγέλιον φιλοσοφίᾳ διέλαμψαν· ὁ μὲν οὖν πρῶτος, διὰ τοῦ Ζαρᾶ ἐδηλοῦτο, ὃς ἑρμηνεύεται ἀνατολή· φωτὸς γὰρ εὐσεβείας αἱ πρῶται τῆς ἀνατολῆς αὐγαὶ, διὰ τῶν πρώτων ἐν ἀνθρώποις εὐσεβησάντων ἐξέλαμψαν· οἷοί περ ἦσαν
E οἱ πρὸ Μωσέως ἐκ πρώτης ἀνθρώπων συστάσεως θεοφιλεῖς ἀπο-

tendit, posterior autem exiit, significet duarum vitarum genera, quibus usi sunt illi homines qui Deum patrem habere meruerunt; partim in evangelio, partim in lege mosaica victitantes. In his prior manum protulit vita evangelica; neque tamen eadem in lucem prior exiit; sed manu retracta, vitae mosaicae, quae posterior erat, permisit primae exire. Sic illa quae prior erat, ultima exiit, signo manui alligato, a quo prior esse comprobatur. Erat autem ante Mosem piorum hominum vita secundum Christi evangelium; in qua excelluisse traduntur Abrahamus, Isaacus, Iacobus, Melchisedecus atque Iobus: et multo his priores Noachus, Semus atque Iaphetus et Enochus et quotquot his similes fuerunt. Iusti igitur hi omnes et pii ac Deo dilecti; et quidem aliquot alii feruntur, quos a mosaica lege fuisse alienos in confesso est. Nimirum hi praevertentes mosaicum morem, pari nobiscum philosophia evangelica splenduerunt. Et illa quidem prior vita a Zara portendebatur, quem orientem interpretamur. Pietate enim lucentes primi orientis radii per eos qui primi inter homines religiosi fuere emicuerunt: cuiusmodi erant ii qui ante Mosem iam inde a prima hominum creatione sanctum Dei cultum prae se tulerunt.

φανθέντες· οἱ δὴ καὶ τῷ Ζαρᾷ παραπλησίως, πρῶτοι μὲν τὴν A
χεῖρα προεβάλοντο τὸν πρακτικὸν βίον ἐνδειξάμενοι· οὐ μὴν
καὶ ἐκράτυνέ γε τοῦτον· τοῦ δὲ κατ' αὐτοὺς τρόπου ἐν ὑποστο-
λῇ γενομένου· καὶ ὥσπέρ τινος φραγμοῦ διακοπέντος, ἐξῆλθεν
ὁ ἀδελφὸς αὐτοῦ ὁ κατὰ Μωσέα βίος· ὃν δὴ μεσότοιχον φραγ-
μὸν κέκληκεν ὁ θαυμάσιος ἀπόστολος· διὸ καὶ ὠνομάσθη B
Φαρὲς, τῆς τοῦ φραγμοῦ διακοπῆς ἐπώνυμος· ἑρμηνεύεται γοῦν
Φαρὲς μερισμός· ἔνθεν καὶ φαρισαῖοι παρ' αὐτοῖς διέπρεπον,
παρὰ τὸ μερίζειν καὶ ἀφορίζειν ἑαυτοὺς τῆς τῶν πολλῶν ἐπι-
μιξίας· μακάριον μὲν οὖν καὶ πολὺ κρεῖττον ἦν μὴ διακοπῆναι
τὸν φραγμὸν, ἕνα δὲ αὐτὸν καὶ ἀδιάκοπον μεῖναι· τοῦτο δ' ἂν C
γέγονεν εἰ τῷ τὴν χεῖρα προβεβλημένῳ πρώτῳ, συνακολουθή-
σας ὁ δεύτερος, τὸν αὐτὸν τρόπον ἐπολιτεύσατο· πολὺ γὰρ ἦν
βέλτιον τοῖς ἐκ περιτομῆς εἰ κατὰ τὸν βίον τῶν πρόπαλαι θεο-
φιλῶν ἀνθρώπων ἐτύγχανον πεπολιτευμένοι· καὶ οὕτω γὰρ ἦν
εἷς ὁ φραγμὸς, καὶ μία ἡ οἰκοδομὴ τῶν τε πρώτων καὶ τῶν D
ὑστάτων· ἐπειδὴ δὲ μὴ τὸν πρῶτον κρατῆσαι τρόπον ἡ τῶν δευ-
τέρων συνεχώρησεν ἀσθένεια, διακοπῆς εἰκότως τοῦ κατὰ θεὸν
φραγμοῦ γενομένης, τοῦτε μεσοτοίχου τοῦ φραγμοῦ παραβλη-
θέντος· ὁ πάλαι πρῶτος τὴν χεῖρα προτείνας, δεύτερος ἔξεισιν
εἰς φῶς διὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ τοῦ τὸν παλαί- E

Atque hi non secus atque Zara primi manum protenderunt, sollertis vitae indicio facto, cuius tamen non sunt potiti, moribus eorum se retrahentibus. Atque interim maceria veluti divisa, exiit frater eius, vitae nimirum secundum Mosem genus, quod medium parietem mirificus apostolus appellavit: quare et ille Phares vocatus fuit, nomine sumpto a maceriae divisione: Phares quippe explicatur partitio. Hinc et Pharisaei in Iudaeis excellebant, quia se per quandam factionem a multitudinis commixtione seiunxerant. Beatius igitur multoque melius fuisset non diffindi maceriam, sed unum quid indivisumque manere. Id autem accidisset, si ei qui prior manum extendit, subsequens alter eodem vitae genere vixisset. Multo enim erat melius si circumcisionis asseclae mores antiquorum Deo dilectorum hominum amplexi fuissent: nam sic una fuisset maceria, una aedificatio primorum et extremorum. Nunc quia primum morem perseverare non sivit secundorum infirmitas; divisione merito facta maceriae quae secundum Deum est, medioque pariete maceriae interiecto, qui olim prior manum extenderat, posterior in lucem prodiit per servatorem nostrum Iesum Christum, qui antiquissimam et primitivam ma-

A τατον καὶ ἀρχαῖον φραγμὸν ἀνακτησαμένου· διὸ καὶ φησὶν εἰς αὐτὸν ἡ προφητεία " καὶ κληθήσῃ οἰκοδόμος φραγμῶν ,, · οὗ- *Isai. LVIII. 12.* τος δὴ καὶ τὸ δηλωθὲν μεσότοιχον ἀνεῖλεν· ὃς κύριος ὢν καὶ τοῦ σαββάτου ποιεῖ τὰ ἀμφότερα ἓν· κατὰ τὸν ἱερὸν ἀπόστολον εἰπόντα ,, αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας τὰ ἀμφό- *Ad Eph. II. 14.*
B ,, τερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας ,, · καὶ τί τὸ μεσότοιχον διασαφῶν, ἐπιλέγει " τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας ,, ἐκ ποδῶν μεταστησάμενος τὸ μεσότοιχον τοῦ Μωϋσέως νόμου· ὅπερ ἡμᾶς τοὺς ἐξ ἐθνῶν, τῆς κατὰ θεὸν ἀπείργει εὐσεβείας, διὰ τὸ μὴ δὲ βουλομένοις δυνατὸν
C εἶναι πᾶσι τοῖς ἔθνεσι κατὰ Μωϋσέα πολιτεύσασθαι. Ὥσπερ οὖν συνεστήσαμεν ἐν ταῖς εὐαγγελικαῖς ἀποδείξεσι, τὴν κα- *Lib. I. 3.* τὰ τὸ εὐαγγέλιον τοῖς πᾶσι προεβάλετο πολιτείαν, τοῦ πρώτου τῆς εὐσεβείας τρόπου τελείαν καὶ λαμπροτέραν τὴν γένεσιν πεποιημένου, μετὰ τοῦ τῇ χειρὶ συνεπάγεσθαι τὸ μαρτύριον τοῦ
D πρῶτον αὐτὸν γεγονέναι· ὁ γοῦν διὰ τοῦ σωτηρίου εὐαγγελίου πᾶσι τοῖς ἔθνεσι παραδοθεὶς βίος, οὗτος αὐτὸς ἦν ἐκεῖνος ὁ καὶ πρὸ Μωϋσέως τὴν χεῖρα προτείνας, καὶ τὴν πρᾶξιν διὰ τῶν πρώτων θεοφιλῶν ἀνδρῶν ἐπιδεδειγμένος· οὗτός τε οὗτος ἦν ὁ Ζαρὰ τῆς ἐνθέου πολιτείας τὴν πρώτην ἐν ἀνθρώποις ἀνατολὴν
E καταβεβλημένος· γέγονέ τε ὁ αὐτὸς, ἀρχὴ καὶ τέλος· πρῶτος

ceriam recuperavit. Quare et de illo prophetia dicit : " et vocaberis aedificator ,, maceriarum ,, . Hic etiam praedictum parietem medium abstulit ; quia cum sit sabbati quoque dominus, facit utraque unum : sicuti ait sacer apostolus " ipse enim est pax nostra, qui fecit utraque unum, et medium parietem maceriae solvit ,, . Et quidem medium parietem interpretans, subdit " legem ,, mandatorum decretis evacuans ,, sublato legis mosaicae medio pariete ; qui nos ethnicis oriundos parentibus excludebat a Dei religione : quia ne si voluissent quidem, fieri poterat ut cunctae gentes ex mosaicae legis formula vitam agitarent. Deus igitur, ut in evangelica demonstratione iam adseruimus, evangelicam vitam cunctis proposuit, ita ut primigenium illud religionis genus perfectam atque illustriorem originem redderet, dum manu praefert testimonium primatus sui. Quamobrem vita per salutare evangelium cunctis gentibus tradita, eadem erat atque illa quae ante Mosem manum protenderat : cuius vitae exercitatio in primis illis Deo dilectis hominibus perspecta est : eandemque figurabat hic Zara, qui primum divinae inter homines reip. ortum extulit : fuitque idem principium et finis, primus et ultimus ; ortus brevis qui postremo

τε καὶ ὕστατος· ἀνατολή τε μικρὰ καὶ ὑστάτη πάλιν εἰς πάν- A
τας ἐκλάμψασα ἀνθρώπους. Πλὴν ἀλλὰ κἀκεῖνο προσήκει τοῖς
εἰρημένοις ἐπιθεῖναι, ὡς ἡ βίβλος τῆς γενέσεως Ἰησοῦ χριστοῦ
οὐκ ἀπὸ τοῦ τῶν δυοῖν πρώτου, λέγω δὲ τοῦ Ζαρᾶ, τὸν γε-
νεαλογούμενον φῦναι εἰσάγει, ἀλλ' ἀπὸ τοῦ δευτέρου τοῦ Φα-
ρές· ἐπεὶ γέγονε κατὰ σάρκα ἐκ φυλῆς καὶ σπέρματος τοῦ δευ- B
ad Gal. IIII. 4. τέρου· οὐ μόνον γεννώμενος ἐκ γυναικὸς, ἀλλὰ καὶ γενόμενος
ὑπὸ νόμον, ἵνα καὶ τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ κατὰ τὴν τοῦ ἀπο-
στόλου καὶ περὶ τούτου μαρτυρίαν.

Δια τί τῆς τοῦ Οὐρίου γυναικὸς ἐμνήσθη ἐπὶ τῆς γε- C
νεαλογίας ὁ εὐαγγελιστής.

Μονονουχὶ διὰ τοῦ φάναι, Δαβὶδ ὁ βασιλεὺς ἐγέννησε τὸν
Σολομῶνα ἐκ τῆς τοῦ Οὐρίου, τοιοῦτόν τι ἔοικε δηλοῦν ἡ βί-
βλος αὕτη τῆς Ἰησοῦ χριστοῦ γενέσεως, τὰς λιτανείας καὶ D
τὰς ἱκεσίας τοῦ Δαβὶδ ὅσον οὔπω προχωρήσειν εἰς τέλος εὐαγ-
γελίζεται· περιέχει γοῦν τὴν οἰκονομίαν Ἰησοῦ χριστοῦ τοῦ σω-
τῆρος τῶν ὅλων καὶ ἰατροῦ, δι' οὗ μόνου ἐλπὶς ἦν καὶ τῷ Δα-
βὶδ τῆς κατὰ τὸν Οὐρίαν καὶ τὴν τούτου γυναῖκα ἁμαρτίας
ἀπολυθήσεσθαι, καὶ τῆς ἐν τῷ θανάτῳ καθείρξεως ἐλευθερω- E
θήσεσθαι· τούτου γοῦν Ἰησοῦ χριστοῦ τὴν μέχρι θανάτου παρ-

cunctis rursus effulsit hominibus. Sed enim et illud ante dictis addendum est, in libro generationis Iesu Christi non a primo ex duobus, nempe Zara, dici progenitum eum cuius texitur genealogia, sed a secundo, videlicet Phares. Nam reapse secundum carnem genitus fuit de gente et genere secundi: neque tantum natus e muliere, sed factus sub lege, ut et eos qui sub lege erant redimeret, secundum apostoli hac etiam de re testimonium.

VIII. Cur uxoris Uriae meminerit in genealogia evangelista?

Liber generationis Iesu Christi dum ait: " David rex genuit Salomonem ,, ex ea quae fuit Uriae ,, declarare propemodum ac nunciare videtur, fore ut mox preces Davidis ac supplicationes re optata potiantur. Continet enim liber incarnationem Iesu Christi servatoris omnium et medici, cuius unius opera sperabat David se absolvendum esse a crimine circa Uriam eiusque uxorem, et a mortis calculo expediendum. De hoc igitur Iesu Christo necem

A οὐσίαν, δι' ἧς ἤμελλε καὶ ἡ τοῦ Δαβὶδ ἀπολυτροῦσθαι ψυ-
χὴ, θεσπίζων ἐν τοῖς ψαλμοῖς αὐτὸς ὁ Δαβὶδ, τὰ περὶ τῆς
ἐκεῖσε καθόδου τοῦ σωτῆρος, τά τε περὶ τῆς ἑαυτοῦ σωτηρίας
ἐδήλου δι' ὧν ἔφασκε " κύριε ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου· Ps. XXVIIII.
„ ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον· καὶ τό· ὁ 4. VIIII. 15. XV.
B „ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου· καὶ τό· οὐκ ἐγκαταλεί- 10. LXX. 20.
„ ψεις τὴν ψυχήν μου εἰς ᾅδην· καὶ τό· ἐπιστρέψας ἐζωοποί-
„ ησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.
Τίς δ' ἦν ὁ καταβὰς καὶ ἀναγαγὼν αὐτὸν ἐκ τῶν ἀβύσσων; τίς δ'
ὁ σώσας αὐτὸν ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον; ἀλλ' οὗτος
C ᾧ τῆς γενέσεως τὴν βίβλον ὁ θαυμάσιος εὐαγγελιστὴς ἀναγρά-
φει· μετὰ τῶν ἄλλων καὶ τὰ περὶ τοῦ Δαβὶδ ἀγαθὰ πᾶσιν ἡμῖν
εὐαγγελιζόμενος. Οἶμαι δὲ τούτῳ τῷ πτώματι περιπεσεῖν τὸν
Δαβὶδ διὰ μίαν ταύτην φωνὴν, ἣν ἐν τῷ εἰκοστῷ καὶ ἐννάτῳ προή-
κατο ψαλμῷ· " ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, οὐ μὴ σα-
D „ λευθῶ εἰς τὸν αἰῶνα „· τὸ γὰρ μέγα φρονῆσαι καὶ τοιοῦτον
προΐεσθαι ῥῆμα ὅτι οὐκ ἄν ποτε σαλευθῇ, μένοι δὲ ἄτρεπτος
καὶ ἀπαθὴς ἐν τῇ εὐθηνίᾳ αὐτοῦ, ὑπέρογκον ἦν καὶ ὑπερήφανον, Ps. CXXVI.
καὶ οὐχ' ὅμοιον τοῦ " ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μά- 1.
„ την ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν· ἐὰν μὴ κύριος φυλάξῃ
E „ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων αὐτήν „· ἐν εὐ-

subeunte (cuius beneficio anima quoque Davidis liberanda erat) vaticinans in psalmis idem David, descensum servatoris ad inferos suamque ipsius salutem significavit, dicens: " Domine eduxisti ex inferis animam meam, servasti me a „ descendentibus in lacum. Item: qui exaltas me de portis mortis. Item: „ non derelinques animam meam in inferno. Item: conversus vivificasti me; „ et ex abyssis terrae iterum reduxisti me „ Quis autem erat descendens reducensque eum ex abyssis? quis servans eum a descendentibus in lacum? nisi hic, de quo librum generationis mirabilis evangelista conscribit: inter alia, bona quoque Davidis nobis nuncians. Existimo autem in id barathrum delapsum fuisse Davidem ob unius voculae noxam, quae in vigesimo nono psalmo illi excidit ore: " ego dixi in abundantia mea, non movebor in aeternum „. Namque animi elatio et talis elocutio, qua significabat nunquam se fore commovendum, sed firmum inlibatumque mansurum in abundantia sua, arrogans erat atque superba; neque similis huic: " nisi Dominus aedificaverit domum, „ in vanum laboraverunt qui aedificant eam. Nisi Dominus custodierit civita- „ tem frustra vigilavit, qui custodit eam „. Itaque divinis beneficiis affluens,

*

θηνίᾳ οὖν τῶν παρὰ τῷ θεῷ ἀγαθῶν γενόμενος, καὶ ἐπὶ μέγα A
προκόψας ἀρετῆς, ἐτόλμησε φάναι, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶ-
να· διὸ καὶ παραχρῆμα καταλείπεται ὑπὸ τοῦ συνεργοῦντος αὐ-
τῷ τὰ ἀγαθὰ κυρίου· συμπλέκεται δὲ αὐτῷ πνεῦμα ἀλλότριον·
λέγει δ' οὖν ἐν τῷ αὐτῷ ψαλμῷ· " ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ
„ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα· σὺ δὲ ἀπέστρεψας B
„ τὸ πρόσωπόν σου· καὶ ἐγενήθην τεταραγμένος· κύριε ἐν τῷ
„ θελήματί σου παράσχου τῷ κάλλει μου δύναμιν „· διδάσ-
κων ὅτι πρότερον εἰπὼν οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα, μετὰ
ταῦτα ἀποστρέψαντος τοῦ θεοῦ τὸ πρόσωπον αὐτοῦ διὰ τὴν
μεγαλορήμονα φωνὴν, ὁμολογεῖ τεταράχθαι· εἶτ' ὠφεληθεὶς ἐπὶ C
τούτοις, τὰ πάλαι ἑαυτοῦ κατορθώματα, οὐκέτι ἑαυτῷ, τῷ
θεῷ δὲ προσγράφει λέγων· " κύριε ἐν τῷ θελήματί σου πα-
„ ρέσχου τῷ κάλλει μοῦ δύναμιν „· ὅτε γάρ, φησιν, ἀπέστρε-
ψας τὸ πρόσωπόν σου καὶ ἐγενήθην τεταραγμένος, τότε ἔγνων
ὅτι καὶ πάλαι πρότερον τῷ σῷ θελήματι παρέσχου τῷ κάλλει D
μου δύναμιν· εἰ γὰρ ἦν τι κάλλος ὑπάρχον περὶ τὴν ἐμὴν ψυχὴν
πρὸ τῆς ἁμαρτίας, τοῦτο αὐτὸ ἐκ σῆς χάριτος καὶ δωρεᾶς μοι
προσῆν· ταῦτα δὲ μετὰ τὴν συναίσθησιν τῆς ἑαυτοῦ ἀσθενείας
ὁμολογεῖ· πλὴν ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην
ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεὲ, καὶ τὴν ἐν τῷ πεντηκοστῷ ψαλ- E
μῷ εὐχὴν ἀναπέμπει λέγων, σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν

magnisque virtutibus auctus, ausus erat dicere " non movebor in aeternum „. Quare et protinus destitutus fuit ab auctore bonorum eius Domino, adhaesitque illi spiritus alienus. Ait ergo in eodem psalmo: " ego dixi in abundantia mea, „ non movebor in aeternum. Tu autem avertisti faciem tuam et factus sum „ conturbatus. Domine in voluntate tua praestitisti decori meo virtutem „. Nimirum docet, se qui antea dixisset non movebor in aeternum, mox faciem avertente ob superbam eius vocem Deo, in gravem incidisse perturbationem. Deinde his eruditus pristina sua recte facta haud iam sibi sed Deo tribuit dicens: " Domine in voluntate tua praestitisti decori meo virtutem „. Cum enim avertisti, inquit, faciem tuam, et ego factus sum conturbatus, tunc eundem te esse agnovi, qui olim quoque voluntate tua praestiteras decori meo virtutem. Nam siquis fuit decor animae meae ante peccatum, is a tua gratia et munere dimanaverat. Haec autem post suae infirmitatis cognitionem fatetur. Ceterum cum venit ad eum Nathan propheta, quo tempore rem ipse habuerat cum Bersabea, piam illam vocem, quae in quinquagesimo psalmo est, emisit " tibi soli pec-

A ἐνώπιόν σου ἐποίησα· λέγων δὲ σοὶ μόνῳ ἥμαρτον, οὐ τοῦτό φησιν ὅτι εἰς τὸν Θεὸν ἥμαρτον μόνον· οὔτε γὰρ βλασφημίας, οὔτε ἐπιορκίας, οὔτε τοιαύτης τινὸς ἀσεβείας ὁ τρόπος αὐτοῦ τῆς ἁμαρτίας, ἵνα τίς ὑπολάβοι αὐτὸν εἰς Θεὸν ἡμαρτηκέναι· ἀλλ' εἰ χρὴ εἰπεῖν, τὰ μεγάλα ἥμαρτεν εἰς τὴν Βηρσαβεὲ, τὰ μέγι-
B στα δὲ καὶ εἰς τὸν Οὐρίαν, ὑπὲρ πάντας δὲ εἰς τὴν ἑαυτοῦ ψυχήν· πῶς οὖν ἐνταῦθα φησὶ, σοὶ μόνῳ ἥμαρτον; ἀλλ' οἶμαι τοῦτ' αὐτὸν λέγειν, ὅτι σοι μόνῳ ἔγνωσται τὸ ἁμάρτημά μου· ἐπιφέρει γοῦν τὸ σαφέστερον ἐν τῷ " καὶ τὸ πονηρὸν ἐνώπιόν σου „ ἐποίησα „· ἀνθρώπων γὰρ οὐδείς μοι φόβος ἦν, εἰ μὴ ὁ σὸς
C ἐπέκειτο φόβος· ῥίψας γοῦν ἑαυτὸν ἐπὶ πρόσωπον, οὐ πρότερον ἀναστήσεσθαί φησιν, ἢ τυχεῖν τῆς ἀξιώσεως· καὶ συνεύχονταί γε αὐτῷ πάντες οἱ ἀγαθῶν συνεργοὶ, παρακαλοῦντες εἰσακουσθῆναι αὐτόν· διὸ εἴρηται ἐν ἑκατοστῷ τριακοστῷ πρώτῳ ψαλμῷ· " μνήσθητι κύριε τοῦ Δαβὶδ καὶ πάσης τῆς πρᾳότητος
D „ αὐτοῦ· ὡς ὤμοσε τῷ κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ· εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου· εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου· εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ „ τοῖς βλεφάροις μου νυσταγμὸν· ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ· οὕτως δὲ αὐτῷ εὐξαμένῳ
E καὶ διαβεβαιωσαμένῳ, ὅτι μὴ πρότερον ἀναβήσεται ἐπὶ κλίνης

cavi, et malum coram te feci „. Dum vero ait tibi soli peccavi, non idcirco sic loquitur, quasi in solum Deum peccavisset: nam neque blasphemia neque periurio neque simili impietate se obstrinxerat, ut quisquam merito existimaret ab eo adversus Deum fuisse peccatum. Verum, si plane loqui licet, magnopere peccaverat in Bersabeam, maxime in Uriam, in primis vero contra suam animam. Cur ergo heic ait tibi soli peccavi? Nempe existimo eum intelligere: tibi soli notum fuit peccatum meum. Manifestius igitur addit: et malum coram te feci. Hominum quippe nullus mihi timor erat, nisi tuus ingruisset. Prosternens igitur humi faciem, haud ante surrecturum se ait, quam gratiam consequatur. Et comprecantur ei quicumque favent felicitati eius, orantque ut voti compos fiat. Propterea dictum est in trigesimo primo psalmo supra centesimum: " memento Domine Davidis et omnis mansuetu- „ dinis eius. Sicut iuravit Domino, votum vovit Deo Iacob. Si introiero in „ tabernaculum domus meae, si ascendero in lectum strati mei. Si dabo som- „ num oculis meis, et palpebris meis dormitationem: donec inveniam locum „ Domino, tabernaculum Deo Iacob „. Dum ille sic orat atque adfirmat se non ante ascensurum in lectum strati sui, neque domum suam ingressurum,

στρωμνῆς αὐτοῦ, ὅτι τε οὐκ εἰσελεύσεται εἰς τὸν οἶκον αὐτοῦ, A
καὶ ἔτι οὐ δώσει τοῖς βλεφάροις αὐτοῦ νυσταγμὸν, ἕως οὗ εὕρῃ τὸν μέλλοντα τοῦ κυρίου τόπον, δείκνυσιν ὁ κύριος αὐτῷ τὴν Βηθλεέμ· διὸ μετὰ τὴν εὐχὴν οἱ συνευξάμενοι αὐτῷ ἱεροὶ ἄγγελοι θεοῦ ἐπιλέγουσιν ἑξῆς· “ ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ „.
Gen. xxxv. 19. Mich. v. 2. Ἐφραθᾶ δέ ἐστιν ἡ Βηθλεὲμ ὡς ἱστορεῖ Μωϋσῆς λέγων “ ἀπέθανε δὲ Ραχὴλ, καὶ ἐτάφη ἐν ὁδῷ Ἐφραθᾶ· αὕτη ἐστὶ Βηθλεέμ·„ ἀλλὰ καὶ Μιχαίας φησὶ τὴν Ἐφραθᾶ εἶναι Βηθλεὲμ λέγων· “ καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ, οὐδαμῶς εἶ ἐλα„ χίστη ἐν τοῖς ἡγεμόσιν Ἰούδα „· εἶτα ἐπεύξατο ὁ Δαβὶδ οὐ μόνον τὸν τόπον γνῶναι τοῦ κυρίου, ἀλλὰ καὶ τὸ σκήνωμα αὐτοῦ C
ὁπόθεν ἔσται· σκήνωμα δὲ τὸ σκῆνος καὶ τὸ σῶμα ὃ ἀνείληφεν ὁ τοῦ θεοῦ λόγος τυγχάνει· εἰκότως περὶ μὲν τοῦ τόπου προαπήγγειλαν φήσαντες· “ ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ „· περὶ δὲ τοῦ σκηνώματος ἑξῆς ἐπιλέγουσιν αὐτῷ· “ ὤμοσε κύ„ ριος τῷ Δαβὶδ ἀλήθειαν· καὶ οὐ μὴ ἀθετήσῃ αὐτήν· ἐκ καρ- D
„ ποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου „. δι᾽ ὧν διδάσκεται ὁ Δαβὶδ ὅτι τὸ μέλλον ἔσεσθαι τοῦ κυρίου σκήνωμα, ὁ καρπὸς ἦν ὁ ἐκ κοιλίας αὐτοῦ γενησόμενος.

insuper se non daturum palpebris suis dormitationem, donec invenerit futurum Domini locum; demonstrat ei Dominus Bethleemum. Propterea post eius precem ii qui secum orant sancti angeli Dei addunt: “ ecce audivimus eam in Ephratha „. Porro Ephratha Bethleemus est, uti narrat Moses ubi ait: „ mortua est Rachel, et sepulta est in via quae ducit Ephratham; ipsa est „ Bethleemus „. Sed et Michaeas Ephratham ait esse Bethleemum: “ et tu „ Bethleem domus Ephrathae nequaquam minima es in principibus Iudae „. Deinde orat David non solum ut cognoscat Domini locum, sed etiam ubinam futurum sit tabernaculum eius. Tabernaculum vero sunt exsuviae et corpus, quod sibi Dei Verbum adscivit. Et de loco quidem recte praenuntiaverunt dicentes: “ ecce audivimus eam in Ephratha „. De tabernaculo autem mox subiciunt: „ iuravit dominus Davidi veritatem, et non frustrabitur eam; de fructu ven„ tris tui ponam super sedem tuam „. Quibus verbis admonetur David fore ut destinatum Domino tabernaculum fructus sit ex eius stirpe gignendus.

A

Διὰ τί τῆς Ῥοῦθ ἐμνημόνευσεν ὁ εὐαγγελιστής.

Καὶ πῶς οὐκ ἔμελλεν ὁ θεῖος ἀπόστολος, τὴν τῶν ἀλλο-
φύλων ἐθνῶν κλῆσιν τῷ πνεύματι προθεωρῶν διὰ τοῦ οἰκείου
B εὐαγγελίου γενησομένην, τῆς ἀλλοφύλου μνημονεύειν; ἀλ-
λόφυλος γὰρ ἡ Ῥοῦθ καὶ ἐξ ἀλλοφύλων τῶν ἀπηγορευμένων
παρὰ Μωϋσεῖ Μωαβιτῶν· Μωαβῖται γάρ φησι καὶ Ἀμμανῖ- Deut. xxiii.3.
ται οὐκ εἰσελεύσονται εἰς ἐκκλησίαν κυρίου ἕως τρίτης καὶ τε- II Esdr. xiii. 1.
τάρτης γενεᾶς, καὶ ἕως εἰς τὸν αἰῶνα· πλὴν ἀλλὰ καὶ κρεῖττον
C τοῦ νόμου γενομένη θεοφιλὴς εἰσῆλθεν εἰς ἐκκλησίαν κυρίου·
ἐπείπερ ὁ νόμος τοῖς ἐν τῷ νόμῳ λαλεῖ· δικαίῳ δὲ νόμος οὐ
κεῖται, ἀλλ᾽ ἀνόμοις καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτω-
λοῖς· ἡ δὲ Ῥοῦθ ȣ̓ τοιαύτη, εἰ καὶ τὸ γένος ἀλλόφυλος ἦν,
ὑπερβᾶσα δὲ τὸν διορισμὸν τȣ͂ νόμου, καὶ εἰσελήλυθεν εἰς τὴν
D ἐκκλησίαν κυρίȣ, καὶ τȣ͂ γένους ἐχρημάτισε τȣ͂ ἰσραηλιτικȣ͂·
καὶ ἐν προγόνοις ἀναληφθῆναι τȣ͂ σωτῆρος ἡμῶν κατηξιώθη, διὰ
τὴν τῶν τρόπων, ἀλλ᾽ ȣ̓ διὰ τὴν τȣ͂ σώματος, εὐγένειαν· πᾶσί τε
ἡμῖν τοῖς ἐξ ἐθνῶν ἀλλοφύλοις μέγιστον ὑπόδειγμα κατέστη,
ὅτι δὴ τὰ ὅμοια πράξαντες αὐτῇ, τῶν ἴσων παρὰ τῷ θεῷ τευ-
E ξόμεθα· εἰκότως οὖν τὴν τῶν ἀλλοφύλων κλῆσίν τε καὶ εἰσποί-

VIIII. Cur Ruthae meminerit evangelista.

Quid ni divus apostolus, qui alienigenarum gentium vocationem spiritu praevidebat ob evangelium suum futuram, quid ni, inquam, alienigenae feminae meminisset? Alienigena sane erat Rutha, et quidem ex iis alienigenis quorum commercio Moses interdixerat, nempe moabitis. " Moabitae, inquit, „ et Ammanitae non intrabunt in Dei ecclesiam usque ad tertiam et quartam „ generationem, immo in aeternum „. Sed tamen haec ob suam erga Deum pietatem facta legi superior ingressa est in ecclesiam Dei: quoniam lex eos qui sub lege sunt alloquitur; iusto autem non est constituta lex, sed iniustis et refractariis et impiis et peccatoribus. Rutha vero non erat eiusmodi, etiamsi gente alienigena: sed supergressa legis fines introivit ecclesiam Dei, et de genere habita est israelitico, atque in progenitores servatoris nostri dignanter adsumpta est propter morum, non corporis, nobilitatem: nobisque omnibus genere ethnico natis maximum obiectum est exemplum, fore ut si paria illius faciamus, parem gratiam a Deo referamus. Recte igitur qui alienigenarum vo-

ησιν μέλλων εὐαγγελίζεσθαι τῇ γενεαλογίᾳ αὐτὴν τέθεικεν· ἡμᾶς A
τοὺς ἐξ ἐθνῶν ἀλλοφύλους μονονουχὶ παιδεύων δι' αὐτῆς, ὅτι δὴ
τὰ πάτρια καταλιπόντες, εἰκότως καὶ τὰ ἀκόλουθα εἰς ἡμᾶς
πληρωθήσεται· οὐκέτι γὰρ ἐν ἀλλοφύλοις καταλεγησόμεθα,
οὐδ' ἐξ ἀλλοφύλων χρηματίσομεν· ἀλλ' ἐκ τοῦ ἀληθινοῦ Ἰσραὴλ
καὶ τοῦ λαοῦ τοῦ κλήρου τοῦ θεοῦ· ἀναγκαίως δὲ αὖ πάλιν ἐμνήσ- B
θη τῆς Ῥοῦθ, τὰ αἴτια διὰ τῆς κατ' αὐτὸν ἱστορίας διδάξας τί-
να ἦν τὰ λύσαντα τὴν ἀπαγόρευσιν τοῦ νόμου τὴν φήσασαν, Μωα-
βῖται οὐκ εἰσελεύσονται εἰς ἐκκλησίαν κυρίου· γέγονε γὰρ ἡ
μωαβῖτις ὡς Ῥαχὴλ καὶ ὡς Λεία, αἳ ᾠκοδόμησαν ἀμφότεραι
Ruth. III. 11. τὸν οἶκον Ἰσραήλ· πῶς δὲ οὐχὶ χρήσιμος ἦν τῇ τοῦ σωτῆρος ἡμῶν C
Ἰησοῦ χριστοῦ γενεαλογίᾳ ἡ μνήμη τῆς Ῥοὺθ, ἐφ' ἣν εἴρηται καὶ
τὸ ποιῆσαι δύναμιν ἐν Ἐφραθᾷ· ἔσται ὄνομα ἐν Βηθλεέμ· προ-
φητείας γὰρ ἄντικρυς ταύτας εἰκότως ἄν τις φαίη τυγχάνειν, τὸ
ἐκ Βηθλεὲμ ὄνομα τὸ παρὰ τῷ Ματθαίῳ γενεαλογουμένῳ Ἰη-
σοῦ χριστῷ ἐξάκουστον εἰς πᾶν γένος ἀνθρώπων θεωρῶν καὶ τὴν D
ἐν Ἐφραθᾷ γενομένην δύναμιν· δι' ἧς δυνάμεως πάντα τὰ ἔθνη
τὸν ἐκ τῆς Ῥοὺθ γενεαλογούμενον χριστὸν τοῦ θεοῦ ἐπιγνόντα, δι'
αὐτοῦ τῆς μὲν πατρῴας ἀπέστη, τῆς Ῥοὺθ παραπλησίως· τῷ
δὲ θεῷ τοῦ Ἰσραὴλ ἑαυτὰ ἐπιδέδωκεν, ὁμοίως αὕτη πάλιν· ὧν ἕνε-
κά μοι δοκεῖ οὐκ ἀσυλλόγιστος ἡ παράθεσις τῆς Ῥοὺθ ἐν τῇ E
τοῦ Ματθαίου παρειλῆφθαι γενεαλογίᾳ.

cationem atque adoptionem nunciaturus erat, hanc in genealogia mulierem posuit, nos alienigenis ortos quodammodo per eam erudiens fore ut, si patrios mores deseramus, iure optimo consentanea meritis bona consequamur: neque enim diutius alienigenis adnumerabimur, neque his oriundi appellabimur, sed e vero Israele et populo qui est hereditas Domini. Rursus necessario Ruthae meminit evangelista, dum in historia sua causas tradit, quae legis tollebant interdictum eiusmodi: " Moabitae non intrabunt in ecclesiam Dei ". Femina enim moabitis ad conditionem transiit Rachelis et Liae, quarum utraque aedificavit domum Israelis. Cur autem non decuisset genealogiam servatoris nostri Iesu Christi mentio Ruthae? de qua et illud dictum fuit " facere virtutem in " Ephrata. Erit nomen in Bethleem ". Prophetias esse has perspicuas quispiam dicet; videlicet e Bethleemo nomen Christi Iesu, cuius genealogiam texit Matthaeus, per universas gentes diffusum cernens, virtutemque Bethleemi patratam: ob quam virtutem omnes gentes Christum Dei a Ruthae genere deductum agnoscentes, eiusdem causa a patriis ritibus aeque ac Ruthae recesserunt, seque Deo Israelis, item ut illa, tradiderunt. Quas ob res haud imprudenter mihi videtur ad Christi genealogiam mentio Ruthae adiecta.

A

Διὰ τί τὸν Ἰωακεὶμ Ἰεχονίαν ὀνομάζει ὁ εὐαγγελιστής.

Διώνυμος οὗτος ἦν· ἀλλ' ἐπεὶ κατὰ τὸν προφήτην Ἱερεμίαν
Ἰεχονίας ὀνομασθεὶς διακέκληται· δι' ὧν φησιν· " ἠτιμώθη Hier. XXII.28.
B ,, Ἰεχονίας ὡς σκεῦος οὗ οὐκ ἔστιν αὐτοῦ χρεία· τί; ὅτι ἀπερ-
,, ῥίφη αὐτὸς καὶ τὸ σπέρμα αὐτῦ· γῆ γῆ, ἄκουε λόγον κυρίου·
,, γράψον τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον· ὅτι οὐ μὴ ἀναστῇ ἐκ τῦ
,, σπέρματος αὐτῦ καθήμενος ἐπὶ θρόνου Δαβὶδ, ἄρχων ἔτι ἐν τῷ
,, Ἰούδα,,· καὶ ἐπειδὴ τούτων ἕνεκα συνέβη τὴν εἰς Βαβυλῶνα
C αἰχμαλωσίαν ἅμα τῷ λαῷ ὑποστῆναι τὸν εἰρημένον, εἰκότως ὁ
θαυμάσιος εὐαγγελιστὴς τῦ λυτρωτοῦ καὶ σωτῆρος ἁπάντων
ὑπογράφων τὴν γένεσιν, καὶ τοῦδε ἐμνήσθη τοῦ ἠτιμωμένου τοῦ
ἀποῤῥιφέντος ἅμα τῷ σπέρματι εἰς τὴν βαβυλωνίων γῆν, τῦ ἐκ-
κηρύκτου γενομένου, τοῦ αἰχμαλώτῦ· διδάσκων ὅτι κηρύξαι αἰ-
D χμαλώτοις ἄφεσιν ἀπεσταλμένος ὑπὸ τῦ πατρὸς, οὗτος ἦν Ἰη-
σοῦς χριστὸς, οὗ τὴν βίβλον ἀναγράφει· εἰς ὃν ἀναφέρεται τὸ Isai. LXI. 1.
φάσκον ἐν τῷ προφήτῃ λόγιον· " πνεῦμα κυρίου ἐπ' ἐμὲ, οὗ εἵ- Luc. IIII.18.
,, νεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με,
,, κηρύξαι αἰχμαλώτοις ἄφεσιν,,· περὶ οὗ καὶ ἐν ἑτέρῳ φησὶν ὁ
E αὐτὸς προφήτης· " οὗτος οἰκοδομήσει τὴν πόλιν μου, καὶ τὴν Isai. XLV.13.

X. Cur Ioacimum nomine Iechoniae appellet evangelista.

Binominis hic erat. Sed quoniam apud Hieremiam prophetam is, qui Iechonias appellatur, maledicto appetitur his verbis: " Ludibrio habitus est Iecho-
,, nias tamquam vas cuius non est usus. Cur? quia abiectus est ipse et genus eius:
,, terra terra, audi sermonem Domini pone hunc virum proscriptum, quia
,, non constituetur de genere eius super thronum Davidis, qui diutius in Iuda
,, imperet:,, et quoniam horum causa praedicto regi contigit ut babylonicam cum populo captivitatem subiret; merito inclytus evangelista redemptoris omnium servatorisque scribens generationem, huius quoque meminit contempti et proiecti cum sua stirpe in babylonicam terram, ideoque proscripti et captivi: hinc videlicet docens, qui ad praedicandam captivis libertatem missus fuerat a patre, hunc esse Iesum Christum, de quo librum scribit, et ad quem spectat quod apud prophetam recitatur oraculum: " spiritus Domini super
,, me, eo quod unxerit me: ad annunciandum pauperibus misit me, praedi-
,, candamque captivis libertatem,,. De quo alio item loco ait propheta:
" ipse aedificabit urbem meam, atque a captivitate populum meum revoca-

„ αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει „ · κατὰ καιρὸν τοιγαρ- A
οῦν αὐτῷ τε Ἰεχονίᾳ καὶ τῇ τούτου ψυχῇ, τοῖς τε τὴν ἴσην αὐ-
τῷ πεπονθόσιν ἀτιμίαν τε καὶ ψυχῶν αἰχμαλωσίαν, τὴν τοῦ λυ-
τρωτοῦ παρουσίαν εὐαγγελίζεται Ματθαῖος ὁ τὴν γένεσιν τοῦ
υἱοῦ τοῦ θεοῦ, καὶ δὴ τῶν ἄλλων ὑπαιτίων καὶ ἁμαρτωλῶν ἀν-
δρῶν καταγαγών· εἷς γὰρ ἦν καὶ ὁ αὐτὸς λόγος, δι᾽ ὃν καὶ τῆς B
τοῦ Δαβὶδ περὶ τὴν τοῦ Οὐρίου γυναῖκα παρανομίας, τῆς τε τοῦ
Ἰούδα πορνείας, τῆς τε ἀλλοφύλου καὶ μωαβίτιδος Ῥοῦθ ἐμνήσ-
θη· ὁ αὐτὸς δὲ τυγχάνει καθ᾽ ὃν καὶ τελώναις καὶ ἁμαρτωλοῖς συμ-
βιοῦντα, καὶ αἴσχιστά γε ὑπὸ ἀνθρώπων ὑπομένοντα, καὶ τέ-
λος ἅμα τοῖς κακούργοις σταυρούμενον αὐτὸν εἰσάγει· ἦν δ᾽ οὗ- C
Joh. I. 29. τος ὁ λόγος καθ᾽ ὃν εἴρηται· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρ-
τίαν τοῦ κόσμου· ἐχρῆν γὰρ τὸν μέλλοντα καθάρσιον γίνεσθαι τῶν
πάλαι πώποτε πεπλημμεληκότων καὶ τῶν γε μετὰ ταῦτα γενη-
σομένων, ἀντίψυχόν τε τῶν ἀνθρωπίνων ψυχῶν, διὰ πάντων τῶν
εἰρημένων διελθεῖν, καὶ τὰς κατὰ τῶν ἁμαρτωλῶν καὶ ἀσεβῶν D
τιμωρίας αὐτὸν ἀναμάρτητον ὄντα ὑπομεῖναι, ὡς ἂν πληρωθείη
εἰς αὐτὸν τὰ θεσπίσματα, τά τε ἄλλα· καὶ δι᾽ ὅν φησιν ὁ θαυμά-
σιος Ἡσαΐας· “οὗτος τὰς ἁμαρτίας ἡμῶν αἴρει, καὶ περὶ ἡμῶν ὀδυ-
Cap. LIII. 4. „ νᾶται· αὐτὸς ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ με-
„ μαλάκισαι διὰ τὰς ἀνομίας ἡμῶν· τῷ μώλωπι αὐτοῦ ἡμεῖς E
„ πάντες ἰάθημεν· „ εἰ δὲ λέγοι ὁ προφήτης περὶ τοῦ Ἰεχονίᾳ τῇ

„ bit „. Tempestive igitur Iechoniae atque huius animae, atque iis qui similem illi passi fuerant ignominiam et animarum captivitatem, redemptoris adventum nunciat Matthaeus, qui filii Dei genealogiam, itemque aliorum sontium peccatorumque hominum, scribit. Unus enim idemque sermo et Davidis circa Uriae uxorem crimen, et Iudae fornicationem, et alienigenam seu moabitidem Ruthum, memorat. Idem sermo Iesum cum publicanis peccatoribusque viventem, et turpissima ab hominibus passum, et denique cum maleficis crucifixum exhibet. Erat vero is sermo quo dictum est: „ ecce „ agnus Dei, qui tollit peccata mundi „. Oportebat enim eum, qui futurus erat expiator veterum quorumvis criminum ac futurorum, quique animam positurus erat pro hominum animabus; hunc, inquam, oportebat ea mala omnia obire, et peccatorum impiorumque poenas ipsum innocuum sustinere, donec oracula de eo dicta et reliqua exitum haberent. De eodem quoque mirificus ait Isaias: “ hic nostra peccata perfert et pro nobis patitur: ipse vulne- „ ratus est propter iniquitates nostras, attritus est propter scelera nostra, et li- „ vore eius sanati sumus „. Quod si propheta de Iechonia ait terrae: “ pone

A γῇ “ γράψον τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον, ὅτι οὐ μὴ ἀναστῇ ἐκ τοῦ
„ σπέρματος αὐτοῦ καθήμενος ἐπὶ θρόνου Δαβὶδ, ἄρχων ἔτι ἐν τῷ
„ Ἰούδα „ · οὐ πάντως ἀναιρεῖ τὸ ἔσεσθαι αὐτοῦ σπέρμα, ἀλλὰ
τοῦ βασιλεῦσαι τοῦ Ἰουδαίων ἔθνους ἐκ τοῦ σπέρματος αὐτοῦ · ὃ καὶ
γέγονεν ἀληθές· λέγει γοῦν ἐτιμώθη Ἰεχονίας ὡς σκεῦος οὗ οὐκ ἔστιν
B αὐτοῦ χρεία · τί; ὅτι ἀπερρίφη αὐτὸς καὶ τὸ σπέρμα αὐτοῦ εἰς γῆν ἣν
οὐκ ᾔδει · ἄντικρυς τὴν Βαβυλῶνος γῆν θεσπίζων · πλὴν ἀλλ' ὁ ἐλ-
θὼν κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τὰς τῶν ἁμαρτιῶν σειράς,
τῶν τε πάλαι ὑπὸ τὸν θάνατον πεπεδημένων ψυχῶν τοὺς τε δεσμοὺς
λῦσαι ἀπεσταλμένος, ἐπὶ τὴν πάντων τούτων ἐλήλυθε σωτηρίαν·
C διό φησιν ὁ Δαβὶδ περὶ αὐτοῦ θεσπίζων· “ ἀπέστειλε τὸν λόγον Ps. cvi. 20.
„ αὐτοῦ καὶ ἰάσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν· ἐξομολο-
„ γείσθε τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς
„ υἱοῖς τῶν ἀνθρώπων · ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχ-
„ λοὺς σιδηροὺς συνέκλασε · καὶ ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνο-
D „ μίας αὐτῶν · ἐταπεινώθησαν, καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους
„ καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς αὐτῶν διέρρηξε „ · ταῦτα
γὰρ περὶ τῆς ἐκ τοῦ θανάτου διὰ χριστοῦ γενομένης ἀπολυτρώ-
σεως λέγεται, ὡς συνᾴδει καὶ τὸ φάσκον λόγιον · “ κατέπιεν ὁ Is. xxv. 8.
„ θάνατος ἰσχύσας · καὶ πάλιν ἀφεῖλεν ὁ θεὸς πᾶν δάκρυον ἀπὸ
E „ παντὸς προσώπου „. Τηρητέον δὲ ὅτι μὴ διαπίπτει ὁ χρησμὸς

„ hunc virum proscriptum, quia non surget de genere eius qui sedeat super „ thronum Davidis, regnetque in Iuda „; haud prorsus negat superfuturum huius genus, sed neminem ait regnaturum de stirpe eius in gente iudaica: quod revera ita se habuit. Itaque dicit: “ Ludibrio habitus est Iechonias, ceu vas „ cuius nullus est usus. Cur? quia proiectus est ipse et genus eius in inco- „ gnitam sibi regionem „: quibus verbis perspicue babylonicam terram designat. Iamvero qui ad libertatem captivis nunciandam, et peccatorum catenas atque animarum olim morte devinctarum solvenda vincula missus est, is sane ad horum omnium salutem patrandam venit. Quare de ipso vaticinatur David: “ misit verbum suum et sanavit eos ab interitionibus suis. Confitemini „ Domino misericordias eius, et mirabilia eius filiis hominum. Quia contri- „ vit portas aereas, et vectes ferreos confregit. Et suscepit eos de via ini- „ quitatis eorum. Humiliati sunt: sed eduxit eos de tenebris et umbra mor- „ tis, et vincula eorum disrupit „. Haec nimirum de redemptione a morte per Christum dicuntur: cui rei consonat aliud oraculum: “ devoravit mors „ praevalens „. Rursusque: “ abstulit Deus omnem lacrimam ab omni facie „. Porro animadvertendum est, non excidere vaticinium quod ait: non surget de

ὁ φήσας, οὐ μὴ ἀναστῇ ἐκ τοῦ σπέρματος Ἰεχονίου καθήμενος A
ἐπὶ θρόνου Δαβὶδ, ἄρχων ἔτι ἐν τῷ Ἰούδα· ἐπεὶ μηδεὶς ἐκ τῆς τοῦ Ἰούδα φυλῆς μετὰ Ἰεχονίαν τῆς τοῦ Δαβὶδ βασιλείας κατέστη διάδοχος· μετὰ γοῦν τὴν ἀπὸ Βαβυλῶνος αἰχμαλωσίαν, ὑπὸ τοῖς ἀρχιερεῦσι διετέλεσε τὸ πᾶν ἔθνος ἀρχόμενον μέχρι τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ παρουσίας· ἦσαν γοῦν κατ' αὐτὸν B
τετράρχαι οἱ περὶ τὸν Ἡρώδην καὶ Φίλιππον, ἡγεμών τε Πιλᾶτος καὶ ἐπὶ πᾶσι βασιλεύς.

Διὰ τί ταῖς ἐν τῇ γενεαλογίᾳ κέχρηται ὑποδιαστολαῖς· μὴ ὁμοῦ συνάψας ἀπὸ Ἀβραὰμ ἐπὶ τὸν χριστὸν γενεὰς τεσσαράκοντα δύο, διελὼν δὲ τὰς διαδοχὰς καθ' ἃς ἐξέθετο ἀφορισμούς. C

Διὰ τὰς διαφόρους καταστάσεις τοῦ λαοῦ τὰς ἐκ τῆς ἱστορίας παριστα μένας· ἄλλη μὲν γὰρ ἦν ἡ ἀπὸ Ἀβραὰμ καὶ ἐπὶ Δαβίδ· καὶ πάλιν ἑτέρα ἡ ἀπὸ Δαβὶδ, ἥτε μέχρι τῆς αἰχμαλωσίας· ὡς D
πάλιν ἡ ἀπὸ ταύτης μέχρι τοῦ χριστοῦ· ἀπὸ μὲν γὰρ Ἀβραὰμ ἐπὶ τὸν Δαβὶδ οὐ φαίνονται ὑπὸ βασιλέας πολιτευσάμενοι· ἦρξαν δὲ τοῦ ἔθνους μετὰ Μωσέα καὶ Ἰησοῦν οἱ ἐπικληθέντες παρ' αὐτοῖς κριταί· καὶ ἦν τις ἴδιος τρόπος τῆς τούτων καταβάσεως· ἀλλ' οὐδὲ τὰ Ἱεροσόλυμα πῶς συνειστήκει, οὐδέ γε ὁ ἐν αὐτοῖς E

genere Iechoniae qui sedeat super thronum Davidis, qui in Iuda imperet: quia nemo reapse de tribu Iudae post Iechoniam davidici regni fuit successor. Etenim post babylonicam captivitatem subdita fuit sacerdotibus universa gens usque ad servatoris nostri Iesu Christi adventum: quo in terris versante, tetrarchae erant Herodes atque Philippus, praeses cum regia in omnes potestate Pilatus.

XI. Cur evangelista utatur distinctionibus in genealogia, haud simul contexens generationes ab Abrahamo ad Christum quadraginta duas, sed dividens successiones per ea quae scribit segmenta.

Hoc facit propter diversas populi constitutiones, quae ex historia exploratae sunt. Alia quippe fuit constitutio ab Abrahamo ad Davidem; rursusque alia a Davide usque ad captivitatem; quam subsequitur tertia usque ad Christum. Namque ab Abrahamo ad Davidem constat Hebraeis non fuisse reges; sed genti imperavisse post Mosen eos, quos iudices appellabant: et erat quidam peculiaris mos horum successionis. Sed neque fortasse Hierosolyma adhuc erant

A νεώς· διόπερ ἐπισημόνως ὁ εὐαγγελιστὴς μὴ συγχέων τὴν ἱστορίαν, μέχρι Δαβὶδ ἔστη, τοὺς ἀπὸ Ἀβραὰμ ἰδίως καταριθμήσας· εἶτ' αὖ πάλιν ἐπειδήπερ ἀπὸ Δαβὶδ καὶ μέχρι τῆς αἰχμαλωσίας οἰκείοις κέχρηνται βασιλεῦσι τοῖς τε ἀπὸ Δαβὶδ ἄρξασι καὶ τοῖς ἐν τῇ διαστάσει τοῦ λαοῦ γενομένοις· τότε ἐν τῇ Ἱερουσαλὴμ ἱερὸν ἐξ ἐκεί-
B νου καὶ μέχρι τῆς αἰχμαλωσίας διήρκεσεν· εἰκότως καὶ τούτους πάλιν ἰδίως ἀφορίσας, ὑφ' ἕνα συνήγαγεν ἀριθμόν· ὥσπερ οὖν καὶ τοὺς ἀπὸ τῆς αἰχμαλωσίας μέχρι τοῦ χριστοῦ, παρ' οἷς οὐκέτι μὲν ἡ τοῦ Δαβὶδ συνέστη βασιλεία· μεταπεπτωκυῖα δὲ τὰ τῆς ἡγεμονίας ἀπὸ τῆς τοῦ Ἰούδα φυλῆς ἐπὶ τὸ τῶν ἱερέων γένος, οἳ δὴ καὶ ἦρξαν αὐτῶν
C ἀπὸ τῶν Κύρου χρόνων καὶ ἐπὶ τὴν τοῦ χριστοῦ γένεσιν· ὅθεν καὶ τούτους ἰδίως ἀφορίσας, καθ' ἑαυτοὺς ἠρίθμησεν· οὐκ ἀσυλλογίστως ἄρα τὰς τρεῖς πεποίηται διαστολὰς διὰ τὰς ἀποδοθείσας αἰτίας.

Διὰ τί ἀπὸ τῶν Δαβὶδ χρόνων ἐπὶ Ἰεχονίαν καὶ τὴν εἰς
D Βαβυλῶνα αἰχμαλωσίαν ἑπτὰ καὶ δέκα βασιλευσάντων, δεκατέσσαρας εἶναι φησὶ γενεὰς ὁ εὐαγγελιστής.

Εἰ μὲν διαδοχὰς ἀναγράφειν αὐτῷ προὔκειτο, καὶ εὐλόγως τὶς ἐμέμψατο ὡς παρεκθεμένῳ τὴν τῶν βασιλέων διαδο-
E χήν· ἐν γὰρ ταῖς βασιλείαις καὶ ἐν ταῖς παραλειπομέναις συμ-

aedificata, neque certe ibidem templum. Quare sapienter evangelista sine historiae perturbatione in Davide substitit, dum Abrahami posteros separatim enumeraret. Deinde rursus, quoniam a Davide usque ad captivitatem Hebraei propriis usi sunt regibus, Davidis partim successoribus, partim iis qui populi segregatae parti imperitaverunt; quo tractu temporis Hierosolymis templum a conditu suo usque ad captivitatem perseveravit; merito evangelista hos quoque separans sub peculiari classe conclusit. Iamvero quia post captivitatem usque ad Christum nullum iam erat Davidis regnum, sed a Iudae tribu in genus sacerdotale principatus deciderat, quae dominatio a Cyri temporibus ad Christi nativitatem mansit; idcirco et hos successores separata in classe recensuit. Atque hae causae fuerunt, propter quas haud temere evangelista tres fecit distinctiones.

XII. Cur quum a Davidis temporibus usque ad Iechoniam seu ad babylonicam captivitatem septemdecim reges fuerint, generationes quatuordecim dicat evangelista.

Si successiones scribere propositum Matthaeo fuisset, speciose hunc aliquis reprehenderet, ceu qui regum seriem abrupisset. Constanti enim ad-

φώνως μετὰ Ἰωρὰμ τὸν τοῦ Ἰωσαφὰτ, τριῶν ἐφεξῆς βασιλευ- A
σάντων Ὀχοζία καὶ Ἰωὰς καὶ Ἀμεσία· εἶτα μετ' αὐτοὺς
Ὀζία καὶ Ἰωάθαμ καὶ Ἄχαζ, παρελθὼν τοὺς προτέρους
τοὺς τρεῖς ὁ εὐαγγελιστὴς, μετὰ Ἰωρὰμ τὸν τοῦ Ἰωσαφὰτ
ἑξῆς συνάπτει τὸν Ὀζίαν καὶ τὸν Ἰωάθαμ καὶ τὸν Ἄχαζ,
τοὺς εἰρημένους μεταξὺ παρελθών· τοῦτο δ' εἰ πεποιήκει σκοπὸν B
θέμενος τὴν τῶν βασιλέων διαδοχὴν ἐκθέσθαι, χρῆν ὡς ἡμαρτη-
μένην ἐκθέσθαι τὴν παρ' αὐτῷ γραφήν· ἐπειδὴ δὲ οὐ διαδοχὰς
ἀλλὰ γενεὰς ἀριθμῆσαι προὔθετο· τοῦτο γὰρ ὁ λόγος αὐτῷ βού-
λεται φήσαντι· „ πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ μέχρι Δα-
„ βίδ, γενεαὶ δεκατέσσαρες· καὶ πάλιν ἀπὸ Δαβὶδ μέχρι Ἰεχο- C
„ νίου καὶ τῆς μετοικησίας Βαβυλῶνος, γενεαὶ δεκατέσσαρες „
ἀλλ' οὐ διαδοχαὶ δεκατέσσαρες· εἰκότως πάσης ἀπολύοιτ' ἂν
κατηγορίας· ἐπεὶ διὰ τί μὴ διαδοχὰς ὠνόμασε; τῆς δὲ ἐν ταῖς
βασιλείαις καὶ παραλειπομέναις ἱστορίας διαδοχὰς ἀλλ' οὐ
γενεὰς ἱστορούσης, οὐκ ἂν γένοιτο ἐναντίωμα ἐκ τῆς ἀμφοτέρων D
παραθέσεως· γενεὰν γὰρ χρόνον ἀνθρώπου ζωῆς οὐχ' οἷόν τέ
ἐστιν ὀνομάζειν· ἐπεὶ συμβαίνει πολλάκις τοὺς μὲν ἐπὶ βραχὺ
βιῶναι, καὶ θᾶττον ἀποσβεσθῆναι κατὰ τὴν τοῦ παιδὸς ἡλικίαν·
τοὺς δὲ μέχρι τοῦ μειρακίου φθάσαι· τοὺς δὲ ἐπὶ τὸν νεανίαν προ-
ελθεῖν· τοὺς δὲ ἐπὶ τὸν ἄνδρα· τοὺς δὲ καὶ ἐπ' ἔσχατον γῆρας πα- E

firmatione in regum libris et in paralipomenis post Ioramum Iosaphati filium tres continenter regnant Ochozias Ioasus et Amesias: quibus succedunt Ozias Ioathamus et Achazus. Nihilominus, praetermissis evangelista tribus prioribus, Ioramo Iosaphati filio statim subnectit Oziam Iothamum atque Achazum, intermedios illos praeteriens. Id si, inquam, fecisset cum regum seriem texere decrevisset, scriptura eius mendosa quodammodo videretur. Nunc revera haud successiones sed generationes enumerare sibi proposuit: hoc enim significat sermo dicentis: omnes itaque generationes ab Abrahamo usque ad Davidem, generationes quatuordecim: rursusque a Davide usque ad Iechoniam seu ad babylonicam transmigrationem, generationes quatuordecim, non successiones quatuordecim. Merito igitur omni reprehensione carebit. Alioqui cur successionum nomine non est usus? Quum itaque regum historiae et paralipomena successiones narrent non generationes, nulla in horum comparatione pugna apparet. Age vero generationis nomine appellare non licet hominis aetatem; quoniam saepe accidit aliis quidem breviter vivere celeriterque extingui aetate infantili; aliis usque ad pueritiam venire; aliis ad iuventam; aliis ad virilem aetatem: aliis denique ad extremam usque senectam vitam produ-

A ρατεῖναι τὴν ζωήν· ποίαν ἐν τις ἀριθμήσει γενεάν; εἰ ὁ μὲν φέ-
ρει μέχρι δεκάτου ἔτους· ὁ δὲ μέχρις εἰκοστοῦ· ὁ δὲ μέχρις πεν-
τηκοστοῦ· ἄλλος δὲ μέχρις ἑβδομηκοστοῦ· ὁ δὲ καὶ τὰ ἑκατὸν
ὑπερβὰς οὐ μόνον ἐπὶ τῶν παλαιῶν, ἀλλὰ καὶ καθ' ἡμᾶς ὁρᾶ-
ται· πῶς οὖν οἴονται τὴν ἀνθρώπου ζωὴν γενεὰν ὀνομάζειν; ἀλλ'
B οὐδὲ μέχρι τῆς παιδοποιίας· οἱ μὲν γὰρ πρὸ τῶν εἴκοσι ἐτῶν γη-
μαντες πεπαιδοποίηνται, οἱ δὲ οὐδὲ ὑπὲρ τὰ τρίακοντα γενομενοι·
καὶ τῶν ἰσηλίκων δὲ ἴδοις ἂν τοὺς μὲν ἐπὶ πρώτους υἱοὺς στάν-
τας, τοὺς δὲ ἐπὶ τετραγονίαν ἐλάσαντας· ὥστε ἐν πεντήκοντα ἔτε-
σι, τοὺς μὲν ἐκγόνους θεάσασθαι, ἑτέρους δὲ ἐν ἑβδομήκοντα μη-
C δενὸς ἀξιωθῆναι παιδός· πῶς οὖν ἀριθμητέον τὰς γενεάς; πότε-
ρον ἐκ τῶν μακροβίων ἢ τῶν ὀλιγοβίων; καὶ ἐκ τῶν ταχὺ πε-
παιδοποιημένων, ἢ τῶν βραδίων; καὶ ἐκ τῶν ἐπὶ πρώτοις υἱοῖς
σαλευσάντων, ἢ ἐκ τῶν ἐπὶ πλείοσι διαδοχαῖς; ὧν οὕτως ἐξη-
τασμένων ὁ θεῖος εὐαγγελιστὴς οὐ διαδοχὰς προθέμενος εἰπεῖν,
D γενεὰς δὲ καθ' οὓς αὐτὸς ἠπίσατο λόγους ἀπαριθμούμενος, τῆς
μὲν ἐν ταῖς ἱστορίαις διαδοχῆς ἧττον πεφρόντικε· τοσούτους ἀνα-
λαμβάνει εἰς τὴν γενεαλογίαν, ὅσοι ἀπήρκουν αὐτῷ εἰς ἐκπλη-

cere. Quam vero aestimare licet generationem? siquidem alius vivit usque ad decimum annum, alius ad vicesimum, alius ad quinquagesimum, alius usque ad septuagesimum; alius denique vel centesimum superavisse annum non apud veteres solum, verum etiam apud nos, conspicitur. Cur igitur existimant, hominis vitam appellandam esse generationem? Sed neque tempus usque ad prolem primo susceptam sic appellare licet: namque alii ante aetatis annum vigesimum nubentes gignunt: alii ne post trigesimum quidem aetatis annum: et coaetaneos quoque videas, alios quidem in prima genitura adhuc consistentes, alios iam in quartam progressos: ita ut quinquagesimo anno alii nepotes videant: alii vero ne septuaginta quidem annorum spatio prolem ullam nanciscantur. Quo pacto igitur numerandae essent generationes, a macrobiis an ab oligochroniis? a mature, an a sero gignentibus? ab iis qui in prima genitura versantur, an ab iis quibus iam plures liberi sunt? Quibus ita perpensis divus evangelista, haud successiones scribere studens, sed generationes secundum rationem sibi exploratam enumerans, successionum historiam neglexit; tot vero homines ad genealogiam adsumpsit, quot ei sufficiebant ad quatuordecim ge-

(1) Matthaeum putat Eusebius *generationis* nomine certum et sollemnem intelligere annorum numerum. Profecto de temporali τῆς γενεᾶς spatio controversia inter veteres satis nota est, quam ego ipse attigi in commentariis ad nova fragmenta Dionysii halic. ed. Mediol. XII. 19. n. 5.

ρωσιν τῶν δεκατεσσάρων γενεῶν· οὕτως τε αὐτῷ ὑγιὴς ἀποσώζε- A
ται ὁ λόγος, καὶ οὐδαμῶς ἐναντίος τῇ τῶν ἱστοριῶν γραφῇ·

Διὰ τί τῶν μετὰ Ἰεχονίαν ἐπὶ τὸν Ἰωσὴφ γενεαλογουμένων
δύο καὶ δέκα ὄντων, ὁ εὐαγγελιστὴς δεκατέσσαρας πάλιν
εἶναί φησιν. B

Διὰ τὴν αὐτὴν αἰτίαν· οὐ γὰρ διαδοχάς, γενεὰς δέ, ὡς
ἔφην, ἀναγράφειν ἐβούλετο· συμβαίνει δὲ πολλάκις ἐν μακρο-
βίοις καὶ πολυέτεσι, τὰς μὲν γεγονέναι τῶν ἀνδρῶν τὰς διαδοχάς,
τὸν δὲ τῶν γενεῶν ἀριθμὸν ἀποδεδόσθαι πλήρη· ᾧ δὴ οὖν λό- C
γῳ ἐν τοῖς ἀπὸ τοῦ Δαβὶδ καὶ ἐπὶ τὴν αἰχμαλωσίαν πλείοσιν
οὖσι τὸν ἀριθμὸν τοῖς ἐν τῇ διαδοχῇ φερομένοις, ὀλιγώτεραι
ἀπεδόθησαν αἱ γενεαί· ἐν γὰρ διαδοχαῖς ἀνδρῶν ἑπτὰ καὶ δέ-
κα, γενεαὶ εἴρηνται δεκατέσσαρες· κατὰ τὸν αὐτὸν λογισμὸν καὶ
νῦν ἐπ' ἀνδρῶν διαδοχαῖς δώδεκα, αἱ δεκατέσσαρες ἂν ἐπλη- D
ροῦντο γενεαί, μακροβίων ὡς εἰκὸς πολυχρονίων αὐτῶν δὴ τῶν δώ-
δεκα γεγενημένων, καὶ ἀρκούντων εἰς ἀναπλήρωσιν τῶν δεκατεσ-
σάρων γενεῶν. Μία μὲν ἀπόδοσις τοῦ ζητηθέντος ἥδε. Καθ' ἑτέ-
ραν δὲ διάνοιαν εὕροις ἂν ἀκριβώσας κατὰ τὴν ἱστορίαν δεκατέσ-

nerationes explendas. Sic eius veridicus sermo est, neque omnino contrarius historiarum traditioni.

XIII. Cur quum a Iechonia ad Iosephum duodecim in genealogia sint, evangelista quatuordecim rursus dicat.

Rei causa eadem est: non enim ei successiones sed generationes, ut dixi, conscribere cordi erat. Saepe vero contingit, ut in macrobiis atque longaevis, quicumque fuerit succedentium numerus, nihilominus ipse generationum numerus plenus habeatur. Quam ob rem siculi in classe patrumfamilias a Davide ad captivitatem, quum paulo maior succedentium numerus esset, pauciores tamen ab evangelista proditae sunt generationes; namque in septendecim virorum successionibus generationes quatuordecim dictae fuerunt; eodem nunc quoque consilio in hominum successionibus duodecim, quatuordecim expletae dicuntur generationes: quia videlicet duodecim illi, ut credere par est, macrobii fuerunt atque longaevi, ita ut suffecerint ad quatuordecim implendas generationes. Ad quaestionem haec prima responsio est. Sed enim alia quoque ratione inita

A σαρας ὠνομασμένους καὶ ἐν τῇ παρούσῃ διαδοχῇ, εἰ πρὸς τοῖς δώδεκα συναριθμήσεις αὐτὸν Ἰησοῦν χριστὸν υἱὸν τοῦ Ἰωσὴφ χρηματίσαντα· προσθεὶς τε τούτοις καὶ τὸν Ἰεχονίαν τὸν ἐν τῇ Βαβυλῶνι γεγενημένον, οὐχὶ τὸν πρὸ τῆς μετοικησίας ἐν τῇ Ἰερουσαλὴμ βασιλεύσαντα· δύο γὰρ ὁμώνυμοι γεγόνασιν, Ἰωακεὶμ
B μετὰ Ἰωσίαν, ὅγε αὐτοῦ τοῦ Ἰωσίου υἱός, ὃς μετὰ τοῦτον ἐβασίλευσεν ἐν τῇ Ἰερουσαλὴμ, καὶ ὁ τούτου παῖς ἕτερος Ἰωακείμ· οὗτοι δὲ καὶ Ἰεχονίαι ἐχρημάτισαν, ἐξελληνισθέντος αὐτοῖς τοῦ ὀνόματος· ὁ τοίνυν πρῶτος Ἰωακεὶμ ὁ καὶ Ἰεχονίας υἱὸς ὢν Ἰωσίου, ταῖς πρὸ τῆς αἰχμαλωσίας συγκατελεγέσθω γενεαῖς· ὁ
C δὲ τούτου παῖς ὁ δεύτερος Ἰωακεὶμ καὶ αὐτὸς Ἰεχονίας, υἱὸς ὢν τοῦ πρώτου Ἰωακεὶμ, τοῦ δὲ Ἰωσίου ἔκγονος, ἐν τοῖς μετὰ τὴν αἰχμαλωσίαν καὶ εἰς τὸν χριστὸν γενεαλογουμένοις ἀριθμούμενος, τέλειον ἀποδοίη ἂν τὸν τῶν δεκατεσσάρων γενεῶν ἀριθμόν· περὶ δὲ τοῦ δύο γεγονέναι Ἰωακεὶμ, μαρτυρήσει ἡ τῶν βασιλειῶν
D γραφὴ, τοῦτον ἔχουσα τὸν τρόπον. " καὶ ἐβασίλευσε Φαραὼ IV. Reg. xxiii. 34.
„ Νεχαὼ ἐπὶ τὸν Ἰσραὴλ τὸν Ἐλιακεὶμ υἱὸν Ἰωσία βασιλέως
„ Ἰούδα, ἀντὶ Ἰωσία τοῦ πατρὸς αὐτοῦ· καὶ ἐπέστρεψε τὸ
„ ὄνομα αὐτοῦ Ἰωακείμ „. οἷς ἑξῆς ἐπιλέγει· " υἱὸς εἰκοσι-
„ πέντε ἐτῶν Ἰωακεὶμ ἐν τῷ βασιλεύειν αὐτόν· καὶ ἕνδεκα ἔτη
E „ ἐβασίλευσεν ἐν Ἰερουσαλὴμ „· οἷς μεθ' ἕτερα ἐπιλέγει " καὶ xxiiii. 5.

invenies, si diligenter historiam consideraveris, quatuordecim in hac ipsa historia appellatos; si, praeter duodecim, numeraveris Iesum Christum ipsum Iosephi filium existimatum; hisque adiunxeris etiam Iechoniam, illum scilicet qui Babylonem translatus fuit, non alterum qui ante babylonicam captivitatem Hierosolymis imperavit. Duo quippe fuerunt homonymi; Ioacimus videlicet post Iosiam, qui fuit eiusdem Iosiae filius et Hierosolymis regni successor: rursum alter Ioacimus praedicti homonymi filius. Hi Iechoniae quoque appellati fuerunt, nomine eorum ad graecam formam inclinato. Prior itaque Ioacimus, idemque Iechonias, filius Iosiae, in generationibus ante captivitatem concludatur. Huius autem filius, alter Ioacimus, idemque pariter Iechonias, prioris Ioacimi filius, Iosiae nepos, si cum iis recenseatur qui post captivitatem usque ad Christum fuerunt, plenus existet quatuordecim generationum numerus. Porro duos fuisse Ioacimos, librorum regiorum testatur scriptura his verbis: " regemque constituit Pharao Nechao Eliacimum Iosiae filium pro
„ Iosia patre eius, vertitque nomen eius Ioacimum „. Quibus deinde addit:
" filius viginti quinque annorum erat Ioacimus, et annis undecim regnavit Hie-
„ rosolymis „. Rursus deinceps praedictus liber: " reliqua autem sermonum Io-

,, τὰ λοιπὰ τῶν λόγων Ἰωακεὶμ, καὶ πάντα ὅσα ἐποίησεν, οὐκ A
,, ἰδοὺ γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βα-
,, σιλεῦσιν Ἰούδα; καὶ ἐκοιμήθη Ἰωακεὶμ μετὰ τῶν πατέρων
,, αὐτοῦ, καὶ ἐβασίλευσεν Ἰωακεὶμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ·
,, υἱὸς ὀκτὼ καὶ δέκα ἐτῶν Ἰωακεὶμ ἐν τῷ βασιλεύειν αὐτόν·
,, καὶ τρίμηνον ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ ὄνομα τῇ μη- B
,, τρὶ αὐτοῦ Ἐσθά· καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυ-
,, ρίου κατὰ πάντα ὅσα ἐποίησεν ὁ πατὴρ αὐτοῦ· ἐν τῷ και-
,, ρῷ ἐκείνῳ ἀνέβη Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς
,, Ἱερουσαλήμ· καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ· καὶ εἰσῆλθεν
,, ὁ βασιλεὺς Βαβυλῶνος ἐν τῇ πόλει, καὶ οἱ παῖδες αὐτοῦ C
,, ἐπολιόρκουν αὐτήν· καὶ ἐξῆλθεν Ἰωακεὶμ βασιλεὺς Ἰούδα
,, ἐπὶ βασιλέα Βαβυλῶνος, αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ, καὶ
,, ἡ μήτηρ, καὶ οἱ ἄρχοντες αὐτοῦ, καὶ εὐνοῦχοι αὐτοῦ· καὶ
,, τοὺς ἰσχυροὺς τῆς γῆς ἀπήγαγεν ἀποικεσίαν ἐξ Ἱερουσα-
,, λὴμ εἰς Βαβυλῶνα ,,. Οὗτος δὴ οὖν ὁ δεύτερος Ἰωακεὶμ εἰς D
Βαβυλῶνα ἀπαχθεὶς, οὗτος ἦν αὐτὸς ὁ πρὸς τοῦ Ἱερεμίου Ἰε-
χονίας ὠνομασμένος, ἔγγονος τυγχάνων τοῦ Ἰωσία, ἀλλ' οὐχ
υἱός· διὸ εἰκότως ἂν συναριθμοῖτο ἐν τῇ τρίτῃ γενεαλογίᾳ τῶν
ἀπὸ Ἰεχονία μέχρι τοῦ χριστοῦ γενεῶν δεκατεσσάρων· τοῦ πα-
τρὸς αὐτοῦ, ὃς ἦν τοῦ Ἰωσία παῖς, σὺν τῷ πατρὶ ἐν ταῖς ἀνω- E

,, acimi et omnia quae fecit, nonne ecce scripta sunt in libro sermonum dierum
,, regum Iudae? Et dormivit Ioacimus cum patribus suis: regnavitque Ioaci-
,, mus filius eius pro eo. Filius octodecim annorum erat Ioacimus cum regnare
,, cepit, tribusque mensibus regnavit Hierosolymis. Nomen matris eius Estha.
,, Et fecit malum coram Domino, iuxta omnia quae fecerat pater eius. Tempo-
,, re illo venit Nabuchodonosorus rex Babylonis contra Hierosolyma, et urbs fu-
,, it obsessa. Accessitque Nabuchodonosorus rex Babylonis ad civitatem, servi-
,, que eius oppugnabant eam. Egressusque est Ioacimus rex Iudae ad regem
,, Babylonis, ipse et servi eius et mater et optimates, et eunuchi. Transla-
,, taeque sunt bellicae regni vires Hierosolymis Babylonem captivae ,,. Alter
igitur hic est Ioacimus, qui Babylonem deportatus fuit. Is idem erat, quem Iechoniam Hieremias appellat, Iosiae nepos non filius. Idcirco is merito connumerabitur in tertia classe generationum quatuordecim, quae a Iechonia ad Christum excurrunt: interim dum pater eius, Iosia genitus, cum suo parente in

κτέρῳ γενεαῖς καταριθμουμένου· καὶ ὕτως ἡμῖν καὶ ὁ τῶν ὑστάτων δεκατεσσάρων γενεῶν ἀριθμὸς συνίσταται πλήρης.

Διά τί τοῦ τέκτονος υἱὸς ὁ σωτὴρ ἡμῶν ἐχρημάτισεν, ἀλλ' οὐ τινὸς ἐπισήμου καὶ ἐνδόξου ἀνδρός.

Οὐ τὴν ἔνθεον αὐτοῦ βασιλείαν ἐπιδείξων ἐληλυθεν· ἐπεὶ μὴ δὲ φαντιῶν καὶ ἐπιδεικτικῶς ἡμῖν παρῄει· ἡ δὲ ὁδὸς αὐτῷ τῆς εἰς οὐρανοὺς ἀφίξεως ἐπὶ τούτῳ ἐγίνετο, ἐφ' ᾧ τε τὸν τῶν ἀνθρώπων βίον περικαθάροιτο, τὸν ἐκ τῆς τῶν ἀνθρώπων ἀγέλης
C ἀμνὸν τοῦ θεοῦ ἀντίψυχον καὶ καθάρσιον ὑπὲρ πάντων ἡμῶν αὐτὸς ἑαυτὸν ἐπιδούς· ἵν' οὖν ἀπαραποδίστως εἰς τέλος ἀχθείη τῦτο, τὰ πλεῖστα τῶν αὐτῦ θαυμάτων ἀπέκρυπτέ τε καὶ ἐπεσκίαζε, ποτὲ μὲν παραινῶν μὴ εἰς πάντας ἐκφέρειν τὰ ὑπ' αὐτοῦ πραττόμενα, ποτὲ δὲ τὰς ἐρημίας διώκων καὶ τὰς ἐν τοῖς
D ὄρεσι διατριβάς· καὶ τὴν ἔνθεον αὐτοῦ μεταμόρφωσιν ὐδὲ τοῖς αὐτοῦ μαθηταῖς ἅπασιν, μόνοις δὲ τρισὶν, ἐπεδείκνυτο· αὐτοῖς τε τούτοις παρεκελεύετο μηδενὶ φάναι τὸ ὅραμα, ἕως ἂν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἐγερθῇ· οὐκ ἂν δὲ ἔπαθεν ὑπὲρ ἡμῶν τὰ ἀναγεγραμμένα, εἰ οἷά τις ἔνδοξος βασιλεὺς μετὰ δορυφο-
E ρίας ἐνθέου καὶ παρατάξεως ἐπῄει· ὁμοῦ καὶ τὰς ἐνθέους ἐνεργῶν

superioribus generationibus numeratur. Atque ita nobis etiam postremarum quatuordecim generationum integer conficitur numerus.

XIIII. Cur fabri filius Servator noster maluerit quam nobilis alicuius illustrisque viri videri.

Non ad suum divinum regnum ostentandum venit: ideoque nec gloriose nec pompatice nobis adfuit. Porro iter illi in caelum fuit eiusmodi, ut vitam hominum expiaret, dum se ex hominum grege agnum Dei morti devotum et piacularem pro nobis omnibus traderet. Quamobrem ut sine ullo impedimento ad hunc finem tenderet, plurimam prodigiorum suorum partem celandam tenebrisque operiendam curabat, modo iubens ne res gestae suae in vulgi notitiam efferrentur, modo loca deserta sequens atque in montibus commorationes. Quin etiam divinam suam transfigurationem ne cunctis quidem discipulis suis, sed tribus tantum ostendit; hisque adeo mandavit, necui visum dicerent, donec filius hominis a mortuis resurgeret. Neque pro nobis ea passus esset, quae scripta sunt, si magnifici regis specie, divinoque cum comitatu

παραδοξοποιίας, ὁμοῦ καὶ κρείττονα ἑαυτὸν ἐπιδεικνὺς πάσης φύ- A
Philip. II. 7. σεως· εἰκότως οὖν κατὰ τὸν ἀπόστολον, ἑαυτὸν ἐκένωσε μορφὴν
δούλου λαβών· καὶ τοῦ πένητος Ἰωσὴφ υἱὸς οὐκ ἀπηνήνατο χρη-
ματίσαι· ἵνα καὶ οὕτως ἐπαληθεύσῃ τὸ φάσκον περὶ αὐτοῦ λό-
II. Corinth. VIII. 9. γιον, " ὅτι πλούσιος ὤν, δι' ἡμᾶς ἐπτώχευσεν, ἵνα ἡμεῖς τῇ αὐ-
„ τοῦ πτωχείᾳ πλουτήσωμεν „. B

Πῶς ἐπὶ τὸν θρόνον λέγεται Δαβὶδ κεκαθικέναι.

Διαφόρως νοεῖται ὁ θρόνος Δαβίδ· καθ' ἕνα μὲν τρόπον,
καθ' ὃν εἴποι ἄν τις δηλοῦσθαι τὸν ἐφ' ᾧ ἐκαθέζετο βασιλεύων· C
τάχα που ἐξ ἐλέφαντος καὶ ξύλων πεποιημένον, χρυσῷ τε καὶ
λίθοις βασιλικοῖς κεκοσμημένον· καθ' ἕτερον δέ, καθ' ὃν τὴν ἀρ-
χὴν αὐτὴν καὶ τὴν κατὰ παντὸς τοῦ ἔθνους ἡγεμονίαν, θρόνον βα-
σιλείας εἰώθαμεν ἀποκαλεῖν· τρίτος ἂν παρὰ τοὺς εἰρημένους
λεχθείη τρόπους, καθ' ὃν ὁ ἐπηγγελμένος ὑπὸ τοῦ θεοῦ τῷ Δα- D
βὶδ θρόνος ὀνομασθείη ἂν αὐτοῦ, οὐκ ἐφ' ὃν αὐτὸς ἐκαθέσθη,
ἀλλ' ὃν διὰ τῶν πρὸς αὐτὸν θεοπρεπῶν οἱ θεῖοι λόγοι περιέχου-
σι· γέγραπται γὰρ ἐν ὀγδοηκοστῷ ὀγδόῳ ψαλμῷ, " ὡς ὤμο-
„ σα Δαβὶδ τῷ δούλῳ μου, ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρ-
„ μα σου· καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον E

aut exercitu adventavisset, simul divina prodigia edens, seque universa natura potiorem demonstrans. Recte igitur secundum apostolum se ipsum exinanivit, formam servi accipiens, pauperisque Iosephi non recusavit filius videri. Sic enim veridica apparet sententia de illo loquens: " cum esset dives, propter nos „ egenus factus est, ut illius inopia nos divites fieremus „.

XV. Quo pacto dicatur Iesus super Davidis thronum sedisse.

Multifariam intelligitur Davidis thronus. Uno quidem modo, veluti siquis significari dicat illum, in quo rex residet, ebore puta lignisque compactum, auroque et regiis lapidibus exornatum. Alio modo, quo imperium ipsum atque universi populi ducatum, thronum regni solemus vocare. Tertius, praeter praedictos, modus est, quo ille a Deo Davidi promissus thronus, dici potest thronus eius, non in quo ipse sederit, sed quem per caelestia ad eum vaticinia divinae litterae continent. Scriptum est enim in octogesimo octavo psalmo: " iuravi Davidi servo meo; usque in saeculum praeparabo semen tuum; et thro- „ num tuum aedificabo in generationem et generationem. Et rursus: ponamque in

A „ σου „· καὶ πάλιν· “ καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος
„ τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ
„ οὐρανοῦ „· καὶ πάλιν· “ ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ
„ τῷ Δαβὶδ ψεύσομαι· τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μέ-
„ νει, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σε-
B „ λήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, καὶ ὁ μάρτυς ἐν οὐρανῷ
„ πιστός „· ἐπεὶ τοίνυν θρόνον ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ,
καὶ ὡς τὸν ἥλιον καὶ τὴν σελήνην εἰς τὸν αἰῶνα διαμένοντα δώ-
σειν ἐπηγγελτο διὰ τῶν εἰρημένων ὁ θεὸς τῷ Δαβὶδ, πολλὴ
μέν τις ἦν διὰ ταῦτα τῷ παντὶ Ἰουδαίων ἔθνει προσδοκία πε-
C ρὶ τοῦ δηλωθέντος θρόνου· βραχὺν δὲ χρόνον τοῦ Δαβὶδ ἡγη-
σαμένου, καὶ Σαλομῶνος μετ᾽ αὐτὸν, οὐ μὴν ἀλλὰ καὶ τῶν
διαδόχων τῆς αὐτῶν βασιλείας εἰς Ἰεχονίαν καὶ τὴν εἰς Βα-
βυλῶνα αἰχμαλωσίαν καταστρεψάντων, ὡς ἐξ ἐκείνου λελύσ-
θαι τὸν θρόνον τῆς βασιλείας Δαβὶδ, ἐδόκει τὰ τῆς τῶν θείων
D χρησμῶν ἐπαγγελίας μὴ συνίστασθαι· τοῦτο οὖν αὐτὸ τῷ θείῳ
πνεύματι πάλιν ὁ αὐτὸς ψαλμὸς προαγορεύει ἑξῆς τοῖς προ-
παρατεθεῖσι λέγων· “ ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα κύριε
„ ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου „· καὶ τήν γε κα-
θαίρεσιν τῆς βασιλείας αὐτοῦ, καὶ τῆς διαδοχῆς αὐτοῦ, τοῦ
E θρόνου τε τὴν καταστροφὴν διαρρήδην ὑποσημαίνει πάλιν ἑξῆς
διὰ τούτων· “ σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας κύριε· ἀνεβάλου

„ saeculum saeculi semen eius, et thronum eius sicut dies caeli. Et denuo: semel iuravi in sancto meo, si Davidi mentiar; semen eius manet in aeternum. Thronus eius tamquam sol in conspectu meo, et sicut luna perfecta in aeternum; et testis in caelo fidelis „. Igitur quia thronum, tamquam dies caeli et tamquam solem et lunam, in saecula duraturum promiserat Davidi verbis praedictis Deus, propterea multa erat in universa Iudaeorum gente significati throni expectatio. Quumque brevi tempore principatum gessisset David, et post hunc Salomon, et reges horum successores in Iechonia ac babylonica captivitate cessavissent; ita ut post id tempus regius Davidis thronus subversus fuerit; videbantur non sibi constare divinorum oraculorum promissiones. Quamobrem eodem divino spiritu rursum praedictus psalmus, praeter ante dicta, sic loquitur: “ ubi sunt misericordiae tuae antiquae, Domine, „ sicut iurasti Davidi in veritate tua? „ Tum etiam regni eius ac successionis excidium thronique eversionem aperte innuit in sequentibus: “ tu vero repu„ listi et despexisti, Domine; distulisti Christum tuum; evertisti testamen-

„ τὸν χριστόν σου· κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου, A
„ ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ „· καὶ ἐπιφέρει,
“ τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέῤῥηξας „· ταῦτα πάντα κα-
τὰ τὸ αὐτὸ συνάγει τὸ θεῖον πνεῦμα, μονονουχὶ βουλόμενον ἡμᾶς
διδάξαι, ὅτι οὐ περὶ τῆς βασιλείας τῆς αἰσθητῆς, οὐδὲ περὶ
τοῦ θρόνου τοῦ σωματικώτερον νοουμένου αἱ πρὸς Δαβὶδ ἦσαν B
ἐπαγγελίαι· αἱ μὲν γὰρ περί τινος αἰωνίου θρόνου, ἀπεικαζομέ-
νου ἡλίῳ καὶ σελήνῃ καὶ οὐρανῷ, διαμένοντός τε εἰς αἰῶνα προε-
θέσπιζον· ἡ δέ γε τοῦ Δαβὶδ βασιλεία ἡ αἰσθητὴ, χρόνῳ λέ-
λυτο οὐκ εἰς μακρόν· εἰκότως τοιγαροῦν τοῦ θρόνου τῆς αἰσθη-
τῆς βασιλείας Δαβὶδ τὴν καθαίρεσιν ὑπογράψας καὶ εἰπὼν τὸν C
θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέῤῥηξας, περὶ τοῦ διὰ τῶν θείων
χρησμῶν ἐπηγγελμένου αἰωνίου καὶ οὐρανίου θρόνου ἑξῆς τὴν
εὐχὴν ποιεῖται λέγων· “ ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα κύριε,
„ ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου „; μονονουχὶ τὰς ἐκ-
βάσεις τῶν μεθ᾽ ὅρκου διαβεβαιώσεως ἐπηγγελμένων αὐτῷ τέλους D
τυχεῖν ἀξιῶν· τοῦτον οὖν αὐτὸν ἐκεῖνον ὃν ὤμοσεν ὁ θεὸς δώσειν
τῷ Δαβὶδ θρόνον, τὸν ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ, καὶ τὸν ὡς
ὁ ἥλιος ἐναντίον τοῦ θεοῦ, καὶ τὸν ὡς σελήνην κατηρτισμένην εἰς
τὸν αἰῶνα, παντὸς ἐπιστῆναι τοῦ ἔθνους εὐχομένου, ὁ μέγας
ἄγγελος Γαβριὴλ τὴν παρθένον εὐαγγελίζεται τῷ ἐξ αὐτῆς γεν- E

„ tum servi tui; profanasti in terra sanctuarium eius „. Additque “ et thro-
„ num eius in terram collisisti „. Haec omnia summatim colligit divinus spiritus, propemodum docere nos volens, haud visibile regnum Davidi fuisse promissum neque thronum corporaliter intelligendum. Illae quippe promissiones thronum quendam aeternum vaticinantur soli et lunae caeloque similem, quique perpetuus maneat. Atqui Davidis visibile regnum brevi tempore deletum est. Quamobrem iure quum mox dixisset, thronum davidici regni visibilis fuisse subversum “ thronum eius in terram collisisti „; tum vero throni eius gratia, quem divina oracula aeternum caelestemque aiunt, preces addit: “ ubi sunt mise-
„ ricordiae tuae antiquae, Domine, quas iurasti Davidi in veritate tua „? quibus verbis petere videtur ut promissiones sacramento firmatae exitum nanciscantur. Hic nimirum thronus ille est, quem se daturum Davidi Deus iuravit, tamquam dies caeli et veluti solem in conspectu Dei: is est qui dicitur sicut luna perfecta in aeternum, et quem gens universa firmari exoptabat. Atque hunc magnus angelus Gabriel virgini significat datum ei iri qui ex ipsa

A νησομένῳ δοθήσεσθαι θεσπίζων· διὸ φησὶ πρὸς αὐτήν· " καὶ
„ καλέσεις τὸ ὄνομα αὐτȣ͂ Ἰησοῦν· ȣ̈τος ἔσται μέγας καὶ υἱὸς
„ ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν θρό-
„ νον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ „· ἐπιφέρει δ' οὖν ἐφεξῆς δια-
σαφῶν ὁποῖον ἔφησε θρόνον, καὶ λέγει· " καὶ βασιλεύσει ἐπὶ
B „ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ
„ οὐκ ἔσται τέλος „· σύμφωνα τοῖς ἀπὸ τῶν χρησμῶν ἑρμη-
νεύων· ὁ μὲν γὰρ πρὸς τὸν Δαβὶδ περὶ θρόνου βασιλείας αἰω-
νίου καὶ οὐρανίου προὔλεγεν· ὁ δὲ ὡσαύτως τὸν ἐκ τῆς παρθένου
γεννησόμενον λήψεσθαι φησὶ τὸν θρόνον Δαβὶδ, τουτέστι τὸν
C τῷ Δαβὶδ ἐπηγγελμένον μὲν, οὐ μὴν καὶ δεδομένον· οὗτος δ'
ἦν ὁ οὐράνιος καὶ εἰς αἰῶνα διαμένων· ἦν οὖν καὶ τοῦτο συμπέ-
ρασμα μεγίστης προφητείας τῷ Δαβὶδ κεχρησμένης, προσδο-
κωμένης τε τῷ παντὶ λαῷ, πεπληρωμένης δὲ ἐπὶ τοῦ σωτῆρος
ἡμῶν Ἰησȣ͂ χριστȣ͂ κατὰ τὴν τȣ͂ Γαβριὴλ μαρτυρίαν φήσαντος·
D " καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ ȣ̓κ
„ ἔσται τέλος „· διόπερ καὶ αὐτὸς ὁ σωτὴρ καὶ κύριος ἡμῶν
πρὸς τὸν ἐρόμενον αὐτὸν εἰ αὐτὸς εἴη ὁ τῶν Ἰουδαίων βασιλεὺς,
ἀπεκρίνατο· ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τού-
του· οὐδὲν γὰρ θνητὸν οὐδὲ ἐπίκαιρον ἐπήγετο αὐτῷ ὁ τῆς βα-
E σιλείας θρόνος· ἀλλ' ἦν ἀληθῶς καθ' ὅλης τῆς ἀνθρώπων οἰκου-
μένης, φωτὸς δίκην ἐκλάμπων ὡς ὁ ἥλιος καὶ ὡς ἡ σελήνη κα-

nasceretur. Quare sic illam alloquitur: " et vocabis nomen eius Iesum: hic erit magnus et filius altissimi vocabitur: et dabit illi dominus Deus sedem Davidis patris eius „. Mox quem thronum intelligat pandit: " et regnabit in domo Iacob in aeternum; et regni eius non erit finis „: quae Gabrielis dicta oraculis consonant. Olim quidem Davidi sedes aeterni regni ac caelestis promissa fuit; nunc angelus eum qui de virgine gignendus erat occupaturum ait Davidis thronum; nunciatum scilicet neque tamen datum: is autem caelestis erat et sine fine mansurus. Erat igitur hic exitus maximi vaticinii Davidi editi omnique populo expectati, quodque Gabriel testatur in servatore nostro Iesu Christo veridicum evasisse " regnabit in aeternum, et regni eius non erit finis „. Quare et ipse servator ac dominus noster quum rogaretur, num ipse esset rex Iudaeorum, respondit: regnum meum non est de hoc mundo. Nihil enim mortale aut temporale conferebat ei regni sedes: sed ipse erat in universo hominum coetu lucis instar splendens veluti sol et sicut luna perfecta in aeter-

τηρτισμένη εἰς τὸν αἰῶνα· ψυχὰς νοερὰς καταυγάζων διὰ τῆς A
ἐνθέου καὶ οὐρανίου διδασκαλίας αὐτοῦ· εἰ δὲ λέγοιτο ἐπὶ τὸν
Ἰακὼβ βασιλεύσειν, μὴ τὸ Ἰουδαίων ἔθνος νόμιζε διὰ τοῦ Ἰακὼβ
δηλοῦσθαι· ὁ γοῦν ταῦτα ἱστορῶν Λουκᾶς ὁ εὐαγγελιστὴς μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ σωτῆρος ἡμῶν τὴν τοῦ Γαβριὴλ
φωνὴν οἰκείᾳ παραδοὺς γραφῇ, σαφῶς ἠπίστατο τὸν Ἰησοῦν οὐκ B
ἐπὶ τὸ Ἰουδαίων ἔθνος τὸν σωτῆρα βεβασιλευκότα, οὐδὲ εἰς τοὺς
αἰῶνας αὐτῶν ἄρξαντα, ὧν γε καὶ τὴν κατ' αὐτοῦ συσκευὴν,
καὶ τὴν εἰς θάνατον ἐπιβουλὴν ἀκριβῶς ἱστορεῖ· καὶ οὐ μόνον, ἀλλὰ καὶ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων τὰς κατὰ τῶν τοῦ Ἰησοῦ μαθητῶν ἐπαναστάσεις αὐτῶν· οὐκ ἂν οὖν ἐπ' αὐτοὺς βασι- C
λεύσειν τὸν χριστὸν τὴν φωνὴν τοῦ Γαβριὴλ νομίσας εἰρηκέναι, ὡς
ἀληθῆ αὐτὴν παρελάμβανεν, εἰ μὴ πάντας τοὺς διὰ τῆς κλήσεως
τοῦ σωτῆρος ἡμῶν ἐξ ἁπάντων τῶν ἐθνῶν εἰς τὴν τῶν ἁγίων υἱοθεσίαν εἰσποιούμενος, οἶκον Ἰακὼβ ἡγήσατο κατὰ διάνοιαν δηλοῦσθαι· ὅθεν καὶ ὁ θεῖος ἀπόστολος ἐπιστάμενος σαφέστατα, παρ- D
Rom. II. 28 ίστη λέγων· οὐ γὰρ ἐν τῷ φανερῷ ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ
φανερῷ ἐν σαρκὶ περιτομὴ, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ ἰουδαῖος· καὶ
περιτομὴ καρδίας ἐν πνεύματι οὐ γράμματι· οὗ ὁ ἔπαινος οὐκ
ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ θεοῦ.

num; animas intellectuales illustrans per suam divinam caelestemque doctrinam. Quod si ait, et super Iacob regnabit; cave putes, Iudaeorum gentem per Iacobum significari. Profecto qui haec narrat Lucas evangelista, quandoquidem post servatoris nostri in caelum adsumptionem Gabrielis dicta scripturae suae commendavit, probe noverat Iesum servatorem in Iudaeorum gente nequaquam regnavisse, nedum fore ut aeternum imperium in eos exerceret; quorum etiam adversus hunc molimina atque exitialia facinora narrat: neque solum in evangelio, verum etiam in actibus apostolorum, hostiles Iudaeorum impetus contra Iesu discipulos scribit. Igitur cum existimaret voce reapse Gabrielis significari, fore ut Christus regnaret super eos; id vere dici haud iudicavisset, nisi cunctos homines vocatione servatoris nostri ex omnibus gentibus in adoptionem adsumptos, per domum Iacobi demonstrari credidisset. Unde et divus apostolus perspicue edoctus ait: "non enim qui in manifesto, iudaeus est: neque quae in manifesto, in carne est circumcisio; sed qui in abscondito, iudaeus est: et circumcisio cordis in spiritu, non littera: cuius laus non ex hominibus sed ex Deo est.

A
Πῶς ἀπὸ τῆς Βηθλεὲμ ὁ μὲν Ματθαῖος εἰς Αἴγυπτον ἱστορεῖ, ὁ δὲ Λουκᾶς εἰς Ἱερουσαλὴμ, κἀκεῖθεν εἰς Ναζαρὲθ πρὸς τῶν γονέων φέρεσθαι τὸν Ἰησοῦν.

B Λουκᾶς μὲν τὸν καιρὸν ἱστορῶν τῆς τοῦ σωτῆρος ἡμῶν γε-
νέσεως, τῆς Αὐγούστου βασιλείας μνημονεύει, καὶ τῆς κατ' αὐ-
τὸν ἀπογραφῆς· φησί τε μὴ δὲ ἐσχηκέναι αὐτοὺς ἐν τῇ Βηθλεὲμ
κατάλυμα, πλήθους συνόντος ὡς εἰκὸς ἐν τῇ Βηθλεὲμ τῶν ἀπὸ
γένους Δαβὶδ τῆς ἀπογραφῆς ἕνεκεν· διὸ μὴ δὲ οἴκου τὸν Ἰωσὴφ
C εὐπορεῖν· ὅθεν τεκοῦσαν φησὶ τὴν Μαρίαν σπαργανῶσαι τὸ βρέ-
φος καὶ ἀποθέσθαι ἐν φάτνῃ, διὰ τὸ μὴ εἶναι αὐτοῖς τόπον ἐν τῷ
καταλύματι· καὶ εἰκός γε ἦν πλείστων συνόντων διὰ τὴν ἀπογρα-
φὴν μὴ εὐπορεῖν καταγωγίου· ἀλλὰ καὶ ὅτε, φησὶν, αἱ ἡμέραι
ἐπλήσθησαν τοῦ περιτεμεῖν αὐτόν· χρὴ δὲ τοῦτο γίνεσθαι ὀγδόῃ
D μετὰ τὴν ἀποτεξιν ἡμέρᾳ· ἀνήγαγον τὸ παιδίον εἰς Ἱεροσόλυμα·
καὶ τελέσαντες ἐπ' αὐτῷ τὰ νενομισμένα, ἀπίασιν εἰς Ναζαρέθ·
τούτων παρὰ τῷ Λουκᾷ κειμένων, οὐδενὸς μνημονεύσας ὁ Ματ-
θαῖος, παραχωρήσας δὲ τῷ Λουκᾷ τὰ εἰρημένα, ἕτερα αὐτὸς διη-
γεῖται· τίνα δὲ ἦν ταῦτα, ἀλλ' ἢ τῶν μαγων ἀπὸ ἀνατολῆς ἄφι-
E ξις; κινησάντων μὲν ἀπὸ τῆς οἰκείας γῆς ἅμα τῷ γεννηθῆναι

XVI. Qui fit ut Bethleemo Matthaeus quidem in Aegyptum, Lucas autem Hierosolyma atque inde Nazarethum a parentibus delatum narret Iesum.

Lucas dum tempus notat, quo servator noster natus est, Augusti regnum memorat censumque sub eo descriptum. Ait autem caruisse eos Bethleemi deversorio, ob posterorum Davidis multitudinem Bethleemum, ut veri simile est, concurrentem profitendorum nominum causa: quare ne hospitium quidem Iosephus nactus est: ita ut Maria ab eodem dicatur partum suum fasciis involvisse atque in praesepio reclinavisse, quia non erat eis locus in deversorio. Sane nil mirum est si ob confluentes ad censum turbas hospitio caruerunt. Addit Lucas: " postquam impleti sunt dies ut circumcideretur puer (id autem fieri oportebat octavo post partum die) tulerunt illum Hierosolyma: peractisque circa eundem legitimis, abierunt Nazarethum ". Horum apud Lucam scriptorum nihil memorat Matthaeus; qui omnem id genus narrationem praedicto Lucae permisit, alia ipse persequutus. Quaenam porro? nempe magorum ex oriente adventum digressorum a propria regione post Iesu nativitatem, si-

τὸν Ἰησοῦν, ἀστέρος αὐτοῖς τὴν γνῶσιν τῆς γεννήσεως ὑποφήναν- A
τος, οὐδήπου δὲ τὴν τοσαύτην στειλαμένων πορείαν καιρῷ βρα-
χεῖ· οὐ γὰρ ἐν ἡμέραις ὀκτὼ τὴν ἀπὸ ἀνατολῶν ὁδὸν εἰκὸς αὐ-
τοῖς ἐπὶ τὴν Ἰουδαίαν ἠνῦσθαι· ὡς τὸν αὐτὸν νομίσαι εἶναι και-
ρὸν τῆς τε τούτων ἀφίξεως καὶ τῆς τοῦ σωτῆρος ἡμῶν γενέσεως·
εἰ δὲ καὶ πυνθανόμενοι λέγουσι, ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς B
τῶν ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα, καὶ ἤλθομεν προσ-
κυνῆσαι αὐτῷ· οὐ τὸν σήμερον τεχθέντα, ὡς ἄν τις ὑπολάβοι, καθ'
ὃν ταῦτα ἐπυνθάνοντο χρόνον δηλοῦσιν, ἀλλὰ τὸν τότε γενό-
μενον ὅτε αὐτοῖς ὁ ἀστὴρ ἐπέφανε· πόσος δὲ ἦν οὗτος ὁ μεταξὺ
χρόνος, τοῦτε φανέντος τοῖς μάγοις ἐπὶ τῆς τοῦ σωτῆρος ἡμῶν C
γενέσεως ἀστέρος, καὶ τῆς αὐτῶν εἰς τὰ Ἱεροσόλυμα παρουσίας,
αὐτός σε διδάξει ὁ εὐαγγελιστὴς λέγων· "τότε Ἡρώδης λά-
„ θρα καλέσας τοὺς μάγους ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ
„ φαινομένου ἀστέρος„· καὶ ὡς ἂν ἀκριβώσας παρ' αὐτῶν,
μαθὼν ὅστις ἦν οὗτος, μετὰ τὸ ἀναχωρῆσαι λάθρα τοὺς μάγους, D
ἰδὼν ὅτι ἐνεπαίχθη ὑπ' αὐτῶν, ἐθυμώθη λίαν· καὶ ἀποστείλας
ἀνεῖλε πάντας τοὺς παῖδας ἐν Βηθλεέμ, καὶ ἐν πᾶσι τοῖς ὁρί-
οις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρί-
βωσε παρὰ τῶν μάγων· οὐκοῦν διετὴς χρόνος ἤδη παρεληλύθει
ἀπὸ τῆς Ἰησοῦ γενέσεως καὶ ἐπὶ τὴν ἄφιξιν τῶν εἰρημένων· οὐ- E

dere ipsis notitiam nati pueri significante, neque tamen brevi tempore tantum itineris absolventium. Haud enim credibile est intra dies octo ab oriente magos in Iudaeam usque venisse: ita ut circa idem tempus servatorem nostrum natum esse putemus quo isti supervenerunt. Quamquam autem interrogant " ubi est qui natus est rex Iudaeorum? vidimus enim stellam eius, et „ venimus adorare eum „; non tamen, ut aliquis suspicabitur, nuper natum designant, circa tempus nimirum quo ipsi interrogant; sed eum qui tum natus fuerat cum ipsis sidus apparuit. Quantum vero temporis spatium inter sidus a magis visum, servatore nostro nascente, atque horum Hierosolyma adventum fluxerit, idem te docebit evangelista dum ait: " tunc Herodes clam vocatis ma-
„ gis, diligenter didicit ab eis tempus stellae quae apparuerat eis: quod quum
„ adamussim ab iis rescivisset, quumque magi ab eo clam se subduxissent, vi-
„ dens se illusum, iratus est valde; et mittens occidit omnes pueros, qui
„ erant Bethleemi atque in cunctis finibus eius, a bimatu et infra, secun-
„ dum tempus quod exquisiverat a magis „. Biennium ergo elapsum fuerat a Iesu nativitate ad magorum adventum. Neque dissident sacri evangelistae;

A ἄρα διαφωνεῖ τὰ παρὰ τοῖς ἱεροῖς εὐαγγελισταῖς, εἰ ὁ μὲν Λουκᾶς ὀγδόῃ τῆς γενέσεως ἡμέρᾳ ἀνάγει αὐτὸν ἅμα τοῖς γονεῦσιν εἰς Ἱερουσαλὴμ τῆς τῶν νομίμων ἐκπληρώσεως ἕνεκα, κἀκεῖθεν ἀπάγει ἐπὶ τὴν Ναζαρέθ· ὁ δὲ Ματθαῖος μετὰ διετῆ χρόνον γενομένους πάλιν ἐν Βηθλεὲμ ἀναγράφει, ἐντεῦθέν τε εἰς Αἴγυπτον
B ἀπεληλυθέναι φησὶ διὰ τὴν τοῦ βασιλέως ἐπιβουλήν· καὶ ἦν εἰκὸς οὐ μόνον δεύτερον ἀλλὰ καὶ πλειστάκις ἐπιφοιτᾷν αὐτοὺς τῷ τόπῳ, μνήμης τοῦ παραδόξου χάριν· δείκνυται γοῦν ἀναμφιβόλως οὐχ' ὁ αὐτὸς ὢν καιρὸς ἐν ᾧ γεγένηται κατὰ τὸν Λουκᾶν ὁ σωτὴρ ἡμῶν· ἐν ᾧ τε κατὰ τὸν Ματθαῖον ὑπήντησαν οἱ ἐξ
C ἀνατολῶν μάγοι. Ὅτι δὲ μὴ εἷς ἦν ὁ παρ' ἀμφοτέροις τοῖς εὐαγγελισταῖς χρόνος, καὶ ἄλλως ἐστὶ συλλογίσασθαι· Λουκᾶς φησι μὴ εὐπορῆσαι αὐτοὺς καταγωγίου ἐν τῇ Βηθλεέμ· διὸ καὶ τεκοῦσαν ἀνακλῖναι τὸ παιδίον ἐν φάτνῃ διὰ τὸ μὴ εἶναι τόπον ἐν τῷ καταλύματι, ὡς εἰκὸς, τῆς ἀπογραφῆς ἕνεκεν πάντων παντα-
D χόθεν τῶν ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ συντρεχόντων εἰς τὴν εἰρημένην πόλιν, διά τε τὸ πλῆθος τῶν ἐπιξενουμένων αὐτόθι μὴ εὐπορούντων καταλύματος· ὁ δὲ Ματθαῖος, "ἀκούσαντες, φησὶν,
„ οἱ μάγοι τοῦ βασιλέως Ἡρώδου, ἐπορεύθησαν εἰς Βηθλεέμ· καὶ
„ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ ἀνατολῇ προῆγεν αὐτοὺς, ἕως οὗ ἐλθὼν
E „ ἐστάθη οὗ ἦν τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ· καὶ πε-

etiamsi Lucas octavo a nativitate die ducat eum cum parentibus Hierosolyma legitimorum causa explendorum, atque inde transferat Nazarethum; Matthaeus autem post biennium rursus Bethleemi versantes scribat; atque hinc in Aegyptum secessisse propter regis insidias. Credibile vero est, eos non secundo solum sed saepenumero rediisse ad eundem locum admirabilis illius eventus gratia. Indubitanter itaque demonstratum est non idem esse tempus, quo secundum Lucam natus est Servator noster, atque illud quo secundum Matthaeum venerunt in conspectum Iesu magi ab oriente. Quod autem non idem sit apud utrumque evangelistam tempus, alia quoque ratione colligitur. Lucas enim ait non invenisse eos hospitium Bethleemi; ideoque et a matre reclinatum puerum in praesepio, quia non erat eis locus in deversorio; ut credibile est, census causa, confluentibus undique ad dictam urbem gentilibus posterisque Davidis; ideoque ob advenarum multitudinem copia hospitii negata. Matthaeus autem " magi audito, inquit, Herode rege abierunt Bethleemum.
„ Et ecce stella quam viderant in oriente antecedebat eos, donec veniens
„ staret supra ubi erat puer cum Maria matre eius. Et procidentes adorave-

„ σόντες προσεκύνησαν αὐτῷ „ · ἀλλ᾽ οὐκ ἐν φάτνῃ κείμενον οὗ- A
τοι καταλαμβάνουσι τὸ παιδίον ὁμοίως τοῖς ποιμέσιν, ἀλλ᾽ ἔν-
δον ἐν οἰκίᾳ μετὰ τῆς μητρὸς αὐτὸ θεωροῦσι · καίτοι Λουκᾶς
ἔφησε μὴ εἶναι τόπον αὐτοῖς ἐν τῷ καταλύματι · πῶς οὖν ὁ Ματ-
θαῖος οἰκίαν αὐτοῖς ἀφορίζει ; ἀλλ᾽ ἐπεὶ Λουκᾶς τὸν καιρὸν ἱστο-
ρεῖ τῆς γενέσεως · οὗτος δ᾽ ἦν ὁ τῆς ἀπογραφῆς, καθ᾽ ὃν πανδημεὶ B
συνέτρεχον οἱ τῷ αὐτῷ γένει προσήκοντες ἐν τῇ τοῦ Δαβὶδ πόλει ·
ὁ δὲ Ματθαῖος τὰ μετὰ δυο ἐτῶν χρονους ἱστορεῖ · τοσοῦτος γὰρ
ἦν ὁ χρονος ὃν Ἡρώδης παρὰ τῶν μάγων ἠκρίβωσεν · ὥστε σχολῆς
οὔσης ἐν τῇ Βηθλεέμ κατὰ τὸν Ματθαῖον εὐπόρουν καταγωγίου ·
διὸ εἰσελθόντες οἱ μαγοι εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον μετὰ Μα- C
ρίας τῆς μητρὸς αὐτοῦ · καὶ πεσόντες προσεκύνησαν αὐτῷ · καὶ
αὕτη μὲν ἡ τοῦ ζητηθέντος λύσις ·

Ταῦτά σοι ἐξ ἡμῶν, ἱερώτατε ἀνδρῶν καὶ φιλοπονώτατε υἱὲ Στέφανε, γνησίας ὄντα δείγματα διαθέσεως, ἀνακείσθω.

„ runt eum „ . Atqui non in praesepio his deprehenditur infans ut pastoribus, sed intra domum cum matre visitur. Porro Lucas dixerat non fuisse locum eis in deversorio. Quomodo igitur Matthaeus domum illis attribuit ? Sed quoniam Lucas tempus narrat nativitatis, quo nimirum census peragebatur cunctique Davidis posteri catervatim ad eiusdem urbem concurrebant ; contra a Matthaeo res post biennium gestae scribuntur (tantundem enim tempus fuit quod Herodes exquisiverat a magis) ; tum demum vacua iam peregrinis urbe copiam iuxta Matthaeum deversorii nacti sunt. Quare ingressi domum magi invenerunt puerum cum Maria matre eius ; et procidentes adoraverunt eum. Atque haec quaestionis solutio est.

Haec a me tibi, hominum sanctissime et sollertissime fili Stephane, veri indicia amoris dicata sunto.

A

ΕΥΣΕΒΙΟΥ ΠΡΟΣ ΜΑΡΙΝΟΝ.

Τῶν ἐν τοῖς θεοπνεύστοις εὐαγγελίοις περὶ τὴν ἀρχὴν ἀπο-
ρουμένων ζητημάτων καὶ λύσεων, δύο πεπονηκὼς ἤδη πρότερον
B συγγράμματα, πάρειμι νῦν, τὰ μέσα παρελθὼν, ἔπειτα πρὸς τῷ
τέλει τῶν αὐτῶν πάντοτε τοῖς πᾶσι ζητούμενα· τάχα που τῆς
τοῦ θεοῦ βουλῆς διὰ τῶν σῶν ἐπιταγμάτων ἐπὶ τοῦτο ἡμᾶς πα-
ρορμησάσης Μαρῖνε υἱὲ τιμιώτατέ μοι καὶ φιλοπονώτατε· ἠρώ-
τας δὲ τὸ πρῶτον

C

Πῶς παρὰ μὲν τῷ Ματθαίῳ ὀψὲ σαββάτων φαίνεται ἐγη-
γερμένος ὁ σωτὴρ, παρὰ δὲ τῷ Μάρκῳ πρωῒ τῇ μιᾷ τῶν σαβ-
βάτων.

D Τούτου διττὴ ἂν εἴη ἡ λύσις· ὁ μὲν γὰρ τὸ κεφάλαιον
αὐτὸ τὴν τοῦτο φάσκουσαν περικοπὴν ἀθετῶν, εἴποι ἂν μὴ ἐν
ἅπασιν αὐτὴν φέρεσθαι τοῖς ἀντιγράφοις τοῦ κατὰ Μάρκου εὐαγ-
γελίου· τὰ γοῦν ἀκριβῆ τῶν ἀντιγράφων τὸ τέλος περιγράφει
E τῆς κατὰ τὸν Μάρκον ἱστορίας ἐν τοῖς λόγοις τοῦ ὀφθέντος νεα-

EUSEBII AD MARINUM.

Ambiguarum quaestionum ac solutionum, quae circa divinorum evangeliorum initia occurrunt, quum iam duos scripserim libros, venio nunc, mediis praetermissis, ad extrema quae semper apud omnes controversa fuerunt: divina fortasse voluntate per mandata tua nos ad id excitante, Marine fili mihi spectatissime et sollertissime. Rogas autem primum

I. Quomodo apud Matthaeum videatur servator sero sabbatorum resurrexisse, apud Marcum autem mane una sabbatorum.

Quaestionis huius duplex solutio est. Qui rei caput ipsum, id est sectionem in qua id narratur delet, dicet eam non in cunctis haberi exemplaribus evangelii secundum Marcum. Accurati enim codices historiam secundum Marcum in sermone iuvenis concludunt mulieribus visi, dicentisque ipsis

νίσκου ταῖς γυναιξὶ καὶ εἰρηκότος αὐταῖς " μὴ φοβεῖσθε· Ἰησοῦν A
„ ζητεῖτε τὸν Ναζαρηνόν „. καὶ τοῖς ἑξῆς, οἷς ἐπιλέγει· " καὶ ἀκού-
„ σασαι ἔφυγον, καὶ οὐδενὶ οὐδὲν εἶπον, ἐφοβοῦντο γάρ „· ἐν τούτῳ
γὰρ σχεδὸν ἐν ἅπασι τοῖς ἀντιγράφοις τοῦ κατὰ Μάρκον εὐαγ-
γελίου περιγέγραπται τὸ τέλος· τὰ δὲ ἑξῆς σπανίως ἔν τισιν ἀλλ'
οὐκ ἐν πᾶσι φερόμενα περιττὰ ἂν εἴη, καὶ μάλιστα εἴπερ ἔχοιεν B
ἀντιλογίαν τῇ τῶν λοιπῶν εὐαγγελιστῶν μαρτυρίᾳ· ταῦτα μὲν
οὖν εἴποι ἄν τις παραιτούμενος καὶ πάντη ἀναιρῶν περιττὸν ἐρώ-
τημα [1]. Ἄλλος δέ τις οὐδ' ὁτιοῦν τολμῶν ἀθετεῖν τῶν ὁπωσοῦν ἐν
τῇ τῶν εὐαγγελίων γραφῇ φερομένων, διπλῆν εἶναι φησὶ τὴν
ἀνάγνωσιν, ὡς καὶ ἐν ἑτέροις πολλοῖς, ἑκατέραν τε παραδεκτέαν C
ὑπάρχειν, τῷ μὴ μᾶλλον [a] ταύτην ἐκείνης, ἢ ἐκείνην ταύτης, παρὰ
τοῖς πιστοῖς καὶ εὐλαβέσιν ἐγκρίνεσθαι· καὶ δὴ τοῦδε τοῦ μέρους συγ-
χωρουμένου εἶναι ἀληθοῦς, προσήκει τὸν νοῦν διερμηνεύειν τοῦ

nolite timere: Iesum quaeritis nazarenum; et cetera quae ibidem subicit: quibus illae auditis fugerunt, neminique quicquam dixerunt timore correptae. Hoc enim loco in cunctis prope exemplaribus evangelium Marci concluditur. Sequentia autem quae raro in aliquot, non in omnibus, occurrunt, supervacanea videntur, praesertim si repugnent ceterorum evangelistarum testimonio. Haec fortasse dicet aliquis detrectans atque omnino perimens vanam quaestionem. Alius vero quispiam nihil omnino delere audens eorum quae utcumque scripturae evangelicae commendata fuerunt, duplicem esse dicet lectionem, ut saepenumero alias; et utramque esse recipiendam; quoniam credentium ac religiosorum iudicium haud huic potius quam illi accedit. Age vero si rem ita se habere conceditur, lectionis modus ac significatus enucleandus est. Si igitur dividemus Marci

a Cod. ἄλλον ὃ fortasse pro ἄλλον.

(1) Quae hic adnotari queunt de codicum graecorum et de veterum interpretum auctoritatibus, ea partim extant apud Millium atque Wetstenium, quibus adde posteriores clari nominis criticos, Marci editores, Griesbachium, Matthaeium, Alterum, Birchium. Matthaeius in primis prolixa animadversione Marci hoc incrementum ex auctoritate graecae ecclesiae invicte tuetur. Ac iamdiu quidem catholici critici, post tridentini concilii decretum, locum egregie propugnaverant. Rei certe antiquitatem satis abundeque confirmat vel unius Ulphilae auctoritas, qui Marci caput integrum interpretatus est: quod gothicum testimonium haud scio an critici satis agnoverint vel pro dignitate aestimaverint. Codex vaticanus, e quo Eusebium producimus, post octavum versum habet quidem vocem τέλος, ut alibi interdum observatum fuit, sed tamen ibidem eadem manu subscribitur incrementum cum progredientibus sectionum notis. Iam quod Eusebius in praedicto vat. codice (aliisque nonnullis, teste scholiaste apud Birchium) sectiones non ultra octavum versiculum in canone scripsit, is nunc demum videtur sententiam suam immutare, dum religionem eorum mox laudat, qui nihil ex evangelicis paginis delere audent. Profecto verbis Eusebii mirifice confirmatur illorum opinio, qui Marci clausulam idcirco desideratam aiunt in tot veterum exemplaribus, quia eam de industria multi deleverant ob apparentem ab aliis evangelistis discrepantiam. Porro et prior illa adfirmatio Eusebii de codicibus accuratis, qui defectum huius pericopes prae se ferrent, commode infirmatur in Victoris catena apud Matthaeium et Birchium, ubi accurata (ἀκριβῆ) exemplaria continere dicuntur universam hanc Marci clausulam.

A ἀναγνώσματος· εἰ γοῦν διελοίμην τὴν τοῦ λόγου διάνοιαν, οὐκ ἂν
εὕροιμεν αὐτὴν ἐναντίαν τοῖς παρὰ τοῦ Ματθαίου ὀψὲ σαββά-
των ἐγηγέρθαι τὸν σωτῆρα λελεγμένοις· τὸ γὰρ " ἀναστὰς δὲ
" πρωῒ τῇ μιᾷ τοῦ σαββάτου " κατὰ τὸν Μάρκον, μετὰ δια-
στολῆς ἀναγνωσόμεθα· καὶ μετὰ τὸ ἀναστὰς δὲ ὑποστίξομεν·
B καὶ τὴν διάνοιαν ἀφορίσομεν τῶν ἑξῆς ἐπιλεγομένων· εἶτα τὸ μὲν
ἀναστὰς ἂν ἐπὶ τὴν παρὰ τῷ Ματθαίῳ ὀψὲ σαββάτων· τότε
γὰρ ἐγήγερτο· τὸ δὲ ἑξῆς ἑτέρας ὂν διανοίας ὑποστατικὸν, συ-
νάψωμεν τοῖς ἐπιλεγομένοις· πρωῒ γὰρ τῇ μιᾷ τοῦ σαββάτου
ἐφάνη Μαρίᾳ τῇ Μαγδαληνῇ· τοῦτο γοῦν ἐδήλωσε καὶ ὁ Ἰωάν-
C νης πρωῒ καὶ αὐτὸς τῇ μιᾷ τοῦ σηββάτου ὦφθαι αὐτὸν τῇ
Μαγδαληνῇ μαρτυρήσας· οὕτως οὖν καὶ παρὰ τῷ Μάρκῳ πρωῒ
ἐφάνη αὐτῇ· οὐ πρωῒ ἀναστὰς, ἀλλὰ πολὺ πρότερον κατὰ τὸν
Ματθαῖον ὀψὲ τοῦ σαββάτου· τότε γὰρ ἀναστὰς ἐφάνη τῇ
Μαρίᾳ, οὐ τότε ἀλλὰ πρωΐ· ὡς παρίστασθαι ἐν τούτοις και-
D ροὺς δύο· τὸν μὲν γὰρ τῆς ἀναστάσεως τὸν ὀψὲ τοῦ σαββάτου·
τὸν δὲ τῆς τοῦ σωτῆρος ἐπιφανείας, τὸν πρωῒ, ὃν ἔγραψεν ὁ
Μάρκος εἰπών· ὃ καὶ μετὰ διαστολῆς ἀναγνωστέον· ἀναστὰς δέ·
εἶτα ὑποστίξαντες, τὸ ἑξῆς ῥητέον πρωῒ τῇ μιᾷ τοῦ σαββάτου
ἐφάνη Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ᾽ ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια.

sententiam, profecto haud comperiemus contrariam iis quae dicuntur apud Matthaeum, nempe quod sero sabbatorum servator surrexerit. Nam Marci illud *cum surrexisset autem mane una sabbati* cum distinctione legemus, ita ut post *cum surrexisset autem* interpugnamus, separata sequente sententia: deinde illud *cum surrexisset autem* ad Matthaei verba referemus *sero sabbatorum*; tunc enim surrexerat. Sequentia vero, quae aliam sententiam continent, copulabimus cum iis quae adduntur: mane enim una sabbati apparuit Mariae Magdalenae. Hoc declaravit etiam Iohannes, mane et ipse una sabbati apparuisse Iesum Magdalenae testificans. Sic igitur et apud Marcum mane illi apparuit; non mane redivivus, sed multo prius, secundum Matthaeum, sero scilicet sabbatorum: quo quum tempore revixisset, Mariae non tunc sed mane se conspiciendum obtulit. Quare his verbis duo repraesentantur tempora; unum resurrectionis, nempe sero sabbati; alterum servatoris apparentis, nempe mane: de quo postremo loquitur Marcus: qui locus cum distinctione legendus est, videlicet *cum surrexisset*. Hinc facta interpunctione, reliqua dicenda sunt " una sabbati apparuit Mariae Magdalenae, de qua eiecerat septem daemonia ".

A

Πῶς κατὰ τὸν Ματθαῖον ὀψὲ σαββάτων ἡ Μαγδαληνὴ τεθεαμένη τὴν ἀνάστασιν, κατὰ τὸν Ἰωάννην ἡ αὐτὴ ἑστῶσα κλαίει παρὰ τῷ μνημείῳ τῇ μιᾷ τοῦ σαββάτου.

Οὐδὲν ἂν ζητηθείη κατὰ τοὺς τόπους εἰ τὸ ὀψὲ σαββάτων B
μὴ τὴν ἑσπερινὴν ὥραν τὴν μετὰ τὴν ἡμέραν τοῦ σαββάτου λέγεσθαι ὑπολάβοιμεν, ὥς τινες ὑπειλήφασιν· ἀλλὰ τὸ βραδὺ καὶ ὀψὲ τῆς νυκτὸς τῆς μετὰ τὸ σάββατον· οὕτω γὰρ καὶ ὀψὲ τῆς ὥρας εἰώθαμεν λέγειν, καὶ ὀψὲ τοῦ καιροῦ, καὶ ὀψὲ τῆς χρείας· οὐ τὴν ἑσπέραν δηλοῦντες, οὐδὲ τὸν μετὰ ἡλίου δυσμὰς χρόνον· C
τὸ δὲ σφόδρα βράδιον τούτῳ σημαίνοντες τῷ τρόπῳ· ὅθεν ὥσπερ διερμηνεύων αὐτὸς ἑαυτὸν ὁ Ματθαῖος μετὰ τὸ ὀψὲ σαββάτων, ἐπήγαγε τῇ ἐπιφωσκούσῃ φησί· δηλαδὴ ὥρᾳ τῇ λοιπὸν ἤδη ὑποφαινούσῃ, καὶ ἐπιφωσκούσῃ εἰς τὴν κυριακὴν ἡμέραν· ἥτις ἦν ὀψὲ καὶ πόῤῥω λοιπὸν ἐλαυνουσα τῶν σαββάτων· λέλεκται D
δὲ ὀψὲ τοῦ σαββάτου παρὰ τοῦ ἑρμηνεύσαντος τὴν γραφήν· ὁ μὲν γὰρ εὐαγγελιστὴς Ματθαῖος ἑβραΐδι γλώττῃ παρέδωκε τὸ εὐαγγέλιον· ὁ δὲ ἐπὶ τὴν ἑλλήνων φωνὴν μεταβαλὼν αὐτὸ,

II. Quomodo Magdalena, quae secundum Matthaeum sero sabbatorum resurrectionem viderat, eadem secundum Iohannem stans flebat apud monumentum una sabbati.

Nulla erit his in locis quaestio, si sero sabbatorum haud intelligemus dici vespertinum tempus post sabbati diem, ut quidam existimaverunt, sed serotinum concubiumque noctis tempus post sabbatum. Sic enim et sero horae solemus dicere, et sero temporis, et serius quam rei usus postulavisset; neque idcirco vesperam significamus neque tempus post solis occasum, sed quod magnopere serum sit. Quare se ipsum veluti Matthaeus interpretans postquam dixit sero *sabbatorum*, ait *quae illucescit*, nempe hora quae deinceps suberat atque illucescebat in diem dominicam; quae nempe iam sera erat et longius a sabbato elapsa. Id vero tempus a scripturae evangelicae interprete *sero sabbati* appellatum est. Namque ipse Matthaeus hebraica lingua edidit evangelium; ab

(1) Quae in his quaestionibus posthinc dicuntur de temporibus discrepantibus, et de pluribus Mariis diversisque angelis, ea partim edita fuerunt a Combefisio in novo Patrum auctario, quamquam non sine varietatibus. Quippe hae Eusebii lucubratiunculae passim occurrunt in codicibus, tum aliis tum vaticanis, ita ut eas olim latine quoque interpretatus fuerit Ambrosius mediolanensis monachus cassinas, teste Sixto in bibliotheca.

A τὴν ἐπιφωσκοῦσαν ὥραν εἰς τὴν κυριακὴν ἡμέραν, ὀψὲ σαββάτων
προσεῖπεν· ὥστε τὸν αὐτὸν σχεδὸν νοεῖσθαι καιρὸν, ἢ τὸν σφόδρα
ἐγγὺς, παρὰ τοῖς εὐαγγελισταῖς διαφόροις ὀνόμασι τετηρημένον·
μηδέν τε διαφέρειν Ματθαῖον εἰρηκότα· " ὀψὲ δὲ σαββάτων τῇ
„ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων ἦλθε Μαρία ἡ Μαγδαλη-
B „ νὴ καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον „ Ἰωάννου φή-
σαντος " τῇ δὲ μιᾷ τῶν σαββάτων ἔρχεται Μαρία ἡ Μαγδα-
„ ληνὴ πρωῒ εἰς τὸ μνημεῖον ἔτι οὔσης σκοτίας „· πλατικῶς
γὰρ ἕνα καὶ τὸν αὐτὸν δηλοῦσι (a) χρόνον διαφόροις ῥήμασι· ὁ μὲν
Ματθαῖος ὀψὲ, ἀντὶ τοῦ βράδιον· καὶ ὀψὲ τῆς νυκτὸς ὀνομά-
C σας πρωῒ· ὁ διερμηνεύων ἐπήγαγε τὸ σκοτίας οὔσης, ἵνα μή
τις τὸν ὄρθρον λέγειν αὐτὸν ὑπολάβοι· ὡς καὶ ὁ Ματθαῖος τῷ
ὀψὲ σαββάτων, ἵνα μὴ τὴν ἑσπερινὴν ὥραν νομίσειέ τις λέ-
γεσθαι, προσέθηκε τὸ τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων· ἐπεὶ
καὶ ἀκριβῶς οὗτος σαββάτου εἶπεν τὴν ὀψίαν, μή τις τὴν ἑσπέ-
D ραν ὑπολάβοι λέγεσθαι τὴν μετὰ ἡλίου δυσμάς· ἀλλὰ σαββά-
των φησὶν ὀψέ· ἔθος δὲ ὅλην τὴν ἑβδομάδα σάββατον καλεῖν,
καὶ πάσας τὰς ἡμέρας οὕτως ὀνομάζειν. Λέγεται γοῦν παρὰ
τοῖς εὐαγγελισταῖς τῇ μιᾷ τῶν σαββάτων· ἐν δὲ τῇ συνεθείᾳ,
δευτέρα σαββάτων, καὶ τρίτη σαββάτων, καὶ τετάρτη σαββά-

eo autem qui in graecam transtulit, illucescens hora in diem dominicam, *sero sabbatorum* appellata fuit: ita ut idem fere tempus intelligatur, aut valde proximum, apud evangelistas diversis nominibus designatum: nihilque differat Matthaeus dicens " sero autem sabbatorum, quae lucescit in unam sabbato- „ rum, venit Maria Magdalene, et altera Maria videre sepulchrum, „ a Iohanne qui ait: " una autem sabbatorum venit Maria Magdalena mane ad mo- „ numentum, cum adhuc tenebrae essent „. Late enim unum idemque significatur tempus variis nominibus. Matthaeo *sero sabbatorum* dicente pro *tardius*, et *mane* pro *nocte serotina*, interpres addidit *cum adhuc tenebrae essent*, nequis auroram dici ab illo putaret. Sicuti etiam Matthaeus verbis *sero sabbatorum*, nequis de vespertino tempore cogitaret, addidit *quae lucescit in unam sabbatorum*. Et quidem accurate is expressit seram horam, nequis vesperam opinaretur esse post solis occasum horam; nempe ait *sero sabbatorum*. Consuetudo autem fuit ut universa hebdomada diceretur sabbatum, immo ut dies singuli sic appellarentur. Dicitur ergo apud evangelistas *una sabbatorum*. Et quidem in vulgari consuetudine *secunda sabbatorum*, *tertia sab-*

(a) Cod. δηλοῦν.

των· οὕτως οὖν ὁ Ματθαῖος τὸν καιρὸν τὸν ἐπιφαύσκοντα εἰς τὴν A
ἕω τῆς κυριακῆς ἡμέρας, σαββάτων ὀψὲ ὠνόμασεν· οὐκ εἰπὼν
ἑσπέραν τοῦ σαββάτου, οὐδὲ ὀψὲ σαββάτου· ἐπεὶ ἐχρῆν ἡμᾶς
τῇ ἡμέρᾳ τοῦ σαββάτου μετὰ ἡλίου δυσμὰς ἑσπέρας γινομένης
ἀπονηστίζεσθαι· καὶ οὐκέτι τὴν κυριακὴν ἡμέραν ἀγαλλιᾷν, ἀλ-
λὰ τὴν ἑσπέραν τοῦ σαββάτου, εἴπερ τοῦτ᾽ ἐδήλου ὁ εὐαγγελι- B
στής· ἀλλ᾽ οὐχ᾽ ἑσπέρας τοῦ σαββάτου εἰώθαμεν τὰς νηστείας κα-
ταλύειν, ἀλλ᾽ ἢ νυκτὸς ἐπιλαβούσης αὐτῷ μεσονυκτίῳ, καὶ ἢ πε-
ρὶ ἀλεκτόρων βοάς, ἢ ἀμφὶ τὸν ὄρθρον· ὥστε καὶ ἐξ αὐτοῦ τοῦ πράγ-
ματος, καὶ ἐκ τῆς κεκρατηκυίας ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ συν-
ηθείας, τὸν διὰ τοῦ ὀψὲ σαββάτων δηλούμενον καιρὸν, μὴ τὴν C
ἑσπερινὴν ὥραν εἶναι, ἀλλὰ ταύτην ἣν Ματθαῖος αὐτὸς παρέστη-
σεν εἰπὼν τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων· οὐδὲ γὰρ λόγον
εἶχε κατὰ τὴν ἑσπέραν τοῦ σαββάτου τοιουτων θαυματων ἀμφὶ
τὸ μνημεῖον τοῦ σωτῆρος ἀποτελουμενων· μὴ οὐχὶ πάντας τοὺς
τὴν πόλιν οἰκοῦντας μαθεῖν τὰ γινόμενα, καὶ συνδρομὴ γεγόνει ἐπὶ D
τὸ μνῆμα, πάντων ἐγρηγορότων· ἀκόλουθον δὲ ἦν ἀνατραπέντος
τοῦ λίθου παραδόξως, παραχρῆμα σπεῦσαι τοὺς φρουροὺς τὰ πρα-
χθέντα δηλῶσαι, τῆς ὥρας αὐτοῖς ἐπιτρεπούσης· οἱ δὲ καὶ δι-
δάσκονται τῇ ὑστεραίᾳ ὑπὸ τῶν ἀρχιερέων διαφημίσαι εἰς πάν-
τας, ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν E
κοιμωμένων· ὃ δὴ χώραν οὐκ εἶχεν πλάττεσθαι αὐτοὺς εἰ τῇ ἑσ-

batorum, *quarta sabbatorum*. Sic ergo Matthaeus tempus illucescens in diem dominicam *sero sabbatorum* vocitavit. Secus vero oporteret nos die sabbati post solis occasum, vespere facto, ieiunium polluere: neque die dominica iubilare, sed potius vespere sabbati; siquidem ita intelligendus esset evangelista. Atqui non vespere sabbati solemus ieiunia polluere, sed nocte medium cursum iam tenente, aut circa gallicinium vel auroram: ita ut et facto ipso et inveterata in Dei ecclesiis consuetudine, tempus significatum per verba *sero sabbatorum*, haud vespertina hora sit, sed quam Matthaeus exhibet, dum ait *quae illucescit in unam sabbatorum*. Neque enim commode accidissent vespere sabbati talia prodigia circa servatoris monumentum; ne scilicet passim urbis incolae rem cognoscerent, fieretque concursus ad tumulum, vigilantibus omnibus. Consentaneum quippe erat, lapide prodigiose revoluto, statim convolare custodes, hora id concedente, ad ea quae evenerant renuncianda. Et quidem hi docentur die postero a sacerdotibus ut rumorem in vulgus serant, venisse noctu discipulos Iesu ad furandum corpus dum ipsi somno indulgerent: id quod ab eis fingi haud opus fuisset, si vespere Iesus

A πέρᾳ ἐγήγερτο· ἀλλὰ γὰρ ἡγοῦμαι διὰ τούτων ἀποδείκνυσθαι τὸ παρὰ τῷ Ματθαίῳ λεγόμενον ὀψὲ σαββάτων, μὴ τὴν ὀψινὴν ὥραν τοῦ σαββάτου σημαίνειν, μὴ δὲ τὸν ἑσπερινὸν καιρόν· ἀλλ' αὐτὸς ὁ Ματθαῖος ἐπήγαγεν τὴν ἐπιφώσκουσαν ὥραν εἰς μίαν σαββάτων, ἥτις ἦν πρωῒ, ἔτι σκοτίας οὔσης κατὰ τὸν Ἰωάννην· οὕτω
B γὰρ ἡ συμφωνία συνδράμοι ἂν τῶν εὐαγγελικῶν φωνῶν· ὡς καιροῦ μὲν ἑνὸς δι' αὐτῶν σημαινομένου, ἐναλλαττόντων δὲ παρ' ἑκάστου τῶν τοῦ καιροῦ μορίων, ἐπεὶ καὶ μιᾶς καὶ τῆς αὐτῆς ὥρας, καὶ τὴν ἀρχὴν ἔστιν ἐπινοῆσαι, καὶ τὸ μέσον, καὶ τὸ τέλος· οὐκ ἂν γοῦν ἁμάρτοις τὰ μὲν πρῶτα τῆς ἀναστάσεως τοῦ σωτῆρος ἡμῶν
C σημαίνεσθαι εἰπὼν παρὰ τῷ Ἰωάννῃ παρ' ᾧ ἡ Μαγδαληνὴ πρωῒ ἔτι οὔσης σκοτίας καὶ πρῶτον καὶ δεύτερον ἐπιστᾶσα τῷ μνήματι, καὶ μὴ εὑροῦσα τὸ σῶμα τοῦ σωτῆρος, κλαίει διὰ τὸ μηδένα μήπω ἐγνωκέναι περὶ τῆς ἀναστάσεως αὐτοῦ· τῆς αὐτῆς δὲ ὥρας μέρος εἶναι δεύτερον τὸν παρὰ τῷ Ματθαίῳ χρόνον· καθ' ὃν τρί-
D τον ἐπιστᾶσα ἡ αὐτὴ Μαγδαληνὴ ἅμα τῇ ἄλλῃ Μαρίᾳ τῷ μνήματι, οὐκέτι κλαίει, ὡς ἂν παρὰ τῷ Ἰωάννῃ τεθεαμένη τοὺς ἀγγέλους καὶ αὐτὸν τὸν σωτῆρα· τὰ γὰρ παρὰ τῷ Λουκᾷ καὶ τῷ Μάρκῳ ἑτέρων ἂν εἴη δηλωτικά· παρ' οἷς πλείους ἀπαντῶσιν γυναῖκες ἐπὶ τὴν θέαν· τὴν δέ γε Μαγδαληνὴν μὴ μακρὰν ἀλλή-
E λων διεστῶσιν ἀπηντηκέναι καιροῖς νόμιζε, ἀλλ' ἐν τῷ αὐτῷ καὶ κα-

resurrexisset. Itaque existimo ex his demonstrari, id quod ait Matthaeus *sero sabbatorum* haud significare serotinam sabbati horam neque tempus vespertinum; namque ipse Matthaeus addit *hora quae lucescit in unam sabbatorum*; mane videlicet dum adhuc tenebrae essent, secundum Iohannem. Sic enim harmonia fiet evangelicarum vocum, veluti uno tempore ab ipsis significato. Age vero cum tempus in singulis mutetur scripulis, ita ut intra unam eandemque horam principium liceat cogitare, medium, et finem; haud a veritate aberraveris, si a Iohanne initium resurrectionis servatoris nostri dicas significari, apud quem Magdalena mane dum adhuc tenebrae essent, semel atque iterum ad monumentum progressa, servatoris corpore haud invento, flet: quia nemini adhuc resurrectio eius explorata erat. Est autem eius horae pars altera tempus id de quo Matthaeus loquitur; cum videlicet tertio veniens ad monumentum eadem Magdalena cum alia Maria, haud iam flet; quippe quae, ut ait Iohannes, iam angelos viderat ipsumque servatorem. Nam quae dicuntur a Luca et Marco alia nos docent, apud quos nimirum plures veniunt observaturae mulieres. Porro autem Magdalenam temporibus haud magnopere inter se distantibus interfuisse puta, sed uno fere continuo tempore, dum semel et

*

τὰ τὸ αὐτὸ παρατυχεῖν καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον· τὸ μὲν A
πρῶτον, καθ' ἑαυτὴν μόνην· τὸ δὲ δεύτερον, μετὰ τῆς ἄλλης Μα-
ρίας· οὕτω δ' οὖν ἡ αὐτὴ Μαρία ἡ Μαγδαληνὴ καὶ τὰ παρὰ τῷ
Ματθαίῳ ἐθεᾶτο καὶ τὰ παρὰ τῷ Ἰωάννῃ· οὐκ ἀπελιμπάνετο
δὲ τῶν παρὰ τοῖς πολλοῖς ἀναγεγραμμένων· οὐ γὰρ ἀπεστάτει
τοῦ τόπου· παρῆν δὲ καὶ παρέμενεν καταπεπληγμένη μὲν τὰ τε- B
θεαμένα, ποθοῦσα δὲ πρὸς τοῖς πρώτοις καὶ δευτέρων καὶ τριῶν
θεοφανειῶν καταξιωθῆναι· ὧν ἐτύγχανεν μετὰ ταῦτα διαφόρως
μὲν πλειόνων γυναικῶν ἐπὶ τὸ μνημεῖον ἀφικνουμένων· ἄλλοτε
δ' ἄλλως αὐταῖς ἀγγελικῆς ὄψεως παραφαινομένης, αὐτῆς δὲ
ἐφ' ἑκάστῃ θέᾳ παρατυγχανούσης· οὕτω γοῦν τῶν παρὰ τοῖς τέσ- C
σαρσιν εὐαγγελισταῖς ἀναγεγραμμένων θεωρὸς ἐγίγνετο ἡ Μαγ-
δαληνή· διὸ καὶ παρὰ τοῖς πᾶσιν ἐμνημονεύθη (1)· οὕτω δὲ καὶ ὁ μὲν
καιρὸς ὁ αὐτὸς ἦν ὁ ὑπὸ τοῦ Ἰωάννου καὶ τοῦ Ματθαίου παρι-
στάμενος· τοῦ δ' αὐτοῦ καιροῦ διάφορα διαστήματα παρ' ἑκάστῳ
τετηρημένα· μὴ ταραττέτω δέ σε τὸ λέγεσθαι παρὰ τῷ Ματ- D
θαίῳ μετὰ τὸ ἐλθεῖν τὰς δύο Μαρίας θεωρῆσαι τὸν τάφον " ὁ
„ ἄγγελος γὰρ κυρίου καταβὰς ἐξ οὐρανοῦ ἀπεκύλισεν τὸν λίθον
„ ἐκ τῆς θύρας „· οὐ γὰρ κατ' αὐτὴν τὴν ὥραν προσήκει νοεῖν τὸν
ἄγγελον ἀποκεκυλικέναι τὸν λίθον· πῶς γὰρ ὁ πότε προϋπῆρχεν

iterum circa eum locum versaretur; primum ipsa sola; secundo cum alia Maria. Sic eadem Maria Magdalena et apud Matthaeum spectat et apud Iohannem. Neque idcirco excludenda est a ceterorum evangelistarum narrationibus: non enim recedebat a loco, sed aderat perstabatque attonita visis, cupiensque post primam, secunda etiam tertiaque apparitione frui: id quod reapse consecuta est, dum multimodis complures mulieres ad tumulum veniunt, atque aliis aliter angelica visio se offert; ipsa autem Magdalena singulis visionibus interest. Atque ita rerum apud quatuor evangelistas scriptarum spectatrix fuit Magdalena: quare et huius apud omnes mentio fit. Sic etiam idem tempus erat, quod abs Iohanne et a Matthaeo perhibetur: sed tamen huius temporis diversa intervalla apud singulos notantur. Neque te conturbet id quod a Matthaeo dicitur postquam duae Mariae ad visendum tumulum venerant " angelus enim „ Domini caelo delapsus revolverat ab ostio lapidem „; neque enim putandum est ab angelo eadem illa hora revolutum fuisse lapidem. Nam quomodo

(1) Quaestio haec huc usque partim inest in codice gr. mediceo, teste Bandinio tom. I. p. 159. Idem tamen frustra suspicatur, quae ibidem apud eum sequuntur λίαν θαυμάζω etc. esse eiusdem Eusebii; sunt enim Isidori Pelusiotae, ut apparet e codd. vaticanis, immo ex Isidori editione epist. lib. II. 212.

A παρὰ τῷ Ἰωάννῃ, παρ' ᾧ οὐχ' ἡ Μαρία μόνη ἀλλὰ καὶ δύο μα-
θηταὶ εἰσεληλύθασιν εἰς τὸ μνημεῖον: διόπερ εἴποις ἂν τὸν πα-
ρὰ τῷ Ματθαίῳ λόγον διηγηματικὸν εἶναι τῶν πρὸ τούτου γε-
γενημένων· ἦλθον μὲν γὰρ κατὰ τοῦτον αἱ δύο Μαρίαι θεωρῆ-
σαι τὸν τάφον, εὗρον δὲ αὐτὸν ἀνεῳγμένον· ἐπειδήπερ πρὸ τού-
B του σεισμὸς ἐγεγόνει μέγας· καὶ ὁ ἄγγελος ἀποκεκυλίκει τὸν λί-
θον· ὃς ἐπιστὰς, αὖθις εὐαγγελίζεται τὰς γυναῖκας· αὕτη
μὲν οὖν μία λύσις (a) ἂν γένοιτο τῶν κατὰ τὸν τόπον ἀπορουμένων.
Λυθείη δ' ἂν καὶ ἄλλως τὰ προκείμενα, εἰ ἑτέρας μὲν τὰς παρὰ
τῷ Ματθαίῳ Μαρίας ὑπολάβοις εἶναι, ἑτέραν δὲ τὴν παρὰ τῷ
C Ἰωάννῃ· τέσσαρας γοῦν τὰς πάσας Μαρίας παρούσας τῷ πά-
θει τοῦ σωτῆρος μετὰ τῶν ἄλλων γυναικῶν εὑρίσκομεν (1)· πρῶ-
τον μὲν οὖν τὴν θεοτόκον τὴν αὐτοῦ τοῦ σωτῆρος μητέρα· δευ-
τέραν δὲ τὴν ταύτης ἀδελφὴν Μαρίαν τὴν τοῦ Κλωπᾶ· εἶτα τρί-
την Μαρίαν τὴν Μαγδαληνήν· καὶ τετάρτην τὴν Ἰακώβου καὶ Ἰω-
D σὴφ μητέρα· καὶ τῶν μὲν πρώτων τριῶν Μαριῶν ἐμνημόνευ-
σεν Ἰωάννης λέγων οὕτως· „ εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ
„ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ
„ Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή „ · τῆς δὲ

illud praecederet apud Iohannem, quo narrante non Maria sola, sed et discipuli duo monumentum ingressi fuerant? Quamobrem merito dices, Matthaei oratione narrari ea quae ante contigerant: ita ut ex huius sententia duae quidem Mariae ad sepulchrum visendum venerint, verumtamen id patefactum deprehenderint: quia scilicet acciderat terrae motus ingens, lapidemque angelus revolverat: qui rursum adstans, rei notitia mulieres impertitur. Atque haec una erat e solutionibus ambiguitatum, quae circa hunc locum agitari solent. Licet autem et aliter propositam infringere difficultatem, si alias esse putaveris Marias quae apud Matthaeum, aliam rursus quae apud Iohannem. Nam quatuor omnino Marias servatoris passioni cum aliis feminis praesentes comperimus. Primam ipsam Deiparam servatoris matrem: secundam huius sororem Mariam Clopae: tertiam Mariam Magdalenam: quartam Iacobi et Iosephi matrem. Priorum trium Mariarum meminit Iohannes his verbis: " stabant autem iuxta crucem Iesu mater eius, et soror matris eius Maria Clopae, et Maria Mag-

(a) Cod. τις pro λύσις.

(1) Quaestio haec de Mariarum evangelicarum numero quanta fuerit apud veteres Patres novosque criticos, satis docet Calmetus copiosa sua super hac re dissertatione; cui iam quicquam addere, haud scio an abutentis otio futurum sit.

τετάρτης * Μαρίας τῆς μητρὸς Ἰακώβου καὶ Ἰωσὴφ, οἱ λοιποὶ A
τρεῖς ἐμνημονευσαν εὐαγγελισταί, συμπαραλαβόντες τῇ Μαγδαληνῇ καὶ αὐτήν· Ματθαῖος μὲν οὕτως εἰπών· „ ἦσαν δὲ ἐκεῖ „ γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν θεωροῦσαι, αἵτινες ἠκολούθουσαν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας διακονοῦσαι αὐτῷ· ἐν αἷς ἦν „ Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰω- B
„ σήφ· αἳ ἐθεάσαντο τὸν τόπον πῦ τίθεται „ · καὶ ὁ Λουκᾶς δὲ περὶ τῆς ἄλλης Μαρίας οὕτως ἱστορεῖ „ ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία καὶ Ἰωάννα καὶ Μαρία ἡ Ἰακώβου καὶ αἱ λοιπαὶ „ σὺν αὐταῖς „ · τούτων οὖν τῶν τεσσάρων Μαριῶν εἰ τὰς δύο τὰς παρὰ τῷ Ματθαίῳ ὀψὲ σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς μίαν C
σαββάτων ἐλθούσας ἐπὶ τὸ μνημεῖον, καὶ τὸν ἄγγελον θεασαμένας, ἑτέρας εἶναι ἐκλάβοις παρὰ τὴν πρωῒ τῇ μιᾷ τῶν σαββάτων ἔτι σκοτίας οὔσης ἀφικομένην μόνην κατὰ τὸν Ἰωάννην, ἀγνοοῦσαν τὸ ἐπὶ τὴν ἀνάστασιν, καὶ διὰ τοῦτο κλαίουσαν· οὐδὲν ἂν σκολιὸν ἀπαντήσεται, πάσης ἀπορίας καὶ ζητήσεως ἐκ ποδῶν ἀρ- D
θείσης· καὶ ὀψὲ μὲν σαββάτων, κατὰ τὰ ἀποδεδομένα, πεπραγ-

„ dalena „ . Quartae vero Mariae, matris Iosephi et Iacobi, reliqui tres meminerunt evangelistae, qui hanc Magdalenae addunt. Matthaeus quidem sic: " erant autem ibi mulieres multae procul spectantes, quae secutae eum fuerant „ a Galilaea, ministrantes ei: inter quas erat Maria Magdalena, et Maria Iacobi ac Iosephi; quae notaverunt locum in quo positus fuit. „ Lucas vero de alia Maria sic loquitur: " erant autem Maria Magdalena, et Iohanna, et Maria Iacobi, et ceterae quae cum eis erant. „ Quum ergo sint quatuor Mariae, si duas illas, quae apud Matthaeum, dum dies illucesceret in unam sabbatorum, venerunt ad monumentum angelumque viderunt, diversas esse putaveris ab illa quae mane una sabbatorum, dum adhuc tenebrae essent venit sola secundum Iohannem, ignorans resurrectionem, ideoque flens, nihil tortuosum tibi occurret, omni iam dubitatione ac quaestione remota. Igitur quod sero sabbatorum, sicuti retro tradidimus, perpetrata fuerint ea quae apud

* Scholion recenti manu additum. Οὐχί· ἀλλ' ἡ κατ' ἀλήθειαν τοῦ κυρίου μήτηρ, αὕτη λέγεται καὶ μήτηρ Ἰακώβου καὶ Ἰωσῆ, τῶν νομιζομένων ἀδελφῶν τοῦ κυρίου, υἱῶν δὲ ὄντων κατὰ φύσιν τοῦ Ἰωσὴφ ἀπὸ τῆς προτέρας [a] αὐτοῦ αὐτοῦ γυναικὸς τῆς Σαλώμης· τέσσαρας γὰρ ἔσχεν υἱοὺς ὁ Ἰωσήφ, Ἰάκωβον καὶ Ἰωσῆ καὶ Σίμωνα καὶ Ἰούδα. Καὶ καθὼς ἐνομίζετο ἡ τοῦ κυρίου μήτηρ γυνὴ τοῦ Ἰωσήφ, οὕτως ἐνομίζετο καὶ τῶν υἱῶν αὐτοῦ μήτηρ. *Minime; sed ipsa vera Domini mater, eadem dicitur etiam mater Iacobi et Iosis, qui fratres Domini existimabantur; filii secundum naturam Iosephi ex eius priore uxore Salome. Quatuor enim suscepit Iosephus liberos, Iacobum, Iosem, Simonem, et Iudam. Porro sicuti putabatur Domini mater uxor esse Iosephi, ita et eiusdem filiorum habebatur mater.*

a Vox προτέρας (*priore*) expungitur in codice; quod tamen fit contra & Epiphanii auctoritatem in ancorato cap. LX, nec non contra Hippolyti thebani chronicon.

A μένων τῶν ἐπὶ τῷ Ματθαίῳ συγγεγραμμένων ἐπὶ παρουσίᾳ τῶν
δύο Μαριῶν· πρωΐας δὲ τῇ μιᾷ τῶν σαββάτων ἑτέρας Μαρίας
τὰς παρὰ τῷ Ἰωάννῃ τεθεαμένας, ἀληθεύεσθαί τε κἀκεῖνα καὶ
ταῦτα, μὴ δὲ ἀντιλογίαν περιέχειν τοὺς τόπους, μήτε κατὰ τοὺς
χρόνους, μήτε κατὰ τὰ πρόσωπα, μήτε κατὰ τοὺς λόγους· εἰ
B δὲ τὸ τῆς Μαγδαληνῆς προσκείμενον ἐν ἀμφοτέροις τοῖς εὐαγ-
γελισταῖς ὄνομα τὴν διάνοιαν ταράττει, ἀλλ' οὐ προσήκει τὴν
θείαν συγχεῖν γραφὴν λέξεως μιᾶς ἢ ὀνόματος ἕνεκεν, ὃ πολλά-
κις συμβαίνει καὶ κατὰ γραφικὸν προσκεῖσθαι σφάλμα· ἢ γὰρ
δύο καὶ ταύτας ἀπὸ μιᾶς πόλεως ἢ κώμης[1] τῆς Μαγδαληνῆς ὁρ-
C μᾶσθαι ἡγητέον· ἢ ἐπὶ μιᾶς αὐτῶν προσκεῖσθαι τὸ τῆς Μαγδα-
ληνῆς ἐπώνυμον, ἅπαξ τοῦ γραφέως κατὰ τὴν ἀρχὴν σφαλέν-
τος, ὅτι ἐξ ἐκείνου τῶν μετ' αὐτὸν πρώτῳ ἐπηκολουθηκότων σφάλ-
ματι· τοῦτο δὲ καὶ ἐφ' ἑτέρῳ συμβᾶν, σμικρὸν ὕστερον ἐπι-
δείξωμεν· ἀλλ' ὥσπερ ἐπὶ τῶν τοιούτων ὀρθῶς κατὰ τὴν ἀρχὴν
D ὑπηγόρευτο, κατὰ σφάλμα δὲ τῶν μετὰ ταῦτα μὴ ἀκριβούντων
τὴν μεταβολὴν, συμβέβηκε τινὰ ζητεῖσθαι· οὕτω καὶ ἐπὶ τοῦ
ἐπωνύμου τῆς Μαγδαληνῆς περιττῶς ἐπὶ μιᾶς Μαρίας κειμέ-
νου εἴποις ἂν γεγονέναι· οὗ ὑφαιρεθέντος, περιγέγραπται πᾶσα
ζήτησις, μηδενὸς μηκέτι κατὰ τοὺς τόπους ἀποσειμένου· ἀλλὰ

Matthaeum scribuntur de interventu Mariarum duarum; quodque mane una sabbatorum aliae Mariae ea quae sunt apud Iohannem spectaverint; omnia haec, inquam, vera sunt, nullaque repugnantia est vel locorum vel temporum vel personarum vel denique narrationis. Iam si forte Magdalenae nomen, quod apud utrumque evangelistam adiicitur, sententiam conturbat; enim vero haud aequum est divinam permisceri scripturam unius voculae nominisve causa, id quod saepe accidit errore librarii obtrudi. Aut enim duas has ex una urbe seu castello Magdala advenisse putandum est; aut alterutri ex his temere fuisse adiectum Magdalenae cognomen, semel librario qui antiquitus scripsit in errorem lapso; quod deinceps mendum exscriptores reliqui retinuerunt. Id ipsum alias quoque accidisse paulo post demonstrabimus. Nempe quum in eiusmodi rebus a principio quidem dictatum recte fuerit, sed postea mendum obrepserit, neque tamen amanuenses scripturae mutationem agnoverint, nonnullae quaestiones exortae sunt. Atque ita circa Magdalenae cognomen, supervacue uni ex Mariis additum, contigisse dices: quo ablato, tollitur omnis quaestio, nemine

(1) Euseb. et Hieron. de loc. hebr. Μαγδαλὰ φυλῆς Ἰούδα, *Magdala in tribu Iuda*.

καὶ ὀψὲ σαββάτων, τοῦτ' ἔστιν βαθείας νυκτὸς, τῶν παρὰ τῷ Ματ- A
θαίῳ πεπραγμένων ἑωραμένων ὑπὸ τῆς Μαγδαληνῆς καὶ τῆς ἄλ-
λης Μαρίας· καὶ πρωΐας ἔτι σκοτίας οὔσης, ἑτέρας Μαρίας ἀφι-
κομένης ἐπὶ τὸν αὐτὸν τόπον· καὶ πρότερον μὲν ἀπορούσης ἐπὶ
τὸ μὴ εὑρεῖν τὸ σῶμα τοῦ σωτῆρος· ὕστερον δὲ καὶ αὐτῆς αὐ-
τοπτούσης αὐτόν· κάλλιον δὲ τὸ μὴ δὲ σφάλμα αἰτιάσασθαι B
κατὰ τοὺς τόπους, δύο δὲ ἀληθῶς γεγονέναι τὰς Μαγδαληνὰς
φάσκειν· ὡς καὶ τέτταρας ἀπεδείξαμεν τὰς Μαρίας· ὧν οὐδὲν
ἄτοπον ἀπὸ τῆς αὐτῆς Μαγδαληνῆς δύο Μαρίας ὁρμᾶσθαι λέ-
γειν· μηδέν τε λοιπὸν ἀπορεῖν· ἀλλ' ἑτέραν μὲν εἶναι τὴν ὀψὲ
σαββάτων παρὰ τῷ Ματθαίῳ Μαγδαληνήν· ἑτέραν δὲ αὖθις C
καὶ αὐτὴν Μαγδαληνὴν τὴν παρὰ τῷ Ἰωάννῃ πρωΐας ἐπὶ τὸ μνη-
μεῖον ἐλθοῦσαν· ταύτην δὲ εἶναι τὴν καὶ παρὰ τῷ Μάρκῳ δηλου-
μένην κατά τινα τῶν ἀντιγράφων [1]· ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαι-
μόνια· καὶ ταύτην εἰκὸς εἶναι τὴν ἀκούσασαν μή μου ἅπτου·
ἀλλ' οὐ τὴν παρὰ τῷ Ματθαίῳ· εἰ γὰρ καὶ τὰ μάλιστα κἀκείνη D
ἀπὸ τῆς Μαγδαληνῆς ὡρμᾶτο, ἀλλ' οὐ τὰ ὅμοια καὶ αὐτῆς ἡ
θεία κατηγορεῖ γραφή.

iam in his locis dubitante. Ergo et sero sabbatorum, id est profunda nocte, ea, quae apud Matthaeum narrantur, visa fuerunt a Magdalena atque ab alia Maria: et mane, dum adhuc tenebrae essent, venit alia Maria in eundem locum; quae primo quidem anxia erat, haud invento servatoris corpore; deinde et ipsa spectatrix eiusdem fuit. Laudabilius tamen fiet, si ne mendum quidem in his locis esse causabimur, duasque potius Magdalenas censebimus, sicuti iam quatuor demonstravimus fuisse Marias. Certe nulla absurditas vetat, quominus duas Marias ab eodem castello Magdala venisse dicamus: prorsus ut nulla iam perplexitas relinquatur: sed altera sit illa quae sero sabbatorum apud Matthaeum; altera rursus et ipsa Magdalena, quae apud Iohannem mane ad monumentum accedit: quam postremam credibile sit a Marco quoque memorari, secundum aliquot exemplarium fidem; de qua nimirum septem fuerant daemonia eiecta: atque haec videtur cui dictum sit *noli me tangere*, non illa quae apud Matthaeum: nam etsi forte et ipsa a Magdalo oriunda est, haud tamen eandem pari macula aspergit divina scriptura.

(1) Capitis marciani vindicias, a nono nempe versiculo ad finem, superius attigi p. 62. n. 1.

A

Πῶς κατὰ τὸν Ματθαῖον ὀψὲ σαββάτων ἡ Μαγδαληνὴ μετὰ τῆς ἄλλης Μαρίας ἁψαμένη τῶν ποδῶν τοῦ σωτῆρος, ἡ αὐτὴ πρωῒ τῇ μιᾷ τοῦ σαββάτου ἀκούει μή μου ἅπτου κατὰ τὸν Ἰωάννην.

B

Εἰ μὲν οὖν μία καὶ ἡ αὐτὴ εἴη Μαρία παρ' ἀμφοτέροις
τοῖς εὐαγγελισταῖς, λέξομεν ὅτι ἡ αὐτὴ πολλάκις ἐπὶ τὸν αὐ-
τὸν ἀπήντα τόπον, ἐπειδὴ εἷλκεν αὐτὴν ἡ ἔκπληξις τοῦ πράγμα-
τος καὶ ἡ ἐπὶ τῷ γεγονότι χαρά· πρώτη τοίνυν ἀπαντήσασα καὶ
C πρώτη τεθεαμένη τὰ παρὰ τῷ Ἰωάννῃ, ἐσπευσμένως ἀπήει πρὸς
τοὺς ἀποστόλους τὸ πρῶτον, τὴν τοῦ μνήματος ἄνοιξιν ἀπαγ-
γέλλουσα· εἶθ' ἅμα τὴν ἀνάστασιν τεθεαμένη, ἐδυσφόρει ὑπο-
νοοῦσα ἦρθαι τὸ σῶμα τοῦ Ἰησοῦ ἀπὸ τοῦ μνήματος, μὴ εἰδέ-
ναι τε ὅπου τέθειτο· εἶτ' ἐπανῄει δεύτερον σὺν αὐτοῖς ἐπὶ τὸ μνῆ-
D μα· ὡς δ' ἐπέστρεφον οἴκαδε ἐκεῖνοι, μόνη πάλιν ἀπολειφθεῖσα
ἐν τῷ τόπῳ, ἔκλαιεν ἑστῶσα· εἶτα τοῦ μνήματος εἴσω διακύ-
ψασα, τοὺς δύο ἀγγέλους ἐθεώρει· ἔπειτα καὶ αὐτὸν ὁρᾷ τὸν σω-
τῆρα· ὅς, ἐπειδὴ κλαίουσα εἱστήκει, ἀνθρωπίνως δὲ καὶ ταπεινῶς
ὡς ἂν κλαπέντος τοῦ σώματος αὐτοῦ διακειμένη, ἀνάξιά τε πε-
E ρὶ αὐτοῦ φρονοῦσα, πρῶτον μὲν αὐτὴν γυναῖκα ὀνομάζει, ἐπι-

III. Quomodo quae secundum Matthaeum sero sabbatorum Magdalena cum altera Maria tetigit servatoris pedes, eadem mane una sabbati secundum Iohannem audivit *noli me tangere*.

Si quidem una eademque Maria esset apud utrumque evangelistam, dicendum foret eandem saepe in eundem locum venisse, quam scilicet attrahebat admiratio rei gestae et successus gaudium. Prima igitur illuc profecta, primaque rerum, quas Iohannes narrat, spectatrix, festinanter redibat ad apostolos; principio quidem sepulcri apertionem nuncians: deinde, quamquam resurrectionem viderat, angebatur nihilominus suspicione nequis potius Iesu corpus e monumento abstulisset, quod nesciebat quonam esset translatum. Exin secundo ibat cum apostolis ad monumentum. Postquam hi domum reversi sunt, sola rursus in loco relicta, flens ibi subsistebat. Deinde in monumentum introspiciens duos angelos vidit: denique ipsum oculis eius oblatum servatorem: quam ibi cum fletu haerentem, et ex humanae infirmitatis atque humilitatis instinctu furto ablatum corpus credentem, atque indigna de ipso sentientem, Iesus primo mulierem appellat, increpans atque exprobrans femineam animi

πλήττων αὐτῇ καὶ ὀνειδίζων τὸ γυναικεῖον πάθος· διό φησιν, γύ- A
ναι τί κλαίεις; εἶτα φησὶν πρὸς αὐτήν, Μαρία· διὰ τοῦ ὀνόμα-
τος αὐτὴν ἑαυτῆς ὑπομιμνήσκων, καὶ τῶν πάλαι πρὸς αὐτήν τε
καὶ τοὺς λοιποὺς μαθητὰς περὶ τῆς ἀναστάσεως αὐτοῦ λόγων·
ἡ δ' εἰς συναίσθησιν ἐλθοῦσα, καὶ τί ποτε ἦν ἀπὸ τῆς φωνῆς καὶ
τῆς τοῦ λόγου δυνάμεως ἐπιγνοῦσα, ῥαββουνί φησιν, ὃ μεθερ- B
μηνεύεται διδάσκαλε· εἶτ' ἐπειδὴ ὡς διδασκάλῳ αὐτῷ ἔτι καὶ
οὐχ ὡς θεῷ προσιέναι ὡρμᾶτο, ἀναίνεται καὶ παραιτεῖται αὐ-
τήν, μή μου ἅπτου· θνητὰ γὰρ ἔτι φρονοῦσα, οὐχ οἵα τε ἦν
τῆς αὐτοῦ θεότητος θίγειν· οὐδὲ γὰρ ἄξιον ἦν τὴν ἔτι κλαίου-
σαν, καὶ κάτω περὶ τὰ μνήματα καὶ τάφους οἷα νεκρὸν ζητοῦσαν C
αὐτόν, ταπεινά τε καὶ ἀνθρώπινα περὶ αὐτοῦ δοξάζουσαν, τῆς
ἐπαφῆς αὐτοῦ κοινωνεῖν· διὸ τὴν αἰτίαν ἀπήλεγχεν, μὴ γὰρ
ἀνεληλυθέναι οὔπω φησὶν, ὅσον τὸ ἐπ' αὐτήν, πρὸς τὸν πατέρα,
ἐπεὶ μὴ τοῦτ' ἐπίστευσεν γεγονέναι, νεκρὸν δέ που κεῖσθαι αὐτὸν
ᾤετο· διό φησιν πρὸς αὐτήν, μή μου ἅπτου τοιαύτη τις οὖσα καὶ D
τοιαῦτα περὶ ἐμοῦ λογιζομένη· σοὶ γὰρ θεὸς οὔπω πεπίστευ-
μαι· σοὶ ἔτι κάτω εἶναι λελόγισμαι· οὕτω τὴν κλαίουσαν καὶ
δόξασαν αὐτὸν εἶναι τὸν κηπουρόν, διὰ μὲν τοῦ μή μου ἅπτου
ἐπέστρεφεν ἐπιπλήττων αὐτῇ· ὡς καὶ διὰ τοῦ γυναῖκα καλεῖν,
καὶ διὰ τοῦ λέγειν τί κλαίεις· τὸ γὰρ κλαίειν τὸν ζῶντα, μᾶλ- E

aegritudinem: unde ait, *mulier quid ploras?* Deinde addit, *Maria*; ut illa nomine admonita ad mentem revocaretur, atque ut antiquarum sponsionum tum ipsi tum reliquis discipulis de Christi resurrectione factarum recordaretur. Illa animo ex aberratione recepto, vique vocis ac verborum agnita; *rabboni*, inquit; qua voce significatur magister. Mox ad illum adhuc ut magistrum, non ut Deum, accedere properat: qua ille prohibita et deterrita ait, *noli me tangere*. Nam quae humana adhuc sapiebat, non erat digna divinitatem eius attingere: neque par erat illam, quae adhuc flebat, et Iesum inferne in monumentis sepulcrisque quaerebat atque humiliter et infirme de illo sentiebat, haud inquam aequum erat contactus eius compotem fieri. Quamobrem Iesus causam quoque rei aperit, nondum se adscendisse (quantum ad eam adtineret) ad patrem dicens; quoniam ipsa rei gestae fidem nondum adhibebat, seque mortuum iacere putabat: ideoque ait, *noli me tangere*, quum talis sis, talemque de me opinionem geras: tibi enim Deus nondum credor, sed terrestris adhuc habeor. Sic is plorantem, et quae hortulanum ipsum credebat, his verbis *noli me tangere* reiecit increpitans: unde et mulierem eandem vocitavit, aitque *quid ploras?* nam lugere viventem, immo ipsam vitam, extremae erat

A λον δὲ τὴν ζωὴν αὐτὴν, ἐσχάτης ἦν ἀμαθίας· καὶ διὰ μὲν του-
των ἐπέπληττεν αὐτῇ· διὰ δὲ τῶν ἑξῆς τὴν καθ᾽ ἑαυτὸν ἐπαίδευ-
εν θεολογίαν· ἡ δ᾽ ἐπὶ τούτοις τὰ μεγάλα ὠφελημένη, πάλιν
ἀναχωρεῖ τοῦ μνήματος· τοῦτο δεύτερον· εἶτ᾽ ἐξειποῦσα τῇ ἄλ-
λῃ Μαρίᾳ τὰ τεθεαμένα παρὰ τῷ Ἰωάννῃ, ἐπανήει σὺν αὐτῇ·
B τοῦτο τρίτον· καὶ τῶν παρὰ τῷ Ματθαίῳ μνημονευομένων θεω-
ρὸς ἐγίγνετο οὐκέτι μόνη, σὺν δὲ τῇ ἑτέρᾳ Μαρίᾳ· καὶ οὐκέτι
εἴσω τοῦ τάφου παρακύπτουσα ὡς παρὰ τῷ Ἰωάννῃ, οὐδὲ δύο
ἀγγέλους, ἀλλ᾽ ἕνα πρὸς τῷ λίθῳ καθήμενον ὁρῶσα· εἶτ᾽ ἐπὶ
τούτοις αὐτὸν πάλιν τὸν σωτῆρα μετὰ τῆς ἄλλης Μαρίας θεω-
C ρεῖ· τοῦτο δεύτερον· καὶ οὐκέτι μὲν ἀκούει μή μου ἅπτου· τοὐ-
ναντίον δὲ χαίρειν ἀντὶ τοῦ κλαίειν ὑπ᾽ αὐτοῦ κελεύεται· ἀλ-
λὰ καὶ ἅπτεσθαι αὐτοῦ συγχωρεῖται, ἐπεὶ καὶ προσκυνεῖ αὐτὸν
ὡς θεόν· λέγει γοῦν αὐταῖς ὁ Ἰησοῦς χαίρετε· αἱ δὲ προσελ-
θοῦσαι, ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ·
D καὶ οὕτως ἅμα ἀληθεύει τὰ ἱερὰ εὐαγγέλια, κατ᾽ οὐδένα λό-
γον διαφωνοῦντα· τὴν αὐτὴν δὲ Μαρίαν τὴν Μαγδαληνὴν εἰσά-
γοντα καὶ μὴ ἁπτομένην πρότερον τοῦ σωτῆρος, ὅτε ἔκλαιεν καὶ
ἠπίστει· καὶ ἁπτομένην αὐτοῦ, ὅτε χαίρειν ἐκελεύετο· πρῶτα
δὲ ἡγεῖσθαι τὰ παρὰ τῷ Ἰωάννῃ δηλούμενα τῶν παρὰ τῷ Ματ-
E θαίῳ φερομένων, καὶ διὰ τῶν ἔμπροσθεν γεγυμνασμένων ἡμῖν κα-

inscitiae: qua super re non pepercit obiurgationi. Tum in sequentibus divinam illi sui notitiam impertivit: quae his verbis magnopere erudita, denuo deseruit monumentum; secundo videlicet. Exin narratis Mariae alteri, quae vidisse eam narrat Iohannes, illuc cum eadem reversa est; tertio videlicet: ac tum eorum, quae memorat Matthaeus, spectatrix fuit; haud iam sola, sed cum altera Maria: neque iam introspiciens in sepulcrum, uti narrabat Iohannes; neque iam duos angelos, sed unum lapidi insidentem, cernens. Post haec denuo videt, comite altera Maria, ipsum servatorem; secundo videlicet: neque iam audit *noli me tangere*; immo gaudere, nedum flere, ab ipso iubetur: quin etiam hunc tangere sinitur, quem iam ut Deum venerabatur. Ait ergo his feminis Iesus, *gaudete*. Illae vero accedentes tenuerunt pedes eius et adoraverunt. Et vera igitur narrant sacra evangelia, et nulla in parte inter se pugnant: quamquam eandem Mariam Magdalenam introducunt et non tangentem primo servatorem dum flebat eratque incredula, et eum tangentem postquam gaudere iussa est. Iam priora esse existimanda quae sunt apud Iohannem iis quae apud Matthaeum, in disputatis retro secundum quandam explicatio-

τὰ μίαν τῶν ἐκδοχῶν παρεστήσαμεν, διασαφήσαντες ὅπως εἴ- A
ρηται παρὰ τῷ Ματθαίῳ τὸ ὀψὲ σαββάτων, οὐ τὴν ἑσπερινὴν ὥραν
δηλοῦντος τοῦ εὐαγγελιστοῦ, ἀλλὰ τὸν καιρὸν τὸν ἐπιφαύσκον-
τα εἰς μίαν σαββάτων· ἦν δ' οὗτος δεύτερος τοῦ παρὰ τῷ Ἰωάν-
νῃ δεδηλωμένου. Καὶ ταῦτα μὲν εἰρήσθω, εἴπερ τις ἐξ ἅπαντος
τὴν αὐτὴν εἶναι Μαρίαν παρ' ἀμφοτέροις τοῖς εὐαγγελισταῖς B
Ἰωάννῃ τε καὶ Ματθαίῳ διισχυρίζοιτο· εἰ δὲ συγχωρηθείη τὸ
μὴ τὴν αὐτὴν εἶναι, ἑτέραν δὲ τὴν ὀψὲ σαββάτων κατὰ τὸν Ματ-
θαῖον μετὰ τῆς ἄλλης Μαρίας ἀπαντήσασαν, καὶ ἄλλην τὴν πα-
ρὰ τῷ Ἰωάννῃ πρωῒ τῇ μιᾷ τῶν σαββάτων ἔτι οὔσης σκοτίας
μόνην ἐλθοῦσαν ἐπὶ τὸ μνημεῖον, πᾶσα λυθείη ἂν ἀμφιβολία· C
τὸ τὰς μὲν πρώτας ὀψὲ σαββάτων ἀφικομένας, ἅτε σπουδαιο-
τέρας καὶ πιστοτέρας ὑπαρχούσας, καὶ τὸ χαίρειν παρὰ τοῦ
σωτῆρος ἀκοῦσαι, καὶ προσκυνῆσαι, καὶ τοὺς πόδας αὐτοῦ κρα-
τῆσαι καταξιωθῆναι· τὴν δὲ παρὰ τῷ Ἰωάννῃ Μαρίαν ἑτέραν
οὖσαν παρ' ἐκείνας βράδιον μὲν ἀπαντηκέναι καὶ πρωΐ· ταύτην D
δ' αὐτὴν εἶναι κατὰ τὸν Μάρκον ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμό-
νια· σφόδρα δὲ τὴν ψυχὴν τεθορυβῆσθαι καὶ ἀπιστοτέραν εἶ-
ναι ὡς ἑστῶσαν κλαίειν, καὶ ὑπολαμβάνειν ὑφαιρεῖσθαι τοῦ μνη-
μείου τὸ σῶμα τοῦ σωτῆρος, καὶ ἐν ἑτέρᾳ μετενηνέχθαι γῇ·
οὕτω δὲ συγκέχυτο ἡ ψυχὴ αὐτῇ, ὡς μὴ δὲ τοὺς δύο ἀγγέ- E

nem comprobavimus, dum ostenderemus, ubi dicitur apud Matthaeum *sero sabbatorum*, non vespertinam horam significari ab evangelista, sed tempus illuscens in unam sabbatorum. Erat autem hoc tempus posterius illo, de quo Iohannes loquitur. Atque haec dicta sunto, siquis omnino eandem Mariam apud utrumque evangelistam Iohannem atque Matthaeum esse contendat. Sin vero concedatur non eandem esse, sed aliam quae sero sabbatorum, comite alia Maria, venit ad monumentum; aliam quae apud Iohannem mane una sabbatorum, dum adhuc tenebrae essent, sola ad idem monumentum accessit; omnis ambiguitas dissipabitur. Nimirum priores, quae sero sabbatorum venerunt, propter suam sedulitatem atque credulitatem, iussas esse a Christo gaudere, cumque adoravisse, eiusque pedes tenere dignas fuisse. Illam vero apud Iohannem Mariam, diversam a superioribus, serius, mane videlicet, supervenisse. Eandem hanc esse apud Marcum, de qua septem daemonia eiecta fuerant: quaeque vehementer animo perterrita fuerit, et paulo incredulior: quaeque idcirco manserat ibi flens, et suspicans ne forte servatoris corpus de sepulcro fuisset sublatum, atque in alias terras abactum. Atque adeo perturbatus fuerat

A λους τοὺς εἴσω τοῦ μνήματος ὀφθέντας αὐτῇ καταπλαγῆναι, μὴ δὲ αὐτὸν γνωρίσαι ὀφθέντα αὐτῇ τὸν σωτῆρα, νομίσαι δὲ αὐτὸν εἶναι τὸν κηπουρόν.

ΤΟΥ ΑΥΤΟΥ

B

Περὶ τοῦ τάφου καὶ τῆς δοκούσης διαφωνίας.

Πῶς παρὰ τῷ Ματθαίῳ ἡ Μαγδαληνὴ Μαρία μετὰ τῆς ἄλλης Μαρίας ἔξω τοῦ μνήματος ἑώρακεν τὸν ἕνα ἄγγελον ἐπι-
C καθήμενον τῷ λίθῳ τοῦ μνήματος· καὶ πῶς κατὰ τὸν Ἰωάννην εἴσω τοῦ μνήματος ἀγγέλους δύο θεωρεῖ καθημένους ἡ Μαγδαληνὴ Μαρία· κατὰ δὲ τὸν Λουκᾶν δύο ἄνδρες ἐπέστησαν ταῖς γυναιξίν· κατὰ δὲ τὸν Μάρκον νεανίσκος ἦν αὐταῖς ὁ ὁρώμενος καθήμενος ἐν τοῖς δεξιοῖς τοῦ μνημείου τῇ Μαγδαληνῇ Μαρίᾳ
D καὶ Μαρίᾳ Ἰακώβου καὶ Σαλώμῃ.

Τὰ μὲν παρὰ τῷ Ματθαίῳ προηγοῦνται· ὅθεν καὶ αἱ δύο Μαρίαι ἄρτι τὸν ἄγγελον ἐπιστάντα καὶ τὸν λίθον ἀποκυλίσαντα ἐθεάσαντο· τὰ δὲ παρὰ τῷ Ἰωάννῃ ὕστερον γίνεται, δύο ἀγγέλων εἴσω τοῦ μνήματος ὀφθέντων, ἑτέρων δὲ ὄντων παρὰ τὸν
E ἔξω φανέντα καὶ ἐπὶ τὸν λίθον καθεζόμενον, ὡς Ματθαῖος λέ-

illi animus, ut ne angelos quidem intra sepulcrum visos magnopere suspexerit, neque ipsum oculis oblatum servatorem agnoverit, sed potius hortulanum esse putaverit.

EIUSDEM EUSEBII

IIII. De sepulcro et de repugnantia apparente.

Quomodo apud Matthaeum Maria Magdalena simul cum altera Maria extra monumentum viderit unum angelum insidentem lapidi monumenti. Et quomodo secundum Iohannem intra monumentum angelos duos spectaverit sedentes Maria Magdalena. Secundum autem Lucam duo viri adstiterint mulieribus. Denique secundum Marcum iuvenis in dextro residens monumenti latere visus sit Mariae Magdalenae et Mariae Iacobi et Salomae.

Priora sunt quae narrat Matthaeus: quare et duae Mariae viderunt angelum qui nuper illuc venerat lapidemque revolverat. Sequuntur illa apud Iohannem, nempe duo angeli intra monumentum visi, ab eo diversi qui extra conspectus fuerat lapidi insidens, uti narrat Matthaeus. Quod autem apud

γει· τὸ δὲ παρὰ τῷ Λουκᾷ λεγόμενον, ὅτι δύο ἄνδρες ἐν ἐσθῆ- A
τι ἀστραπτούσῃ ὀφθέντες· ἔτι δὲ καὶ ὁ παρὰ Μάρκῳ νεανίσκος λευκὴν περιβεβλημένος στολὴν, δεξιός τε ἀλλ' οὐκ ἀριστερὸς ὁρώμενος, ὁ τὰ φαιδρὰ καὶ δεξιὰ ταῖς γυναιξὶν εὐαγγελιζόμενος, ἕτεροι ἀλλήλων ἂν εἶεν καὶ αὐτοὶ, καὶ τῶν ἄλλων τῶν παρὰ τοῖς πρώτοις εὐαγγελισταῖς λεγομένων· διὸ οὐδὲ ἀγγέλους αὐτοὺς οὗτοι B
ὠνόμασαν· ὁ δὲ Μάρκος καὶ ὁ Λουκᾶς οὐδὲ τὰ παρὰ τῷ Ἰωάννῃ καὶ Ματθαίῳ ἐμνημόνευσαν, λέγω δὴ τῶν τοῦ σωτῆρος ὀπτασιῶν [1]·

Lucam dicuntur duo viri in splendida veste visi; insuper ille iuvenis apud Marcum stola candida amictus, et in dextra potius quam laeva parte visus, qui laeta ac fausta mulieribus nunciavit; hi, inquam, diversi inter se angeli erunt, aliique ab iis qui apud priores evangelistas commemorantur: quare Lucas et Marcus ne angelos quidem diserte hos vocant: immo iidem evangelistae ne illa quidem recitant quae Iohannes atque Matthaeus, visiones dico servatoris; sed

(1) In duobus eusebianis capitibus a Combefisio ut iam dixi editis, sicuti permulta ex his ad Marinum scriptis desiderantur, ita quaedam diversa sunt, quaedam vero explicatiora videntur; veluti hoc loco sic habet editio: τοῖς κρείττοσιν, ὡς καθ' ἑαυτοὺς Ματθαίῳ καὶ Ἰωάννῃ, ἅτε δὲ ἀποστόλοις, τὰ κρείττονα γράφειν καὶ ἱστορεῖν παρακεχωρηκότες· αὐτοὶ δὲ τὰ δεύτερα διηγούμενοι, ἀνταναπλήρουν τὰ παρ' ἐκείνοις σεσιγημένα, ἃ δὲ δεύτερα ἦν καὶ μακρῷ λειπόμενα τῆς τῶν προτέρων ἱστορίας· οὕτω τοῦ ἁγίου πνεύματος διανείμαντος τὰς πρεπούσας ἑκάστῳ καὶ καταλλήλους διηγήσεις· Αἱ γοῦν παρὰ τῷ Λουκᾷ ὄρθρου βαθέος ἐπὶ τὸ μνημεῖον ἐλθοῦσαι γυναῖκες φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, ἕτεραι δὲ εἶεν τῶν παρὰ τῷ Ματθαίῳ καὶ Ἰωάννῃ· οὐ γὰρ ἂν ἔχοι λόγον τὰς τοσαῦτα προτεθεασαμένας Μαρίας, ἄρτι πρῶτον ἀρώματα φέρειν, ὡς μήπω τὴν ἀνάστασιν μεμαθηκυίας· διὸ εἴποιμεν ἂν ἑτέρας εἶναι τὰς παρὰ τῷ Λουκᾷ δηλουμένας τῶν πρώτων· τοῦτο δὲ καὶ αὐτὸς ὁ εὐαγγελιστὴς ἱστορεῖ λέγων· καὶ ἡμέρα ἦν παρασκευὴ καὶ σάββατον ἐπέφωσκε· κατακολουθήσασαι δὲ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας· καὶ τὰ ἑξῆς· ἰδοὺ δεικνυσιν ὅτι ἕτεραι ἦσαν αὗται· διὸ καὶ οἱ ὀφθέντες ἕτεροι ὑπῆρχον παρὰ τοὺς ἔμπροσθεν δεδηλωμένους· οὔτε γὰρ εἴσω τοῦ μνημείου ἦσαν κατὰ τὸν Ἰωάννην· οὔτε ἐπὶ τὸν λίθον καθεζόμενοι, ὡς ὁ παρὰ Ματθαίῳ ἄγγελος· ἄλλως τε δὲ οὐδὲ ἀγγέλους αὐτοὺς ὠνόμασεν ὁ Λουκᾶς, δύο δὲ ἄνδρας, πλὴν ἐν ἐσθῆτι ἀστραπτούσῃ, διὰ τῆς ἑορτῆς σύμβολα· καὶ οἱ λόγοι δὲ αὐτῶν οἱ πρὸς τὰς γυναῖκας ἰδιάζουσι· καὶ γυναῖκες δὲ πλείους ἦσαν, ἀλλ' οὐχ ἡ παρὰ τῷ Ἰωάννῃ μόνη· οὐδὲ αἱ παρὰ τῷ Ματθαίῳ δύο Μαρίαι· Περὶ δὲ τῆς μιᾶς Μαρίας τῆς παρὰ τῷ Ἰωάννῃ, περὶ τὸν ὄρθρον, ἔτι σκοτίας οὔσης, ἐπιστάσης τῷ μνήματι, καὶ ἰδούσης τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου, ἣν τινα καὶ Μαγδαληνὴν ὁ εὐαγγελιστὴς ὀνομάζει, ὑπόνοιά τις ὑπεισέρχεται ἄλλην τινὰ Μαγδαληνὴν εἶναι, μηδὲν τῶν ταῖς δυσὶ Μαρίαις ἑωραμένων γινώσκουσαν· εἰ δὲ μία καὶ ἡ αὐτή ἐστιν ἡ παρ' ἀμφοτέροις τοῖς εὐαγγελισταῖς μνημονευομένη, προηγεῖσθαι ἀνάγκη τὴν παρὰ τῷ Ἰωάννῃ ἱστορίαν, τῆς παρὰ τῷ Ματθαίῳ· καὶ τὴν αὐτὴν Μαγδαληνὴν τὸ πρῶτον μόνην ἐλθοῦσαν, τοὺς δύο ἀγγέλους εἴσω τοῦ μνήματος καθεζομένους ἰδεῖν· μετὰ δὲ ταῦτα δεύτερον ἐπιστᾶσαν τῷ αὐτῷ τόπῳ μετὰ τῆς ἄλλης Μαρίας τὸν ἐπικαθήμενον τῷ λίθῳ ἄγγελον ἑωρακέναι· τούτων δὲ τῶν δυεῖν ἐκδέχου τὴν προτέραν ἀληθεστέραν εἶναι οἶμαι· ἑτέρας οὔσης τῆς παρὰ τῷ Ἰωάννῃ Μαρίας παρὰ τὰς παρὰ τῷ Ματθαίῳ, κἂν τὸ ἐπίθετον αὐτῇ τῆς Μαγδαληνῆς ἐπιγράφηται· δύο γεγονυιῶν ὡς εἰκὸς τῶν ἀπὸ τῆς αὐτῆς Μαγδαληνῆς· τούτου γὰρ δοθέντος πᾶσα ἀμφισβήτησις λυθήσεται· ἑτέρων μὲν παρὰ τῷ Ματθαίῳ μνημονευομένων γυναικῶν, ἑτέρας δὲ παρὰ τῷ Ἰωάννῃ· καὶ ἑτέρου ὄντος καὶ τοῦ ἀγγέλου τοῦ ἐπὶ τὸν λίθον καθεζομένου· καὶ ἑτέρων τῶν δύο ἀγγέλων τῶν παρὰ τῷ Ἰωάννῃ εἴσω τοῦ μνήματος ὀφθέντων· ἑτέρου δὲ καὶ τοῦ χρόνου· ἑτέρων δὲ καὶ τῶν λόγων· τοῦ τε ἀγγέλου τοῦ ἐπὶ τοῦ λίθου καθεζομένου· καὶ τῶν ἀγγέλων τῶν εἴσω τοῦ μνήματος θεωρηθέντων. Κατὰ δὲ τὸν Μάρκον λίαν πρωῒ τῇ μιᾷ τῶν

A ἀλλὰ τοῖς κρείττοσιν Ματθαίῳ καὶ Ἰωάννῃ τὰ κρείττονα ᵃ κατέλιπον εἰπεῖν· αὐτοὶ τὰ δεύτερα εἰπόντες, καὶ ἀναπληρῶντες τὰ ἐκείνοις σεσιγημένα· ἔστιν οὖν εἰπεῖν οὕτως, ὅτι τεσσάρων ὄντων τῶν εὐαγγελιστῶν, ἰσάριθμοι τούτοις καὶ αἱ παρ᾽ αὐτῶν ἀναγραφεῖσαι φαίνονται ὀπτασίαι· οἵτε καιροὶ τέσσαρες, καὶ οἱ καθ᾽ ἕκαστον καιρὸν ὀφθέντες ἰδιαζόντως· ὁμοίως δὲ καὶ αἱ θεώμεναι ᵇ τῶν γυναικῶν διάφοροι· καὶ οἱ παρὰ τῶν ὀφθέντων λόγοι λεγόμενοι πρὸς αὐτὰς παραλλάττοντες πῶς οὖν ἐστιν τοῦτο; Πρῶτος οὖν καιρός ἐστιν ὁ παρὰ τῷ Ματθαίῳ ὀψὲ σαββάτων, ὅπου ἡ Μαγδαληνὴ Μαρία μετὰ τῆς ἄλλης ἔξω τοῦ μνήματος, ὅτε καὶ ἐγένετο σεισμός, ἕνα εἶδον λέγοντα οὕτως, μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε· οὐκ ἔστιν ὧδε· ἠγέρθη γάρ· δεῦτε, ἴδετε· τέταρτος δὲ καὶ τελευταῖος ὁ παρὰ τῷ Μάρκῳ ἡλίου ἀνατείλαντος φανεὶς ὁ νεανίσκος ὁ ὀφθεὶς ταῖς γυναιξὶν τῇ Μαρίᾳ τῇ Μαγδαληνῇ καὶ τῇ Μαρίᾳ Ἰακώβου καὶ Σαλώμῃ· αἱ μετ᾽ ἀρωμάτων ἐλθοῦσαι, ἤκουσαν μὴ ἐκθαμβεῖσθε, Ἰησοῦν ζητεῖτε τὸν ναζαρηνὸν τὸν ἐσταυρωμένον· μέσοι δὲ οἱ παρὰ τῷ

(B and C and D printed in the left margin at the lines beginning "ρὸν ὀφθέντες", "σεισμός", "μετ᾽ ἀρωμάτων".)

potioribus se Matthaeo atque Iohanni potiora dicere permittunt; ipsi secunda narrant, supplentque siquid ab illis silentio premitur. Itaque dicendum est, uti quatuor evangelistae sunt, sic pari numero esse visiones apud eos descriptas: item tempora quatuor, nec non eos qui per singula tempora singillatim apparuerunt: similiter et feminas, quae viderunt, fuisse diversas: itemque sermones eorum, qui visi sunt, discrepantes. Haec, inquam, quomodo se habent? Primum tempus est Matthaei illud *sero sabbatorum*, cum Maria Magdalena non sine una comite extra monumentum (quo item tempore terrae motus accidit) unum vidit sibi dicentem: " nolite timere; scio enim a vo-„ bis Iesum qui crucifixus est quaeri; non est hic; surrexit; venite et vide-„ te „. Quartum extremumque tempus est Marci illud, cum orto iam sole, a iuvene oblato mulieribus Mariae Magdalenae et Mariae Iacobi et Salomae, quae cum aromatibus venerant, hae ipsae audierunt: " nolite expavescere; Iesum „ quaeritis nazarenum crucifixum „. Medii autem sunt angeli illi, qui apud

(a) Τὰ κρείττονα commode suppletur ex alio codice vaticano. (b) Cod. οἱ θεώμενοι.

σαββάτων ἀπέρχονται ἐπὶ τὸ μνῆμα, ἀνατείλαντος τοῦ ἡλίου· ἰδοὺ ἄλλαι πάλιν αὗται καὶ ἐν ἑτέρῳ καιρῷ, αἳ καὶ ἔλεγον πρὸς ἑαυτάς, τίς ἡμῖν ἀποκυλίσει τὸν λίθον; καὶ ὅτε ἴδον νεανίσκον καθήμενον, ὥσπερ ἐπὶ τοῦ Λουκᾶ, ἄνδρες, ἀλλ᾽ οὐκ ἄγγελοι· οὕτω καὶ νῦν, οὐκ ἄγγελος ὠνόμασται, οὐδὲ ἀνήρ, ἀλλὰ νεανίσκος· ὥστε καὶ ταύτην ἀφωρισμένην εἶναι τὴν διήγησιν, καὶ τὸν ὀφθέντα ἕτερον, καὶ τὰς ἀφικομένας ἄλλας, καὶ τὸν καιρὸν ὁμοίως ἄλλον, τὸν μετὰ ἡλίου ἀνατολάς. Eadem rursus narratio in vaticanis quoque codicibus aliquantulum variat, pro breviatorum scilicet aut excerpentium arbitrio.

Ἰωάννῃ καὶ τῷ Λουκᾷ καὶ ὀφθέντες κατὰ καιρὸν ἰδιάζοντες· ἐφά- A
νη μὲν γὰρ ὀψὲ σαββάτων ἄγγελος εἷς ἐκτὸς τοῦ μνήματος·
μεθ' οὗ καὶ αὐτὸς ὁ σωτήρ· ὄρθρου δὲ βαθέος, ἕτεροι οἱ κατὰ
τὸν Λουκᾶν δυο ἄνδρες ὠνομασμενοι οὐκ εἴσω τοῦ μνήματος ὀφ-
θέντες· ὕστερος ἁπάντων ὁ νεανίσκος· καὶ πρὸ τούτου καὶ τῶν πα-
ρὰ τῷ Λουκᾷ οἱ δύο εἴσω τοῦ μνήματος. Ὅτι ὁ Λουκᾶς μιᾷ λέ- B
γει τῶν σαββάτων ὄρθρου βαθέος φέρειν ἀρώματα γυναῖκας δύο
τὰς ἀκολουθησάσας αὐτῷ, αἵτινες ἦσαν ἀπὸ τῆς Γαλιλαίας
συνακολουθήσασαι, ὅτε ἔθαπτον αὐτὸν ἐλθοῦσαι ἐπὶ τὸ μνῆμα·
αἵτινες δύο ἀγγέλους εἶδον, οἳ καὶ εἶπον, τί ζητεῖτε τὸν ζῶντα
μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη· μνήσθητε ὡς ἐλά- C
λησεν ὑμῖν ἔτι ὢν σὺν ὑμῖν λεγων, ὅτι δεῖ παθεῖν τὸν υἱὸν ἀνθρώ-
που· καὶ τὰ ἑξῆς. Ὅτι Ἰωάννης λέγει τῇ μιᾷ τῶν σαββάτων Μαρίαν
τὴν Μαγδαληνὴν μόνην ἔρχεσθαι πρὸς τὸ μνῆμα σκοτίας ἔτι οὔ-
σης· καὶ βλέπει τὸν λίθον ἠρμένον καὶ ἔρχεται πρὸς Σίμωνα καὶ πρὸς
Ἰωάννην καὶ λεγει· ἦραν τὸν κύριον ἀπὸ τοῦ μνημειου καὶ οὐκ οἶ- D
δα ποῦ ἔθηκαν αὐτόν· ἦλθεν οὖν Πέτρος καὶ Ἰωαννης ἐπὶ τὸ μνη-
μεῖον· καὶ τὰ ἑξῆς· εἶτα εἰσάγει κλαίουσαν τὴν Μαγδαληνήν· καὶ
παρακύψασαν ἰδεῖν λέγει δύο ἀγγέλους καθεζομενους ἕνα πρὸς
τῇ κεφαλῇ καὶ ἕνα πρὸς τοῖς ποσίν· καὶ λεγουσιν αὐτῇ, γύ-
ναι, τί κλαίεις; ἡ δὲ εἶπεν, ἦραν τὸν κύριόν μου καὶ οὐκ οἶδα E

Iohannem et Lucam apparent per intervalla singillatim. Apparuit enim sero sabbatorum angelus unus extra monumentum; post quem ipse servator: mane autem iam adulto, alii duo apud Lucam viri appellati, haud intra monumentum visi. Extremus omnium ille iuvenis; et ante hunc, nec non ante viros a Luca memoratos, duo illi intra monumentum. Lucas ait una sabbatorum mane perspicuo tulisse aromata mulieres duas, quae sequutae fuerant Iesum, Galilaea oriundae, quaeque deduxerant eius funus et venerant ad monumentum. Hae duos angelos viderunt sibi dicentes: " cur quaeritis viventem in-
„ ter mortuos? non est hic, sed surrexit. Recordamini quae vobis dixit dum
„ vobiscum versaretur, quod nempe oporteret filium hominis pati „; et reliqua. Iohannes ait una sabbatorum Mariam Magdalenam solam accessisse ad monumentum cum adhuc tenebrae essent; vidisse lapidem sublatum; venisse ad Simonem atque Iohannem, quibus ait: " tulerunt Dominum de monumen-
„ to, et nescio ubi posuerunt eum. Venit ergo Petrus atque Iohannes ad monu-
„ mentum „; et reliqua. Deinde Magdalenam flentem exhibet evangelista; quam semet inclinantem vidisse ait duos angelos sedentes, unum ad caput, alterum ad pedes; sibique dicentes: " mulier quid ploras? quae ait: tulerunt Do-

A ποῦ ἔθηκαν αὐτόν· εἶτα ἐστράφη εἰς τὰ ὀπίσω· καὶ εἶδεν τὸν Ἰησοῦν ἑστῶτα· καὶ οὐκ ᾔδει ὅτι Ἰησοῦς ἐστιν· ὁ δὲ Ἰησοῦς λέγει, γύναι, τί κλαίεις; τίνα ζητεῖς;

Ὅτι ἀποροῦσί τινες ὡς τρεῖς ἡμέραι καὶ τρεῖς νύκτες πληροῦνται, καθῶς εἶπεν χριστὸς, αἱ τῆς ἀναστάσεως· καὶ ἔστιν εἰ-
B πεῖν [1]· οἱ μὲν ἀπὸ τῆς προδοσίας· οἱ δὲ τὴν παρασκευὴν εἰς δύο ποιοῦσιν· ἐπεὶ νὺξ γέγονεν καὶ πάλιν ἡμέρα· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τοῦ ἡλίου σκοτισθέντος καὶ πάλιν ἀναφλεχθέντος· εἶτα ἡ τοῦ σαββάτου ἡμέρα ὅλη καὶ ἡ νὺξ αὐτῆς· οἱ δὲ ἡμέραν μὲν τὴν παρασκευὴν ὅλην, καὶ τὴν νύκτα αὐτῆς· σάββατον ὅλον, καὶ τὴν νύκ-
C τα αὐτοῦ· τῆς δὲ κυριακῆς τὴν ἀρχὴν εἰς ἡμέραν μετροῦσιν ὅλην· ὡς ἀρξαμένης ἤδη τότε ὁ χριστὸς ἠγέρθη· οὕτω τρεῖς ἡμέρας λέγουσιν: ἐπεὶ καὶ ἐπὶ νεκρῶν καὶ ἐπὶ τῶν ἀρτιγεννῶν παίδων οὕτως μετρεῖν ἔθος ὅλην ἡμέραν, ὅτε τὴν ἀπὸ τῆς δεκάτης ὥρας ἀρξαμένην γέννησιν μετροῦμεν, ἢ τὴν ἀπὸ τῆς ἀρχῆς τῆς ἡμέρας
D ἀρξαμένην γέννησιν· ὁμοίως καὶ ἐπὶ νεκρῶν τὴν τρίτην ἡμέραν καὶ τὴν ἐννάτην καὶ τὴν τεσσαρακοστὴν τὰ νενομισμένα ποιοῦντες· οὐχ ὅλην τὴν τρίτην μετὰ τῆς νυκτὸς αὐτῆς· οὐδὲ ὅλην τὴν ἐννάτην μετὰ τῆς οἰκείας νυκτὸς αὐτῆς· οὐδὲ τὴν τεσσαρακοστὴν ὁμοίως ὅλην μετὰ νυκτὸς αὐτῆς· ἀλλὰ τὰς ἀρχὰς τῶν τελευ-

minum meum, et nescio ubi posuerunt eum. Mox conversa retrorsum vidit Iesum stantem, neque tamen sciebat eum esse Iesum. Dicit autem ei Iesus: mulier, cur ploras? quem quaeris?

Ambigunt nonnulli quonam pacto tres dies noctesque tres absolutae fuerint, uti praedixit Christus, ante faciendam resurrectionem. Age vero respondere sic licet. Alii a tempore, quo Iesus proditus fuit, numerant: alii parasceven in duo dividunt, quia nox fuit rursusque dies, quia scilicet illa die sol obscuratus, denuo reluxit. Exin est sabbati dies integra, eiusque nox. Alii supputant parasceven totam, diem noctemque; sabbatum item totum eiusque noctem; dominicae autem diei initium, loco integrae diei metiuntur, qua incipiente Christus surrexit. Atque ita tres dies dicunt. Certe et in mortuis ac in recens natis pueris ita solemus totam diem metiri, sive nativitas contigerit hora decima sive die exordiente. Sic etiam mortuis tertia die et nona et quadragesima inferias legitimas ferimus, haud tota tertia cum sua nocte, neque tota nona cum sua item nocte, neque tota quadragesima similiter cum sua nocte,

(1) Expilat hanc Eusebii quaestionem ac solutionem Isidorus pelusiota ep. II. 212, tacito auctoris nomine.

ταίων ἡμερῶν ὁρῶντες ἐκτελοῦμεν τὰ πραττόμενα, ὅλην ἡμέραν A
Matth. XII. 40. ταύτην καὶ μετροῦντες καὶ λογιζόμενοι· ἀλλ᾽ ἐπεὶ χριστός φησιν τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἐν τῇ καρδίᾳ τῆς γῆς ἔσομαι, ἔστι δὲ οὕτως εἰπεῖν· ἆρα εἰ χρεώστην ἐπαγγειλάμενον τῷ οἰκείῳ δανειστῇ μετὰ τρεῖς ἡμέρας πληρώσειν τὸ χρέος, πρὸ τῆς προθεσμίας πληρώσαντα θεασάμενοι, ὡς ψευσάμενον κρινοῦ- B
μεν, ἢ ὡς πλέον ἀληθεύσαντα; καὶ ἄλλως· εἰ θᾶττον ἢ (a) εἶπεν, ἀνέστη, πλέον ἡ δύναμις, καὶ ἔγκλημα οὐκ ἔχει· τὸ δὲ βράδιον, ὑποψίας γέμει καὶ ψεῦδος λογίζεται γιγνόμενον· ψεῦδος μὲν, ὅτι παρῆλθεν ὁ λεχθεὶς ὅρος· ὕποπτον δὲ, ὅτι τῶν φυλάκων ἀναχωρησάντων, κλοπὴ τὸ πρᾶγμα ἐνομίσθη ἄν.

sed initiis mortualium dierum spectatis, iusta absolvimus, idque tempus pro die integra habemus atque metimur. Sed quoniam Christus dixerat, tribus diebus tribusque noctibus se in corde terrae futurum, lubet ita disserere: siquis aere alieno obstrictus creditori suo recepisset, se tres post dies soluturum; hunc, inquam, si ante condictam diem aes illud dissolvere videremus, mendacem ne an multo veraciorem iudicaremus? Praeterea, si Christus ocius, quam spoponderat, resurrexit, maior hinc virtus elucescit, nedum locus reprehensioni est. Suspicio contra et mendacium ex tarditate consequebantur: mendacium, quia condictus terminus fuisset elapsus; suspicio, quia recedentibus custodibus, ea res furti fuisset insimulata.

(a) Deest ἢ in cod. quae tamen particula vix heic omitti posse videtur. Ceterum Montfauconius praef. ad Euseb. comm. in psalm. cap. ult. docet nos particulam ἢ passim desiderari, sequente vocali, in Eusebii nostri scriptis. Itaque et nos superius p. 57. v. 2. a fin. scriptum vidimus in codice vaticano ἀλλ᾽ ἢ pro ἀλλ᾽ ἢ ἢ; et quidem a prima manu haud scio an in codice fuerit ἀλλ᾽ ἢ pro ἀλλ᾽ ἢ, quod postremum appinxit recentior manus;

EUSEBII

QUAESTIONUM AD STEPHANUM

SUPPLEMENTA.

E Possini catena in Matthaeum tom. I. p. 12.

B Εὐσεβίου· Ὅτι δὲ ἔγκυος εὑρέθη ἡ θεοτόκος, καὶ ὅτι οὐδενὶ ἑτέρῳ ἀλλ' ἢ τῷ Ἰωσὴφ, ὁ εὐαγγελιστὴς ἀπεφήνατο· ἐκ γὰρ πνεύματος ἁγίου γέγονε, φησὶ, τὸ τοιοῦτον φανερόν· δικαίῳ γὰρ ὄντι τῷ Ἰωσὴφ οὐκ ἦν θαυμαστὸν γνωσθῆναι διὰ πνεύματος ἁγίου, ἐξ οὗ καὶ ἡ κύησις γέγονεν. Euseb. p. 4.

C

E catena inedita in codice vaticano.

Εὐσεβίου. Ἐνέτυχον δὲ ἑρμηνείᾳ ἀνεπιγράφῳ λεγούσῃ, ὅτι οἱ μέν φασι συγγενίδα τὴν Ἐλισάβετ τῆς παρθένου παρὰ τοῦ ἀγγέλου ὠνομάσθαι, οὐχ ὡς ἐκ τῆς αὐτῆς φυλῆς, ἀλλὰ διὰ τὸ D ἐκ τῶν αὐτῶν προγόνων, καὶ τοῦ αὐτοῦ κοινῶς τῶν ἰουδαίων γένους ἀμφοτέρας ὡρμῆσθαι· ὡς ὁ ἀπόστολος, ἐβουλόμην λέγων ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα· πολλοὶ δὲ καὶ τῶν δοκίμων λέγουσιν ἀληθῶς κατὰ συγγένειαν συνῆφθαι τὴν ἱερατικὴν φυλὴν τῇ βασιλικῇ καὶ ἄνω ἐπὶ Μωσέως· ἡ E γὰρ Ἐλισάβετ ἡ γυνὴ Ἀαρὼν ἀδελφὴ ὑπῆρχε Ναασσὼν υἱοῦ Ἀμιναδὰβ, ὃς ἀπὸ Ἰούδα τοῦ υἱοῦ Ἰακὼβ κατήγετο, ἀφ' οὗ τὸ βασίλειον γένος τοῖς ἰουδαίοις· καὶ κάτω δὲ ὁμοίως Ἐλισάβετ ἡ γυ- Euseb. p. 10.

Eusebii. Gravidam Dei matrem nemini nisi Iosepho inventam esse ait evangelista: a sancto quippe spiritu res patefacta fuit. Iusto autem homini nil mirum est revelatam fuisse a sancto spiritu hanc conceptionem, quam sua idem virtute perfecerat.

Eusebii. Incidi in quandam anonymi auctoris interpretationem dicentis Elisabetam, ex nonnullorum sententia, appellatam fuisse ab angelo cognatam virginis, non quia de eadem esset tribu, sed quia ex iisdem progenitoribus eodemque Iudaeorum genere communis utrique origo fuerit. Nempe ut apostolus loquitur: " optabam ego anathema esse pro fratribus meis, qui sunt cognati mei secun- ,, dum carnem ,,. Multi tamen probati interpretes aiunt, vera prorsus cognatione sacerdotalem tribum cum regali fuisse conexam a mosaicis usque temporibus. Namque illa Elisabeta Aaronis uxor, Naassonis soror erat Aminadabo geniti, qui ortum a Iacobi filio trahebat Iuda, unde regale Iudaeorum genus propagatum est. Sed et proximo pariter tempore Elisabeta Zachariae

νὴ Ζαχαρίου ἀπὸ τῆς Ἰούδα φυλῆς εἷλκε τὴν γένεσιν, θυγάτηρ χρη- A
ματίζουσα Ἰακὼβ τοῦ πατρὸς Ἰωσήφ· ἐκ γοῦν τῆς συγγενείας τού-
του τοῦ Ναασσὼν ὁ κύριος κατὰ σάρκα γεγέννηται· οὐ μάτην οὖν τῆς
βασιλικῆς φυλῆς τὴν ἐπιμιξίαν ὁ θεῖος προφήτης ἐδίδαξεν, ἀλ-
λὰ δεικνὺς ὡς ὁ δεσπότης χριστὸς ἐξ ἀμφοτέρων ἐβλάστησεν, ὡς
βασιλεὺς καὶ ἀρχιερεὺς κατὰ τὸ ἀνθρώπινον χρηματίσας· ἢ ὡς B
ἐξ ἑνὸς προπάτορος τοῦ Ἰακὼβ ὑπαρχούσας, συγγενίδας καλεῖ.

E Possini catena in Matth. tom. I. p. 8.

Euseb. p. 13. Προσηκόντως ἐζήτηται ἡ αἰτία δι' ἣν ἄνωθεν ὁ Ματθαῖος
ἐποιήσατο τὴν τοῦ χριστοῦ γενεαλογίαν, ὁ δέ γε Λουκᾶς κάτωθεν C
καὶ ἐξ ἐναντίας· καὶ ῥητέον, ὡς οὐκ ἄτοπον ἄνωθέν τε καὶ κάτω-
θεν τὴν αὐτὴν βαδίζειν ὁδόν· ἦν γὰρ καὶ τοῦτο πάλαι τῇ θείᾳ γρα-
φῇ σύνηθες· οὕτω γὰρ καὶ Δαβὶδ ἐν τῇ Ῥοὺθ ἄνωθεν γενεαλογεῖ-
ται, καθὼς καὶ παρὰ τῷ Ματθαίῳ ὁ χριστός· καὶ ἐν τῇ τῶν βασι-
λειῶν δὲ πρώτῃ βίβλῳ ὁ τοῦ Σαμουὴλ πατὴρ κάτωθεν γενεαλο- D
γεῖται, παραπλησίως τῷ Λουκᾷ.

E catena inedita in codice vaticano.

Euseb. p. 17. Περὶ τούτου ὁ Εὐσέβιος ἐν τῷ εἰς τὸ κατὰ Ματθαῖον οὕ-
τως φησί· φασὶ δὲ τὸν Νάθαν καὶ προφητεῦσαι κατὰ τὰ ἐν ταῖς E

uxor e Iudae tribu oriebatur; filia quippe Iacobi qui Iosephi pater est. Ab huius igitur Naassonis stirpe Dominus secundum carnem ortus est. Ergo haud temere permixtionem cum regia tribu divus propheta docuit; sed ut Christum dominum ex utraque propagatum ostenderet, qui regis nimirum personam atque pontificis inter homines gesturus erat. Vel denique hae cognatae appellantur, quia de eodem progenitore Iacobo ortae.

Eusebii. Merito quaestio orta est quamobrem Matthaeus superne texuerit Christi genealogiam, Lucas autem inferne atque ex adverso. Porro dicendum est, nihil fieri absurdum, si eadem via sursum deorsumque pergatur. Nam et hic olim scripturae divinae mos fuit: quippe ita Davidis in Ruthae libro superne evolvitur genealogia, haud secus quam Christi apud Matthaeum. Contra in libro regum primo Samuelis pater sursum versus ad genealogiae fontem perducitur, sicuti fit apud Lucam.

Eusebii. De hoc Eusebius in opere super Matthaeum sic loquitur: aiunt Nathanem quoque prophetavisse, prout apparet ex iis quae in regum

A βασιλείαις φερόμενα. Εγὼ δὲ φησί τις καὶ τὴν αἰτίαν ᾽επυθόμην τήν τοι μακάριον Λȣκᾶν ἀποκλῖναι τῆς βασιλείȣ φρατρίας ὑπαγαγȣ̃σαν, τῷ μὴ τȣ̀ς βασιλεῖς ἀπ᾽ αὐτȣ̃ Σολομῶντος εἰδωλολατρείας καθαρεύειν, πλὴν ἐλαχίςων, ταύτῃ παραιτήτασθαι τὴν δι᾽ αὐτῶν γενεαλογίαν:

B

E Possini catena in Matth. t. I. p. 8.

Εὐσεβίου. Τὴν τοῦ Δαβὶδ μετάνοιαν ἐπὶ τῷ ἁμαρτήματι δημοσιεύων ὁ εὐαγγελιστὴς ἐμνήσθη τῆς γυναικὸς, μεθ᾽ ἧς τὴν ἁμαρτίαν ἐξετέλεσε· καὶ ὅτι εἰ μὴ διὰ μετανοίας συγγνώμην Euseb. p. 34.
C τοῦ ἁμαρτήματος ἐδέξατο παρὰ θεοῦ, ȣ̓κ ἂν αὐτὸς ἠξιώθη προπάτωρ γεγονέναι τοῦ χριστοῦ.

Ex Anastasio sinaita quaest. VIIII.

Εὐσεβίȣ Παμφίλȣ ἐκ τῶν πρὸς Μαρῖνον [1]. Ὁ γὰρ Νάθαν Euseb. p. 35.
D θαν διὰ τῆς εἰρημένης αὐτῷ πρὸς τὸν Δαβὶδ παραβολῆς διδάσκει, ὅτι κατὰ τὸν μέγαν πειρασμὸν συνέβη τῷ Δαβὶδ τὸ ἁμάρτημα· παρίστησι δὲ ὁ λόγος, ὅτι μὴ εἰς πρόσωπον ἑτέρων, μηδὲ ἐνώπιον παντὸς τοῦ λαȣ̃ διηλέγχθη αὐτόν· ἀλλ᾽ εἰσελθὼν, φησι, πρὸς αὐτόν· ὁ δὲ Δαβὶδ ȣ̓ μόνον τοῖς καθ᾽ ἑαυ-
E τὸν ἐξαγορεύει τὸ πλημμεληθὲν, ἀλλὰ καὶ εἰς τοὺς μετέπει-

libris feruntur. Ego vero, inquit quidam, causam quoque didici quae Lucam a regia linea avertit; quia scilicet reges, ducto a Solomone initio, exceptis paucissimis, idololatriae crimine inquinati fuerunt. Idcirco Lucas a genealogia per hos derivanda abstinuit.

Eusebii. Davidis paenitentiam palam edicens evangelista, mentionem facit mulieris quicum ille flagitium patraverat. Nimirum quia nisi is peccati veniam paenitentiae merito impetravisset, haud dignus fuisset qui progenitor servatoris existeret.

Eusebii Pamphili e libris ad Stephanum. Nathan per eam quam Davidi recitat parabolam docet, magnae cuiusdam tentationis tempore contigisse Davidi ut in peccatum impingeret. Satis autem scriptura demonstrat, extra vulgi praesentiam omnique arbitro remoto peractam esse a propheta reprehensionem: ait enim " et ingressus ad eum ". Ipse tamen David non suis modo aequalibus reatum enarrat, verum etiam posteris cunctis, dum in ti-

(1) Ita ed. Sed manifestum mendum est pro Στέφανον. Quamquam etiam columnensis olim, nunc vaticanus, quem consului, intactus codex eum errorem retinet. Ceteroqui praedictus codex permultas mihi suppeditavit emendationes. Gretseriana enim Anastasii editio miris mendis scatet.

τὰ ἀνθρώπους, τὸν ψαλμὸν ἐπιγράψας εἰρῆσθαι αὐτῷ ἡνίκα A
εἰσῆλθε πρὸς Βηρσαβεέ, καὶ ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν
προφήτην· οἶμαι δὲ οὖν τούτῳ τῷ πονηρῷ πνεύματι ἐκδεδόσθαι αὐ-
τὸν, διὰ μίαν ἐκείνην φωνὴν, ἣν ἔφη· ἐγὼ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, οὐ
μὴ σαλευθῶ εἰς τὸν αἰῶνα· τοῦτο γὰρ μεγαφρονῆσαι, τοιοῦτον
προέσθαι ῥῆμα, ὅτι οὐκ ἂν σαλευθείη, μένει δὲ ἄτρεπτος καὶ B
ἀπαθὴς ἐν τῇ εὐθηνίᾳ αὐτοῦ, ὑπέρογκον ἦν καὶ ὑπερήφανον,
καὶ οὐχ ὅμοιον τὸ ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην
ἐκοπίασαν οἱ οἰκοδομοῦντες· καὶ τὰ ἑξῆς· ἀλλ᾽ ὅ γε ἱερὸς ἀπό-
στολος ταῦτα εἰδὼς, οὐκ ἐτόλμησε φάναι, οὐ μὴ σαλευθῶ εἰς
I. Cor. VIIII. τὸν αἰῶνα· πεφρόντικε δὲ λέγων· μή πως ἄλλοις κηρύξας, αὐ- C
27. I. I. 31. I. τὸς ἀδόκιμος γένωμαι· καὶ παραινεῖ λέγων, μηδεὶς καυχάσθω
10. 12. II. 10. 18. ἐν ἀνθρώποις· ὁ δὲ καυχώμενος, ἐν κυρίῳ καυχάσθω· καὶ ὁ δο-
κῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· οὐ γὰρ ἑαυτὸν συνιστῶν, ἐκεῖ-
νός ἐστι δόκιμος, ἀλλ᾽ ὃν ὁ κύριος συνίστησι. καὶ πάλιν ἡ προ-
I. reg. φητεία, μὴ καυχᾶσθε καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχήν· D
II. 3. Proverb. μὴ δὲ ἐξελθέτω μεγαλοῤῥημοσύνη ἐκ τοῦ στόματος ὑμῶν· ἀλ-
XXVII. 1. λὰ καὶ ὁ Σολομῶν φησι, μὴ καυχῶ τὰ εἰς αὔριον· οὐ γὰρ οἶ-
δας τί τέξεται ἡ ἐπιοῦσα· ὁ δέ γε Δαβὶδ ἐν ἀγαθῶν εὐθηνίᾳ
τῶν παρὰ θεῷ γενόμενος, καὶ ἐπὶ μέγα προκόψας ἀρετῆς,

tulo ait, dixisse se psalmum illum quo tempore ingressus fuerat ad Bersabeam, venitque ad eum Nathan propheta. Existimo autem pravo huic spiritui traditum fuisse Davidem ob eam tantummodo quam emisit vocem " ego dixi in abundantia mea, non movebor in aeternum ". Nam sic animo esse elatum, atque huiusmodi effutire sententiam, numquam se commotum iri, sed firmum inlibatumque mansurum, tumidi id hominis superbique erat, neque similis dicenti " nisi dominus aedificaverit domum, in vanum laboraverunt qui aedificant eam "; et reliqua. Cuius rei conscius sacer apostolus haud dicere ausus fuit " non movebor in aeternum "; sed cogitabundo animo dixit: " ne quum aliis praedicaverim, ipse reprobus efficiar ". Hortaturque dicens: " nemo glorietur in hominibus; siquis autem gloriatur, in Domino glorietur. Et qui stare videtur, caveat ne cadat. Neque enim qui se ipsum commendat, ille probatus est, sed quem Deus commendat: Rursusque prophetia ait " ne gloriemini, et ne sublimia loquamini cum superbia; neque prodeat magniloquentia ex ore vestro ". Quin et Solomon ait " ne glorieris in crastinum; nescis enim quid ventura pariet dies ". Contra David in affluentia divinorum beneficiorum versans, atque in magnam virtutem provectus, non

A ἐτόλμησε φάναι, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα· διὸ καὶ πα-
ραχρῆμα καταλείπεται ὑπὸ τοῦ συνεργοῦντος αὐτῷ τἀγαθὰ
κυρίου καὶ συμπλέκεται αὐτῷ πνεῦμα πονηρόν· ὅθεν φησὶν,
ἐγὼ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα·
ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμέ-
B νος· διδάσκων ὅτι πρότερον εἰπὼν οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶ-
να, μετὰ ταῦτα ἀποστρέφοντος τοῦ θεοῦ τὸ πρόσωπον αὐτοῦ
διὰ τὴν μεγαλοῤῥήμονα φωνὴν, ὁμολογεῖ τεταράχθαι. εἶτα
ὠφεληθεὶς ἐπὶ τούτοις, τὰ πάλαι κατορθώματα αὐτοῦ, οὐκέ-
τι ἑαυτῷ, ἀλλὰ τῷ θεῷ ἐπιγράφει λέγων· κύριε ἐν τῷ θε-
C λήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν· ὅτε γὰρ ἀπέσ-
τρεψας τὸ πρόσωπόν σου καὶ ἐγενήθην τεταραγμένος, τότε
ἔγνων ὅτι καὶ πάλαι τῷ σῷ θελήματι καὶ ἐκ τῆς σῆς χάρι-
τος καὶ δωρεᾶς ὑπῆρχε περὶ τὴν ἐμὴν ψυχὴν τὸ κάλλος· διό Ps. lxxxvii.
φησιν, ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην· ἀλλ' ἀγαθόν 16.
D μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου· Ps. cxviii.
καὶ ἔγνων κύριε ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ (a) 71.75.
ἐταπείνωσάς με.

E Possini catena in Matth. t. I. p. 10.

E Εὐσεβίου. Τοῦ Ἰεχονίου ἦν κατηγόρημα, τὸ ἐκκήρυκτον Euseb. p. 41.

dubitavit dicere " non movebor in aeternum ". Idcirco mox a suppeditante illi bona Domino destituitur, eique pravus spiritus commiscetur. Hinc ait " ego dixi in abundantia mea, non movebor in aeternum. Tu vero avertisti faciem tuam, et ego perturbatus sum ". Atque ita demonstrat, se qui prius dixerat " non movebor in aeternum " postea Deo faciem propter arrogans verbum avertente, coactum esse fateri perturbationem suam. Exin his eruditus, pristina sua praeclare gesta haud iam sibi sed Deo adscribit dicens " Domine in voluntate tua praestitisti decori meo vim ": quum enim avertisti faciem tuam, ego fui perturbatus: ac tum demum certior factus sum, olim quoque a voluntate et gratia ac munere tuo contigisse animo meo decorem. Hinc ait " exaltatus autem, deinde humiliabar animoque angebar. Et bonum mihi, quod humiliaveris me, ut discam iustificationes tuas. Et novi Domine iusta esse iudicia tua, et quod merito humiliaveris me ".

Eusebii. Iechoniae crimini vertebatur, quod proscriptus fuisset atque

(a) Cod. ἀλήθεια.

αὐτὸν γεγονέναι καὶ αἰχμάλωτον· διὸ καὶ ἄτιμος ὑπῆρχε τοῖς A
πολλοῖς· καὶ τοῦτο ἦν τὸ δι' ὃ τῶν τοὺς γενεαλογοῦντας τὸν χριστόν, ὥστε τοὺς μὲν ἀπὸ Σολομῶντος, τοὺς δὲ ἀπὸ Νάθαν κατάγειν τὰς γενεάς· κἀντεῦθεν ὁ εὐαγγελιστὴς μνείαν ἐποιήσατο αὐτοῦ· καὶ φησὶ τὸν λυτρωτὴν τῶν αἰχμαλώτων παραγεγονέναι,
καὶ διὰ τοῦ βαπτίσματος αὐτοὺς παραδεχόμενον. B

E catena inedita in codice vaticano.

Euseb. p. 52. Εὐσεβίου τοῦ Παμφίλου. Θρόνον λέγει τὸν ἐπαγγελθέντα τῷ Δαβὶδ, οὐ μὴν καὶ δοθέντα· " ἅπαξ γάρ, φησι ὤμοσα ἐν τῷ
„ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι· τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶ- C
„ να μένει, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου „· καὶ πάλιν, „ ὤμοσα Δαβὶδ τῷ δούλῳ μου, ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρ- „ μα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου „· ταῦτα δὲ οὐ περὶ σαρκικοῦ σπέρματος φησὶ, οὐδὲ περὶ αἰσθητοῦ
θρόνου, ἀλλὰ περὶ οὗ φησὶ καὶ ὁ ἄγγελος πρὸς τὴν παρθένον, τὸν D
μηδὲν ἐπίκαιρον ἔχοντα, τὸν καθ' ὅλης τῆς οἰκουμένης φωτὸς δίκην ἐκλάμποντα, καὶ ψυχὰς νοερῶς (a) καταυγάζοντα διὰ τῆς ἐνθέου διδασκαλίας· οἶκον δὲ Ἰακὼβ μὴ τὸν ἰουδαίων λαὸν νόμιζε μόνον, ἀλλὰ πάντας τοὺς διὰ τῆς κλήσεως τοῦ σωτῆρος ἐξ ἁπάντων τῶν
ἐθνῶν εἰς τὴν τῶν ἁγίων υἱοθεσίαν εἰσποιουμένους· ὁ λαὸς τοῦ E

captivus: quare et apud plerosque in contemptu erat: eaque res bifariam scidit Christi genealogos, ita ut alii a Solomone alii a Nathane lineam generis deduxerint. Hanc ob causam evangelista Iechoniae meminit, aitque venisse captivorum redemptorem, qui hos per baptismum ad se reciperet.

Eusebii Pamphili. Thronum dicit Davidi nunciatum, neque tamen datum. " Semel enim, ait, iuravi in sancto meo si Davidi mentiar: semen „ eius manet in aeternum; et thronus eius sicut sol in conspectu meo „. Et rursus " : iuravi Davidi servo meo, usque in aeternum praeparabo semen „ tuum, et aedificabo in generationem et generationem thronum tuum „. Atqui haec haud de carnea stirpe dicit, neque de visibili throno, sed de illo quem angelus memorat cum Maria loquens, qui nihil temporale habet, qui lucis instar in orbe universo splendet, quique animas spiritaliter illustrat divino magisterio. Porro Iacobi domum ne intelligas iudaicum tantummodo populum, sed eos omnes qui servatoris vocatione ex universis gentibus divinae adoptionis praerogativa donantur. Iam Dei populus modo Iacob di-

(a) Antiquior codex vat. (retro p. 56) habet νοερὰς.

A θεοῦ ποτὲ μὲν Ἰακὼβ καλεῖται ποτὲ δὲ Ἰσραήλ· ὁ αὐτὸς γὰρ ἦν καὶ Ἰσραὴλ καὶ Ἰακώβ· καὶ φύσει μὲν Ἰακὼβ ἦν ὁ παλαιὸς λαός, ὡς ἐξ Ἰακὼβ κατὰ τὴν ἐξ αἵματος συγγένειαν· θέσει δὲ ὁ νέος λαὸς κατὰ τὴν ἐξ ἀρετῆς συγγένειαν· ἀντεισήχθη γὰρ ὁ νέος τοῦ παλαιοῦ· λοιπὸν οὖν ἐπὶ τοῦτον τὸν λαὸν βασιλεύσει εἰς τὸν
B αἰῶνα, ἤγουν ἀεί, ἔκ τε τῶν ἔργων καὶ τῶν λόγων ἐπιγνόντα αὐτόν, καὶ ἑκουσίως ὑποτεταγμένον αὐτῷ· ὁ γὰρ χριστὸς ἦν μὲν βασιλεὺς καὶ ὡς θεός· ἡ βασιλεία γάρ, φησιν, ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· ἦν δὲ καὶ ὡς ἄνθρωπος· εἶχε γὰρ ἔργα βασιλέως τὸ νομοθετεῖν τοῖς ὑπηκόοις αὐτοῦ, τὸ ῥυθμίζειν, τὸ περιέπειν, τὸ
C ὑπεραποθνήσκειν αὐτῶν· ἃ μάλιστα χαρακτηρίζουσι τὸν ἀληθῆ βασιλέα. (*)

citur modo Israel: idem quippe vir fuit Israel et Iacob. Et natura quidem Iacob erat priscus ille populus, quia nimirum e Iacobi sanguine originem ducebat; adoptione autem Iacob est novus populus propter virtutis cognationem: successit enim veteri novus. Itaque in posterum super hoc populo dominabitur ille rex in saecula, id est perpetuo. Qui quidem populus ex operibus sermonibusque Christum agnoscet, et huic sponte morem geret. Profecto Christus rex fuit quatenus Deus; ait enim "regnum meum non est de hoc mundo". Immo rex quoque fuit quatenus homo: prae se enim tulit regalia opera, nempe legislationem erga homines sibi subditos, gubernationem eorundem et curam, necisque pro iis obitae meritum; qui reapse regis characteres praecipui sunt.

(*) In catena ad Lucam, quam latine tantummodo Corderius edidit, scholion quoddam Eusebii legitur p. 95. quod primam libri nostri ad Stephanum quaestionem respicit. Sic autem se habet scholion. EUSEBII. *Hac itaque ratione Iosephi genealogia diducta, virtute etiam Mariae simul indicata est, cum ex eadem tribu fuerit.*

EUSEBII

QUAESTIONUM AD MARINUM

SUPPLEMENTA.

E Suida voc. Εὐσέβιος *et voc.* βίος.
Item ex Cedreno ed. paris p. 201.

Εὐσέβιος ὁ Παμφίλου ἔγραψε καὶ πρὸς Μαρῖνον, ἐν ᾧ A
λέγει, ὅτι ἡ τοῦ χριστοῦ ἐκκλησία δύο βίους [a] νομοθετεῖ καὶ τρόπους· τὸν μὲν ὑπερφυῆ, καὶ τῆς κοινῆς καὶ τῆς ἀνθρωπίνης πολιτείας ἐπέκεινα, οὐ γάμους, οὐ παιδοποιίας, οὐ περιουσίας ὕπαρξιν παραδεχόμενον, ἀλλ' ὅλον διόλου τῆς κοινῆς καὶ συνήθους τῶν βιωτικῶν ἀνθρώπων ἀγωγῆς παρηλλαγμένον. Καὶ μετ' B
ὀλίγα· ὁ δὲ δεύτερος ὑποβεβηκὼς καὶ ἀνθρωπινώτατος καὶ τοῦ πρώτου λίαν ἀσύγκριτος, ὡς καὶ γάμοις συγκατιέναι σώφροσι καὶ παιδοποιίαις, οἰκονομίας τε τῆς κατὰ τὸ δίκαιον ἐπιμελεῖσθαι, καὶ στρατευομένοις τὰ πρακτέα ὑποτίθεσθαι, ἀγρῶν τε καὶ ἐμπορίας καὶ τῆς ἄλλης πολιτικωτάτης ἀγωγῆς με- C
τὰ τοῦ θεοσεβοῦς φροντίζειν· οἷς καὶ ἀσκήσεως καιρὸς, μαθητείας τε καὶ τῶν θείων λογίων ἀκροάσεως ἀφωρίσθησαν, καὶ δεύτερος εὐσεβείας ἀπενεμήθη βαθμὸς, κατάλληλον τῷ τοιῷδε βίῳ παρέχων τὴν ὠφέλειαν.

Scripsit quoque ad Marinum Eusebius Pamphili, aitque duo esse constituta in Christi ecclesia vitarum genera; unum quidem eximium, et communem hominum consuetudinem excedens, quod neque nuptiis neque liberis operam dat, neque opum retinet possessionem, totoque ut ita dicam caelo a communi et vulgari saecularium hominum more differt. Et paucis interiectis. Alterum porro vitae genus deterius est, atque humana fragilitate laborans, idque omnino cum superiore comparari nequit: siquidem et modestis indulget nuptiis liberorumque procreationi, et rei familiaris cum aequitate curam gerit, et militibus officia imperat; et agriculturam, mercaturam, ac cetera publica negotia non sine pietate exercet. Hi ceteroquin homines certa habent religiosi cultus et eruditionis tempora, et divinorum eloquiorum auditioni vacant: atque his secundus adtributus est pietatis gradus, qui congruam huic vitae utilitatem praebet.

(a) Vocabulum βίος alibi apud Eusebium non vitam tantummodo, sed humanum quoque genus significare, observat Montfauconius praef. ad Euseb. comm. in ps. cap. ult.

A

E scholiaste graeco ad Marcum apud Rich. Simonium in historia critica interpretum novi testamenti cap. VI.

Τοῦτο τὸ προφητικὸν ῥητὸν Μαλαχίου ἐστὶν, οὐχ Ἠσαίου [1]· γραφέως τοίνυν ἐστὶ σφάλμα, ὡς φησὶν Εὐσέβιος ὁ Καισαρείας
B ἐν τῷ πρὸς Μαρῖνον περὶ τῆς δοκούσης ἐν τοῖς εὐαγγελίοις περὶ τῆς ἀναστάσεως διαφωνίας.

E Possini catena in Marcum p. 343.
ubi de Cyrenaeo crucem Domini baiulante.

C Οὐ γὰρ ἦν ἄξιός τις ἐν τῇ πόλει ἰουδαίων, ὥς φησιν Εὐσέβιος κεφαλ. ιγ [a] πρὸς Μαρῖνον, τὸ κατὰ τοῦ διαβόλου τρόπαιον τὸν σταυρὸν βαστάσαι· ἀλλ' ὁ ἐξ ἀγροῦ, ὃς μηδὲν ἐπικεκοινώνηκε τῇ κατὰ χριστοῦ μιαιφονίᾳ [2].

D *E Corderii catena in Iohannem p.* 436.

Εὐσέβιος ὁ καισαρεὺς ὁ Παμφίλου προσαγορευόμενος, ἐν

Propheticum dictum hoc Malachiae est, non Isaiae. Mendum ergo librarii est, ut ait Eusebius caesariensis in libro ad Marinum de apparente in evangeliis discordia circa resurrectionem.

Neque enim iudaeorum quisquam in urbe dignus erat, ut ait Eusebius capite XIII ad Marinum, qui trophaeum de diabolo, crucem scilicet, ferret. Quare delectus ille est qui ex agro veniebat, neque ullo modo in Christi necem conspiraverat.

Eusebius caesariensis, qui Pamphili appellatur, in quaestionibus ad Ma-

(a) Notandus est vigilanter lectori hic numerus, quo docemur quodammodo (nisi est mendum κεφαλ. ιγ pro καισαρεύς) quanta pars operis eusebiani ad Marinum nobis desit ante illas postremas de resurrectione quaestiones. Certe Eusebium hoc libro ad Marinum complexum fuisse quaestiones non solum circa resurrectionem, verum etiam circa passionem, perspicue cognoscimus e sequente corderianae catenae loco. Nisi forte suspicari placet, Eusebii istud de Cyrenaeo dictum obiter potius occurrisse in postrema quavis quaestione. Neque sane intelligere licet eo numero Marci capitulum, quod quidem in vetere stichometria est CCVIIII, in nova divisione est XV. Certe ubi in nostra editione p. 61 dicit Eusebius in libri exordio πρώτας δὲ πρῶτον, cavebit admodum eruditus lector ne intelligat primam fuisse libri ad Marinum quaestionem illam quae sequitur *de sero sabbatorum*. Breviator quippe, resecata, ut videtur, ingenti priore parte, ad postrema operis capita properavit.

(1) Sermo est de prophetico loco apud Matth. III. et Marc. I. *parate viam Domini rectas facite semitas eius*. Eusebium vero nostrum legisse se declarat Hieronymus in comm. ad Matth.: *quum testimonium de Malachia Isaiaque contextum sit, quaerit Porphyrius quomodo velut ab uno Isaia exemplum putemus assumtum? cui ecclesiastici viri plenissime responderunt. Nos autem nomen Isaiae putamus additum scriptorum vitio.*

(2) Eusebii hunc locum exprimit Ambrosius in comm. ad Luc. lib. x. 107: *non iudaeus est qui crucem portat, sed alienigena atque peregrinus.*

*

ταῖς πρὸς Μαρῖνον ἐπὶ τοῦ [a] σωτηρίου [b] πάθους καὶ τῆς ἀνα- A
στάσεως ζητήσεσι καὶ ἐπιλύσεσι, καὶ τοῦτο [1] προὔθηκεν εἰς ἐξέ-
τασιν, τὸ τὸν μὲν θεῖον εὐαγγελιστὴν Μάρκον εἰπεῖν, ὥραν εἶναι
τρίτην καθ' ἣν ἐσταυρώθη χριστὸς ὁ θεὸς καὶ σωτὴρ ἡμῶν· τὸν δὲ
θεολογικώτατον Ἰωάννην κατὰ τὴν ἕκτην ὥραν γράψαι προκα-
θεσθῆναι τὸν Πιλάτον ἐπὶ τοῦ βήματος ἐν τῷ λιθοστρώτῳ τῷ B
καλουμένῳ, καὶ ἀνακρίνειν τὸν Ἰησοῦν· καί φησι γραφικὸν εἶναι
τοῦτο σφάλμα, παροραθὲν παρὰ τῶν ἐξ ἀρχῆς ἀπογραψαμένων
τὰ εὐαγγέλια· τοῦ μὲν γὰρ γάμμα στοιχείου τὴν τρίτην ὥραν
σημαίνοντος, τοῦ δὲ ἐπισήμου τὴν ἕκτην, καὶ πολλὴν ἐμφέρειαν
ἐχόντων πρὸς ἀλλήλους τούτων τῶν χαρακτήρων, κατὰ πλάνην C
τὸ γάμμα στοιχεῖον τὸ τῆς τρίτης ὥρας δηλωτικὸν, κυρτωθεί-
σης τῆς ἀποτεταμμένης εἰς μῆκος εὐθείας, εἰς τὴν τοῦ ἐπισήμου
μεταχωρῆσαι σημασίαν, τοῦ τῆς ἕκτης ὥρας δηλωτικοῦ· τῶν γὰρ
τριῶν εὐαγγελιστῶν, τοῦ τε Ματθαίου καὶ Μάρκου καὶ τοῦ Λου-
κᾶ, συμφώνως λεγόντων, ὡς ἀπὸ ἕκτης ὥρας σκότος ἐγένετο ἐφ' D
ὅλην τὴν γῆν ἕως ὥρας ἐννάτης [c], πρόδηλον ὡς ὁ κύριος καὶ θεὸς
Ἰησοῦς πρὸ τῆς ἕκτης ὥρας [d], πρὸ τοῦ γενέσθαι τὸ σκότος, ἐσταυ-

rinum de servatoris passione ac resurrectione, hoc quoque expendit, quod divus scilicet evangelista Marcus ait, hora tertia Christum Deum ac servatorem cruci fuisse suffixum; theologus autem summus Iohannes hora sexta ait Pilatum sedisse pro tribunali in loco qui appellabatur lithostrotos ad dicendam de Iesu sententiam. Porro Eusebius contendit amanuensis id esse erratum, quod ii qui principio evangelia exscripserunt haud senserint. Nam quum littera gamma (Γ) *tertiam* significet horam; episemon (ϛ) autem *sextam*; quumque hi characteres permultam habeant inter se similitudinem; mendose elementum gamma, quo demonstratur hora tertia (curvata, quae porrigebatur in extensum, recta) ad episemi figuram redactum fuit, quod sextam indicat horam. Sane quum evangelistae tres, Matthaeus, Marcus atque Lucas concorditer adfirment, ab hora sexta tenebras factas esse in universa terra usque ad nonam; patet omnino, dominum ac Deum Iesum ante horam sextam, priusquam scilicet fierent tenebrae, in crucem esse sublatum, nempe circa horam tertiam, ut Marcus

(a) Tam editio quam cod. vat. habent ἐπὶ ταῖς τοῦ. (b) Vocabulum σωτηρίου apud Eusebium nostrum non tam adiectivo sensu *salutaris*, quam substantivo obliquo *servatoris* plerumque esse intelligendum, sapienter monet Monfauconius loc. cit. (c) Male cod. ἀναστάσεως pro ἐννάτης. (d) Deest in cod. ὥρας.

(1) Quaestionem hanc de tertia et sexta hora lego etiam in codice quodam vaticano, olim card. Sirleti; unde aliquam emendationem accersivi; quamquam ne ipse quidem codex sine ullo mendo est. Eadem quaestio legitur in parisiacis quoque codicibus teste Harlesio in Fabricii bibliotheca t. VII. p. 402.

A ρωτο, δηλαδὴ κατὰ τὴν τρίτην ὥραν, ὡς ὁ Μάρκος ἱστόρησε· καὶ τοῦ
Ἰωάννου τὸν ὅμοιον τρόπον τὴν ὥραν τρίτην εἶναι ἐπεσημηναμένου,
καὶ τῶν ἀπογραψαμένων τὸ γάμμα μεταθέντων εἰς τὸ ἐπίσημον.

Ex Anastasio sinaita quaest. CLIII.

B

Εὐσεβίου ἐκ τῶν πρὸς Μαρῖνον [1]. Τρεῖς γοῦν τὰς πάσας Euseb. p. 69.
Μαρίας τῷ πάθει τοῦ χριστοῦ μετὰ τῶν ἄλλων γυναικῶν εὑ-
ρίσκομεν· πρώτην μὲν τὴν θεοτόκον, δευτέραν δὲ τὴν ἀδελφὴν
αὐτῆς Μαρίαν τὴν τοῦ Κλεωπᾶ, καὶ τρίτην τὴν Μαγδαληνήν·
C τινὲς δὲ φασὶν ἐξ αὐτῶν δύο εἶναι Μαγδαληνάς· μίαν μέν,
τὴν ὀψὲ σαββάτων παρὰ τῷ Ματθαίῳ· ἑτέραν δὲ τὴν παρὰ
τῷ Ἰωάννῃ πρωΐας ἐπὶ τὸ μνημεῖον ἐλθοῦσαν· ταύτην δὲ εἶναι
τὴν καὶ Μάρκῳ δηλουμένην, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια·
ὡς γὰρ οὔσης καὶ ἑτέρας, φησίν, οὐ τοιαύτης Μαγδαληνῆς, ἐτή-
D ρησεν ὁ Μάρκος τοῦτο εἰπών, ἀναστὰς δέ, πρωῒ τῇ μιᾷ τῶν
σαββάτων ἐφάνη Μαρίᾳ πρῶτον τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκ-
βεβλήκει ἑπτὰ δαιμόνια· καὶ ταύτην ἴσως εἶναι τὴν ἀκούσα-
σαν, μή μου ἅπτου· ἀλλ' οὐ τὴν παρὰ τῷ Ματθαίῳ· εἰ γὰρ
καὶ τὰ μάλιστα κἀκείνη ἀπὸ τῆς Μαγδαληνῆς ὥρματο, ἀλλ' οὐ
E τὰ ὅμοια καὶ αὐτῆς ἡ θεία κατηγορεῖ γραφή· εἰ δὲ μίαν καὶ

narrat. Quare et Iohannes aeque tertiam horam prodidit; quamquam postea amanuenses gamma in episemon commutaverunt.

Eusebii ex opere ad Marinum. Tres igitur omnino Marias passioni Christi cum feminis aliis praesentes deprehendimus; primam Deiparam, secundam huius sororem Mariam Cleopae, tertiam Magdalenam. Quidam vero interpretes aiunt duas esse Magdalenas, unam quae sero sabbatorum apud Matthaeum, alteram quae apud Iohannem mane ad monumentum venit. Eandem hanc esse, de qua et Marcus loquitur, et de qua daemonia septem eiecta fuerant. Namque aliam, inquit Eusebius, non hanc Magdalenam prae oculis habens Marcus ait: " quum autem surrexisset, mane una sabbatorum apparuit primo Mariae " Magdalenae, de qua septem daemonia eiecerat ". Atque haec videtur quae audiit, ne me tangas, non quae apud Matthaeum. Nam ut verissimum sit, illam quoque Magdala fuisse oriundam, haud tamen paria probra de ea narrat

(1) Hanc quoque quaestiunculam cum codice columnensi, nunc vaticano, utiliter contuli.

τὴν αὐτὴν Μαγδαληνήν· φήσειεν τις, καὶ οὕτως ἀληθεύοι ἂν τὰ A
ἱερὰ εὐαγγέλια, κατ' οὐδένα λόγον διαφωνοῦντα· τὴν αὐτὴν δὲ
Μαρίαν τὴν Μαγδαληνὴν εἰσάγονται μὴ ἁπτομένην πρότερον τοῦ
κυρίου, ὅτε ἔκλαιε καὶ ἠπίστει· καὶ ἁπτομένην αὐτοῦ ὅτε χαί-
ρειν μετὰ τῆς ἄλλης Μαρίας ὑπ' αὐτοῦ κελεύεται· ἐπειδὴ γὰρ
ὡς θεὸν αὐτὸν προσεκύνησεν ἔσχατον, καὶ οὐχ' ὡς ἄνθρωπον, ὡς B
πρότερον ὅτε ἔκλαιε καὶ ἠπίστει.

E Possini catena in Marcum p. 363.

Euseb. p. 70. Εὐσέβιος· φησὶν ὁ Καισαρείας ὡς Μαρία μὲν ἡ Μαγδαλη-
νὴ καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Σαλώμη ἡτοίμασαν ἀρώμα- C
τα ἵνα ἐλθοῦσαι ἀλείψωσι τὸν Ἰησοῦν· οὐκ αὐταὶ δέ εἰσιν αἱ πρωῒ
ἐλθοῦσαι ἀνατείλαντος τοῦ ἡλίου, ἀλλὰ ἄλλαι ἀνώνυμοι· πολ-
λαὶ γὰρ ἦσαν αἱ συναναβᾶσαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας· αὗται
δὲ αἱ κατὰ Μάρκον ἐλθοῦσαι ἀνατείλαντος τοῦ ἡλίου, καὶ ἀτε-
λέστερόν πως διέκειντο· ὅθεν οὐδὲ νύκτωρ παραγίνονται ἀλλὰ D
πρωΐ· καὶ ἀκούσασαι δὲ ἀπαγγεῖλαι τοῖς μαθηταῖς καὶ τῷ Πέ-
τρῳ ἔφυγον, καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ· μόναι γὰρ αὗ-
ται ἐλθοῦσαι καὶ ἀληθεῖ ὄψει πεισθεῖσαι ὡς μετὰ ἀνατολὴν

scriptura. Quod si unam eandemque Magdalenam quis dicat, adhuc tamen veridica sunt sacra evangelia, neque ullo modo inter se discrepant; siquidem eandem exhibent Mariam Magdalenam et non tangentem primo Iesum cum erat incredula, et deinde tangentem statim ac iussa est gaudere cum alia Maria. Quippe illum postremo ut Deum adoravit, non hominis instar habuit, veluti initio cum flebat eratque incredula.

Ait caesariensis Eusebius Mariam quidem Magdalenam et Mariam Iacobi et Salomen aromata paravisse; ceteroquin haud easdem feminas esse quae mane orto iam sole venerunt; sed alias quasdam anonymas, ex iis quae magno numero secutae Iesum fuerant a Galilaea. Istas autem, quae secundum Marcum venerunt orto iam sole, imbecilli quodammodo virtute fuisse: quamobrem neque noctu processerant, sed mane: quumque his dictum fuisset, ut rem gestam discipulis et Petro nunciarent, fugae se mandaverunt, nihilque cuipiam dixerunt: consternatae enim pavore fuerant. Hae quippe quum solae venissent, et post solis ortum vera aliqua visione potiri sperarent, haud dignae habitae sunt quae

(9) Deest in cod. columnensi Μαγδαληνήν.

(1) Eadem haec quaestio inest in nobili quodam codice vaticano, non sine vel incrementis vel melioribus lectionibus, quas apte textui inserendas curavi.

A ἡλίου ἐπιστῆναι, οὔτε τὸν σωτῆρα θεάσασθαι καταξιοῦνται, ἢ τὸν ἄγγελον τὸν ἐξαστράπτοντα, οὔτε τοὺς δύο τοὺς ἔσω τοῦ μνήματος, οὔτε τοὺς δύο τοὺς παρὰ τῷ Λουκᾷ ἄνδρας· ψιλὸν δέ τινα νεανίσκον εἶδον περιβεβλημένον στολὴν λευκὴν, ἀναλόγως τῇ τῆς διανοίας αὐτῶν σμικρότητι τὴν ὀπτασίαν ἰδοῦσαι· ταῦτα οὖν, φησὶ,
B περὶ ἑτέρων ὁ Μάρκος ἱστορεῖ γυναικῶν ἀνωνύμως· οὐδὲ γὰρ οἷόν τε καὶ τὴν Μαγδαληνὴν μετὰ τοσαύτας θέας ἡλίου ἀνατείλαντος ἀπορεῖν καὶ ἀγνοεῖν τίς ἀποκυλίσειε τὸν λίθον.

Ex eadem Possini catena in Marcum p. 364.

C Ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ· ταύτην Εὐσέβιος (Eus. p. 75.) ἐν τοῖς πρὸς Μαρῖνον ἑτέραν λέγει Μαρίαν παρὰ τὴν θεασαμένην τὸν νεανίσκον· ἢ καὶ ἀμφότεραι ἐκ τῆς Μαγδαληνῆς ἦσαν.

E Corderii partim catena in Ioh. p. 450, et partim e codice vaticano.

D Εὐσεβίου. Ἴσως φαίεν [a] τινὲς, πῶς τῆς κουστωδίας φυλαττούσης δρομαῖοι ἤρχοντο Πέτρος τε καὶ Ἰωάννης, καὶ εἰσήρχοντο εἰς τὸ μνημεῖον; ἐροῦμεν, ὅτι τοῦ σεισμοῦ γενομένου, καὶ τῆς ἀναστάσεως τελεσθείσης, ἀνεχώρησαν οἱ στρατιῶται ἀπαγγεῖλαι τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα· καὶ οὕτω τῆς στρα-
E τιωτικῆς φρουρᾶς ἐλευθερωθέντος τοῦ μνήματος ἠδυνήθησαν ἀ-

servatorem viderent, vel coruscantem luce angelum, vel geminos intra monumentum angelos, vel duos qui apud Lucam memorantur viros: sed unum tantummodo conspexerunt candidatum iuvenem; conveniente pusillitati suae visione donatae. Ergo apud Marcum, inquit Eusebius, de aliis feminis anonymis sermo est. Neque enim fieri poterat ut Magdalena quoque post tot visiones, sole iam orto, dubitaret adhuc nesciretque, quisnam lapidem revolvisset.

Apparuit primo Mariae Magdalenae. Hanc Eusebius in opere ad Marinum diversam esse ait Mariam ab illa quae iuvenem vidit. Vel etiam ambae Magdala oriundae erant.

Fortasse dicet aliquis, quomodo, custodia praesente, cursim venerunt Petrus et Iohannes, ac monumentum ingressi sunt? Aio, terrae motu facto, peractaque resurrectione, recessisse custodes, ut de iis quae acciderant certiores facerent pontifices. Atque ita remoto militari praesidio, licuit apostolis ad sepulcrum

(a) Ita cod. pro ἐρεῖ. Namque hanc etiam quaestionem cum vaticano codice collatam saepe emendavi et auxi.

παντῆσαι καὶ εἰσελθεῖν, ἀκούσαντες παρὰ Μαρίας τῆς Μαγδαληνῆς ὡς οὐδείς ἐστιν ἐκεῖ τῶν ἐναντίων, σχολάζειν δὲ τὸν τόπον τοῖς ἐπὶ τὴν θέαν ἀφικνουμένοις τῆς σωτηρίου ἀναστάσεως· αὕτη γὰρ ἦν μάλιστα ἡ αἰτία τῆς ἐπιφανείας τοῦ ἀγγέλου· οὐ γὰρ δὴ τῆς ἀναστάσεως χάριν ἀπεκίνει τὸν λίθον, ἀλλ᾽ τοὺς μὲν ἵνα ἀπελάσῃ, τὰς δὲ ἐρχομένας ἐπὶ τὴν θέαν δεξιωσάμενος, τὴν ἀνάστασιν αὐταῖς καταγγείλῃ· καὶ τούτου μάρτυς Ματθαῖος λέγων, ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγενήθησαν ὡς νεκροί· φθάνει μὲν γὰρ καὶ τὸν ἄγγελον ἀναστὰς ὁ σωτὴρ, οὐδὲ ἀναμένει τὴν ἀποκίνησιν τοῦ λίθου, ἀλλὰ καὶ τούτου πρὸ τὴν θύραν κειμένου, καὶ τοῖς τῶν ἀρχιερέων σημάντροις κατεσφραγισμένου, τῶν τε φρουρῶν κυκλούντων τὸν τόπον [a], ἀφανὴς ἐξῄει τοῦ μνήματος, τὴν ἐκ νεκρῶν ἀνάστασιν πεποιημένος θεϊκῇ δυνάμει, καθ᾽ ἣν ὥραν οὐδεὶς ἔγνω, καὶ καθ᾽ ὃν ἐπισημήνατο τῶν εὐαγγελιστῶν καιρόν· καὶ ἐγήγερτο τοῦ λίθου μεμενηκότος ἐπὶ σχήματος· ἀγαθῶν δὲ ἄγγελος ἀνθρώποις παρῆν ἄγγελος· οὐδὲν μὲν τῇ ἀναστάσει διὰ τῆς αὐτοῦ παρουσίας συμβαλλόμενος, τὰ πολλὰ δὲ τῇ τῶν ἀνθρώπων διακονούμενος σωτηρίᾳ: διὸ καὶ ἐξέστραπται τὴν μορφὴν, καὶ σημεῖον παρεῖχεν ἀγαθῶν, λευχείμονα δεικνὺς ἑαυτὸν, καὶ πρῶτος τῆς σωτηρίου ἑορτῆς ἀπαρχόμενος.

accedere et ingredi, qui videlicet a Maria Magdalena iam rescierant, neminem ibi adversarium subsistere, sed vacare locum cuilibet ad cognoscendam servatoris resurrectionem concurrenti. Haec enim praecipua causa fuerat, cur angelus illic apparuisset: nam certe haud resurrectionis gratia lapidem removerat, sed ut custodes abigeret, feminas autem ad observandum progressas comiter excipiens, resurrectionis notitia impertiret. Rei testis Matthaeus, qui ait custodes pavore fuisse percitos ac prope exanimatos. Ergo praecedit angelum servator resurgens, neque lapidis revolutionem expectat; sed hoc adhuc fores occludente, et pontificum munito sigillis, praesidio etiam circa locum disposito, nemini visus monumento exilit, divina vi semet a mortuis recipiens, qua hora nemo suspicabatur, sed tamen intra temporis limites quos evangelistae significaverant: saxo denique in sua sede immoto surrexit. Exin angelus aderat bonae rei hominibus nuncius; nihil equidem praesentia sua iuvans resurrectionem, sed hominum saluti valde consulens. Quare et figuram suam immutavit, felixque signum prae se tulit, candidatum se exhibens, primusque salu-

(a) Ed. τάφον.

A Τὸ δὲ πῶς δύο παρὰ τὸν Ἰωάννην μαθητῶν ἐλθόντων, περὶ ἑνὸς ὁ Λουκᾶς ἐμνημόνευσεν, οὕτω λυθείη· πολὺς ἦν ὁ Πετρος ἀεὶ τῇ προθυμίᾳ· διὸ καὶ πρῶτος τολμᾷ εἰσιέναι εἰς τὸ μνημεῖον σὺν τῷ ἑτέρῳ μαθητῇ· εἶτα ἀναχωρεῖ θεασάμενος καὶ πιστεύσας· κατὰ δὲ τὸν Λουκᾶν τῶν ἄλλων ἀπιστούντων μαθητῶν
B ταῖς λεγούσαις γυναιξὶν, μόνος αὐτὸς πιστεύσας πάλιν δρομαῖος ἐπὶ τὸν τάφον παραγίνεται.

E Corderii catena in Ioh. p. 457.

Πῶς κατὰ τὸν Λουκᾶν καὶ Ἰωάννην τοσαυτάκις ὀφθέντος
C τοῦ Ἰησοῦ τοῖς μαθηταῖς ἐν αὐτῇ τῇ Ἱερουσαλὴμ, κατὰ τὸν Μάρκον καὶ τὸν Ματθαῖον κελεύονται οἱ αὐτοὶ διὰ τῶν γυναικῶν εἰς τὴν Γαλιλαίαν ἀπελθεῖν, ὡς ἐκεῖ αὐτὸν ὀψόμενοι, ἀλλ' οὐ μέλλοντες αὐτὸν θεωρεῖν ἐν τῇ (a) Ἱερουσαλήμ.

Εἰ μὲν τοὺς ἕνδεκα μονον μαθητὰς τοῦ σωτῆρος ἡ τῶν εὐαγ-
D γελίων ἠπίστατο γραφὴ, καὶ οὕτως εἶπεν ἄν τις μηδὲν τὸν λόγον λείπειν, εἰ τέως μὲν ἀπιστοῦντας ταῖς τῶν γυναικῶν ἐπαγγελίαις τοὺς αὐτοῦ μαθητὰς θεραπεύων, ἅπαξ καὶ δεύτερον αὐτοῖς λαθραίως κρυπταζομένοις ἐν Ἱερουσαλὴμ ἐφάνη· ἔν γε μὴν τῇ Γαλιλαίᾳ οὐ κεκρυμμένως οὐδ' ἅπαξ οὐδὲ δεύτερον, ἀλλ'
E οὐδὲ κεκλεισμένοις διὰ τὸν φόβον τῶν ἰουδαίων, σὺν πολλῇ τῇ

tarem sollemnitatem ipse auspicans. Iam quaestio, cur apud Iohannem duo veniant discipuli, Lucas autem unum memoret, sic dissolvitur. Singulari fuit semper animi alacritate Petrus; quare et is primus ausus est sepulcrum cum altero discipulo ingredi: deinde rei visae credens, recessit. Secundum vero Lucam, dum alii discipuli feminarum narrationi minime aures credulas praeberent, solus ipse, qui crediderat, rursus ad sepulcrum venit.

Quomodo postquam, Luca et Iohanne auctoribus, toties Iesus discipulis intra Hierosolyma apparuerat; nihilominus, Marco et Matthaeo testibus, iisdem discipulis imperatum fuit per mulieres ut in Galilaeam abirent, quasi illic Iesum, non Hierosolymis, essent conspecturi.

Etiamsi undecim tantum servatoris discipulos scriptura agnosceret, nihilominus adhuc liceret dicere, nequaquam claudicare sermonem, si interim Iesus discipulis suis, qui feminco nuncio diffidebant, gratificans, semel et iterum ipsis in urbe latentibus conspiciendum se dedisset: et tamen in Galilaea nec clam nec semel aut iterum, nec iam ob Iudaeorum timorem conclusis, pu-

(a) Desideratur τῇ in codice, quem consului, vaticano.

παρουσίᾳ τὴν θεοφάνειαν αὐτοῦ, καὶ τῆς θεότητος τὴν ἔνδειξιν A
ἐποιεῖτο, παριστῶν αὐτοῖς ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν
ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενός τε
καὶ λεγων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ, καὶ συναυλιζό-
μενος, ὥς φησιν ὁ Λουκᾶς ἐν ταῖς πράξεσι· καὶ αὕτη μὲν πρώ-
τη λύσις· ἐπεὶ δὲ τῶν μαθητῶν οἱ μὲν ἔγκριτοι καὶ πρῶτοι τὸν B
τῶν δώδεκα συνεπλήρουν χορὸν, δεύτερον δὲ παρὰ τούτοις ἐτύγ-
χανε τάγμα τὸ τῶν ἑβδομήκοντα, περὶ ὧν φησιν Λουκᾶς ἐν τῷ
εὐαγγελίῳ " μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ κύριος ϗ ἑτέροις ἑβδο-
„ μήκοντα „· ϗ ἕτεροι δὲ πλείους γνώριμοι τοῦ σωτῆρος, ϗ αὐτοὶ
τοῦ τῶν μαθητῶν ὀνόματος ἠξιωμένοι, οἷς οὐχ' οἷόν τε ἦν ὁμοῦ πᾶ- C
σι κατ' αὐτὸ συνηθροισμένοις ἐν τῇ Ἱερουσαλὴμ ὀφθῆναι αὐτὸν
μετὰ τὴν ἀνάστασιν, εἰκότως δύο μὲν τῶν εὐαγγελιστῶν, ὅ τε
Λουκᾶς καὶ ὁ Ἰωάννης, μόνοις τοῖς ἕνδεκα ὦφθαι αὐτὸν ἀναγρά-
φουσιν ἐν τῇ Ἱερουσαλήμ· δύο δὲ ἐν τῇ Γαλιλαίᾳ οὐ τοῖς ἕνδεκα,
ἀλλ' ἁπλῶς τοῖς μαθηταῖς ἅπασι· πλείους τοίνυν αἱ ὀπτασίαι D
καὶ διάφοροι γεγένηνται τοῖς μαθηταῖς μετὰ τὴν ἀνάστασιν·
καὶ οἱ μὲν τάσδε εἰρηκέναι αὐτόν φασιν, οἱ δὲ τάσδε καὶ πεπρα-
χέναι· ἔστι δὲ ὅτε καὶ περὶ τοῦ κεφαλαίου λέγοντες, ἀναπληροῖ
τὰ ὑπὸ τοῦ προτέρου ἐλλειφθέντα ὁ δεύτερος.

γως ἐγκυλιομένοις τῷ βορβόρῳ τῶν ἡδονῶν, καὶ κατακρημνίζου- A
σιν αὐτοὺς εἰς ἀπώλειαν.
34. Ἰδόντες οἱ βόσκοντες ἔφυγον. Ἔφυγον φοβηθέντες μὴ αὐ-
τοὺς ἀνέλωσιν οἱ καὶ τοὺς χοίρους ἀνελόντες δαίμονες.
35. Καὶ ἦλθον πρὸς τὸν Ἰησοῦν, καὶ εὗρον καθήμενον τὸν ἄν-
θρωπον ἀφ' οὗ τὰ δαιμόνια ἐξεληλύθει. Ματθαῖος μὲν εἶπεν ὅτι B
ἐξῆλθον εἰς συνάντησιν τῷ Ἰησοῦ· ἤρχετο γὰρ αὐτὸς ἐπὶ τὴν πό-
λιν· Λουκᾶς δὲ ἐμφαίνει μὴ ὁδεύειν αὐτόν· εἰ γὰρ ἐβάδιζεν,
οὐκ ἂν ὁ τοῦ λεγεῶνος ἀπαλλαγεὶς ἐκάθετο παρὰ τοὺς πόδας
αὐτοῦ· δῆλον οὖν ὅτι ἐρχόμενος ἐπὶ τὴν πόλιν, ἔστη καὶ ἐδίδασ-
κεν· ὁ δὲ θεραπευθεὶς, ἅτε τῇ τυραννίδι τῶν δαιμόνων τεταλαι- C
πωρηκὼς ἐκάθισε κελευσθείς.
Cap. XI. 21. Ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑαυτοῦ
αὐλήν. Εὐσεβίου. Ἰσχυρὸν μὲν τὸν κατισχύσαντα τοῦ γένους
τῶν ἀνθρώπων διάβολον λέγει· αὐλὴν δὲ αὐτοῦ τὸν περίγειον
τῶν θνητῶν τόπον· ὑπάρχοντα δὲ πάντα ἐκεῖνα ἃ δὴ ἐπιδείξας D
τῷ σωτῆρι ποτὲ ἔλεγεν· ταῦτα σοι πάντα δώσω, ἐὰν πεσὼν
προσκυνήσῃς μοι, ὅτε ἐν τῷ ὑψηλῷ ὄρει ἔδειξεν αὐτῷ τὰς βα-
σιλείας τοῦ κόσμου καὶ τὴν δόξαν αὐτοῦ· ἀλλὰ πάλαι μὲν ταῦ-
τα αὐτοῦ τὰ ὑπάρχοντα ἐν εἰρήνῃ ἦν, μηδενὸς αὐτοῦ ἀφαιρουμέ-
νου· ὅτε γε μὴν ὁ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν καταπαλαίσας E

pe iis qui in libidinum caeno volutantur, quos etiam in perniciem praecipites agunt.

Quo viso custodes diffugerunt. Timore correpti fugerunt, ne se quoque daemones perderent, qui suibus exitio fuerant.

Veneruntque ad Iesum, et sedentem deprehenderunt hominem, e quo daemonia fuerant eiecta. Matthaeus ait venisse cives obviam Iesu: nam ipse urbi appropinquabat. Lucas Iesum exhibet minime iter facientem: si enim incessisset, homo ille qui liberatus legione fuerat, haud adsedisset pedibus eius. Igitur constat Iesum urbi propinquantem substitisse, atque ad turbas verba fecisse. Interim vero sanatum illum, qui nuper a tyrannide daemonum laboraverat, iussum fuisse pedibus adsidere.

Cum fortis armatus custodit atrium suum. Fortis nomine intelligit praevalentem adversus hominum genus diabolum; atrium illius, terrenum hominum contubernium; possessiones denique, omnia illa quae dum ostenderet servatori ait diabolus, haec omnia tibi dabo si procidens adoraveris me: quo nimirum tempore regna mundi gloriamque eius de celso monte Iesu ostendit. Et quidem olim possessio eius pace fruebatur, nemine diripiente. Quum ve-

A τε αὐτὸν δεσμοῖς περιέβαλε, τότε καὶ τὴν πανοπλίαν αὐτοῦ ἀφείλετο, ἐφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ ἁρπάσας διέδωκε. πανοπλίαν δὲ αὐτοῦ τὴν τῶν δαιμόνων πολυθεον πλάνην ᾐνίξατο· ὅπλα γὰρ διαβόλου οἱ πανταχοῦ γῆς ἱδρύμενοι δαίμονες συνεργοῦντες αὐτοῦ τῇ κατὰ τῶν ἀνθρώπων τυραννίδι· σκῦλα δὲ B ἦσαν αὐτοῦ αἱ τῶν ἀνθρώπων ψυχαὶ ὑπὸ τῆς διαβολικῆς πανοπλίας αἰχμάλωτοι ἀπηγμέναι. ἀλλὰ τὸν μὲν δεινὸν ἐκεῖνον τύραννον ὁ χριστὸς δεσμοῖς περιβαλὼν, πᾶσαν αὐτοῦ διεσκέδασε τὴν πανοπλίαν, τοὺς δαίμονας δηλαδὴ καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα, τὰς δυνάμεις τε τὰς ἀντικειμένας· τὰ δὲ σκῦλα αὐτοῦ C τὰ πάλαι δεδουλωμένα τῇ τυραννίδι αὐτοῦ ἔθνη φημὶ πάντα μεταστησάμενα τῆς παλαιᾶς δουλείας διαδέδωκεν οἰκείοις ἡγεμόσι καὶ ἄρχουσι τοῖς ὑπ' αὐτῶν στρατιώταις τῆς τῶν οὐρανῶν βασιλείας, ἀποστόλοις δηλαδὴ καὶ τοῖς τούτων διαδόχοις· περὶ ὧν σκύλων θαυμαστῶς προανεφωνεῖτο ἐν προφητείᾳ φασ- D κούσῃ, κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ· ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, τῇ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα· τεκμήρια δὲ ταῦτα ἐναργῆ τῆς τοῦ θεοῦ βασιλείας καθαιρούσης καὶ ταπεινούσης πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν, καὶ πᾶσαν τὴν πολύθεον καὶ δαιμονικὴν E τυραννίδα, τῶν δὲ ἐπὶ γῆς ἀνθρώπων ἐπικρατεῖν ἀρχομένης·

ro fortior eo supervenit, debellatumque vinculis nexuit, tunc ille arma quibus hic fidebat abstulit, atque eiusdem spolia direpta distribuit. Porro armaturam intelligit daemonum fraudem idolicam. Diaboli quippe arma daemones erant ubique terrarum dedicati, qui principis sui tyrannidem adversus homines sustentabant: spolia demum, humanae animae diabolicis armis in captivitatem redactae. Sed enim nefarium illum Christus tyrannum coniecit in vincula, atque universam eius armaturam distraxit; daemonas scilicet, spritusque impuros, et adversas potestates. Spolia vero illius, gentes inquam omnes tyrannidi eiusdem olim subiectas, vetere nunc servitute exemptas, suis tradidit imperatoribus atque militibus regni caelorum, apostolis nempe et horum successoribus. De quibus manubiis praeclare propheta cecinit: Dominus dabit verbum evangelizantibus virtute multa. Rex virtutum dilecti, speciei domus dividere spolia. Signa autem haec manifesta sunt divini regni, a quo dominatus omnis atque potestas et idolica daemonum tyrannis evertitur ac deprimitur: quodque iam inter homines pollere incipiebat. Quare ait

διὸ φησὶν ὁ σωτὴρ· εἰ δὲ ἐγὼ ἐν πνεύματι θεοῦ ἐκβάλλω τὰ A
δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ.
Εἰς τὸ αὐτό. Ἐξ ἐναργοῦς παραδείγματος δείκνυσι τοῖς
θέλουσι συνιδεῖν, ὅτι νενίκηκε τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου,
καὶ οἷον ἀπονευρώσας καὶ γυμνὸν ἀποφήνας τῆς ἐνούσης αὐτῷ
ἰσχύος, δέδωκεν εἰς διαρπαγὴν τοῖς ἑαυτοῦ γνωρίμοις. ἕως B
μὲν γάρ φησιν ὁ ἰσχυρὸς ἔχει τὸ δύνασθαι καὶ φυλάττει τὰ
ἑαυτοῦ, οὐδεμίαν ὑφορᾶται πλεονεξίαν· ἐπὰν δέ τις αὐτοῦ ἰσ-
χυρότερος χειρώσεται αὐτοῦ ἐπελθών, τότε διαρπάζει· τοῦτο
δὲ τὸ παράδειγμα ὡς ἐπὶ ἀνθρώπων μὲν εἴρηται· πέπονθε δὲ
αὐτὸ ὁ διάβολος· ἦν μὲν γὰρ πρὸ τῆς τοῦ σωτῆρος ἐπιδημίας C
ἐν ἰσχύι πολλῇ, τὰς τοῦ θεοῦ ἀγέλας συνελάσας εἰς ἰδίαν
αὐλήν· ἐπειδὴ δὲ ὁ τοῦ θεοῦ λόγος ὁ τῶν δυνάμεων κύριος ἐπε-
πήδησεν αὐτῷ γενόμενος ἄνθρωπος, διηρπάσθη πάντα τὰ αὐ-
τοῦ σκεύη καὶ διεδόθη· οἱ γὰρ πάλαι παρ' αὐτοῦ συνεχόμενοι
πρὸς ἀθείαν ἄνθρωποι, κέκληνται διὰ τῶν ἀποστόλων εἰς ἀλή- D
θειαν, καὶ προσεκομίσθησαν τῷ θεῷ καὶ πατρὶ διὰ τῆς εἰς τὸν
υἱὸν πίστεως.

23. Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων
μετ' ἐμοῦ, σκορπίζει. Ἐγὼ μὲν ἐπεδήμησα φησὶν, ἵνα πάν-
τας ἐξέλωμαι τῶν τοῦ διαβόλου χειρῶν, ἵνα αἰχμαλώτους ἐλευ- E

servator: si ego in spiritu eiicio daemonia, profecto pervenit in vos regnum Dei.

De eodem. Evidenti exemplo docet eos, qui rem intelligere student, victum a se fuisse principem huius saeculi; quem debilitatum copiisque nudatum tradidit familiaribus suis diripiendum. Quoad, inquit, fortis vir potentia pollet et suam rem tuetur, nullam violentiam extimescit. Verumtamen si a fortiore aliquo superatur, continuo praeda fit. Exemplum hoc veluti de homine proponitur; sed idem diabolo accidit: cuius ante servatoris adventum magnae vires erant ad compellendum in suos carceres Dei gregem. Sed enim ubi Dei verbum et virtutum dominus in eum irruit humanitate suscepta, directa sunt arma eius atque distracta. Nam qui olim in impietate detinebantur ab eo homines, iidem vocati per apostolos ad veritatem fuerunt, atque ad Deum patremque per fidem in filium eius accesserunt.

Qui non est mecum, contra me est; et qui mecum non colligit, spargit. Ego veni, inquit, ut omnes eximam diaboli potestate, ut captivos

A θερώσω, καὶ φωτίσω ἐσκοτισμένους, καὶ πεσόντας ἀναστήσω·
ὁ δὲ σατανᾶς μὴ ὢν μετ' ἐμοῦ, ἐπιχειρεῖ σκορπίζειν ἃ συνή-
ξα καὶ ἔσωσα· πῶς οὖν ὁ μαχόμενος ταῖς ἐμαῖς οἰκονομίαις
συνεργεῖ μοι καθ' ἑαυτοῦ; ἆρ' οὐκ εὔηθες τὸ οἴεσθαι τοῦτο; πό-
θεν οὖν ἰουδαῖοι εἰς τοιαύτας κατώλισθον ὑπονοίας, αὐτὸς διε-
B σάφησεν εἰπὼν " ὅταν τὸ ἀκαθαρτον πνεῦμα ".

Διέρχεται δι' ἀνύδρων τόπων. Τί ἐστὶ τὸ διέρχεσθαι τὸ 24.
ἀκάθαρτον πνεῦμα δι' ἀνύδρων τόπων καὶ τὰ ἑξῆς; ἄνυδροι τό-
ποι οἱ ἐξ ἐθνῶν τὸ πρότερον· νυνὶ δὲ πεπλήρωνται ὕδατος θείου,
καὶ οὐκέτι παρέχουσιν ἀνάπαυσιν αὐτοῖς· ποιεῖται τοίνυν ἐπι-
C στροφὴν πρὸς τὸ πρότερον αὐτοῦ δοχεῖον τοὺς ἐξ Ἰσραήλ· καὶ ὡς
εὗρεν αὐτοὺς οὐκέτι θεῖον ἔχοντας ἐν αὐτοῖς οὐδὲν, ἀλλ' ἐρή-
μους ὄντας καὶ σχολάζοντας αὐτῷ πρὸς ἐνοίκησιν, κατῳκίσα-
το δηλαδὴ μετὰ πάσης αὐτοῦ τῆς δυνάμεως· τοῦτο γὰρ φαί-
νεται δηλοῦν ἑπτὰ λέγων ἕτερα πνεύματα μετ' αὐτοῦ· ἐπὶ πλή-
D θους γὰρ εἴωθεν ἡ θεία γραφὴ τὸν ἑπτὰ παραλαμβάνειν ἀριθμόν.

Ὅπου γὰρ ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσ- Cap. XII. 34.
ται. Εὐσεβίου. Φυσικῶς γὰρ πᾶς ἄνθρωπος περὶ ὃ σπουδάζει
διάκειται, κἀκεῖ πάντα τὸν νοῦν ἔχει ἔνθα κεκτῆσθαι τὴν ὠφέ-
λειαν νενόμικε· διὰ τοῦτο καὶ τὸν λογισμὸν ἐπάγει τοῦ μὴ δεῖν
E ἐπὶ γῆς θησαυρίζειν· εἰ μὲν γάρ τις φησὶν ἐν τῷ θνητῷ βίῳ τὰς

liberem, ut caecutientes illustrem, ut lapsos erigam. Porro satanas, qui mecum haud est, nititur ea quae congregavi et servavi disiicere. Quanam ergo ratione fit, ut qui rebus meis gestis adversatur, idem mihi faveat contra se ipsum? Nonne hoc absurde credi videtur? Cur ergo Iudaei in huiusmodi allegoriam incurrerint, ipse aperit dicens " cum immundus spiritus ".

Ambulat per aridos locos. Quid sibi volunt haec verba, ambulat per aridos locos, et reliqua? Aridi loci, ethnici antea homines, nunc autem divino humore redundantes, quia iam deversorium haud praebent daemonibus: Revertitur ergo diabolus ad pristinum suum habitaculum, Israelitas videlicet. quos ubi reperit nullo bono divino praeditos, sed vacuos sibique recipiendo idoneos, stationem ilico ibi figit cum universis copiis suis. Patet enim id Iesum innuere, dum septem cum eo spiritus dicit. Nam divina solet scriptura septenario numero multitudinem significare.

Ubi enim thesaurus vester est, ibi et cor vestrum erit. Natura quippe comparatum est, ut omnis homo rem, cui studet, animo complectatur; atque ibi mentem defigat, unde utilitatem se capere arbitratur. Quare Iesus sententiam addit, ne struendis in terra opibus inhaereamus. Qui enim, ait,

κτήσεις καὶ πᾶσαν ὕπαρξιν συνείληχεν, ἀναρτήσας αὐτοῦ τὴν πᾶ- A
σαν ἐλπίδα ἐπὶ τὰ παρόντα τοῦ βίου πράγματα, ἐξ ἀνάγκης οἷα
δὴ δεσμοῖς τοσούτοις πεπεδημένος, πάντα τὸν αὐτοῦ λογισμὸν
καὶ πᾶσαν τὴν διάνοιαν, ἣν δὴ καρδίαν ὠνόμασε, κάτω που πρὸς
τῇ γῇ κέκτηται, κἀκεῖ φύρεται καὶ καλινδεῖται, ἔνθα κεκτῆσθαι
τὸν αὐτοῦ θησαυρὸν νενόμικεν· εἰ δὲ τοῖς οὐρανίοις μαθήμασιν B
ἐντραφεὶς πάντα πράττοι, τὸν αὐτοῦ σκοπὸν ἄνω προσαναρτήσας,
καὶ τὴν ἐλπίδα ῥίψας ἐπὶ τὰς οὐρανίους ἐπαγγελίας, τοῦ μὲν
συνάγειν ἐπὶ γῆς οὐδεμίαν ποιούμενος φροντίδα, τὴν ἄκραν δὲ
μετιὼν ἀκτημοσύνην, καὶ ὅλος γινόμενος πρὸς τοῖς κρείττοσιν, ἐν
οὐρανῷ τε πάντα συνάγειν, κἀκεῖ τὸν αὐτοῦ πλοῦτον ταμιεύεσθαι, C
καὶ πᾶσαν τὴν ὕπαρξιν ἐκεῖ προπέμπειν σπουδάζων, εἰκότως ὁ τοιοῦ-
τος ὄνοιτ' ἂν ἐντεῦθεν τῆς ἀγαθῆς ἐλπίδος, τῷ τὴν διάνοιαν καὶ τὸν
λογισμὸν οἰκειοῦν ἑαυτοῦ τοῖς οὐρανίοις· ἔνθα γὰρ ἔχει τὸν θη-
σαυρὸν, ἐκεῖ καὶ τὴν διάνοιαν ἕξει· ὡς δοκεῖν μὲν ἐπὶ γῆς παρ-
επιδημεῖν, καὶ τῷ σώματι μόνῳ συνεῖναι ἀνθρώποις· τῇ δὲ δυνά- D
μει τὰς οὐρανίους ἤδη διατριβὰς μετιέναι· ὥστε ἄνω βλέπειν
δεῖ καὶ τὰς ἐλπίδας ἔχειν, ὅπου καὶ τὸν θησαυρὸν αὐτοῦ συνα-
γήοχεν. N.

Cap. XII. 16. Ἔστωσαν δὲ ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχ-
νοι καιόμενοι. Εὐσεβίου. Ἐν ἑτέροις ἤδη ἐδίδαξε περὶ τῶν γά- E

in hac mortali vita facultates bonorumque cumulum adeptus est, suamque spem in praesentis vitae negotiis collocavit, necesse est eum tam gravibus vinculis praepeditum, cunctas suas cogitationes mentemque omnem, quam Iesus cor appellavit, humi depressam habere, atque ibidem concretam volutantemque. Qui vero caelestibus doctrinis nutritus magnopere satagit, ut vota sua superne erigat, spemque in caelestibus promissis ponat; quique omissa cumulandarum in terra opum sollicitudine, summam sectatur paupertatem, totoque animo ad meliora converso, suam rem omnem in caelo sistere studet, atque illuc fortunam universam praemittere; merito is equidem spem egregiam inde lucratur, quia mentem suam atque consilia caelestibus rebus implicat. Ibi enim thesaurum habet, ubi mens eius constiterit: ita ut corpore tantum versari in terris cum hominibus videatur, virtute autem caelestem iam vitam agitare. Ergo hominem oportet spectare superna, eoque spem dirigere; siquidem ibi thesaurum suum iam acervavit.

Sint lumbi vestri praecincti, et lucernae ardentes. Iam alibi docuit

A μων εἰπών· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασι-
λεῖ, ὃς ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ· ὡς οὖν ἤδη τῶν γάμων
γεγενημένων, καὶ τοῦ συμποσίου τελεσθέντος, ἐπάνεισιν ὁ κύριος
ἐπὶ τοὺς ἐγρηγορότας δούλους, οἳ ἐπειδὰν ἀφίκηται αὐτὸς ὁ νυμ-
φίος τὴν παράληψιν τῆς νύμφης ποιησόμενος, κρούσαντι αὐ-
B τῷ τὴν τῆς ψυχῆς θύραν, ἑτοιμότατα ὑπακούσουσι καὶ ἀνοί-
ξουσι διὰ παντὸς ἐγρηγορότες, καὶ τὴν αὐτοῦ παρουσίαν ἐκδε-
χόμενοι· ἐπιλέγει γοῦν· μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλ-
θὼν εὑρήσει γρηγοροῦντας· καὶ πῶς γὰρ οὐ μακάριοι οἱ τοσαύ-
της μέλλοντες ἀξιωθήσεσθαι τιμῆς; ἐπόμνυται γοῦν αὐτοῖς
C φάσκων, ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτοὺς,
καὶ παρελθὼν διακονήσει αὐτοῖς· νυκτὶ δὲ παραβάλλων τὸν ἀν-
θρώπινον βίον, ὡς ἀληθῶς σκότους καὶ ἀγνοίας οἰκεῖον, διαφό-
ροις φυλακαῖς, τουτέστιν ὥραις καὶ καιροῖς τῆς νυκτὸς, τὸν τῆς
ἀνθρωπίνης ζωῆς παρεικάζει χρόνον· ἐν ᾧ τοὺς διὰ παντὸς ἐγρη-
D γορότας διὰ τὸ ἄδηλον τῆς ἑκάστου τελευτῆς, μακαρίους ἀποφαί-
νει· ταύτης δὲ τῆς προτροπῆς τίς ἂν γένοιτο ἀνωτέρα; ἢ τὸν δεσ-
πότην ἐπήγγελται αὐτὸν τοῖς δούλοις διακονήσειν, τοὺς δὲ δούλους
ἀνακλιθήσεσθαι ἐν τῇ βασιλείᾳ αὐτοῦ, τουτέστι διαναπαύσασ-
θαι· προϊὼν δὲ αὖθις τὴν αὐτὴν ἐπισφραγίζεται ἐπαγγελίαν τοῖς
E μαθηταῖς[a] λέγων· ἐγὼ δὲ ἐν μέσῳ ὑμῶν εἰμι ὡς ὁ διακονῶν·

quum de nuptiis diceret: simile est regnum caelorum homini regi, qui fecit nuptias filio suo. Tamquam igitur peractis nuptiis, convivioque absoluto, redit dominus ad servos vigiles, qui sponso ad abducendam sponsam profecto, et nunc iam animae fores pulsanti, promptissime morigerabuntur atque aperient, propterea quod perpetuo vigiles, adventum eius praestolati fuerant. Ait igitur: beati servi illi, quos veniens invenerit vigilantes. Quidni vero beati, qui tantam mercedem relaturi erant? Igitur cum sacramento confirmat: amen dico vobis praecincturum se, discumbentibus illis, et transeuntem ministraturum. Nocti autem comparans humanam vitam, ceu reapse tenebris et inscitia circumfusam, diversis vigiliis, id est horis temporibusque nocturnis, humanae vitae spatium assimilat: in quo siqui sine requie vigilant, propter obitus incertum casum, beatos eos appellat. Iam huic adhortationi quaenam superior esse potest, qua nimirum dominus dicitur servis suis ministraturus, hos autem in illius regno recubituros, id est requie potituros? Deinde rursus promissum idem firmavit, quum discipulis dixit: ego in medio vestri sum tamquam mini-

(a) Cod. τῷ μαθητῇ.

ὑμεῖς δὲ ἐστὲ οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς A
μου· κἀγὼ διατίθεμαι ὑμῖν, καθὰ διέθετό μοι ὁ πατήρ μου, βασιλείαν· ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου· τοιαύτης τεύξονται μακαριότητος οἱ δοῦλοι, οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας· κατὰ γὰρ τὸν θνητὸν τοῦτον
βίον, ἅτε παῖδες ἔτι ὄντες καὶ νήπιοι, καὶ μήπω τοῦ νυμφῶνος B
ἠξιωμένοι, ἐπ' ἀλλοδαπῆς δὲ οἰκοῦντες, ἅτε ξένοι τῶν ἐνταῦθα καὶ παρεπίδημοι καὶ ὑπὸ παιδαγωγοῖς καὶ ἐπιτρόποις ἀνατρεφόμενοι, οὐκ εἶχον πάντοτε τὸν νυμφίον μεθ' ἑαυτῶν· διὸ καὶ ἐνήστευον, καθὼς εἶπεν ὅτι ἀρθήσεται ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ
τότε νηστεύσουσιν· ἀλλ' ἐπὶ τέλει αὐξήσαντες αὐτοὺς καὶ τελειω- C
θέντας παραλήψεσθαι ἐπαγγέλλεται, καὶ εἰς τὸν αὐτοῦ συνεισάξειν νυμφῶνα· ὅτε καὶ ἀνακλίνας αὐτοὺς διακονήσει αὐτοῖς· οἱ δὲ συνόντες αὐτῷ ἀεὶ, οὐκέτι νηστεύσουσιν, ἀλλὰ διαναπαυσάμενοι τῶν καμάτων τῆς οὐρανίου τρυφῆς ἀπολαύσουσιν.

89. Εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται. D
Εὐσεβίου. Διὰ πλειόνων νήφειν καὶ ἐγρηγορέναι ἡμῖν παρακελεύεται, οὐ μόνον διὰ τὴν ἀθρόαν καὶ ἀπροσδόκητον ἄφιξιν τῆς ἡμέρας κυρίου, ἀλλὰ καὶ διὰ τὸν κλέπτην τὸν τοῖς κατὰ θεὸν πλουσίοις καὶ οἰκοδεσπόταις ἐφεδρεύοντα· οὗτος δέ ἐστιν ὁ και-
ρὸς τῆς ἑκάστου τελευτῆς, ἢ καὶ ὁ μέλλων τὴν ἑκάστου ψυ- E

strator. Vos autem estis qui permansistis mecum in tentationibus meis: et ego dispono vobis, sicut disposuit mihi pater meus, regnum; ut manducetis atque bibatis de mea mensa in regno meo. Hac potientur beatitate servi, quos dominus vigilantes invenerit. Namque in hac mortali vita ceu pueri adhuc et infantes et nondum nuptiali conclavi digni, sed alienam veluti regionem incolentes, veluti peregrini quidam et advenae, et sub tutoribus adhuc et curatoribus enutriti, nequaquam sponsi consortio utebantur. Quare ieiunabant, propterea quod ipsis dictum esset, fore ut sponsus ab iis auferretur, et tum ieiunarent. Verumtamen ubi in perfectam aetatem creverint, recepturum se eos spondet, atque in suum conclave ducturum: ac tum iis discumbentibus ministraturum: qui consuetudine eius iam potiti, diutius non ieiunabunt, sed laboribus relaxati; caelestibus deliciis perfruentur.

Si sciret paterfamilias qua hora fur venturus esset. Multis de causis frugi nobis agitare vitam vigilareque mandat, non solum ob subitum inopinumque diei dominicae adventum, sed etiam propter furem divinorum bonorum divitibus ac veluti patribusfamilias insidiantem. Is autem est uniuscuiusque obitus, vel etiam angelus qui cuiusque morientis animam exceptu-

A χὴν παραλαμβάνειν ἄγγελος κατὰ καιρὸν τοῦ θανάτου· εἰ μὲν
οὖν ᾔδειμεν τὸν καιρὸν τῆς τοῦ κλέπτου παρουσίας, τὴν ὥραν ἐχ-
ρῆν ἐκείνην μόνην ἐπιτηρεῖν, πρὸς τὸ μὴ ἀφιέναι διορυγῆναι ἡμῶν
τὸν οἶκον· ἐπεὶ δὲ ἄδηλος ἐστὶν οὗτος, δεήσει ἀεὶ ἐγρηγορέ-
ναι· οὐ γὰρ ἴσμεν ὁποίᾳ φυλακῇ ἐπιτεθήσεται· διὸ γρηγορη-
B τέον διὰ παντὸς, καὶ πάσῃ φυλακῇ τηρετέον τὴν καρδίαν κατὰ
τὸν παροιμιαστὴν, καὶ ἀγρυπνητέον διὰ πάσης τῆς τοῦ θνητοῦ
βίου νυκτὸς, ὅπως ἄσυλοι διαμένωμεν, μὴ ἐῶντες διορυγῆναι
ἡμῶν τοὺς τῆς ψυχῆς θησαυρούς· οὕτω γὰρ ἔσται ἡμῖν εὖ κατ'
ἀμφότερα, ὅτι τε σώαν ἐφυλάξαμεν τὴν ἑαυτῶν ὕπαρξιν, καὶ
C ὅτι τὸν κύριον ἡμῶν ἐπιστάντα καὶ κρούσαντα τῆς ψυχῆς ἡμῶν
τὴν θύραν, ἑτοίμως ὑπεδεξάμεθα, πολλῷ τῷ φωτὶ παρεσκευ-
ασμένοι, καὶ τὰς ὀσφύας ἐζωσμένοι.

Εἶπε δὲ αὐτῷ ὁ Πέτρος. Εἰκὸς Πέτρον περιειλκύσθαι· 41.
διὰ μὲν τὰς ἐπαγγελίας, εἰς τὸ μόνοις τοῖς ἀποστόλοις τὸν Ἰη-
D σοῦν λέγειν· διὰ δὲ τὰς ἐντολὰς ἁρμοζούσας πᾶσιν, εἰς τὸ
ὑποπτεύειν πρὸς πάντας λέγειν· εὐλόγως δὲ παραβολὴν εἶπε
τὴν εἴς τινα χρήζουσαν τῆς κατ' ἰδίαν ἐπιλύσεως τοῦ σωτῆρος
διδασκαλίαν.

Εἶπε δὲ ὁ κύριος· τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ 42.
E φρόνιμος; Εὐσεβίου. Πρὸς τὴν ἐρώτησιν Πέτρου ἀποκρίνεται

rus est. Si ergo sciremus quonam tempore fur ille venturus esset, unicam illam opus foret observare horam, ne nostras pateremur aedes perfodi: nunc quia haec latet, perpetuo experrectos esse oportebit: neque enim novimus qua ille vigilia incursionem faciet. Quare prorsus vigilandum est, omnique custodia, ut ait proverbiorum auctor, protegendum cor; universaque haec mortalis vitae nox insomnis transigenda, ne forte direptionibus pateamus, neve animae nostrae thesauros effodi permittamus. Sic enim utrimque recte habebimus; tum quia proprias opes tuiti fuerimus, tum quia dominum nostrum, cum venerit et pulsaverit animae nostrae fores, prompte exceperimus, copiosa lampade instructi, lumbosque succincti.

Dixit ei Petrus. Haud immerito Petrus ambigua cogitatione distrahebatur, nempe utrum Iesum, propter promissiones, solos apostolos alloqui, an propter praecepta cunctis congrua, ad vulgus universum verba facere, suspicaretur. Eleganter autem parabolae nomine appellavit servatoris doctrinam, quae ut quibusdam clāresceret, peculiari solutione egebat.

Ait Dominus: quisnam est fidelis vilicus et prudens? Petro roganti

διδάσκων ἀορίστως πρὸς πάντας εἰρῆσθαι τὰ λελεγμένα· ἀλλ' A
ἐκεῖνα μὲν εἴρηται περὶ τοῦ διὰ παντὸς ἐγρηγορέναι ἕνεκεν τῆς τοῦ
κλέπτου φυλακῆς καὶ τῆς αὐτοῦ παρουσίας· τί δὲ χρὴ πράτ-
τειν γρηγοροῦντας, νῦν ἀναγκαίως προστίθησι, παραινῶν μὴ
τὸ ἑαυτῶν μόνον σκοπεῖν, ἀλλὰ καὶ τῆς ἑτέρων σωτηρίας φρον-
τίζειν· τὸ μὲν γὰρ ἀνεζῶσθαι τὰς ὀσφύας, καὶ τὸν λύχνον B
ἀνῆφθαι, τὴν αὐτοῦ τινὸς εἰς ἑαυτὸν ὠφέλειαν ἐδήλου· γνώσεως
τε γὰρ φωτὶ διὰ παντὸς καταυγάζεσθαι ἀναγκαῖον, σωφροσύνῃ
τε καὶ πάσῃ ἀρετῇ τοῦ λογισμοῦ τὴν ὀσφὺν περιεζῶσθαι, ἐγρη-
γορέναι τε διὰ παντὸς καὶ τὸν κλέπτην διαφυλάττειν, μὴ λα-
θὼν διορύξειε τὸ τῆς ψυχῆς ταμεῖον, ἀποσυλήσειέ τε τὰ ἐν C
αὐτῷ συνηγμένα· ἔτι γε μὲν καὶ τὸν ἑαυτοῦ κύριον πάντα τὸν
τῆς ζωῆς χρόνον ἐκδέχεσθαι· ἀλλὰ μὴ μέχρι τούτων ἑστάναι·
παραθήκην δ' ὥσπερ ὑποδεξαμένους παρὰ τοῦ ἑαυτῶν δεσπότου
τὴν τῶν συνδούλων ἡμῶν κηδεμονίαν, φυλάττειν τὴν πίστιν προ-
σήκει, οὕτω τε πιστοὺς γενέσθαι καὶ φρονίμους· ὡς μήποτε D
ἀκαίρως, ἀεὶ δὲ τῷ προσήκοντι καιρῷ τοῖς ἡμετέροις συνδού-
λοις τὸ σιτηρέσιον διανέμειν, μήτε παρορῶντας καὶ ὑπερτιθε-
μένους, ὅτε δεῖ· μήτε οὐ δεομένοις παρέχοντας ἀκαίρως, ἀλ-
λὰ καὶ καιρῷ τῷ προσήκοντι, καὶ μὴ ἀμέτρως τοῦτο ποιεῖν·
τοῦτο δὲ πράττειν κατὰ δύο τρόπους, διά τε τῆς λογικωτέρας E
ὠφελείας τὰς ψυχὰς αὐτῶν βελτιοῦντας ταῖς διὰ τῶν μαθημά-

sic respondet, ut doceat se indefinite universos allocutum fuisse. Verumtamen superiora illa dicta fuerunt, ut constanter vigilaremus propter furem cavendum et propter domini adventum. Nunc, quae fieri inter vigilandum oporteat, necessario addit; nempe hortatur ut ne nostram tantummodo verum etiam alienam curemus salutem. Nam lumbos praecingere et lampadem inflammare, propriam cuiusque utilitatem significat. Scientiae enim luminibus oportet semper illustrari; tum etiam pudicitia omnique virtute lumbos mentis praecingere; itemque perpetuo vigilare furemque cavere, ne clam effodiat mentis aerarium, et acervatas ibi opes diripiat: praeterea dominum omni vitae tempore praestolari. Sed illatenus non est subsistendum: nam ceu pignus quoddam, conservorum curam a Domino nostro accipientes, praestare fidem oportet, et sic fideles ac prudentes evadere; ne umquam intempestive, sed idoneo tempore, conservis nostris alimoniam praebeamus: neque hanc negligenter aut sero cum res postulat, neque rursus immodice ubi non est opus, sed et suo tempore et non sine modulo. Id vero dupliciter faciendum est, nempe et rationali utilitate dum eorum animas doctrinae pabulo meliores facimus;

A των τροφαῖς, διά τε τῆς τῶν αἰσθητῶν ὑπαρχόντων πρὸς τὰς ἐνδεεῖς ἐπικουρίας· ταῦτα δὲ διὰ παντὸς ἐνεργεῖν, ἵνα εἴ ποτε ἀθρόως ἐπιστὰς ὁ κύριος ἡμῶν τὴν παράληψιν ἡμῶν ποιοῖτο, εὑρεῖν (a) ταῦτα πράττοντας ἡμᾶς, ἐπαγγελίαν τε τῷ καὶ ταῦτα κατορθοῦντι τοῦ προτέρου πολλαπλασίονα δίδωσιν· ἐπὶ μὲν γὰρ
B τῷ ἐγρηγορέναι, καὶ τὴν αὐτοῦ διὰ παντὸς περιμένειν παρουσίαν, ἀνακλίνειν ἐπήγγελται καὶ διακονῆσαι αὐτὸς περιζωσάμενος· ἐπὶ δὲ τῇ πιστῇ καὶ ἔμφρονι οἰκονομίᾳ καὶ τῇ κατὰ καιρὸν διανεμήσει τῆς τροφῆς, τρισμακαρίους ἀληθῶς ἀποφαίνων, οὐκ ἐπί τι μέρος ἀλλ᾽ ἐπὶ πάντων τῶν ὑπαρχόντων καταστήσειν
C τὸν μακαριζόμενον, μετὰ προσθήκης τοῦ ἀμὴν ἐπιστώσατο· ἔνθεν καὶ ὁ ἱερὸς ἀπόστολος ὠφελημένος τοὺς κατὰ θεὸν τελείους κληρονόμους θεοῦ καὶ συγκληρονόμους χριστοῦ ἐκάλει, καὶ ἔλεγεν· εἴτε ζωὴ εἴτε θάνατος, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα, πάντα ἡμῶν εἶναι· ὑπάρχοντα δὲ αὐτοῦ τὰ ἐν τῇ βασιλείᾳ νοητέον
D ἀγαθὰ, ἃ ὀφθαλμὸς οὐκ εἶδεν.

Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ. Εὐ- 45.
σεβίου. Ὁ μὲν πιστὸς καὶ φρόνιμος τοιούτων τεύξεται· ὁ δ᾽ ἐναντίος τούτῳ ὀργῆς δεσπότου πειραθήσεται, διχοτομηθεὶς καὶ ἀποτεμνόμενος τοῦ σώματος τῶν ἀγαθῶν δούλων, κλῆ-
E ρον τε καὶ μερίδα λαμβάνων μετὰ τῶν ὑποκριτῶν ἢ τῶν ἀπί-

et sensibili ope erga eos qui eiusmodi adiumento egent. Atque haec, inquam, omnia continenter curanda sunt, ut si forte dominus noster subito adventans demigrare secum nos iubeat, in praedictis versantes nos deprehendat; sortemque recte agenti tribuat priore multo maiorem. Namque ob vigilias suique adventus iugem expectationem spondet, illis discumbentibus, succinctum se ministraturum: ob fidelem vero ac prudentem vilicationem tempestivamque demensi distributionem, quia vult beatissimos declarare, non alicui parti sed facultatibus universis se praefecturum felicem illum sacramento confirmat. Hinc etiam eruditus divus apostolus, perfectos secundum Deum, heredes Dei Christique coheredes vocabat, aiebatque: sive vita, sive mors, sive praesentia, sive futura; omnia in nostra potestate esse posita. Opes autem illius, intelligenda sunt regni bona, quae oculus non vidit.

Quod si dixerit servus ille in corde suo. Fidelis quidem et frugi haec consequetur: huic dissimilis iram domini experietur; dividetur scilicet, sortemque suam ac partem cum hypocritis et infidelibus recipiet, quorum finis

(a) Ita cod.

στων· ὧν τὸ τέλος κλαυθμὸς καὶ βρυγμὸς τῶν ὀδόντων· ὅσα A
γὰρ τοῖς ὀδοῦσι κατήσθιε καὶ ὅσα μεθυσκόμενος ἐπλημμέλει,
ταῦτα ἀποκλαύσεται· δίκην τὴν προσήκουσαν διδοὺς τῆς τε κατὰ
τῶν συνδούλων παρανομίας, καὶ τῆς ἀκολάστου τρυφῆς, καταφρονήσεως τε τῆς εἰς τὸν δεσπότην, ὃν ὡμολόγει μὲν μὴ ἀγνοεῖν·
καὶ ἤδει ὡς ἄρα κύριον ἔχει, ἀναβάλλεσθαι δὲ αὐτὸν τὴν κρί- B
σιν εἰς μακροὺς χρόνους ὑπολαμβάνων, ἑαυτὸν ἠπάτα.

16. Τὸ παρὰ τῷ Δανιὴλ εἰρημένον πρὸς θάτερον τῶν κατειπόντων τῆς ἁγίας Σωσάννης πρεσβυτέρων " ἤδη γὰρ ὁ ἄγγελος
„ τοῦ θεοῦ λαβὼν φάσιν παρὰ τοῦ θεοῦ, σχίσει σε μέσον „ ἑρ-
μηνεύων Ὠριγένης λέγει, γενήσεσθαι πάντως αὐτῷ τοῦτο ἐν τῇ C
κρίσει κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ κυρίου, ὅτι καὶ διχοτομήσει
αὐτόν [1]. Ἀμμώνιος δὲ τὸ αὐτὸ ἑρμηνεύων προφητικὸν κεφάλαιον, οὕτω περὶ τῆς διχοτομίας φησίν· οἱ γὰρ ἐν ἀξίᾳ ἱεροπρεπεῖ διχοτομοῦνται πρῶτον, καὶ γυμνοῦνται τῆς ἀξίας, καὶ
τότε ὡς ἄπιστοι ψιλοὶ παραδίδονται τῇ γεέννῃ, ἵνα μὴ δοκεῖ D
ἡ τοῦ πνεύματος χάρις συνυβρίζεσθαι τοῖς ἀναξίως ἑαυτοὺς ποιήσασι τῆς τοῦ θεοῦ δωρεᾶς· οὕτω καὶ ὁ κύριος ἐν εὐαγγελίοις εἶπε· οὕτω καὶ ἐπὶ τῶν πολιτικῶν γίνεται δικαστηρίων.

Cap. XIII. 34. Εὐσεβίου. Ἀναχωρῶν ὁ χριστὸς τῶν Ἱεροσολύμων, τοιάσδε προήκατο κατὰ τῆς πόλεως τὰς φωνάς. Ἱερουσαλὴμ Ἱερου-

clamor et stridor dentium. Nam quantum dentibus edit et ebrietate peccavit, tantumdem plorabit; iustas dans poenas saevitiae suae contra conservos, intemperantisque luxuriae, et spreti domini, quem se haud nescire fatebatur. Et sane probe noverat se domino non carere; sed dum iudicium ab eo diutissime dilatum iri arbitratur, semet ipse fefellit.

Dictum illud Danielis contra alterum e senioribus qui Susannam accusaverunt " nunc iam angelus Dei, accepta ab eo sententia, scindet te me-
„ dium „ hoc inquam dictum Origenes interpretans, ait id ipsum prorsus illi eventurum in iudicio, secundum Dei oraculum; scindetur enim. Item Ammonius propheticum hoc capitulum explicans, sic loquitur de scissione " nam
„ qui sacra dignitate sunt praediti, separantur primo atque nudantur digni-
„ tate: exin ut rei privati traduntur gehennae; ne forte videatur spiritalis gra-
„ tia simul dehonestari cum iis qui se indignos Dei munere praestiterunt.
„ Sic Dominus in evangelio dixit. Sic etiam in civilibus iudiciis fit „.

Discedens Hierosolymis Christus has edidit contra urbem voces: Hierusa-

(1) Eusebium laboribus uti solitum Origenis atque Ammonii, satis exploratum est.

A σαλὴμ πολλάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, καὶ
οὐκ ἠθελήσατε· ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος· οὐκέτι
οἶκον θεοῦ τὸν νεὼν καὶ τὸ ἐν αὐτῷ ἁγίασμα, ἀλλ' αὐτῶν εἶναι
οἶκον ἀποφηνάμενος· μιάσματος γὰρ ἐναγοῦς ἐν τῷ μετὰ ταῦ-
τα χρόνῳ δρασθέντος ὑπ' αὐτῶν· τοῦτο δ' ἦν τὸ τολμηθὲν αὐ-
B τοῖς ἄγος κατὰ τοῦ σωτῆρος· ἐχρῆν δή που μὴ μόνους τοὺς τῆς
πόλεως οἰκήτορας, ἀλλὰ καὶ αὐτὸ τοὔδαφος ἐφ' ᾧ μέγα ἐφρόνουν,
ταπίχειρα ὧν ἔδρασαν οἱ οἰκήτορες παθεῖν· ἃ δὴ καὶ πεπόνθα-
σιν, οὐκ εἰς μακρὸν Ῥωμαίων ἐπελθόντων τῇ πόλει, καὶ τῶν
οἰκητόρων τοὺς μὲν πολέμου νόμῳ κατασφαξάντων, τοὺς δ' αἰχμα-
C λώτους ἀπαγαγόντων, τοὺς δὲ λιμῷ διαφθειράντων, τοὺς δὲ
ἀπελασάντων καὶ εἰς πάντα τόπον διασκεδασάντων· τὸν δ' οἶ-
κον αὐτῶν καὶ τὸν νεὼν ἐμπρησάντων, εἰς ἔσχατά τ' ἐρημίας
περιβαλόντων· ἀλλὰ γὰρ τούτων ἐν τοῖς μετὰ ταῦτα χρόνοις
γενομένων, προλαβὼν ὁ σωτὴρ τὸ μέλλον τῇ προγνώσει οἷα θεὸς
D λόγος τὰ συμβησόμενα προαγορεύει διὰ τῶν προκειμένων· τέκ-
να δὲ τῆς πόλεως ὀνομάζει τὸ ἰουδαίων πᾶν ἔθνος· οἶκον δὲ αὐ-
τῶν ἀποκαλεῖ τὸν νεών· εἶτα μαρτύρηται ὅτι παρὰ τὴν αὐτῶν
αἰτίαν τὰ σκυθρωπὰ αὐτοὺς μετελεύσεται· ἐπειδήπερ αὐτὸς μὲν
πολλάκις ἐπισυναγαγεῖν αὐτῶν τὰ τέκνα ὑπὸ τὸν τῆς θεοσε-
E βείας ζυγὸν βεβούληται· οἷα ἐκ τοῦ παντὸς πρόνοιαν αὐτῶν πε-

lem, Hierusalem, saepenumero optavi liberos tuos congregare; tamen vos renuistis. En relinquitur vobis domus vestra deserta. Iam non Dei domum templum illud sanctuariumque esse demonstrans, sed illorum domum, propter scelus infandum quod consecuto mox tempore ibidem patratum est: nempe immane Iudaeorum contra servatorem piaculum. Porro necesse erat non urbis solum incolas, verum etiam pavimentum illud quo tantopere gloriabantur, dignum referre pretium rerum ab incolis peractarum. Id quod non multo post accidit, cum Romani urbem adorti, cives eius partim belli iure interemerunt, partim captivos abduxerunt; et praeter fame necatos, reliquam multitudinem loco abstractam in orbis terrae vastitatem disperserunt: habitaculum denique eorum seu templum inflammatum in desertissimam solitudinem converterunt. Sane haec postero tempore contigerunt; sed enim servator, Deus scilicet verbum, praescientia utens, quae futura erant supra scriptis verbis ante nunciavit. Urbis autem liberos appellat gentem iudaicam, domum eorum dicit pro templo. Deinde testatur fore ut ipsorum culpa diris casibus irretiantur; quandoquidem ipse haud semel conatus fuerat sobolem eorum sub pietatis iugum mittere, dum curam eorundem eximiam gereret, per-

ποιημένος, δι' ἑκάστου τε προφήτου, καὶ καθ' ἑκάστην γενεὰν A
ἐπιστρέφων αὐτοὺς καὶ ἀνακαλούμενος· οἱ δὲ οὐκ ἤθελον ὑπακοῦσαι τῇ κλήσει· οὗ δὴ χάριν τὴν κατ' αὐτῶν ἀπόφασιν προενήνεκται εἰπών· ἰδοῦ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος· σφόδρα δὲ ἀκριβῶς οὐ τὴν πόλιν ἔρημον ἔσεσθαι φησὶν, ἀλλὰ τὸν ἐν αὐτῇ οἶκον, δηλαδὴ τὸν νεών· ὃν οὐκέτι ἑαυτοῦ, ἀλλ' οὐδὲ τοῦ Θεοῦ B
οἶκον βούλεται χρηματίζειν, ἀλλ' αὐτῶν εἶναι φησίν· ἔρημον δὲ αὐτὸν ἔσεσθαι θεσπίζει, οὐκ ἄλλως ἢ ὑπὸ τῆς πρότερον ἐπισκοπούσης αὐτὸν προνοίας καταλειφθησόμενον· καὶ δὴ θαυμάσαι ἐστὶ τοῦ λόγου τὸ ἀποτέλεσμα, ὅτι δὴ μηδ' ἄλλοτε πώποτε τοσαύτην ὑπέμεινεν ἐρημίαν ὁ τόπος· οὐδ' ὅτε διὰ τὰς ὑπερβαλούσας C
σας αὐτῶν δυσσεβείας καὶ εἰδωλολατρίας, τάς τε κατὰ τῶν προφητῶν μιαιφονίας, ὑπὸ Βαβυλωνίων ἥλω· ἑβδομηκονταετὴς γὰρ ὁ πᾶς τῆς ἐρημώσεως τοῦ τόπου χρόνος κατ' ἐκείνους ἐγενήθη· διὸ οὐκ ἂν κυρίως ἐλέχθη αὐτοῖς τότε τὸ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος· οὐ γὰρ ἀφείθη, ἔτυχε δὲ ἐπισκοπῆς μετ' οὐ πολὺν D
χρόνον, καθ' ὃν ἀνανεώσεως μείζονος ἢ κατὰ τὴν προτέραν ἠξιώθη· ὡς προειπεῖν τινὰ τῶν προφητῶν, ὅτι δὴ μεγάλη ἔσται ἡ δόξα (1) τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν προτέραν· μετὰ δὲ τὴν τοῦ σωτῆρος ἡμῶν φωνὴν, ὅπως ἀφείθησαν ὅτε οἶκος αὐτῶν εἰς ἔσχατον

que singulos prophetas singulasque aetates a pravitate eos retraheret ac revocaret. Ceterum hi vocanti minime obtemperaverunt; quam ob rem tulit in eos his verbis sententiam: ecce relinquitur vobis domus vestra deserta. Accurate vero non urbem desertam fore ait, sed domum huius, id est templum, quod iam non suum neque Dei habitaculum haberi vult, sed illorum esse ait. Desertum vero haud aliter fore vaticinatur, nisi quia consueta illa Dei cura ac patrocinio spoliandum erat. Mirari autem subit sermonis effectum, quia numquam alias ad tantam solitudinem is locus redactus fuit; ne tum quidem cum ob impietatem incolarum atque idololatriam et prophetarum caedes, in Babyloniorum potestatem venit: illo enim tempore septuagenaria fuit loci solitudo. Quare ne fataliter quidem tunc iis dictum fuit, relinquitur vobis domus vestra deserta: neque enim derelicta, immo visitationem opiferam haud multo post experta est; quo tempore splendidiorem priore statu instaurationem impetravit. Ita ut praedixerit propheta quidam, postremam domus huius gloriam priore inlustriorem fore. Verumtamen post servatoris nostri effatum quantopere derelicti Iudaei fuerint, quantamque in solitudinem domus eorum vene-

(1) Agg. II. 10. Voces tamen μεγάλη ἡ δόξα desunt in codice.

A ἐρημίας ἤλασε, τοῖς εἰς τὰς τόπους ἀφικνεμένοις ἡ ὄψις αὐτὴ τῦ λόγυ δείκνυσι τὸ ἀποτέλεσμα, καὶ ὁ χρόνος δὲ πολυετὴς γεγονὼς καὶ μακρός. N.

Οὐ μή με ἴδητε ἕως ἂν ἥξει ὅτε εἴπητε, εὐλογημένος ὁ 35.
ἐρχόμενος ἐν ὀνόματι κυρίυ. Εὐσεβίυ. Αὐτοὶ γὰρ ἐκεῖνοι οἷς
B τότε παρὼν παρῦσι διελέγετο, θεώμενοι αὐτὸν μετὰ τῆς ἐνθέυ δόξης, καὶ σὺν ἀγγέλων δορυφορίᾳ ἐρχόμενον ἐξ ὐρανῶν, ὁμολογεῖν ἀναγκασθήσονται αὐτὸν εἶναι τὸν εὐλογημένον τὸν ἐρχόμενον ἐν ὀνόματι κυρίυ τῦ ἑαυτῦ πατρός. N.

Ἄνθρωπός τις ἐποίησε δεῖπνον. Εὐσεβίου. Ἀλλοτρία Cap. XIIII.
C αὕτη ἡ παραβολὴ πρὸς τὴν παρὰ τῷ Ματθαίῳ [1]· ἐκεῖ μὲν γὰρ 16.
βασιλεὺς, καὶ γάμοι υἱῦ βασιλέως, καὶ κλήτορες πολλοὶ, καὶ οἱ κληθέντες οὐκ ἀπῆλθον, ἀλλὰ καὶ τοὺς δούλυς ὕβρισαν καὶ ἀπέκτειναν, καὶ στράτευμα κινούμενον κατὰ τῶν ἀνῃρηκότων τὺς δούλυς, καὶ ὁ διὰ τὴν ῥυπαρὰν ἐσθῆτα ἐκβαλλόμενος τῦ γάμυ·
D ὧδε δὲ ἄνθρωπος εἰσάγεται ψιλὸς, καὶ δεῖπνον ἁπλῶς, καὶ εἷς ἐπὶ τὴν κλῆσιν ἐκπέμπεται, καὶ οἱ κληθέντες παραιτοῦνται μόνον τὴν κλῆσιν, ἀσχολίαν σκηπτόμενοι· τὸ δὲ κεφαλαιωδέστερον, ὅτι ἐκείνη μὲν ἐν τῷ ἱερῷ λέλεκτο πρὸς τοὺς ἀρχιερεῖς καὶ πρεσβυτέρους τῦ λαοῦ, αὕτη δὲ ἐπὶ τῆς Γαλιλαίας ἐν οἰκίᾳ τι-

rit, iis quidem qui loca illa lustrant visio ipsa et tot annorum diuturnitas oraculi eventum demonstrat.

Non me videbitis, donec veniat cum dicetis, benedictus qui venit in nomine Domini. Nempe iidem homines, quibuscum praesentibus praesens ipse loquebatur, statim ac eum divina cum gloria atque angelorum comitatu venientem caelo viderint, cogentur eum confiteri benedictum qui venit in nomine Domini patris sui.

Homo quidam fecit caenam. Diversa est haec parabola ab ea quam Matthaeus narrat. Ibi enim rex, nuptiaeque regii filii, et vocatores multi, et vocati non iverunt, quin immo servos contumeliis adfectos occiderunt, et copiae commotae sunt in servorum interfectores, et quidam ob vestem sordidam nuptiali eiectus convivio fuit. Heic autem unus homo introducitur, et caena privata, et unus vocator mittitur, et vocati deprecantur tantummodo vocationem, occupationes suas praetendentes. Quodque adeo praecipuum est, illa in templo dicta fuit apud pontifices senioresque populi, haec in Ga-

(1) Cap. XXII.

νὸς ἄρχοντος φαρισαίου· τῶν γὰρ συνανακειμένων τὶς ἀκούσας A
τὸ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι, ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων· τῆς ἀναστάσεως καὶ τῆς βασιλείας τοῦ θεοῦ μιᾶς καὶ τῆς αὐτῆς νοουμένης· πρὸς οὖν τὸν εἰρηκότα μακάριος ὅστις φάγεται ἄρτον ἐν
τῇ βασιλείᾳ τοῦ θεοῦ, τίς ἂν γένοιτο οὗτος ὁ μακάριος διὰ τῆς B
παραβολῆς ὁ σωτὴρ παρίστησι λέγων, ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα· πάλιν αὐτὸς ἑαυτὸν ἐν τούτοις ἄνθρωπον ὀνομάζων· μέγα δὲ αὐτοῦ δεῖπνον νοήσεις, τέως μὲν ἀπιδὼν εἰς τὸ καθ' ὅλης τῆς οἰκουμένης λογικὸν συμπόσιον τῶν ἱερῶν καὶ θείων τρο-
φῶν τῶν πανταχοῦ γῆς διὰ τῶν θεοπνεύστων ἀναγνωσμάτων πᾶ- C
σι τοῖς ἔθνεσι παραδεδομένων· ἐντεῦθεν δὲ μετάβα τῇ διανοίᾳ ἐπὶ τὴν προσδοκωμένην τῶν οὐρανῶν βασιλείαν· καὶ εἰς ἔννοιαν ἐλθὲ τοῦ τότε μεγάλου ὡς ἀληθῶς δείπνου, ἐν ᾧ συναναπαύσονται ἀγγέλοις καὶ ταῖς κατ' οὐρανὸν θείαις δυνάμεσιν αἱ τῶν
μακαρίων ψυχαὶ, ἐν ᾧ τραφήσονται τῷ τῶν ἀγγέλων ἄρτῳ, D
πληρουμένου κυρίως τότε καὶ θεοπρεπῶς τοῦ φάσκοντος λόγου, ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος· οὐ γὰρ πολυειδὴς ἔσται ἡ τότε τροφὴ, οὔτε ἡδύσματος οὔτε ὄψων δεομένη, ἄρτῳ δὲ μόνῳ ἀθανατοποιῷ καὶ ζωῆς αἰωνίου παρεκτικῷ τραφήσονται οἱ κατὰ τὸν
ἐνεστῶτα βίον θρέψαντες, οὓς ὠνόμασεν ὁ σωτήρ· ὁ δὲ ἄρτος E

lilaea domi cuiusdam pharisaei. Et quidem unus discumbentium audit, beatus eris quia non habent quod tibi retribuant; retribuetur enim tibi in iustorum resurrectione. Porro resurrectio, idem esse intelligitur atque regnum Dei. Iamvero illi qui dixerat, beatus qui panem manducat in regno Dei, quisnam esset hic beatus declaravit servator per parabolam dicens, homo quidam caenam magnam fecit: rursus se ipsum in homine illo significans. Ut autem magna caena quaenam sit intelligas, interim quidem specta hoc in orbe universo spiritale convivium sacrorum divinorumque ciborum, qui ubique terrarum per divinitus inspiratas scripturas cunctis populis apponuntur. Hinc mentem transfer ad expectatum caelorum regnum, atque reputa caenam illam vere magnam, in qua cum angelis divinisque caelorum virtutibus beatae animae requiescent, angelorumque pane nutrientur: quo sane tempore dictum illud firmiter splendideque complebitur, panem angelorum manducavit homo. Neque enim multiplex erit ille cibus, neque condituris aut obsoniis egebit; sed uno pane immortalitatis satore vitaeque aeternae datore nutrientur ii, de quibus servator loquitur, quique in praesenti vita aliis alimenta praebent. Panis vero rur-

A πάλιν εἴη ὁ ψυχῶν καὶ ἀγγέλων καὶ τῶν κατ' οὐρανὸν λογικῶν τρόφιμος λόγος· τοῦτο γοῦν αὐτὸς ἐδίδαξεν εἰπών· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· τοῦ γὰρ ἐν ἀρχῇ πρὸς τὸν θεὸν θεοῦ λόγου μεταλήψει πᾶσα ἡ τῶν ἁγίων λογικὴ φύσις ζωοποιεῖται· ἃ δὴ δοκεῖ μοι ἐκ προτέρων μαθημάτων πεπαιδευμένος ὁ συνανακείμενος
B τῷ Ἰησοῦ εἰρηκέναι· μακάριος ὅστις φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ· οὐδὲ γὰρ τῶν τυχόντων τὶς ἦν ὁ ταύτην ἀφεὶς τὴν φωνὴν, ἀλλ' ὡς οἶμαι τῶν σφόδρα μεγάλων καὶ παρὰ τῷ σωτῆρι τιμῆς ἠξιωμένων· διὸ καὶ συνανακλίνεται αὐτῷ, καὶ τοῖς αὐτοῦ λόγοις συνετῶς προσεῖχεν, ὡς καὶ τὴν βασιλείαν τῶν
C οὐρανῶν μὴ ἀγνοεῖν, γνωρίζειν δὲ καὶ τὸν ἄρτον τῆς ζωῆς τὸν θρεπτικὸν τῶν τῆς βασιλείας ἀξίων· τοσαυτην τε ἄγειν παῤῥησίαν, ὡς ἐπὶ τοῦ σωτῆρος ἀνακινεῖν δόγματα, καὶ δι' αὐτὸν τὴν πᾶσαν εἰρηκέναι παραβολὴν τὸν σωτῆρα, διδάσκοντα τίς ἂν γένοιτο οὗτος ὁ ἀληθῶς μακάριος, ὃς φάγεται ἄρτον ἐν τῇ βα-
D σιλείᾳ τοῦ θεοῦ· πολλοὺς μὲν οὖν κεκλῆσθαι λέγει διὰ τῆς παραβολῆς ἐπὶ τὸ μέγα δεῖπνον, καὶ τὸν ἐν τούτῳ δεδωρημένον ἄρτον, μὴ μὴν τοὺς πάντας τῆς χάριτος ἐπιτυγχάνειν· ἀποστερεῖσθαι γὰρ αὐτῆς τῶν κεκλημένων τοὺς περὶ ἕτερον ἠσχολημένους· περισπᾶν γὰρ καὶ ἀφέλκειν τῆς κλήσεως τὰς τοῦ βίου
E φροντίδας διδάσκει· ταύτας δὲ εἶναι διαφόρους· ἢ γὰρ περὶ

sum intelligitur qui et animas et angelos et caelestes mentes alit. Id quod ipse servator docuit dicens, ego sum panis vitae. Nam per Dei verbi in principio apud Deum existentis assumptionem, universa sanctorum spiritalis natura vivificatur. Atque haec sane videtur mihi praecedentibus doctrinis edoctus homo ille, qui cum Iesu discumbebat, dixisse, beatus qui panem manducat in regno Dei. Neque enim gregarius quivis hanc emisit vocem, sed ut arbitror potissimus aliquis inter eos qui apud servatorem in honore erant. Quare et cum illo recumbebat, et eius sermonibus prudenter admodum mentem adtendebat, ut iam regnum Dei non ignoraret, immo et illum nosset vitae panem, qui regno dignos nutrit: tantaque fiducia erat, ut apud ipsum servatorem dogmata commoverit: quare et eius gratia totam servator instituit parabolam, dum doceret quisnam esset ille beatus qui panem manducat in regno Dei. Multos ergo in parabola ait ad magnam caenam vocatos, atque ad panem in hac appositum; ceteroqui haud omnes gratia potitos; hac enim caruisse vocatos illos, qui aliis negotiis distenti fuerunt; multifariis scilicet; nam vel pecunia

χρήματα καὶ ἀγροὺς ἀσχολούμενοι ταῦτα τῆς κλήσεως προτε- A
τιμήκασιν, ὡς παραιτήσασθαι διὰ ταῦτα τὴν κλῆσιν, ἢ περὶ
τὰς τοῦ βίου πραγματείας κατατριβόμενοι, ἢ δεσμῷ γάμου καὶ
παίδων ἐμπεπλεγμένοι, ἢ τισὶν ἄλλοις τοιούτοις φροντίσμα-
σιν ἐνησχολημένοι· ἀλλὰ περὶ μὲν τούτων ἀπόφασις ἐξενήνεκ-
ται λέγουσα· λέγω ὑμῖν ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κε- B
κλημένων, καὶ διὰ τὰς βιωτικὰς ἀσχολίας παραιτησαμένων γεύ-
σεταί μου τοῦ δείπνου· ἑτέρους δὲ ἀντ' αὐτῶν ἀπολαύσεσθαι
τοῦ μακαρίου δείπνου φησὶ, τοὺς μὴ τοιούτοις τισὶ προσδεδεμέ-
νους, πτωχούς τινας καὶ ἀναπήρους· τοιοῦτοι δὲ ἦσαν πάλαι εἰ-
δωλολατροῦντες οἱ ἐξ ἐθνῶν ὑπὸ δαιμόνων πονηρῶν τὰς ψυχὰς C
λελωβημένοι· οὓς ἀκολούθως τῇ ἐπαγγελίᾳ προσδεξάμενος ὁ
ἑστιάτωρ πᾶσαν τὴν νόσον τῶν ψυχῶν αὐτῶν, καὶ μαλακίαν
πᾶσαν ἰασάμενος, ἔπειτα τῆς οἰκείας αὐτοῖς μεταδώσει τρα-
πέζης· ὥστ' εἰπεῖν αὐτοὺς, ἡτοίμας ἐνώπιόν μου τράπεζαν ἐξ
ἐναντίας τῶν θλιβόντων με· καὶ ἄρτον αὐτοῖς παρέξει καὶ λο- D
γικὴν τροφήν· ἐντεῦθεν ἤδη στερεᾶς βρώσεως μεταδιδοὺς αὐ-
τοῖς, καὶ οἴνῳ δὲ αὐτοὺς εὐφρανεῖ λογικῷ· ὥστ' ἂν εἰπεῖν,
καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον· ταῦτα δὲ
πάντα παρέχει, τοὺς ἀῤῥαβῶνας τῶν οὐρανίων ἀγαθῶν διὰ τῶν
κατὰ τὸν παρόντα βίον χαρισμάτων αὐτοῖς δωρούμενος· δυνα- E
τὸν δὲ καὶ καθ' ἑτέραν ἐκδοχὴν εἰπεῖν, ὅτι οἱ πρῶτοι τῆς κλή-

agrisque occupati vocationi opes praetulerunt; immo adeo vocationem prae his deprecati sunt, vel vitae negotiis pressi, vel nuptiarum prolisque vinculis impediti, vel aliis denique id genus curis impediti. Atque in hos lata sententia hisce verbis est: dico vobis, neminem illorum virorum, qui quum vocati fuissent, vitae occupationes excusaverunt, caenam meam gustaturum. Porro alios ea fruituros ait rebus huiusmodi minime obnoxios, nempe tenuiores quosdam et claudos. Erant autem hi dediti olim idolis ethnici, quorum animas scelesti daemones male mulcaverant: quos convivii auctor pro sua denuntiatione exceptos omni animi morbo ac languore expedibit, tum mensae adhibebit: ita ut illi dicturi sint, parasti coram me mensam adversus eos qui tribulant me. Tum panem illis atque alimoniam spiritalem praebebit: atque hinc solido iam cibo impertiet eos, et intellectuali recreabit vino. Quare dicent, et calix meus inebrians quam praeclarissimus est. Atque haec omnia Deus suppeditat, dum caelestium bonorum arrhas in huius vitae muneribus largitur. Licet quoque secundum aliam interpretationem dicere, primos vocatio-

A σεως ἠξιωμένοι, οὗτοι δ' ἦσαν οἱ ἐκ τῆς περιτομῆς προφάσει
τῆς περὶ τὸ κρεῖττον ἀσχολίας τὴν κλῆσιν ὕβρισαν· ὡς γὰρ
ἔχοντες ἀγροὺς τὰ παρ' αὐτοῖς ἀναγνώσματα, καὶ ὡς βόας
ἀροτῆρας κεκτημένοι τοὺς προφήτας, καὶ ὡς ἂν σοφίᾳ τινὶ οἷα γυ-
ναικὶ συμβιοῦντες, τὴν εὐαγγελικὴν ἐξηυτέλισαν χάριν· οἱ δὲ μετ'
B ἐκείνους ἐκ τῶν ἀλλοφύλων ἐθνῶν κληθέντες, οἱ πρὶν τὰς δια-
νοίας κωφοὶ καὶ τυφλοὶ, προθύμως ὑπήκουσαν· διὸ καὶ τοῦ μα-
καρισμοῦ τεύξονται.

Εὐσεβίου [1]. Δόξειεν ἄν τις τὴν αὐτὴν εἶναι παραβολὴν τῇ
παρὰ τῷ Ματθαίῳ, ἐν ᾗ βασιλεύς ἐστι γάμους ποιῶν τῷ υἱῷ
C αὐτοῦ, καὶ δούλους ἀποστέλλων καλέσαι τοὺς κεκλημένους· ὁ
δὲ μὴ παρέργως προσέχων τῇ ἀναγνώσει, εὕροιεν ἂν ἐπιστήσας
τὸν νοῦν παντάπασιν ἠλλοτριωμένην ταύτην ἐκείνης· ἡ μὲν γὰρ
παρὰ τῷ Ματθαίῳ πρῶτον ἁπάντων τῇ βασιλείᾳ τῶν οὐρανῶν
παρέβαλε τὰ λεγόμενα· τοῦτο δὲ ἐνταῦθα οὐ λέλεκται· κἀκεῖ
D μὲν ἀφωμοίου τὸν κλήτορα βασιλεῖ, ἐνταῦθα δὲ ψιλὸν ἄνθρωπον
εἰσάγει· κἀκεῖ μὲν γάμους τῷ υἱῷ ὁ βασιλεὺς ἐτέλει, ἐνταῦ-
θα δὲ ἁπλῶς δεῖπνον· κἀκεῖ μὲν πολλοὶ ἀποστέλλονται, ἐνταῦ-
θα δὲ εἷς μόνος ἐπὶ τὴν κλῆσιν ἐκπέμπεται· κἀκεῖ οἱ μὲν ἀμε-
λήσαντες οὐκ ἀπήντων, οἱ δὲ λοιποὶ τοὺς δούλους ὕβρισαν καὶ

ne dignanter donatos fuisse qui de circumcisione erant; verum hi dum melioribus districtos se dictitant, vocationem contumelia adfecerunt: habentesque veluti agros apud se scripturas, boves aratores prophetas, sapientiaeque convictu, uxoris instar, utentes, evangelicam gratiam flocci fecerunt. Qui vero post illos ex alienigenis populis vocati fuerunt, mente antea surdi caecicique, alacriter obaudierunt. Quare et beatitudinem consequentur.

Existimabit fortasse aliquis eandem esse parabolam quae apud Matthaeum, in qua rex filii sui nuptias facit, servosque dimittit invitatum convivas. Verumtamen is qui non perfunctorio studio rem considerabit, deprehendet mentis acumine, parabolam hanc ab illa prorsus differre. Namque illa Matthaei caelorum ante omnia regno ea quae dicuntur comparat; heic nihil eiusmodi fit. Illic convivii auctor regiam personam gerit; heic privatus homo introducitur. Ibi nuptias filii rex celebrat; heic simplex convivium est. Ibi multi legatione funguntur; heic unus vocator mittitur. Ibi partim venire neglexerunt,

(1) Quae sequitur eusebiana parabolae eiusdem explicatio, ex alia collectione sumitur, ut in praefatione dixi. Licet ergo hoc et aliis deinde exemplis cognoscere quanam ratione diversi catenarum auctores commentarios Eusebii ad Lucam delibaverint.

ἀπέκτειναν· ἐνταῦθα δὲ μόνον σκήπτονται ἀσχολίαν παραιτού- A
μενοι τὴν κλῆσιν· ἐκεῖ πάλιν ὁ βασιλεὺς στράτευμα κινεῖ κατὰ τῶν ἀνῃρηκότων τοὺς αὐτοῦ δούλους· ἐνταῦθα δὲ ὁ ἄνθρωπος ὀργισθεὶς ἐπὶ τῇ παραιτήσει τῶν κεκλημένων, οὐδὲν μὲν τοιοῦτον ποιεῖ· τῷ δὲ ἑαυτοῦ δούλῳ προστάττει πτωχοὺς καὶ ἀναπήρους καὶ τυφλοὺς εἰσαγαγεῖν. ὁ δὲ ἐπὶ τοὺς γάμους τοῦ B
υἱοῦ συγκαλῶν βασιλεὺς, δούλοις πλείοσιν ὑπερέταις χρώμενος, οὐ πτωχοὺς καὶ ἀναπήρους, ἀλλ' οὐδὲ τυφλοὺς καὶ χωλοὺς εἰσάγει· ἐπειδὴ μηδ' ἔπρεπεν ἐπὶ κλήσει γάμου βασιλικοῦ τοιούτους παρεῖναι· κληθέντων δὲ πολλῶν, τὸν ἀνάξια γάμου ἐνδεδυμένον, ὁ βασιλεὺς τιμωρεῖται· τὸ δὲ πάντων κεφαλαιωδέστα- C
τον, ὅτι ἡ μὲν παρὰ τῷ Ματθαίῳ παραβολὴ, ἔνδον ἐν τῷ ἱερῷ λέλεκτο πρὸς τοὺς ἀρχιερέας καὶ πρεσβυτέρους τοῦ λαοῦ, διαλεγομένου τοῦ σωτῆρος· ἡ δὲ παρὰ τῷ Λουκᾷ ἐπὶ τῆς Γαλιλαίας ἐν οἰκίᾳ τινὸς ἄρχοντος φαρισαίου ψιλὸν δεῖπνον κατασκευάζει, ἑστιωμένου παρ' αὐτῷ τοῦ σωτῆρος· προλέγει γοῦν τῆς D
προκειμένης παραβολῆς ὁ Λουκᾶς ταῦτα· ὅτι εἰσῆλθεν εἰς οἶκον τινὸς φαρισαίου ἑστιαθῆναι ἐν σαββάτῳ, οἱ δὲ παρετηροῦντο αὐτόν· εἶτα διελθὼν ὡς ὑδρωπικὸν ἐθεράπευσε, καὶ ὡς ἐδίδαξε μὴ τὰς πρωτοκλισίας ἐν τοῖς δείπνοις μεταδιώκειν, μηδὲ καλεῖν τοὺς ἀντικαλέσοντας, ἀλλὰ τοὺς ἀντιδοῦναι μὴ δυναμένους, E

partim servos contumeliis affectos interemerunt; heic unice obtendunt occupationem, ut se vocati excusent. Rursus ibi rex exercitum commovet adversus servorum suorum interfectores; heic homo quamvis iratus recusantibus invitatis, nihil eiusmodi facit: servo tamen mandat, ut pauperes et membris mutilos et caecos convocet. At ille qui ad filii nuptias invitat rex, famulis pluribus utitur, neque pauperes, membris mutilos, caecos, claudos ad se cogit: neque enim regiis nuptiis tales interesse invitatos decuit. Tum e numero convivarum quendam indigna nuptiis veste indutum rex punit. Denique quod est omnium potissimum, Matthaei parabola intra templum dicta fuit, coram pontificibus ac populi senioribus concionante Domino; Lucae parabola in Galilea domi cuiusdam pharisaei privatam caenam exhibet, convivante apud eum servatore. Ergo Lucas sic praefatur parabolae: nempe Iesum in aedes cuiusdam e pharisaeis venisse ut sabbato cibum sumeret; hos autem mentem illi intendisse. Tum narrat hydropici hominis curationem, atque uti Iesus docuerit quominus primos accubitus in conviviis ambirent, neque invitarent eos a quibus vicissim invitandi forent, sed eos potius qui remunerari nequi-

A ἐπιφέρει, ὅτι ἀκούσας τὶς τῶν συνανακειμένων πάντα, εἶπε·
μακάριος ὅστις φαγηται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ· ὁ δὲ
εἶπεν αὐτῷ· ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα· οὕτω δὲ ὁ
Λουκᾶς τὴν προτεθεῖσαν παραβολὴν ἀνέγραψεν εἰρῆσθαι ὑπὸ
τοῦ σωτῆρος πρὸς τὸν εἰρηκότα, μακάριος ὅστις φάγηται ἄρ-
B τον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ· ὥστε ἐξάπαντος ὁμολογεῖν ἑτέραν
εἶναι ταύτην παρὰ τὴν πρώτην· ἐπεὶ δὲ οὐκ ἀλλοτρία τυγχάνει
οὐδ᾽ αὕτη τῆς βασιλείας τῶν οὐρανῶν, περὶ ἧς ἡμῖν ὁ πᾶς ἐνέστη-
κε λόγος, εἴδωμεν τί βούληται καὶ τὰ διὰ ταύτην δηλούμενα. N.
Ἀγρὸν ἠγόρασα· Ὁ παραλαβὼν δόγματα ἕτερα τῆς θεό- 11.
C τητος πολλὴν ἔχοντα πιθανότητα καὶ ποικιλίαν λόγου, ἅτε κα-
ταφρονήσας τοῦ ἀγροῦ τοῦ τὸν μέγαν ἔχοντος θησαυρόν, οὗτος μὴ
εἰδὼς μηδὲ δοκιμάσας ὃν ἐκτήσατο λόγον, διὰ τὸ προληφθῆναι
ἐξ ἀνάγκης καὶ οὐχ ἑκουσίως, ἐξέρχεται ἐκ τοῦ δείπνου καὶ τοῦ κε-
κληκότος, τάχα δὲ καὶ ἑαυτοῦ· τὸ δὲ ἐρωτῶ σε φησὶ, ὡς λό-
D γῳ μόνῳ α.δούμενος τὸν κεκληκότα· ὁ δὲ ζεύγη βοῶν ἀγοράσας
πέντε, ἐστὶν ὁ τῆς νοητῆς καταφρονῶν φύσεως, περὶ δὲ τὰ αἰσ-
θητὰ φιλοσοφῶν, οὐδ᾽ οὗτος ἐδοκίμασεν ἐξ ἀρχῆς ἃ ἐώνηται·
εἰ οὖν ὁ διαλογισμὸς (a) ἐπὶ ὕλης τάσσεται, οὗτος τὰ ὑλικὰ ἐτίμα·
διὸ παραιτεῖται καὶ αὐτὸς τὸ νοητὸν δεῖπνον λέγων, οὐ δύναμαι

rent: addit, quendam e discumbentibus haec audientem dixisse, beatus qui panem comedet in regno Dei. Iesum autem sic orsum loqui: homo quidam fecit caenam magnam. Atque ita Lucas praesentem parabolam tradit narratam a servatore illi qui dixerat, beatus qui panem comedet in regno Dei. Quare omnino fatetur diversam hanc esse a superiore parabolam. Sed tamen quia ne ipsa quidem a caelorum regno abhorret, de quo omnis nobis institutus sermo est, videamus porro quid significent etiam ea quae in hac proponuntur.

Praedium emi. Qui dogmata recipit aliena divinitati, pellacia magnopere et varietatem elocutionis prae se ferentia, agro contempto in quo magnus thesaurus latet; hic neque gnarus neque experiens verbi quod acquisiverat, propterea quod non sponte illud sed necessitate coactus antea susceperat, a convivio atque ab invitante recedit; fortasse etiam a se ipso. Iam verba *rogo te* ait significans, se verbo tenus vocantem honorare. Qui vero boum iuga quinque emerat, is est qui intellectuali natura contempta, et sensibilibus tantummodo operam dans, ne ipse quidem satis probavit quae principio acquisiverat. Si ergo cogitatio in materia defigitur, consentaneum est materialia in honore haberi. Quare et hic homo recusat intellectuale convivium dicens, ve-

(a) Cod. pro hoc vocabulo habet δύο ἀριθμός.

ἐλθεῖν· οἱ γὰρ περὶ τὰ αἰσθητὰ καταγινόμενοι, τῶν νοητῶν ἀφικέσθαι ἀδυνατοῦσιν· ὁ δὲ γυναῖκα γήμας, ὁ δοκῶν εὑρηκέναι σοφίαν ἐστὶν, ὃς ταύτῃ κοινωνήσας παραιτεῖται τὴν ἀληθῆ· ἢ οὗτός ἐστιν ὁ τῇ σαρκὶ ἑνούμενος, φιλήδονος μᾶλλον ἢ φιλόθεος· οὗτοι πάντες ἀπὸ μιᾶς, τουτέστιν ὡς ἐξ ἑνὸς συνθήματος, τὴν τοῦ δείπνου πεποίηνται παραίτησιν. A B

24. Οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου. Εὐσεβίου. Περὶ μὲν τῶν κεκλημένων καὶ παραιτησαμένων τὴν χάριν, ἀπόφασις ἐξενήνεκται ἡ φήσασα, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων, καὶ διὰ τὰς βιωτικὰς ἀσχολίας παραιτησαμένων, γεύσεταί μου τοῦ δείπνου· ἑτέρους C δὲ ἀντὶ τούτων τοὺς μὴ περιπεπλεγμένους ταῖς τοῦ βίου πραγματείαις, καταξιωθήσεσθαι φησὶ τοῦ μακαρίου δείπνου· πτωχούς τινας καὶ τυφλοὺς καὶ ἀναπήρους τοὺς μηδαμῶς παραιτησαμένους τὴν κλῆσιν, διὰ τὸ μήτε ἀγοράζειν, μήτε πιπράσκειν, μήτε γάμῳ σχολάζειν, μηθ᾽ ὑφ᾽ ἑτέρων τινῶν τοιούτων περιέλ- D κεσθαι, προθύμως δὲ καὶ ἑτοίμως καταδέχεσθαι τὴν χάριν. N.

26. Εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα κ. τ. λ. Εὐσεβίου· Πλὴν ταῦτα διετάττετο ὁ κύριος οὐκ ἀντινομοθετῶν τῷ φάσκοντι παρὰ Μωσεῖ τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου νόμῳ, βεβαιῶν δὲ κἀκεῖνον καὶ ἐπισφραγιζόμενος διὰ τῆς E

nire nequeo. Nam qui in sensibilibus versantur, intellectualibus potiri non possunt. Iam qui uxorem duxerat, is est qui sapientiam se adeptum existimans, prae huius consuetudine veram sapientiam renuit. Vel intelligitur homo carni deditus, voluptatis magis quam Dei amans. Hi simul omnes, tamquam ex condicto, convivio se interfuturos negant.

Nemo virorum illorum, qui vocati fuere, gustabit caenam meam. Contra invitatos, et gratiae minime obtemperantes sententia editur his verbis: nemo virorum illorum qui, vocati cum essent, mundanas occupationes excusaverunt, caenam meam gustabit. Pro his autem, alios vitae curis haudquaquam impeditos, dignos fore ait beato convivio; pauperes nimirum quosdam et caecos et membris mutilos, qui vocationem neutiquam deprecati sunt; quoniam neque emunt neque vendunt neque nuptiis dant operam, neque aliis huiuscemodi negotiis distringuntur, sed alacriter gratiam prompteque recipiunt.

Siquis venit ad me, et non odit patrem etc. Haec dum praeciperet Dominus, haud equidem contrarium ius dictabat mosaicae legi dicenti honora patrem et matrem tuam; immo vero firmabat illam sigilloque muniebat per

A κρείττονος καὶ ἐντελεστέρας ἐντολῆς, τὸν θεὸν ἐξ ὅλης ψυχῆς
ἀγαπᾷν διακελευομένης· πατέρα μὲν γὰρ καὶ μητέρα τιμᾷν, νό-
μιμον κατὰ φύσιν· ὄντος δὲ ἑτέρου πατρὸς τοῦ καὶ τῶν γεγεννη-
κοτων κρείττονος, αὐτοὺς δὲ ὑποστησαμένου· (ἦν δὲ οὗτος αὐτὸς
ὁ τοῦ θεοῦ λόγος ὁ τὰ προκείμενα διαταττόμενος·) οὐ χρῆναί φη-
B σὶ ὑπερβάλλειν τῇ φιλίᾳ τοὺς τὸ σῶμα γεγεννηκότας, τοῦ τὴν
λογικὴν ψυχὴν ὑποστησαμένου λόγου· ἀλλὰ κἀκείνοις μὲν προσ-
φέρεσθαι τιμῇ τε πάσῃ, διαθέσει τε τῇ προσηκούσῃ· αὐτῷ δὲ
ὑπερβαλλόντως τὸ πρῶτον ἀπονέμειν σέβας· ὑπεραγαπᾷν τε καὶ
φιλεῖν αὐτὸν ὑπὲρ πάντας, ὡς μὴ κατοκνεῖν δι' αὐτὸν καὶ γονέων
C ἀσεβῶν διΐστασθαι καὶ ἀθέων ἀδελφῶν ἀφορίζεσθαι· υἱούς τε καὶ
θυγατέρας ἀποστρέφεσθαι· καὶ τῇ τοῦ λόγου τμητικωτάτῃ μα-
χαίρᾳ, τούτων ἁπάντων τὰ φυσικὰ διακόπτειν φίλτρα, εἰ ἐμ-
ποδὼν ποτε γίνοιντο τῇ περὶ αὐτὸν εὐσεβεῖ διαθέσει. N.

Καλὸν τὸ ἅλας. Εὐσεβίου. Διὰ τοῦ τῶν ἁλῶν συμβό- 34.
D λου τὴν δύναμιν αἰνίττεται τῶν μαθητῶν αὐτοῦ· ἐπεὶ γὰρ οἱ ἅλες
τὴν μὲν οὐσίαν ἐξ ὕδατος καὶ πνεύματος συνεστήκασι, σμικρόν
τι τοῦ γεώδους μετέχοντες, τῆς δὲ τῶν φθαρτῶν σωμάτων ῥευ-
στῆς φύσεως πυκνώτεροι τυγχάνουσιν, ὡς καὶ τὰ νεκρὰ διακρα-
τεῖν σώματα κρείττονι δυνάμει, εἰκότως τοὺς αὐτῷ μαθητευο-
E μένους, τῇ τῶν ἁλῶν παραβάλλει φύσει· ἐπεὶ καὶ αὐτοὶ ἐξ

illud melius perfectiusque mandatum, quo iubemur Deum ex tota anima diligere. Nam ut patrem matremque honoremus, naturae lex est: quum autem sit et alius pater, et quidem genitoribus melior, qui et hos creavit (porro id erat ipsum Dei verbum praedicta mandans) haud, inquit, decet maiore dilectione prosequi eos qui corpora nobis genuerunt, quam quod rationalem animam creavit verbum. Sed et illis omnis honor praestandus est ac debita benivolentia, et huic apprime summus cultus exhibendus: tam praecipue denique tamque prae omnibus diligendum est, ut huius causa ne parentibus quidem impiis adversari aut a fratribus irreligiosis dissidere dubitemus: quin etiam liberos aversemur; acutoque verbi gladio naturales horum omnium dilectiones praecidamus, si hac quandoque pio erga ipsum verbum adfectui impedimento sint.

Bonum est sal. Salis similitudine virtutem innuit discipulorum suorum. Sicuti enim salis substantia aqua et spiritu constat, et parum quid terreni habet; tum mortalium corporum labili natura densius est; ita ut mortua quoque corpora potente sua vi conservet; convenienter asseclas suos salis naturae com-

ὕδατος καὶ πνεύματος ἀναγεγεννημένοι, ὅλοι τε πνεύματι ζῶν- A
τες, καὶ οὐ κατὰ σάρκα βιοῦντες, ἅλες τινὲς ὥσπερ ὑπῆρχον,
τὸν φθαρτὸν βίον τῶν ἐπὶ γῆς ἀνθρώπων ἐπιστρέφοντες καὶ πυκνοῦν-
τες, τῷ τε κατὰ ἀρετὴν βίῳ τοὺς αὐτοῖς πλησιάζοντας ἀρτύον-
τες καὶ καθηδύνοντες. N.

XVII. Ἐὰν δὲ ἁμάρτῃ εἰς σὲ ἀδελφός σου. Εὐσεβίου. Ἐνταῦ- B
θα τοὺς ἐν προκοπῇ γενομένους συγχωρητικοὺς εἶναι τοῖς πται-
ουσι βούλεται, θεραπεύων δεινὴν νόσον ἐν αὐτοῖς πολλάκις ἐμ-
φυομένην, ἐκκόπτων τὴν κατὰ τῶν πταιόντων ἀποτομίαν· κατ-
επαίρεσθαι γοῦν οἰώθαμεν, ὡς μήτε παρακλήσεις τῶν ἡμαρ-
τηκότων, μήτε τῶν ὑπὲρ αὐτῶν πρεσβευόντων ἱκετηρίας παρα- C
δέχεσθαι· μὴ δὲ μὴν ὑπολογίζεσθαι ὅσα δὲ καὶ αὐτοὶ οἱ ἄνθρω-
ποι πταίοντες, συγγνώμης τῆς παρὰ τοῦ μεγάλου κριτοῦ δεό-
μεθα· εἰκότως οὖν παρὰ τῷ Ματθαίῳ καὶ τῇ παραβολῇ κέχρη-
ται, ἐν ᾗ ὀφειλέται εἰσάγονται, ὁ μὲν μύρια τάλαντα ὀφεί-
λων, ἃ καὶ ἀφείθη αὐτῷ προσπεσόντι· ὁ δὲ ἑκατὸν δηνάρια, ἐφ' D
οἷς ἀπεπνίγετο παρὰ τοῦ ἀφεθέντος τὰ πολλὰ ἐκεῖνα τάλαντα·
δι' ἧς διδάσκει, ὅτι μὴ ἄλλως τυχεῖν δυνατόν ἐστι τῆς βασι-
λείας, κἂν πολλα τις κατορθώσῃ, μὴ τὸν ἀγαθὸν θεὸν μιμη-
σάμενος κατὰ τὸ ἀμνησίκακον· ἐπειδήπερ ἡ βασιλεία κρίσει τοὺς
ἀξίους παραδεχομένη, τοὺς μὴ συγχωρητικοὺς καὶ τὸν ἀγαθὸν E

parat. Nam hi etiam aqua et spiritu regenerati, spirituque omnino viventes, carni minime dediti, sal quodammodo erant; corruptibilem terrenorum hominum vitam corrigentes atque durantes, suaque praedita virtutibus vita condientes eos, quibuscum versabantur, iucundoque veluti sapore donantes.

Quod si in te peccaverit frater tuus. Heic vult eos qui iniuriis lacessiti fuerunt erga offensores suos indulgentiam expromere; curatque dirum morbum saepenumero illorum animis innascentem, atque odium quo sibi maleficos prosequuntur resecat. Quippe adeo exacerbari solemus, ut neque peccantium obtestationes, neque supplices intercessorum preces admittamus, neque reputemus quanta et nos humanae conditionis peccata ignosci nobis a magno iudice egeamus. Apte igitur apud Matthaeum parabola servator utitur, in qua debitores introducuntur, quorum alter decem millia talentorum debebat, quae ipsi supplici condonata fuere; alter autem centum denarios, quorum causa suffocabatur ab eo, cui tantus ille talentorum numerus remissus fuerat. Qua parabola docet, haud licere regnum adipisci, quamquam alioqui multa recte feceris, nisi Dei bonitatem iniuriarum oblivione imiteris. Nam regnum quod nonnisi iudicio probatos recipit, clementia alienis neque omnium iudi-

A τῶν ὅλων κριτὴν κατὰ τοῦτο μιμȣμένȣς, οὐ παραδέχεται· οὐ
γὰρ ἂν ἔχει τις εἰπεῖν τοσαῦτά τινα πεπλημμεληκέναι εἰς ἑαυ-
τὸν, ὅσα περ αὐτὸς τὸν πάντα χρόνον τῆς αὐτοῦ ζωῆς παρὰ
τὸ βούλημα τȣ̃ θεȣ̃ πράξας ὀφειλέτης ἐστί· πότε μὲν γὰρ διὰ
τȣ̃ λόγου πταίομεν, ποτὲ δὲ δι᾽ αἰσχρῶν καὶ πονηρῶν ἐπιθυ-
B μημάτων τὲ καὶ πράξεων· πλὴν ὅμως τοσαῦτα πταίοντες, οὐκ
ἀπογινώσκομεν τὰς παρὰ τῷ θεῷ ἐλπίδας, διὰ τὸ φιλάνθρωπον
καὶ ἀνεξίκακον ἐλεημονικόν τε καὶ συγχωρητικὸν τȣ̃ θεȣ̃: οὐ-
κοῦν ἕπεται τῷ αὐτῷ μέτρῳ, καὶ ἡμᾶς μετρεῖν τοῖς εἰς ἡμᾶς
ἁμαρτάνουσι· μὴ δὲ κατὰ τὸν Πέτρον ἀκριβολογεῖσθαι τῇ φι-
C λανθρωπίᾳ, καὶ μέχρις ἑβδόμου ἀριθμȣ̃ τοῖς εἰς ἡμᾶς ἡμαρτη-
κόσι συγχωρεῖν· κατὰ δὲ τὸν συμπαθῆ καὶ ἐλεήμονα σωτῆρα
μέχρι τȣ̃ ἑβδομηκοντάκις ἑπτά· οὐ πάντως τὰ τοσαῦτα περιερ-
γαζομένους ἁμαρτήματα, καὶ ὥσπερ ἀναγραφὴν αὐτῶν ποιου-
μένους καθ᾽ ἑκάστην ἡμέραν, ἐκ δὲ τούτου τὸ ἀπεριόριστον δι-
D δασκομένους. N.

Καὶ ἐροῦσιν ὑμῖν ἰδȣ̃ ὧδε ἢ ἰδȣ̃ ἐκεῖ κ.τ.λ. Εὐσεβίȣ. Δι- 23.
δάσκει διὰ τούτων, μὴ δεῖν συναρπάζεσθαι, εἴποτε ἐπιστάντος
τȣ̃ ἀντιχρίστου διατρέχει φήμη περὶ αὐτοῦ, ὡς τȣ̃ χριστοῦ φα-
νέντος· διό φησί, ἐὰν λέγωσιν ὑμῖν, ἰδοῦ ὧδε ἢ ἰδοῦ ἐκεῖ, μὴ
E ἐξέλθητε μηδὲ διώξητε· ἀδύνατον γὰρ λοιπὸν τὸν ἅπαξ ἐπὶ

cem hac virtute imitantibus haudquaquam patet. Neque enim quempiam tanta in nos peccasse adfirmabimus, quanta nosmet per universae vitae tempus adversus Dei voluntatem patravimus, ideoque debitores evasimus. Nam modo sermone offendimus, modo turpibus vitiosisque cupiditatibus atque actibus. Nihilominus qui tanta delinquimus, fiduciam placandi Dei non omittimus, quem benivolum hominibus, patientem ac misericordem veniaeque pronum scimus. Consentaneum est igitur ut eadem mensura iis, quorum offensae in nos extiterunt, largiamur: neque, ut olim Petrus, minuta benivolentia simus, neque iniuriarum remissionem septenario numero coarctemus; immo vero septuagies septies cum clemente misericordique servatore parcamus. Quare offensas ne sedulo ventilemus, neque harum veluti commentarium in dies contexamus. Nunc enim indulgentiam sine fine docemur.

Dicentque vobis, ecce hic vel ecce illic etc. His verbis docet, ne facile animis abripiamur, si forte Antichristo adventante rumor de hoc seratur, quasi Christus adsit. Ait igitur, siquis vobis dixerit ecce hic vel ecce illic, cavete quominus exeatis vel illum sequamini. Fieri quippe nequit, ut qui semel

γῆς φανέντα, πάλιν ἐν γωνίαις γῆς τὰς διατριβὰς ποιήσασθαι· A
εἰ οὖν τις ἔσται ὧδε ἢ ἐκεῖ θρυλλούμενος, μὴ ἐξέρχησθε ὑμεῖς,
μὴ δὲ πιστεύητε τοῖς λεγομένοις· ἄλλος γάρ ἔσται τις οὗτος,
καὶ οὐχ ὁ ἀληθὴς χριστός, ᾧ χρὴ μὴ προσέχειν· τὸ γὰρ μέγιστον σημεῖον τῆς δευτέρας τοῦ σωτῆρος ἡμῶν παρουσίας, ὡς
ἀστραπὴ ἔσται, οὐχ ὁμοία ταῖς πολλαῖς καὶ ἐν μέρει τοῦ παν- B
τὸς ἀεὶ φαινομέναις, ἀλλά τις ἰδιάζουσα καὶ ξένη, τὸν πάντα κόσμον ἀθρόως πληροῦσα· διὸ φησὶν, ἀστράπτουσα ἐκ τῆς ὑπ' οὐρανὸν εἰς τὴν ὑπ' οὐρανὸν λάμπει· οὕτως οὖν ἔσται φησὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ παρουσίᾳ αὐτοῦ. N.

Εὐσεβίου. Ταῦτα κατὰ μὲν τὸν Ματθαῖον [1] ἐλέγετο C
περὶ τῆς ἐρημώσεως Ἱερουσαλήμ· διὸ καὶ προσέκειτο, τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη· ἐνταῦθα δὲ περὶ τῶν καιρῶν τοῦ ἀντιχρίστου προλέγει· διὸ οὐ πρόσκειται τοῦτο· μὴ προσέχειν δὲ παρεγγυᾷ μηδὲ πιστεύειν τοῖς λέγουσιν, ἰδοὺ
ὧδε ἰδοῦ ἐκεῖ ὁ χριστός· τὸ γὰρ μέγιστον τῆς δευτέρας αὐ- D
τοῦ παρουσίας σημεῖον [2] ὡς ἀστραπὴ ἔσται, οὐχ ὁμοία ταῖς πολλαῖς καὶ ἐν μέρει τοῦ παντὸς ἀεὶ φαινομέναις, ἀλλά τις ἰδιάζουσα καὶ ξένη καὶ πάντα τὸν κόσμον ἀθρόως πληροῦσα· διό φησιν ἀστράπτουσα ἐκ τῆς ὑπ' οὐρανὸν εἰς τὴν ὑπ' οὐρανὸν λάμπει·

in orbe apparuerit, rursus in terrae quibusdam angulis diversetur. Quare siquis hic aut illic famigeratus fuerit, moneo vos ne egrediamini, neque dictis fidem adhibeatis. Alius enim hic erit quilibet, non verus Christus; ideoque nulla fides tribuenda est. Maximum enim servatoris nostri secundo advenientis signum, fulguris instar erit, haud equidem ex illorum genere quae in aliqua universi parte semper accidunt, sed singulare quid atque peregrinum, cunctum orbem repente implens. Unde ait, coruscans de sub caelo in ea quae sub caelo sunt fulget. Huiusmodi, inquit, filius hominis in suo adventu videbitur.

Haec secundum Matthaeum dicta sunt de Hierosolymorum excidio. Quare additur: tunc qui in Iudaea sunt, fugiant ad montes. Verumtamen heic de Antichristi temporibus servator proloquitur; ideoque verba illa non adiunguntur. Iubet autem ne aures praebeamus neve credamus dicentibus, ecce hic ecce illic Christus. Nam maximum secundi eius adventus signum, fulguris instar erit, haud equidem ex illorum genere quae in aliqua universi parte semper accidunt, sed singulare quid atque peregrinum, cunctum orbem subito implens. Quare ait, coruscans de sub caelo in ea quae sub caelo sunt fulget. Neque enim

(1) Cap. XXIIII. (2) Cur aliqua heic repetantur, causam dixi superius p. 127. n. 1.

A οὐκέτι γὰρ ἐπὶ γῆς βαδίζων οἷα τις κοινὸς ἄνθρωπος καὶ φθαρ-
τὸς ὀφθήσεται, ἀλλ' ἐκλάμψει ὅλος δι' ὅλου τὸ φῶς τῆς αὐτοῦ
θεότητος τοῖς πᾶσι δεικνὺς, ἅτε αὐτὸς ὢν τὸ φῶς τὸ φωτίζον
πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· αἰνίττεται δὲ καὶ ἐν
τούτοις τὴν τότε γενησομένην ἀποστασίαν εἰπών· πρῶτον δὲ δεῖ
B αὐτὸν πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύ-
της, δηλονότι τῆς τῶν ἀνθρώπων· ἀποβληθῆναι γὰρ καὶ ἀπο-
δοκιμασθῆναι τὸν περὶ αὐτοῦ λόγον, πολλά τε παθεῖν τὸν αὐ-
τοῦ λαὸν ἐθέσπισεν, εἴ τε ἐν τοῖς μετὰ ταῦτα διωγμοῖς, καθ'
οὓς μύρια πέπονθεν αὐτός τε βλασφημούμενος ὁ σωτὴρ παρὰ
C τοῖς ἀνθρώποις, ἥ τε ἐκκλησία αὐτοῦ καὶ ὁ λόγος ἐλαυνόμενος
καὶ πολεμούμενος· εἴ τε πρὸς τῷ πάντων τέλει καθ' ὃ ἀποδοκι-
μασθήσεται πάμπαν ἀποβληθεὶς ἀπὸ τῆς τῶν ἀνθρώπων γενεᾶς.
Καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις Νῶε. Εὐσεβίου. Οὕτω 26.
τοίνυν ὡς εἴρηται ἐκβληθέντος διὰ τὴν ἀποστασίαν τοῦ λόγου τοῦ
D εὐαγγελικοῦ, κατὰ τὴν ὁμοίωσιν τῶν ἐπὶ τοῦ κατακλυσμοῦ συμ-
βεβηκότων, ὁ κατὰ τῶν ἀσεβῶν ὄλεθρος ἐπιστήσεται φησί· ἀλλ'
ὡς τότε πάντας μὲν ἀπώλεσεν, οὐ μὴν καὶ τοὺς συνηγμένους ἅμα
τῷ Νῶε ἐν τῇ κιβωτῷ, οὕτω καὶ ἐπὶ τῆς αὐτοῦ παρουσίας οἱ
μὲν ἀσεβεῖς κατὰ τὸν καιρὸν τῆς ἀποστασίας τρυφαῖς καὶ μέ-
E θαις καὶ γάμοις καὶ ταῖς τοῦ βίου ἡδοναῖς κατατριβόμενοι, ὁμοίως

iam in terris versans, tamquam homo communis mortalisque, spectabitur; sed universum lumen divinitatis eius cunctis ubique palam splendescet; quandoquidem ipse lux est illuminans omnem hominem venientem in hunc mundum. Praeterea hoc loco futuram quoque apostasiam innuit dum ait: primum oportet illum multa pati, et reprobari a generatione hac, nempe hominum. Nam repulsum atque improbatum iri evangelium eius, populumque eiusdem magnopere adflictum iri vaticinatus est, sive in consecutis deinde persequutionibus, quibus furentibus sexcenta ipse servator passus est, maledictis hominum appetitus; sive ecclesia eius atque doctrina quum exagitaretur atque oppugnaretur; sive in rerum consummatione, cum evangelium eius omnino improbabitur, atque ex universo hominum genere exterminabitur.

Et sicuti accidit Noachi temporibus. Sic igitur repulso, uti dictum est, per apostasiam sermone evangelico; more malorum quae diluvii tempore contigerunt, impiorum inquit hominum exitium superveniet. Et quidem sicuti omnes tunc perierunt, exceptis dumtaxat qui cum Noacho in arca constiterant; sic in Domini adventu, scelesti homines per apostasiae tempus luxuria et ebrietatibus et nuptiis et ceteris vitae voluptatibus occupati, ea ratione peribunt qua

τοῖς ἐπὶ τοῦ Νῶε κατακλυσθέντες ἀπωλοῦνται· ὑπὲρ δὲ τοῦ μή A
τινα νομίσαι δι' ὕδατος καὶ τούτους κατακλυσθήσεσθαι, ἀναγ-
καίως τῷ ἐπὶ τοῦ Λὼτ κέχρηται παραδείγματι, καθὼς ἐγένε-
το λέγων ἐν ταῖς ἡμέραις Λὼτ, ἤσθιον ἔπινον καὶ τὰ ἑξῆς· ᾗ
δὲ ἡμέρᾳ ἐξῆλθε Λὼτ ἀπὸ Σοδόμων ἔβρεξε πῦρ ἀπ' οὐρανοῦ καὶ
ἀπώλεσε παντας· κατὰ τὰ αὐτὰ ἔσται ᾗ ἡμερα ὁ υἱὸς τοῦ ἀνθρώ- B
που ἀποκαλύπτεται· σφόδρα ἀποῤῥήτως καὶ φοβερῶς διδάσκων
ὅτι πυρὶ καὶ θείῳ ἀπ' οὐρανοῦ καταπεμπομένῳ τοὺς ἀσεβεῖς πάν-
τας ἡ ὀργὴ μετελεύσεται· σφοδρα δὲ ἀκριβῶς καὶ ἐνταῦθα ἐτή-
ρησεν ὁ σωτὴρ οὐ πρότερον τὸ πῦρ εἰπὼν ἀπ' οὐρανοῦ καὶ τὸ θεῖον
κατεληλυθέναι ἐπὶ τοὺς ἐν Σοδόμοις ἀσεβεῖς, ἢ τὸν Λὼτ ἐξελ- C
θεῖν, καὶ χωρισθῆναι ἐξ αὐτῶν· οὕτω καὶ ἐπὶ τοῦ κατακλυσμοῦ οὐ
πρότερον ἐπῆλθεν οὗτος καὶ πάντας ἀπώλεσε τοὺς κατὰ γῆν οἰκοῦν-
τας, ἢ τὸν Νῶε εἰσελθεῖν εἰς τὴν κιβωτόν· κατὰ τὰ αὐτὰ τοίνυν
καὶ ἐπὶ τῆς συντελείας οὐ πρότερον ἔσεσθαι τὸν κατακλυσμὸν τῆς
ἀπωλείας τῶν ἀσεβῶν φησίν, ἢ συναχθῆναι εἰς τὴν ἐπουράνιον D
τοῦ θεοῦ κιβωτὸν, καὶ διασωθῆναι τοὺς τότε εὑρεθησομένους τοῦ
θεοῦ ἀνθρώπους, κατὰ τὸ παράδειγμα τὸ ἐπὶ τοῦ Νῶε· οἷς καὶ λεχ-
θήσεται κατὰ καιρὸν τὸ προφητικὸν ἐκεῖνο (1)· βάδιζε λαός μου,
εἴσελθε εἰς τὸ ταμεῖον σου· καὶ τὰ ἑξῆς· ἕως οὗ παρέλθοι ἡ
ὀργὴ κυρίου· ὥσπερ καὶ ἐπὶ τοῦ Λὼτ ἐποίησεν, ἵνα μὴ οἱ δίκαιοι E

illi Noachi aetate diluvio mersi. Nequis autem existimaret hos quoque aquis obrutum iri, necesse fuit Loti exemplum commemorare; sicuti, inquit, Loti tempore edebant et bibebant; et reliqua. Porro die qua Lotus Sodomis egressus est, ignis caelo pluit cunctosque incolas perdidit. Huiusmodi, inquit, dies erit qua filius hominis revelabitur. Quibus verbis mystice admodum ac terribiliter docet, fore ut igne ac sulphure caelis misso impios omnes ira Dei corripiat. Sedulo autem servator heic quoque cavit, quominus diceret ignem et sulphur antea caelo pluisse in impios Sodomorum cives, quam Lot egressus eorum coetu separaretur. Sic diluvium neque inundavit, neque mersit universos orbis incolas, priusquam Noachus arcam introiret. Ita prorsus in mundi consummatione haud ante eventurum pereuntium impiorum diluvium ait, quam in caelesti arca congregentur incolumes quicumque tunc pii homines erunt, prorsus ut Noachi exemplum renovetur. Quibus etiam commode dicetur propheticum illud: perge popule meus, ingredere cubiculum tuum; et reliqua; donec transeat ira Domini; ceu Loto accidit, ne boni cum improbis

(1) Is. XXVI. 20.

A συναπολῶνται τοῖς ἀσεβέσιν· οὕτως καὶ ἐπὶ τῆς συντελείας τοῦ
αἰῶνος οὐ πρότερον αὕτη ἔσται, ἢ πάντας τοὺς ἐπὶ γῆς δικαίους
καὶ θεοσεβεῖς ἀφορισθῆναι τῶν ἀσεβῶν, καὶ συναχθῆναι εἰς τὴν
ἐπουράνιον τοῦ θεοῦ κιβωτόν· οὕτω γὰρ μηκέτι μηδενὸς δικαίου ἐν
ἀνθρώποις εὑρισκομένου, πάντων δὲ ἀθέων καὶ ἀσεβῶν τῶν ὑπὸ τοῦ
B ἀντιχρίστου γεγονότων, τῆς τε ἀποστασίας καθ' ὅλης τῆς οἰκουμέ-
νης κρατησάσης, ἡ τοῦ θεοῦ ὀργὴ τοὺς ἀσεβεῖς μετελεύσεται (1).

Εὐσεβίου. Τούτων δέ φησι γινομένων ἐν ἐκείνῃ τῇ ἡμέρᾳ 31.
ὃς ἂν ἔσται ἐπὶ τοῦ δώματος· καὶ τὰ ἑξῆς· Σημαίνει δὲ διὰ
τούτων τὸν κατὰ τῶν θεοσεβῶν ἐπενεχθησόμενον διωγμὸν ὑπὸ

morte irretiantur. Ita saeculi consummatio non ante eveniet, quam iusti quotquot in orbe erunt ac religiosi ab improbis discernantur, atque in caelesti Dei arca concludantur. Tunc enim nemine iam inter homines iusto superstite, sed irreligiosis omnibus atque scelestis sub Antichristi vexillo degentibus, atque apostasia toto orbe diffusa, ira demum Dei plenos sceleribus homines occupabit.

His, inquit, *contingentibus*, *siquis illa die fuerit in tecto etc.* Hoc dicto significat persequutionem quam adversus bonos concitabit perditionis filius.

(1) Iam lectorem non semel admonui de duobus auctoribus qui Eusebii commentarios ad Lucam excerpserunt. En igitur eundem Eusebii locum aliis saepe verbis, et fortasse verioribus, expressum. Καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις Νῶε. Εὐσεβίου. Ἐπὶ τοῦ κατακλυσμοῦ πάντας μὲν ἀπώλεσεν, οὐ μὴν καὶ τοὺς συνηγμένους ἅμα τῷ Νῶε ἐν τῇ κιβωτῷ· οὕτω καὶ ἐπὶ τῆς παρουσίας Χριστοῦ, οἱ μὲν ἀσεβεῖς κατὰ τὸν καιρὸν τῆς ἀποστασίας τρυφαῖς καὶ μέθαις καὶ γάμοις καὶ ταῖς τοῦ βίου ἡδοναῖς κατατριβόμενοι, ὁμοίως τοῖς ἐπὶ τοῦ Νῶε, κατακλυσθέντες ἀπολοῦνται· καὶ ἔσται τις πάντων ἀνθρώπων καθολικὴ συντέλεια, ἐπειδὰν ἡ ἀνομία πληθυνθῇ ὡς ἐπὶ τοῦ Νῶε, καὶ ἡ γῆ φθαρῇ καὶ πλησθῇ ἀδικίας· οἱ δὲ τοῦ θεοῦ ἄνθρωποι διασωθήσονται συναχθέντες εἰς τὴν ἐπουράνιον κιβωτὸν τοῦ θεοῦ κατὰ τὸ ἐπὶ τοῦ Νῶε παράδειγμα· ἀλλ' ἐπειδὴ λέλεκται παρὰ τῷ Μωσεῖ, μηκέτι τὴν γῆν καὶ τοὺς ἐν αὐτῇ κατακλυσμῷ ἀπολεῖσθαι, κέχρηται δὲ ὁ σωτὴρ τῷ τοῦ κατακλυσμοῦ παραδείγματι, ὑπὲρ τοῦ μή τινα νομίσαι κατακλυσμὸν ἔσεσθαι τὸν δι' ὕδατος ὁμοίως τῷ ἐπὶ τοῦ Νῶε, ἀναγκαίως δευτέρῳ κέχρηται τῷ ἐπὶ τοῦ Λώτ· διδάσκων τὸν τρόπον τῆς τῶν ἀσεβῶν ἀπωλείας σφόδρα ἀπορρήτως καὶ φοβερῶς, ὅτι πυρὶ ἀπ' οὐρανοῦ καταπεμπομένῳ τοὺς ἀσεβεῖς ἡ ὀργὴ μετελεύσεται· διὸ τοῖς τὴν ἡμέραν ταύτην ἐπιστῆναι εὐχομένοις ἀσεβέσιν, ἡ προφητικὴ φωνὴ ἀνατείνεται λέγουσα· οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν κυρίου· ἵνα τί; ὑμῖν αὕτη ἡ ἡμέρα τοῦ κυρίου, καὶ αὕτη ἔσται σκότος καὶ οὐ φῶς. ἡμέρα σκότους καὶ γνόφου, ἡμέρα ταλαιπωρίας καὶ ἀφανισμοῦ· σφόδρα δὲ καὶ ἐνταῦθα ἀκριβῶς ἐτήρησεν ὁ σωτήρ, οὐ πρότερον εἰπὼν τὸ πῦρ ἀπ' οὐρανοῦ ἐπὶ τοὺς ἐν Σοδόμοις ἀσεβεῖς ῥυῆναι, ἢ τὸν Λὼτ ἐξελθεῖν καὶ χωρισθῆναι ἀπ' αὐτῶν· οὕτω δὲ καὶ ἐπὶ τοῦ κατακλυσμοῦ, οὐ πρότερον ἐπῆλθεν οὗτος καὶ πάντας ἀπώλεσε τοὺς τὴν γῆν οἰκοῦντας, ἢ τὸν Νῶε εἰσελθεῖν εἰς τὸν κιβωτόν· κατὰ ταῦτα τοίνυν καὶ ἐπὶ τῆς συντελείας, οὐ πρότερον ἔσεσθαι τὸν κατακλυσμὸν τῆς ἀπωλείας τῶν ἀσεβῶν φησι, ἢ συναχθήσεσθαι εἰς τὴν τοῦ θεοῦ κιβωτὸν τοὺς εὑρεθησομένους κατ' ἐκεινοκαιροῦ τῆς τοῦ Νῶε δικαιοσύνης ἀδελφούς· οὐδὲ ἐπενεχθῆναι τὸ πῦρ κατὰ τῶν τότε ἀσεβῶν, ἢ τοὺς ὁμοίους τῷ Λὼτ χωρισθῆναι αὐτῶν· ἕως μὲν γὰρ ὁ Λὼτ συνῆν τοῖς ἀσεβέσι φειδόμενος τοῦ δικαίου ὁ θεὸς οὐκ ἐπῆγε τὴν κατ' αὐτῶν ὀργήν· μέλλων δὲ αὐτοὺς ἀπολλύναι, ὑπεξάγει τὸν δίκαιον, ἵνα μὴ συναπόληται τοῖς ἁμαρτωλοῖς· καὶ ἐπὶ τοῦ Νῶε παραπλησίως· ἵνα γὰρ μὴ συναπόληται τοῖς ἁμαρτωλοῖς κατακλυσθεὶς μετὰ πάντων, συνάγει αὐτὸν εἰς τὴν κιβωτόν· οὕτω καὶ ἐπὶ τῆς συντελείας τοῦ αἰῶνος οὐ πρότερον ἔσται ἡ συντέλεια, ἢ πάντας τοὺς ἐπὶ τῆς γῆς δικαίους καὶ θεοσεβεῖς ἀφορισθῆναι τῶν ἀσεβῶν καὶ συναχθῆναι εἰς τὴν ἐπουράνιον τοῦ θεοῦ κιβωτόν. N.

τῦ υἱοῦ τῆς ἀπωλείας· ἡμέραν δὲ ἐκείνην ὀνομάζει τὸν χρόνον A τὸν πρὸ τῆς συντελείας, ἐν ᾧ φησὶν, ὁ φεύγων μὴ ἐπιστρεφέτω, μηδὲ μιμητὴς γινέσθω τῆς γυναικὸς Λὼτ, ἥτις μετὰ τὸ φυγεῖν καὶ ἔξω γενέσθαι τῆς σοδομιτῶν χώρας, στραφεῖσα εἰς τὰ ὀπίσω ἀπενεκρώθη στήλη ἁλὸς γενομένη· ἀφειδεῖν γὰρ τότε προσήκει οὐχ᾽ ὑπαρχόντων μόνον, ἀλλὰ καὶ τῆς ἑαυτῶν ζωῆς τε B καὶ ψυχῆς τοὺς ἐν μέσῳ τῆς ἀποστασίας καταληφθησομένους, μήποτε βουληθέντες ἑαυτῶν περιποιήσασθαι ψυχὴν καὶ φείσασθαι τῆς ἑαυτῶν προσκαίρου ζωῆς, σὺν ταύτῃ καὶ τὴν αἰώνιον ζωὴν ἀπολέσειαν, τῇ ἀποστασίᾳ ἑαυτοὺς παραδόντες.

34. Λέγω ὑμῖν, ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς· C
Εὐσεβίου. Τὸν χωρισμὸν ἐν τούτοις παρίστησιν τῶν ἁγίων καὶ θεοφιλῶν ψυχῶν ἀπὸ τῶν ἀσεβῶν· ἵνα γὰρ μὴ ἀδιακρίτοις ἐπελθοῦσα ἡ ὀργὴ παράψηται (a) καὶ τῶν δικαίων, προλαβὼν ὁ θεὸς ὥσπερ τὸν Λὼτ προεξήγαγε τῆς τῶν Σοδόμων καταστροφῆς, οὕτω καὶ πρὸ τῆς συντελείας πρὶν ἐπελθεῖν τὴν κατὰ τῶν D ἀσεβῶν ὀργὴν, χωρισμὸς ἔσται τῶν δικαίων, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶσιν, ἀγγέλων αὐτοὺς διαχωρισάντων καὶ παραληψομένων· ὥστε ἐν μιᾷ στρωμνῇ δύο κατακειμένων, καὶ δυοῖν ὑφ᾽ ἑνὶ μύλωνι ἀληθουσῶν, τὸν μὲν τοῦ θεοῦ ἄξιον παραλαμβάνεσθαι, τὸν δὲ ἕτερον καταλείπεσθαι, ὡς ἄξιον τῆς τότε καταληψομένης E τοὺς ἀσεβεῖς ὀργῆς.

Diei vero illius nomine appellat tempus, quod consummationem proxime praecedet; quo tempore, ait, nemo respiciat, neque Loti uxorem imitetur, quae in fuga postquam Sodomitarum fines excesserat, quum respicere voluisset, in mortem incidit, statua salis effecta. Prodigos enim tunc esse oportet non rei familiaris tantummodo verum etiam vitae suae animaeque eos qui in apostasiae aetatem incurrent; ne dum animam suam conservare temporalique vitae parcere student, hanc simul et aeternam vitam amittant, dum se apostasiae victos permittunt.

Dico vobis, ea nocte duo erunt in lecto uno etc. Discretionem heic exhibet piarum animarum a sceleratis. Nam ne confusis superveniens ira Dei iustos quoque homines laedat, sicuti providus Deus Lotum migrare iussit ante Sodomorum eversionem, ita etiam instante consummationis tempore, priusquam ira Dei in scelestos incumbat, discretio iustorum fiet; ne cum mundo damnentur; angelis eos separantibus atque adsumentibus. Ita ut si forte duo lecto in uno iaceant, duoque uno in pistrino molant, Dei quidem dignus adsumatur, alter relinquatur; quia hic nimirum dignus sit vindice tunc impiorum Dei ira.

(a) Ita cod. At in seq. pag. alius codex παραλήψεται.

A Εὐσεβίου. Σφόδρα δὲ θαυμαστῶς τὸν τῆς ἀποστασίας
καιρὸν ϗ τὴν στέρησιν τȣ̃ νοεροῦ λογικοῦ φωτὸς νύκτα ὠνόμασε·
νυκτὸς γὰρ ϗ σκότους χείρων ἡ τότε τῶν ἀνθρώπων ἔσται κα-
τάστασις, διὰ τὴν ἐπικρατήσασαν αὐτῶν ἄνοιάν τε ϗ πλάνην·
διό φησὶ λέγω ὑμῖν δύο ἔσονται ἐπὶ κλίνης ϗ δύο ἐπὶ μύλωνος·
B εἷς παραλαμβανόμενος ὡς ἀλλότριος τῆς ὀργῆς· ϗ εἷς ἀφιέ-
μενος ὥστε τῇ ὀργῇ παραδοθησόμενος, ὁ θησαυρίσας ἑαυτῷ ὀρ-
γὴν ἐν ἡμέρᾳ ὀργῆς· δι᾽ ὧν παρίστησι τὸν χωρισμὸν τῶν ἁγίων
ϗ θεοφιλῶν ψυχῶν τὸν ἀπὸ τῶν ἀσεβῶν· ἵνα γὰρ μὴ ἀδιακρί-
τως ἐπελθοῦσα ἡ ὀργὴ ϗ τῶν δικαίων παραλήψεται, προλαβὼν
C ὁ θεὸς ὥσπερ τὸν Λὼτ προεξήγαγε τῆς Σοδόμων καταστροφῆς·
τὸν αὐτὸν τρόπον ϗ πρὸ τῆς συντελείας, πρὶν ἐπελθεῖν τὴν κατὰ
τῶν ἀσεβῶν ὀργὴν, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶσιν οἱ δίκαι-
οι, χωρισμὸς ἔσται τῶν θεοφιλῶν ψυχῶν, ἀγγέλων αὐτὰς δια-
χωριζόντων, ϗ παραληψομένων· ὥστε ἐν μιᾷ στρωμνῇ δυοῖν κα-
D τακειμένων, ἕνα μὲν τὸν τȣ̃ θεοῦ ἄξιον παραλαμβάνεσθαι, τὸν
δὲ ἕτερον καταλείπεσθαι, ὡς ἄξιον τῆς τότε καταληψομένης τȣ̃ς
ἀσεβεῖς ὀργῆς· καὶ ἐπὶ τῶν ὑφ᾽ ἑνὶ μύλωνι ἀληθουσῶν, ὁ αὐ-
τὸς λόγος ἔσται· ἀληθούσας δὲ ὠνόμασε τὰς τὸν εὐτελῆ καὶ
πενιχρὸν καὶ ἔσχατον ἐν ἀνθρώποις διαντλούσας βίον· ἐπὶ κλί-
E νης δὲ τοὺς τὸν ἐλεύθερον καὶ ἄνετον βίον μετερχομένους. Τοῦ-

Mirifice admodum apostasiae tempus ac rationalis orbitatem luminis noctem appellavit. Nocte enim tenebrisque deteriora erunt tunc hominum ingenia propter offusam iis amentiam atque errorem. Quare, ait, dico vobis: duo erunt in lecto et duo in pistrino; unus adsumendus quia irae immerens; alter relinquendus utpote irae punienti obnoxius, qui sibi videlicet iram thesaurizavit in diem irae. Quamobrem sistit sanctarum piarumque animarum ab improbis divisionem. Etenim ne temere superveniens ultio iustos quoque homines corriperet, dedit mature operam Deus ut Lotum Sodomorum exitio subduceret. Similiter impendente consummatione, priusquam impios ultio invadat, ne cum mundo iusti damnentur, discrimen fiet animarum piarum, angelis eos dividentibus atque adsumentibus: ita ut e duobus in eodem lecto iacentibus unus Deo dignus adsumatur, alter derelinquatur, utpote ultionis quae tunc de impiis sumetur merens. Idemque accidet duabus quoque in pistrino commolentibus. Molentes autem dicit feminas, ut significet vilis pauperrimae atque extremae conditionis homines; versantes autem in lectis dicit pro liberalis et lautae vitae mortalibus. Hanc ipsam locutionem habet Mosis scriptu-

*

το δὲ παραστήσει ἡ Μωσέως γραφή· ἐν ᾗ φησιν ὁ λόγος, ἥξειν A
τὴν ὀργὴν ἀπὸ πρωτοτόκου Φαραὼ, καὶ ἕως τῆς ἀληθούσης καὶ
πεσσούσης ἐν τῷ μύλωνι· τὰ γὰρ ἄκρα τῶν κατ᾽ ἀνθρώπους βίων,
τοῦ τε ἐνδόξου καὶ τοῦ ἀπερριμμένου καὶ ἐσχάτου, διὰ τούτων ὁ
λόγος παρέστησεν· οὕτως οὖν καὶ ἐνταῦθα δύο ἐπὶ κλίνης μιᾶς
εἰσήγαγε, τοὺς τὴν ἐλευθέραν ζωὴν μετιόντας αἰνιξάμενος· ὁ εἷς B
παραληφθήσεται, ὁ ἄξιος τῆς ἀπὸ τοῦ θεοῦ ἐκλογῆς· ὁ δὲ
ἕτερος ἀφεθήσεται, δηλονότι ὁ τῆς ὀργῆς οἰκεῖος· ὡσαύτως δύο
ἀλήθουσαι εἶεν ἂν αἱ ἐν ἀνθρώποις τὸν ἄτιμον καὶ πενιχρὸν βίον
μετιοῦσαι· ὧν πάλιν ἡ κρείττων παραληφθήσεται, ἡ δὲ ἑτέρα
ἀφεθήσεται. N. C

37. Λέγουσιν αὐτῷ, ποῦ κύριε; ὁ δὲ εἶπεν αὐτοῖς, ὅπου τὸ
σῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί. Εὐσεβίου. Ἐρωτησάντων
τῶν μαθητῶν, κύριε ποῦ, καὶ βουληθέντων μαθεῖν ποῦ κατα-
λειφθήσεται ὁ ἕτερος τῶν παραληφθέντων· ὅπου, φησὶ, τὸ σῶ-
μα, ἢ τὸ πτῶμα κατὰ Ματθαῖον [1], ἐκεῖ συναχθήσονται καὶ οἱ D
ἀετοί· ὥσπερ οἰωνούς τινας νεκροβόρους, τοὺς ἄρχοντας τοῦ αἰῶ-
νος τούτου αἰνιξάμενος, τοὺς τότε διώκοντας τοὺς ἁγίους τοῦ θεοῦ·
ὧν ἐπὶ τὸ αὐτὸ συναχθέντων, ἐκεῖ καὶ παρ᾽ αὐτοῖς συναχθήσε-
ται ὁ ἀνάξιος τῆς παραλήψεως· ἀληθούσας δὲ ὠνόμασε τὰς εὐ-
τελεῖς καὶ ἐν πενιχρῷ βίῳ· τοὺς δὲ ἐπὶ κλίνης τοὺς ἐλευθέραν ζωὴν E

ra, ubi dicitur perventura vindicta a Pharaonis primogenito usque ad molentem pinsentemque in pistrino. Extremi enim humanae conditionis termini, opulentus videlicet atque humilis et abiectus, his verbis attinguntur. Sic nunc quoque duos in lecto uno memoravit scriptura, ut liberalis vitae homines innueret; quorum unus adsumetur, qui Dei electione dignus; alter relinquetur, qui poenae est affinis. Similiter molentes duae, intelliguntur quae inter homines obscuram et pauperem vitam agitant: quarum item quae iusta est adsumetur, altera relinquetur.

Dicunt ei, ubinam Domine? qui respondit, ubi fuerit corpus, illuc congregabuntur et aquilae. Sciscitantibus discipulis, ubinam Domine? volentibusque cognoscere, ubinam deprehendetur alteruter ille adsumptus; ubi, inquit, fuerit corpus, vel cadaver ut ait Matthaeus, illuc congregabuntur et aquilae: ex avibus nescio quibus cadaverum voracibus principes huius saeculi, ducta comparatione, significans, qui sanctos Dei tunc persequentur: quibus uno loco coactis, eodem pariter compelletur ille qui indignus delectu est. Porro molentes dicit tenuioris conditionis feminas; lectis utentes, eos qui opulentam

(1) Cap. xxiiii. 28.

A λαχόντας· ᾧ ὅμοιον τὸ μωσαϊκὸν ἐκεῖνο τὸ φάσκον ἥξειν τὴν ὀρ-
γὴν ἀπὸ πρωτοτόκου Φαραὼ, ϗ ἕως τῆς ἀληθούσης ἐν τῷ μύ-
λωνι· τὰ ἄκρα τῶν κατὰ ἀνθρώπους βίων, τοῦ τε ἐνδόξου ϗ τοῦ
ἀπεῤῥιμένου ϗ ἐσχάτου, διὰ τούτων αἰνιξάμενος· ἀετοὺς δὲ ϗ
τοὺς τῆς Ἱερουσαλὴμ πολιορκητὰς ὁ προφητικὸς λόγος ὠνόμα-
B σεν· ὡς ὅτε περὶ τοῦ Ναβουχοδονόσορ λέγει, ὁ ἀετὸς ὁ μέγας ὁ
μεγαλοπτέρυγος· ἢ ἀετοὶ αἱ τιμωρητικαὶ καὶ κολαστικαὶ δυνά-
μεις, αἷς ἵνα μὴ παραδοθῶμεν ἑξῆς ὁ σωτὴρ παραινεῖ εὐχαῖς
σχολάζειν· ἐπισυνάπτει γοῦν καὶ παραβολὴν τὴν περὶ τοῦ κριτοῦ
τῆς ἀδικίας, πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι καὶ μὴ ἐκ-
C κακεῖν· τὸ δὲ εἰπεῖν ἄρα ἐλθὼν ὁ υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τὴν
πίστιν ἐπὶ τῆς γῆς; ἔκλειψιν δηλοῖ τῆς πίστεως, ὡς μηδένα πι-
στὸν εὑρεθήσεσθαι, ἢ εἴ που ἄρα σπάνιόν τινα κατὰ τὸν τῆς δευ-
τέρας αὐτοῦ θεοφανείας χρόνον· ὅπερ μέγα τεκμήριον τυγχάνει
τοῦ καιροῦ τῆς ἀποστασίας, ἐν ᾧ σπάνιος ἔσται ὁ εὑρεθησόμενος
D πιστός· τάχα δὲ οὐδὲ εἷς ἔσται· διὰ τὸ τοὺς μὲν παραληφθήσεσ-
θαι, τοὺς δὲ καταλειφθήσεσθαι τοῖς ἀετοῖς παραδοθησομένους·
οὕτω τε ἐξ ἀνθρώπων ἐκλειπούσης τῆς πίστεως, αὐτὸς λοιπὸν ἐπι-
στήσεται τὴν ἐκδίκησιν ποιησόμενος τῶν ἁγίων αὐτοῦ τῶν ὑπὸ τῶν
ἀσεβῶν ἀνῃρημένων· ἐν τάχει δὲ ποιήσει τὴν ἐκδίκησιν, διὰ τὸ
E βοᾷν πρὸς αὐτὸν νυκτὸς ϗ ἡμέρας· βοᾷν δὲ πρὸς αὐτὸν ἐδίδαξε
διὰ τῆς παραβολῆς τοῦ κριτοῦ τῆς ἀδικίας.

vitam sortiti sunt. Cui simile est mosaicum illud, quo dicitur fore ut ultio pertingat a Pharaonis primogenito usque ad feminam molentem in pistrino. Sic enim extremos humanae conditionis terminos, illustrem et abiectum, scriptura innuit. Aquilas vero Hierosolymorum obsessores propheticus sermo appellavit. Veluti cum Nabuchodonosorum dicit magnam et grandium alarum aquilam. Vel aquilae intelliguntur vindices ultricesque vires, quibus ne forte tradamur, monet deinde servator ut precibus operam demus. Quamobrem addit etiam parabolam de iudice iniquitatis, quo confirmet orandum semper nullaque ignavia cessandum. Quod autem ait, num filius hominis, cum venerit, fidem in orbe inveniet? defectum fidei futurum ostendit, ita ut nemo fidelis supersit, aut vix rarus aliquis, circa secundae eius manifestationis aetatem. Id porro apostatici temporis magnum signum erit, cum raro occurret qui fidem retineat: immo vero ne unus quidem fortasse erit, propterea quod alii adsumpti fuerint, alii relicti, aquilis nempe tradendi. Sic ergo deleta inter homines fide, ipse superveniet sanctos suos ab impiis leto deditos vindicaturus. Brevi autem ultionem patrabit, propterea quod hi diu noctuque ad eum clamant. Et quidem ad se clamare docuit eos per parabolam de iudice iniquitatis.

Cap. XVIIII. 12. Ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακράν. Εὐσεβίου. Ὑπέλαβον τινὲς κατὰ τὴν πρώτην παρουσίαν τοῦ σωτῆρος τὴν βασιλείαν αὐτοῦ φανήσεσθαι· καὶ τοῦτο ἐνόμιζον ἔσεσθαι παραχρῆμα τότε ἐπειδὰν ἐπιβῇ τῶν Ἱεροσολύμων· οὕτως ἐξέπληττον αὐτοὺς αἱ ὑπ᾽ αὐτοῦ τελούμεναι θεοσημεῖαι· πρὸς οὖν ταύτην τὴν ὑπόνοιαν ὁ σωτὴρ διδάσκει, μὴ νῦν ἀλλὰ μετέπειτα τοῦτο B προσδοκᾷν· τὸ γὰρ ἐπορεύθη εἰς χώραν μακρὰν, τὴν εἰς οὐρανοὺς ἄνοδον αὐτοῦ μετὰ τὴν ἀνάστασιν ἐσήμαινε· τὸ δὲ λαβεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι, τὴν δευτέραν αὐτοῦ θεοφάνειαν τὴν ἔνδοξον καὶ βασιλικὴν παρίστησι· καὶ δούλους μὲν αὐτοῦ πάντας τοὺς εἰς αὐτὸν πεπιστευκότας· μνᾶν δὲ πᾶσιν ἐξ ἴσου δε- C δομένην, τὴν γνῶσιν τῆς τῶν οὐρανῶν βασιλείας, τὴν ἐργασίαν τὴν ἑκάστῳ πρὸς τῇ γνώσει κατορθουμένην· πολίτας δὲ ἑαυτοῦ μισοῦντας αὐτὸν, οὐκ ἄλλως εἶναι οἰητέον ἢ τοὺς ἐκ περιτομῆς, ὧν τὴν πολιτείαν ὑπομείνας, καὶ ὑπὸ τὸν αὐτὸν αὐτοῖς γεγονὼς νόμον, εἰκότως πολίτην ἑαυτὸν αὐτῶν ἀνηγόρευσεν· οἱ δὲ μισοῦντες αὐ- D τὸν, καὶ τοῦ μίσους ἔργα ἐνδειξάμενοι διὰ τῆς κατ᾽ αὐτοῦ ἐπιβουλῆς, οὐκ ἠρκέσθησαν ἐν τούτοις, ἀλλὰ καὶ πρεσβείαν ὀπίσω αὐτοῦ διαπέμπονται μετὰ τὴν ἐξ ἀνθρώπων ἀποδημίαν αὐτοῦ, ταῖς κατ᾽ αὐτοῦ ἀραῖς καὶ ταῖς πρὸς θεὸν εὐχαῖς ἀθετοῦντες αὐτὸν, καὶ

Homo quidam nobilis abiit in regionem longinquam. Existimabant nonnulli, fore ut in primo servatoris adventu regnum eius manifestaretur: immo id ilico incepturum credebant cum in Hierosolyma urbem venisset. Tanta eos admiratione perculerant divinae virtutis signa a Christo edita. Ergo adversus hanc opinionem monet servator, quominus nunc sed in posterum rem eiusmodi expectent: nam verbis *abiit in regionem longinquam* suum in caelos reditum post resurrectionem significabat. Verbis antem *accipere sibi regnum et reverti*, alteram suam manifestationem, insignem videlicet regalemque exhibebat. Iam servos dixit cunctos, qui ei credituri erant: minam ex aequo omnibus impertitam dixit cognitionem regni caelorum, quae mina singulis, praeter illam notitiam, quaestui fuerit. Cives denique illius osores haud alii intelligendi sunt quam circumcisi, quorum cum ipse vitae genus amplexus, sub eademque lege natus esset, iure meritoque se popularem eorum appellavit. Verumtamen hi odiis in eum inflammati, et consentanea suis odiis opera edentes, in eum conspiraverunt: necdum his maleficiis contenti, legationem post eum miserunt, id est post eius ex hominum consortio excessum, diris in eum iactatis atque exsecrationibus devoventes, regnum-

A τὴν βασιλείαν αὐτοῦ παραιτούμενοι· ἀλλ' οἱ μὲν ἀπηύχοντο τοῦ-
το γενέσθαι· ὁ δὲ καὶ μὴ βουλομένων αὐτῶν παραλήψεται τὴν βα-
σιλείαν, λέγοντος αὐτῷ τοῦ πατρὸς, κάθου ἐκ δεξιῶν μου, ἕως
ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· ὃ καὶ ὁ ἀπό-
στολος σημαίνει λέγων [1]· δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἕως ἂν θῇ
B τοὺς ἐχθροὺς αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ· ἐπανελθὼν γε
μὴν κατὰ τὴν δευτέραν αὐτοῦ θεοφάνειαν, τῶν μὲν ἀξίων καὶ αὐτοῦ
δούλων βασιλεύσει· καὶ τούτων αὐτῶν πρότερον τὴν διάκρισιν ποιή-
σεται, τοὺς μὲν ἀποδεξόμενος καὶ βασιλικῇ τιμήσων δωρεᾷ,
τοὺς δὲ ἐπ' ἀργίᾳ μεμψόμενος, καὶ ἧς ἐδόκει [2] πρότερον μετέ-
C χειν δωρεᾶς στερήσων· τοὺς δὲ ὠνομασμένους, μὲν αὐτοῦ πολί-
τας, τὰ δὲ ἐχθρῶν εἰς αὐτὸν ἐπιδειξαμένους, εἰς μέσον ἀχθῆναι
κελεύσει πρὸ τοῦ βασιλικοῦ τῆς δόξης αὐτοῦ θρόνου, καὶ τῇ προ-
σηκούσῃ δώσει δίκῃ.

Εὐσεβίου. Τοσαῦτα διὰ τῆς παραβολῆς διδασκόμε- 12.
D θα, τὴν μέλλουσαν αὐτοῦ καὶ μηδέπω παροῦσαν βασιλείαν,
κἂν αἰσθητὴν ταύτην τινὲς ἐφαντάζοντο, τὴν ἀπὸ γῆς εἰς οὐρα-
νὸν μετάστασίν τε καὶ ἀνάληψιν, τὴν δευτέραν καὶ ἔνδοξον αὐ-
τοῦ θεοφάνειαν, τὴν κριτικὴν καὶ τοῦ κατ' ἀξίαν ἑκάστῳ δια-
νεμητικὴν ἐξουσίαν, τὴν τῶν οἰκείων αὐτοῦ καὶ πιστῶν θερα-

que eius detrectantes. Et ipsi quidem id a se deprecabantur; nihilominus ipse regnum suum invitis iis obtinebit, patre ei dicente "sede a dextris me-„ is, donec ponam inimicos tuos scabellum pedem tuorum„. Id quod apostolus quoque significat dicens "necesse est enim eum regnare, donec „ ponat inimicos suos scabellum pedum suorum„. Reversus igitur alterius manifestationis suae tempore, dignorum hominum servorumque suorum dominium capiet. Atque in primis horum ipsorum discrimen fieri curabit, partim recipiendo regiisque muneribus adficiendo, partim ob ignaviam obiurgando, et quae antea dederat dona eripiendo. Denique illos qui populares quidem eius appellabantur, sed tamen hostili in eum opera fuerunt, in medium produci iubebit ante regium tribunal suum, meritisque suppliciis addicet.

En quae in hac parabola edocemur; futurum scilicet Christi nondumque constitutum regnum, quamquam id sensibile nonnulli temere opinabantur; translationem e terra in caelum id est adsumptionem; secundam eius gloriosam manifestationem; iudiciariam et suum cuique ius reddentem potestatem; familia-

(1) I. Cor. xv. 25. (2) Δοκεῖ verbum saepe otiosum apud Eusebium aliosque auctores, cum de re certa agitur, observante Montfauconio cap. x. praef. ad comm. Euseb. in ps.

πευόντων εὐδοκίμησιν, τὴν τῶν μὴ τοιούτων κατάγνωσιν, τὴν A
τῶν πολιτῶν τοῦ βασιλέως κατ᾽ αὐτοῦ συσκευὴν, τὴν μετελευσομένην αὐτοὺς ἐπαξίως ὧν ἔδρασαν δίκην· ταῦτα γὰρ ὁμοῦ πάντα διὰ τῶν ἐκτεθεισῶν φωνῶν ἐδήλου· καὶ πρῶτον μὲν ἄνθρωπον αὐτὸς ἑαυτὸν ὠνόμαζε, διὰ τὴν κατὰ σάρκα γέννησιν, τὴν κατὰ ἄνθρωπον αὐτῷ συστᾶσαν· ἔπειτα εὐγενῆ ἀλλ᾽ οὔπω βασι- B
λέα ἑαυτὸν ἐκάλει, διὰ τὸ μηδέπω τῇ βασιλικῇ ἀξίᾳ κατὰ τὴν πρώτην θεοφάνειαν κεχρῆσθαι· τῆς δ᾽ εὐγενείας αὐτοῦ μάρτυρες οἱ τοῦ γένους καὶ τῆς ἐκ προγόνων διαδοχῆς τὴν ἱστορίαν γραφῇ παραδεδωκότες· ὧν ὁ μέν τις τὴν κατὰ ἀνθρώπους εὐγένειαν αὐτοῦ παριστὰς, ἔνθεν δέ ποθεν εὐηγγελίζετο λέγων· βίβλος γε- C
νέσεως Ἰησοῦ χριστοῦ υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ· εἶθ᾽ ἑξῆς τούτοις τὴν γενεαλογίαν δι᾽ ἐπιδήμων ἀνδρῶν καὶ διὰ βασιλικοῦ γένους ἐπ᾽ αὐτὸν κατάγων ἵστησιν· ὁ δὲ τὴν ἀνωτάτω καὶ πρὸ πάντων αἰώνων ἐκ θεοῦ γέννησιν αὐτοῦ διδάσκων, τὴν ἀληθῶς πρώτην καὶ μόνην εὐγένειαν παρεδίδου λέγων· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ D
ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος· πάντα δι᾽ αὐτοῦ ἐγένετο· ἀλλὰ γὰρ οὗτος ὁ πρὸ πάντων αἰώνων θεὸς λόγος, γενόμενος ἄνθρωπος εὐγενὴς, καὶ τὸν σὺν ἀνθρώποις διεξελθὼν βίον τὸν ἐμφερόμενον ταῖς περὶ αὐτοῦ εὐαγγελικαῖς γραφαῖς, μετὰ τὴν παρὰ ἀνθρώποις αὐτάρκη διατριβὴν, ἐπανιὼν πρὸς τὸν ἑαυ- E

rium suorum fideliumque servorum collaudationem; eorum qui secus fuerunt condemnationem; civium in regem suum conspirationem, et condignam factorum poenam: haec enim simul omnia praedictis verbis significabat. Et primo quidem hominem se appellavit, propter suam carneam naturam, quam ut homo sibi induit. Deinde nobilem se dixit, non regem, quia dignitate nondum regia in prima sua manifestatione utebatur. Nobilitatis autem eius testes ii qui genus illius ac seriem progenitorum scriptis historicis commendaverunt; quos inter quidam dum humanam Christi nobilitatem exhibet, sic evangelium orsus est: liber nativitatis Iesu Christi filii Davidis, filii Abrahami. Deinde genealogia per populares homines genusque regium usque ad Christum deducta, in hoc postremo consistit. Alius autem supernam eius ante omnia saecula ex Deo nativitatem docens, nobilitatem eius quae vere prima solaque est tradidit dicens: in principio erat verbum, et verbum erat apud Deum, et Deus erat verbum; omnia per ipsum facta sunt. Porro hic ante omnia saecula Deus verbum, factus homo nobilis, peragensque inter homines illud vitae genus, quod in evangelica scripta relatum est, postquam satis cum mortalibus versatus fuit, ad patrem suum rediens, profectus est in

A τοῦ πατέρα, ἐπορεύθη εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν ϰαὶ ὑποστρέψαι· χώραν δὲ μακρὰν τὴν ἀπὸ γῆς εἰς οὐρανὸν ἄνοδον ἐδήλου· λαβεῖν τε τὴν βασιλείαν αὐτὴν ἐκείνην φησὶν, ἣν ὁ προφήτης Δανιὴλ ᾐνίττετο λέγων· ϰαὶ ἰδοῦ υἱὸς ἀνθρώπου ἐπὶ νεφελῶν ἐρχόμενος ἦν· ϰαὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ ϰαὶ ἡ τιμὴ ϰαὶ ἡ βα-
B σιλεία· εὖ δὲ ϰαὶ τὸ λαβεῖν εἴρηται· πάντως γὰρ τοῦ πατρὸς διδόντος ἐλάμβανε· κατὰ τὸ, αἴτησαι παρ᾽ ἐμοῦ ϰαὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου· ἃ δὴ δοθέντα αὐτῷ παρὰ τοῦ παλαιοῦ τῶν ἡμερῶν ὑποδεξάμενος, αὖθις ἐπανήξει· διὸ φησὶ λαβεῖν ἑαυτῷ βασιλείαν ϰαὶ ὑποστρέψαι· ϰαὶ ὅπως δὲ ποιήσεται τὴν ἐπάνοδον, ὁ
C θεῖος ἀπόστολος διασαφεῖ λέγων· ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου ϰαὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπὸ οὐρανοῦ· ἡ δὲ ἀποδημία, ϰαὶ τὴν μακροθυμίαν δηλοῖ· ἔδει δὲ αὐτὸν ἀναγκαίως εἰς τὴν δηλωθεῖσαν μακρὰν χώραν στείλασθαι, κἀκεῖ χρόνον διατρίψαι πολλῶν ἕνεκα· ὡς ἂν ἐν τῷ μετα-
D ξὺ οἱ αὐτοῦ θεράποντες τῆς ἑαυτῶν ἐργασίας τὴν δοκιμὴν δοῖεν. N.

Ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων. Εὐσεβίου. Τὸ ἐπάνω δέκα ἢ πέντε πόλεων ἀρχήν τινα καὶ ἐξουσίαν δηλοῖ δοθησομένην τοῖς ἁγίοις κατὰ ὑποδεεστέρων καὶ τοῦ διευθύνεσθαι ἀξίων. (1)

E Νῦν δὲ ἐκρύβη ἀπὸ τῶν ὀφθαλμῶν σου. Εὐσεβίου. Ταῦ- (1)

regionem longinquam, ut regno suo accepto reverteretur. Iam regionem longinquam dicit pro reditu in caelum: regnum vero acceptum illud ipsum ait, quod propheta Daniel innuebat dicens: et ecce filius hominis in nubibus adventabat; ipsique datum est imperium et honor et regnum. Recte etiam dictum est *accipere*; prorsus enim a patre id dante accepit: secundum illud, postula a me et dabo tibi gentes hereditatem tuam: quae simul ac ab antiquo dierum acceperit, statim regredietur. Idcirco ait, ad accipiendum sibi regnum et revertendum. Quanam autem ratione reditum Christus faciet, divus apostolus demonstrat his verbis: quoniam ipse Dominus in iussu, in voce archangeli, in tuba Dei descendet e caelo. Iam ille abitus patientiam quoque expectandi significat. Et quidem necessarium erat ut ipse iter in longinquam regionem susciperet, ibique diu maneret, quum aliis multis de causis, tum ut interim servi eius suae industriae documentum ederent.

Esto potestatem habens super decem urbes. Decem vel quinque urbium praefectura significat imperium quoddam ac potestatem, quae sanctis danda erat erga infirmiores atque emendatione dignos.

Nunc abscondita sunt oculis tuis. Haec de illa urbe vaticinabatur,

(1) Infra in hoc volumine p. 49.

τα περὶ τῆς πόλεως αὐτῆς ἐθεσπίζετο, ἣν θεοῦ πόλιν ὠνόμα- A
ζον οἱ ἰουδαῖοι διὰ τὸν ἐν αὐτῇ τοῦ θεοῦ ἱδρύμενον νεών· ἀπο-
κλαίεται δῆτα τὴν σύμπασαν πόλιν ὁ φιλάνθρωπος· οὐχ οὕτω
τὰ οἰκοδομήματα, οὐδὲ τοὔδαφος αὐτό, ὡς τὰς ψυχὰς τῶν πά-
λαι οἰκητόρων, καὶ τὴν ἀπώλειαν αὐτῶν ἐλεῶν· ἀλλὰ καὶ τὰ τῆς
ἐρημίας αὐτῶν παρίστησι λέγων· εἰ ἔγνως καί γε σὺ ἐν τῇ ἡμέ- B
ρᾳ ταύτῃ τὰ πρὸς εἰρήνην σοι· σημαίνει δὲ τὴν αὐτοῦ παρουσίαν
ἐπ' εἰρήνῃ τοῦ σύμπαντος κόσμου γεγενημένην· αὐτὸς γὰρ ἦν πε-
ρὶ οὗ εἴρηται, ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ
πλῆθος εἰρήνης· ἐληλύθει τε εἰς αὐτὸ τοῦτο κηρύξαι εἰρήνην τοῖς
ἐγγὺς καὶ τοῖς μακράν· τοῖς τε παραδεχομένοις αὐτὸν φησί, εἰ- C
ρήνην ἀφίεμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· ἥν τινα εἰρή-
νην τὰ καθόλης τῆς οἰκουμένης εἰς αὐτὸν πιστεύσαντα ἔθνη παρ-
εδέξατο· ὁ δὲ ἐκ περιτομῆς λαὸς μὴ πιστεύσας εἰς αὐτόν, οὐκ
ἔγνω τὰ πρὸς εἰρήνην ἑαυτοῦ· διὸ ἐπιλέγει, ὅτι ἥξουσιν ἡμέραι
ἐπί σε· τὰ γοῦν μέλλοντα αὐτοὺς καταλήψεσθαι μικρὸν ὕστερον D
ἐν τῇ κατ' αὐτῶν πολιορκίᾳ, διὰ τὸ μὴ προσδέξασθαι αὐτοὺς
τὴν προκαταγγελθεῖσαν αὐτοῖς εἰρήνην, ἐκρύβη ἀπὸ τῶν ὀφθαλ-
μῶν αὐτῶν· ἐκεῖνοι μὲν οὖν ταῦτα οὐ προεῖδον· αὐτὸς δὲ αὐτὰ
διὰ τῆς προῤῥήσεως θεσπίζει σαφέστατα, τὴν ὑπὸ ῥωμαίων πο-
λιορκίαν καταλαβοῦσαν αὐτοὺς προσημάνας· καὶ ὑπογράψας E

quam Dei urbem appellabant Iudaei propter conditum ibi Dei templum. Sane clemens servator plorat universam civitatem; neque tam aedificia ac solum eius, quam animas incolarum, horumque exitium miseratur. Tum futuram eius solitudinem repraesentat dicens: si cognovisses et tu die hac, quae ad pacem tibi. Significans videlicet adventum suum universo orbi per se paciferum. Ipse enim est de quo extabat oraculum, fore ut in diebus eius orietur iustitia et pacis copia. Reapse is venit pacem proximis ac longinquis praedicaturus: quare et his qui se receperunt ait, pacem relinquo vobis, pacem meam do vobis: quam sane pacem exceperunt ethnici qui per orbem universum ei crediderunt. Circumcisus vero populus, dum ei nequaquam credit, haud cognovit quae paci suae conferebant. Quare addit servator " venient dies super te ". Profecto quae illis paulo post superventurae erant clades in urbis obsidione, propterea quod pacem praenuntiatam non excepissent, hae inquam clades illorum oculis interim subducebantur, qui nihil eiusmodi providebant; ipse tamen easdem manifesto vaticinio praecinebat, futuram Romanorum obsidionem innuens, bellique rationem ipsam graphice

A τὸν τρόπον τῦ κατ' αὐτῶν γενησομένου πολέμου· ὅπως δὲ ἐπὶ
πέρας ἤχθη ταῦτα, πάρεστιν ἀπὸ τῆς Ἰωσήπου γραφῆς ἀνα-
λέξασθαι· ὃς δὴ ἰουδαῖος ὤν, ϗ τῆς παρ' αὐτῆς ἰουδαϊκῆς φυ-
λῆς γεγονὼς, τῶν τε ἐπισήμων καὶ ἐπιφανῶν ἐν τῷ ἔθνει κατὰ
τοὺς χρόνους τῆς πολιορκίας, ἕκαστα τῶν πεπραγμένων ἱστό-
B ρησε, σύμφωνα ταῖς προκειμέναις προῤῥήσεσι τὰ ἀποτελέσμα-
τα παραστήσας· ὅτι μὲν οὖν ταῖς ἐκ τῦ πολέμου συμφοραῖς
περιπέπτωκεν ἡ ἁγία καὶ διαβόητος Ἱερουσαλὴμ, ἐξ αὐτῶν ἔνε-
στιν τῶν πραγμάτων ἰδεῖν· ὁ δὲ χριστὸς ἀπολλύναι μέλλων αὐ-
τὴν, καὶ δακρύει· ὃ καὶ ἡμεῖς ἐπὶ φίλῳ ποιοῦμεν· δεικνὺς ὅτι
C οὐ κολάσαι βούλεται, ἀλλὰ καὶ ὅτε κολάζει, μὴ θέλων αὐτὸ
ποιεῖ. N.

Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; Εὐσεβίυ· Αὐτὸς μὲν ἔργα Cap. XL.
θεϊκῆς δυνάμεως ἐπιτελῶν τερασίας ϗ παραδόξυς πρᾶξεις ἐνεδεί-
κνυτο, ἐδίδασκέ τε ὑράνια μαθήματα· οἱ δ' ἀποθαυμάζειν δέον,
D γνωρίζειν τε ἐκ τῶν λόγων καὶ τῶν πράξεων, ὡς ἄρα αὐτὸς εἴη ὁ
χριστὸς ὁ ὑπὸ τῶν προφητῶν προκεκηρυγμένος, τοῦτο μὲν οὐκ
ἔπραττον· ἐπ' ἀνατροπῇ δὲ τῦ πλήθους ἐπιστάντες ἀθρόως ἐπε-
τίμων, πυνθανόμενοι ἐν ποίᾳ ἐξουσίᾳ εἴη ταῦτα ποιῶν, καὶ πα-
ρὰ τίνος εἰλήφει τὴν τῦ τοιαδὶ πράττειν ἀδεῶς ἐξουσίαν. N.

E Ἐρωτήσω ὑμᾶς κἀγώ. Εὐσεβίυ. Ἀνεξικάκως ϗ πρᾴως αὐ- 3.

exponens. Iam quomodo peracta haec fuerint, cognoscere licet ex Iosephi historiis, qui hebraico genere atque in ipsa Iudae tribu genitus, nobilis item atque inter suos populares per obsidionis tempora clarus, facta singula calamo persecutus est, consentaneos vaticiniis eventus exhibens. Quod igitur belli casibus ceciderint sancta illa et famosa Hierosolyma, res ipsa testatur: quam urbem Christus ipsemet perditurus, tamen plorat; sicuti et nos amico facimus; demonstratque se puniendi minime cupidum; et siquando punit, invitum id facere.

In qua potestate haec facis? Ipse quidem divinae virtutis opera patrans, portenta et mirabiles actus edebat; simulque caelestem doctrinam tradebat. Illi autem qui haec suspicere debuissent, atque e dictis gestisque cognoscere hunc esse Christum quem prophetae praecinissent; minime rerum id fecerunt; verum ad concitandam plebem subito conversi, increpabant eum, rogantes quanam potestate haec faceret, vel a quonam tanta praeditus facultate fuisset, ut haec confidenter ageret.

Rogabo et ego vos. Patienter ac mansuete postulata eorum excipiens

τοὺς δεξάμενος ὁ κύριος ἀνερωτᾷ περὶ Ἰωάννου τοῦ βαπτιστοῦ, οὐ πόθεν εἴη αὐτὸς, ἀλλὰ πόθεν τὸν περὶ τοῦ βαπτίσματος νόμον εἰλήφει· τὸ μὲν γὰρ αὐτὸν περὶ ἑαυτοῦ μαρτυρεῖν, ἐπαχθὲς ἡγεῖτο καὶ περιαυτολόγον· τὸ δ' ἐπὶ Ἰωάννην ἀναπέμπειν, λεληθυῖαν τὴν περὶ αὐτοῦ διδασκαλίαν περιεῖχεν· ὡμολόγητο γὰρ παρὰ παντὶ τῷ λαῷ Ἰωάννης ἐξ οὐρανῶν ὡρμημένος· οὗτος δὲ αὐτὸς ἐμαρτύρει B τῷ σωτῆρι, πόθεν εἴη τὴν ἐξουσίαν εἰληφώς· ὡς γὰρ ἀπήγγελλον αὐτῷ τινες ὅτι Ἰησοῦς βαπτίζει [1], ἀποκριθεὶς εἶπεν αὐτοῖς, οὐ δύναται ἄνθρωπος λαμβάνειν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ ἄνωθεν· αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε, ὅτι εἶπον, οὐκ εἰμὶ ἐγὼ ὁ χριστὸς, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ C ἔμπροσθεν ἐκείνου· καὶ πάλιν, ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστί· καὶ αὖθις, ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ· ὁ πιστεύων εἰς τὸν υἱὸν, ἔχει ζωὴν αἰώνιον· οὐκοῦν ἀπὸ τῆς Ἰωάννου περὶ αὐτοῦ μαρτυρίας, δῆλος ἦν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ἔπραττεν ὁ σωτὴρ, καὶ τίς αὐτῷ δεδώκει τοιαύ- D την ἐξουσίαν; N.

2. Ἄνθρωπος ἐφύτευσεν ἀμπελῶνα. Εὐσεβίου. Συνηγμένων μὲν οὖν ἐπὶ τὸ αὐτὸ ἐν τοῖς Ἱεροσολύμοις τῶν ἀρχόντων τοῦ ἰουδαίων ἔθνους, ἀρχιερέων τε καὶ νομοδιδασκάλων, ἐν αὐτῷ τῷ ἱερῷ ποι-

Dominus, sciscitatur ipse quoque de Iohanne baptizatore; nec unde is esset, sed unde baptismi normam accepisset. Nam sibi ipsi testimonium perhibere, plenum odii negotium existimabat et ostentationis. Ceteroqui provocatio ad Iohannem tacitam continebat Christi manifestationem. Universus enim populus fatebatur Iohannem divinitus missum. Porro idem hic testimonium praebuerat, unde servator potestatem accepisset. Quum enim ei quidam nunciassent Iesum baptizare, huiusmodi responsum edidit: non potest homo a se ipso quicquam accipere, nisi ei datum fuerit de caelo desuper. Vos mihi dicti mei testes estis, me Christum non esse, verumtamen huic adventanti praemissum. Et rursus: qui de superioribus venit, supra omnes est. Denuoque: pater amat filium, cunctaque tradidit manui eius. Qui filio credit, vitam aeternam habet. Igitur e Iohannis testimonio perspicuum erat quanam facultate haec servator faceret, et quisnam ei vim huiusmodi impertitus fuisset.

Homo plantavit vineam. Quum essent Hierosolymis congregati gentis iudaicae principes, pontifices ac legis doctores, diversans in templo Christus

(1) Ioh. III. 26.

A οὑμένος τὰς διατριβὰς, τὰ μέλλοντα αὐτοῖς κατ' αὐτοῦ τολμᾶσθαι, καὶ τὸν ἐπὶ τῇ τόλμῃ καταληψόμενον αὐτοὺς ὄλεθρον ἐπεσκιασμένος τοῦτον τὸν τρόπον διὰ τῆς παραβολῆς προηγόρευσεν· ἔστι δὲ ἡ παραβολὴ συγγενὴς τῇ παρὰ τῷ Ἡσαΐᾳ [1], παρ' ᾧ τοῦτον ἔχει τὸν τρόπον· ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέ-
B ρατι, ἐν τόπῳ πίονι· καὶ φραγμὸν περιέθηκα καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα, καὶ πύργον ᾠκοδόμησα, καὶ προλήνιον ὤρυξα, καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας· ἀλλ' ἡ μὲν παρὰ τῷ προφήτῃ τὸν ἀμπελῶνα διαβέβληκεν· ὃν καὶ ἡρμήνευσε τίς ποτε ἦν, εἰπών· ὁ γὰρ ἀμπελὼν κυρίου σαβαὼθ, οἶκος
C τοῦ Ἰσραήλ· ἡ δὲ τοῦ σωτῆρος παραβολὴ εἴρηται μὲν ὁμοίως ἐκείνῃ, ὡς ἂν γνωρισθείη τοῖς παροῦσι καὶ ἀκροωμένοις· οὐ μὴν περὶ τοῦ ἀμπελῶνος λέλεκται, ἐπειδὴ ὁ προφήτης τὴν περὶ τούτου πρόῤῥησιν προλαβὼν εἰρήκει· ἅπερ δὲ τῷ προφήτῃ σεσιώπητο, ταῦτα αὐτὸς ἐν τῇ παραβολῇ τίθησι· λέγω δὲ τὰ περὶ τῶν γεωρ-
D γῶν τοῦ ἀμπελῶνος· οὗτοι δὲ ἦσαν οἱ πρεσβύτεροι τοῦ λαοῦ καὶ οἱ ἀρχιερεῖς, ἄρχοντες καὶ διδάσκαλοι· οἳ δὴ καὶ τῷ πλήθει παραίτιοι γεγόνασι τῆς τῶν πονηρῶν καρπῶν ἐκφυῆς· δι' οὓς καὶ ὁ ἀμπελὼν καταλέλειπται ἔρημος, τουτέστι τὸ παρὸν αὐτῶν ἔθνος· καὶ ὁ τούτου καθῃρέθη φραγμὸς, οἱ πάλαι δηλαδὴ τοῦ

scelus in se ab iis patrandum, et consecuturam scelus supremam poenam, arcano dicendi genere per parabolam vaticinatus est. Est autem parabola similis illi quae apud Isaiam his verbis scribitur. Vinea fuit dilecto in cornu, in pingui loco. Saepem ei circumdedi, eamque vallavi, et consevi, et turrim aedificavi, et torcular fodi. Expectavi autem ut uvam gigneret, verumtamen spinas reddidit. Sed enim prophetae parabola ad vineae reprehensionem accommodata est. Et quidem propheta declaravit quid eo nomine significaretur. Nam vinea Domini exercituum, domus Israelis est. Ceteroqui servatoris parabola idcirco ad illius propheticae exemplum dicta fuit, ut a praesenti corona audientium intelligeretur: non tamen de ipsa vinea sermo loquitur: namque ipse propheta vaticinium huiusmodi praeoccupaverat. Quae autem propheta reticuerat, ea servator in parabola ponit; illa nempe de vinitoribus; qui intelligendi sunt seniores populi et pontifices, principes atque doctores. Horum enim causa contigit, ut malos fructus populus efficeret. Quamobrem ipsa vinea vasta relicta est, nimirum hebraica eius temporis gens: vallumque illius dirutum fuit, principes nimirum qui

(1) Cap. V. 1.

ἔθνους προμαχοῦντες, καὶ τὸν λαὸν φυλάττοντες σὺν αὐτῷ τῷ A
τόπῳ· ὅτε ἐν αὐτῷ πύργος, αὐτὸς ὁ νεώς· καὶ ἡ ληνὸς, τὸ θυ-
σιαστήριον: ταῦτα πάντα ἄρδην ἐκ βάθρων ἤρθη, διὰ τὴν τῶν
γεωργῶν μιαιφονίαν· οἱ δὴ πρώτους δούλους καὶ δευτέρους ἀπο-
σταλέντας πρὸς αὐτοὺς, δηλαδὴ τοὺς κατὰ χρόνους προφήτας,
ἀνεῖλον· μαρτυρεῖ τῷ λόγῳ καὶ ἡ πάλαι γραφή· καὶ προφητῶν B
δὲ Ἠλίας ἐν εὐχῇ πρὸς τὸν θεὸν λέγων [1]· κύριε τοὺς προφήτας ἀπέ-
κτειναν, καὶ τὰ θυσιαστήρια κατέσκαψαν, κἀγὼ ὑπελείφθην μό-
νος, καὶ ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν· ταῦτα γοῦν ὁ
προφήτης τῶν ἀρχόντων τοῦ ἰουδαίων ἔθνους διὰ τῆς εὐχῆς κατη-
γορεῖ· οἱ δὲ μὴ ἀρκεσθέντες τῇ κατὰ τῶν προφητῶν μιαιφονίᾳ, C
ὕστερον καὶ αὐτὸν τὸν υἱὸν, οὐκ ἀγνοοῦντες ἀλλ' εὖ μάλα καὶ ἀκρι-
βῶς εἰδότες, αὐτὸν εἶναι τὸν κληρονόμον, ἀνεῖλον· ταῦτα δὲ ὁ
σωτὴρ πρὸ τοῦ πάθους αὐτὸς περὶ ἑαυτοῦ ᾐνίττετο, προλαμβάνων
τὸ μέλλον κατὰ πρόγνωσιν· καὶ λέγει ταῦτα ἐν αὐτῷ διατρίβων
τῷ ἱερῷ τοῖς κατ' αὐτὸν γεωργοῖς τοῦ ἀμπελῶνος, τοῖς τοῦ λαοῦ D
προεστῶσι· σφόδρα σαφῶς διὰ τῆς παραβολῆς αὐτοὺς καθ' ἑαυ-
τῶν τὴν ἀπόφασιν ἐξενέγκασθαι παρασκευάζων· οὔπω συνιέντας
ὅτι περὶ αὐτῶν εἴρητο· διὰ τοῦτο γὰρ καὶ διὰ παραβολῆς εἴρη-
κεν, ἵνα αὐτοὶ τὴν ψῆφον ἐξενέγκωσιν· ὅτε καὶ ἐπὶ τοῦ Δαβὶδ γέ-

gentem olim protegebant, civesque simul cum urbe servabant. Et turris quidem, ipsum templum erat; torcular vero, altare. Haec omnia funditus deleta fuerunt propter patratam a vinitoribus caedem: qui servos semel et iterum ad se missos, variis nempe prophetas temporibus, occiderunt. Vetus quoque scriptura huic sermoni suffragium dat. Et quidem propheta Elias in sua ad Deum prece ait: Domine, prophetas interemerunt, altaria suffoderunt, atque ego solus relictus sum; et meam ipsius animam conantur eripere. Sic enim in prece sua de iudaicae gentis principibus propheta expostulat. Sed enim hi haud contenti prophetarum caede, postremo ipsum filium, non sane inscii immo probe gnari hunc esse heredem, supplicio adfecerunt. Haec servator ante passionem suam de se innuebat, praeoccupata per praesensionem notitia futuri. Et quidem ita disserebat in templo versans coram coaetaneis suis vinitoribus, principibus nimirum populi: sapienter admodum hac parabola curans, ut ii sententiam contra se ipsos ferrent, priusquam intelligerent parabolam de ipsis loqui. Idcirco hoc sermonis involucro usus est, ut ipsi semet condemnarent: quemadmodum Davidi accidit, cum

(1) III. reg. XVIIII. 10.

A γονεν ὅτε ἔκρινε τὴν παραβολὴν τοῦ Νάθαν· ἐπειδὴ δὲ ᾔσθοντο τῶν
εἰρημένων, τότε εἶπον μὴ γένοιτο· τοῦτο μέντοι ἤδη τρίτον παρὰ
Ματθαίῳ· διὰ τριῶν παραβολῶν τοῦ ἀμπελῶνος ἐμνημόνευσεν·
ἀλλὰ διὰ μὲν τῆς πρώτης διαφόρους κλήσεις ἐδήλου τῶν ἐπὶ τὴν
ἐργασίαν τοῦ ἀμπελῶνος παρελθόντων· οἷς πᾶσιν ἐξ ἴσου μισ-
B θὸν ἐνεδίδου τὸ δηνάριον· διὰ δὲ τῆς δευτέρας, δύο υἱῶν κλῆσιν
ᾐνίττετο· τοῦ μὲν, ἀρνουμένου τὰ πρῶτα, ἐπὶ τέλει δὲ τὴν ὑπα-
κοὴν ἐνδεικνυμένου, καὶ εἰς τὸν ἀμπελῶνα ἐργαζομένου· τοῦ δὲ, τῇ
ἐναντίᾳ κεχρημένου προαιρέσει· διὰ δὲ τῆς παρούσης παραβολῆς,
μετάθεσιν παντελῆ τοῦ ἀμπελῶνος ὁ λόγος διδάσκει ἀπὸ προτέ-
C ρων γεωργῶν ἐπὶ δευτέρους· καὶ τὴν αἰτίαν σημαίνει τῆς μετα-
θέσεως· κἀμοὶ δοκεῖ μετατεθεῖσθαι μὲν ἀπὸ τοῦ ἐπαγγειλαμένου
μὲν ἐργάσασθαι υἱοῦ, μὴ μὴν ἔργον ἐπιθέντος τῷ λόγῳ· δεδόσ-
θαι δὲ τῷ ἀρνησαμένῳ καταρχάς, ἔργῳ δὲ ἐπὶ τέλει τὸ εὐπειθὲς
ἐνδειξαμένῳ· σαφέστερος δ' ἂν εἴη ὁ λόγος, εἰ τὸ θεοσεβὲς πο-
D λίτευμα τὸ τῆς θεοῦ βασιλείας οἰκεῖον, τὸν ἀμπελῶνα εἶναι ἐκ-
λάβοιμεν· προτέρους δὲ αὐτοῦ γεωργοὺς οὐκ ὀρθῶς κεχρημέ-
νους τῇ ἐργασίᾳ, τοὺς πρότερον παρὰ ἰουδαίοις τῆς θείας γνώσεως
κατηξιωμένους· τοὺς αὐτοὺς ὄντας ἑνὶ τῶν υἱῶν τῷ διαβεβλη-
μένῳ· δευτέρους δὲ γεωργοὺς τοὺς τὸν ὀφειλόμενον καρπὸν κατὰ

de Nathanis parabola iudicium tulit. Verumtamen illi re demum intellecta, infortunium a se deprecati sunt. Porro apud Matthaeum tribus de vinea parabolis rei huius mentio fit: quamquam prima quidem variae illorum vocationes exprimuntur, qui ad vineae culturam convenerunt; quibus omnibus par denarii merces attributa est. Altera parabola duorum vocatio filiorum ostenditur, quorum alter primo haud morigerus fuit, sed demum officium praestitit, atque in vinea operatus est: alter autem filius contrarium ingenium prae se tulit. Sed praesente demum parabola translatam omnino servator docet vineae locationem a prioribus agricolis ad posteriores; causamque translationis aperit. Et mihi videtur translata vineae locatio ab eo filio, qui se operaturum recepit, mox verba in rem non contulit; tradita autem illi qui initio quidem officium detrectavit, sed mox opere obedientiam praestitit. Sed enim magis perspicuus sermo fiet, si religiosam vitam quae divini regni propria est, vineam esse putabimus: atque ita priores eius cultores, qui non iustam operam in ea collocaverunt, Iudaeos esse credemus qui primi divina notitia dignanter collustrati fuerunt: hique pares sunt illi alteri filio, quem evangelicus sermo damnat. Posteriores autem cultores, qui debitum fructum suo tempore exhi-

(1) Cap. xx. 1. xxi. 28. 33.

καιρὸν ἀποδιδόντας, τοὺς ἐξ ἐθνῶν διὰ χριστοῦ τὴν τοῦ θεοῦ γνῶ- A
σιν ἀνειληφότας, τοὺς αὐτοὺς ὄντας τῷ υἱῷ τῷ τὸ εὐπειθὲς καὶ
ὑπήκοον τῷ πατρὶ ἔργοις ἐπιδεδειγμένῳ· τὸ δὲ αἴτιον τοῦ ληφθῆ-
ναι παρ᾽ ἐκείνων τὸν ἀμπελῶνα, ἐπεὶ μὴ εἴρηται διὰ τῆς τῶν υἱῶν
παραβολῆς, ἀναγκαίως διὰ τῆς μετὰ χεῖρας παρίστησι· τοῦ-
το δ᾽ ἦν τὸ μὴ κατὰ τὸν δέοντα καιρὸν ἀποδοῦναι τοὺς καρποὺς B
τῷ οἰκοδεσπότῃ· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἐπιβουλεῦσαι
τοῖς ἀπεσταλμένοις ἐπὶ λήψει τῶν καρπῶν δούλοις· καὶ οὐ τοῦτο
μόνον, ἀλλὰ καὶ τὸ τῷ υἱῷ χεῖρας ἐπιβαλεῖν τολμῆσαι· ὃν ἐπι-
γνόντες, καὶ αὐτὸν εἶναι τὸν υἱὸν τοῦ οἰκοδεσπότου ὁμολογήσαντες,
ὅμως ἀνεῖλον ἀσεβεῖ χρησάμενοι λογισμῷ· τῶν δὲ τριῶν παρα- C
βολῶν τοῦ ἀμπελῶνος, τὴν μὲν πρώτην τοῖς αὐτοῦ μαθηταῖς παρ-
έθετο, ἐν τῇ Γαλιλαίᾳ σὺν αὐτοῖς ποιούμενος διατριβάς· διό-
περ πάντας ἀνθρώπους ἐργάτας εἰσῆγε διαφόροις ὥραις κεκλη-
μένους· ὑπακούοντάς τε τοὺς πάντας καὶ μισθὸν λαμβάνοντας
τὸν αὐτόν· τὴν δὲ δευτέραν ἐν Ἱεροσολύμοις γενόμενος, ἔνδον τε ἐν D
αὐτῷ τῷ ἱερῷ διδάσκων, τοῖς ἀρχιερεῦσιν ἐπῆγε, καὶ τοῖς
πρεσβυτέροις τοῦ λαοῦ, μετὰ πολλοῦ τοῦ παραστήματος ἐλεγ-
κτικῶς φήσας πρὸς αὐτούς, ὡς ἄρα οἱ τελῶναι καὶ αἱ πόρναι
προάγοιεν αὐτοὺς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ τρίτην δὲ
τοῖς αὐτοῖς ἀναγκαίως προφέρει τὰς αἰτίας παριστάς, δι᾽ ἃς E

buerunt, ethnicos existimabimus, qui per Christum Dei notitiam receperunt, similesque illi filio evaserunt, qui patri obsequium et obedientiam re ipsa testatus est. Iam causam ablatae illis vineae, quia in filiorum parabola servator non dixit, idcirco necesse fuit ut hac, quae in manibus est, parabola patefaceret. Causa vero fuit, quia non suo tempore fructus domino debitos obtulerunt: praetereaque servis ad colligendos fructus submissis exitium moliti sunt: necdum his maleficiis contenti, filio ipsi adferre manus non dubitarunt: quem sane agnitum, atque domini filium non diffitentes, nihilominus impio consilio interemerunt. Atque harum de vinea parabolarum trium primam discipulis suis recitavit servator, dum in Galilaea cum iis versaretur. Quare et omnes homines dixit diversis horis ad operam vocatos; qui cuncti obtemperant, paremque mercedem capiunt. Secundam parabolam Hierosolymis, dum intra templum doceret, coram pontificibus populique principibus dixit; et quidem confidentissimam addidit increpationem fore ut ipsos publicani ac meretrices in caelorum regnum praecederent. Tertiam denique apud eosdem necessario parabolam protulit, causas edisserens, ob quas caelorum regnum his ereptum

A ἔμελλεν εἰς ἑτέρους μετατίθεσθαι ἀφαιρουμένη ἐξ αὐτῶν ἡ βασι-
λεία τῶν οὐρανῶν· τρεῖς δὲ τὰς πάσας αἰτίας καταλέγει, πρώ-
την μὲν τὴν περὶ τοὺς καρποὺς ἀγνωμοσύνην τῶν γεωργῶν· οὐ γὰρ
ἔπραττον κατὰ τὰ παρηγγελμένα αὐτοῖς, παραβάται δὲ ἐτύγ-
χανον τοῦ δοθέντος αὐτοῖς νόμου· δευτέραν δὲ τὴν κατὰ τῶν προ-
B φητῶν ἐπιβουλήν· οὗτοι γὰρ ἦσαν οἱ προαπεσταλμένοι τοῦ θεοῦ
δοῦλοι· καὶ τρίτην, τὴν κατὰ τοῦ υἱοῦ τοῦ οἰκοδεσπότου μιαιφο-
νίαν, δι' ἣν ἐκδικηθήσεται ἐξ αὐτῶν πᾶν αἷμα, ἀπὸ αἵματος
Ἄβελ τοῦ δικαίου μέχρις αἵματος Ζαχαρίου· ταῦτα δὲ εἰς πρό-
σωπον τοῖς ἀρχιερεῦσι καὶ πρεσβυτέροις λεγόμενα οὐ μικροὺς
C αὐτοῖς παρεῖχεν ἐλέγχους· διὸ τοῦ σωτῆρος θαυμάσαι ἐστὶ με-
τὰ τῶν ἄλλων καὶ τὴν ἐξουσίαν τοῦ λόγου μετὰ πολλῆς αὐθεν-
τίας ἀποφηναμένου, καὶ κριτοῦ δίκην τὴν κατ' αὐτῶν τιμωρίαν
εἰς τὸ αὐτῶν πρόσωπον μετὰ βαθυτάτης σοφίας ἐξενεγκόντος·
τῇ δὲ παρούσῃ τοῦ σωτῆρος ἡμῶν παραβολῇ συνᾴδει ἡ παρὰ τῷ
D Ἠσαΐᾳ, ὡς εἴρηται· πλὴν ἡ μὲν τοῦ προφήτου τὸν ἀμπελῶνα
διεμέμφετο, τῶν γεωργῶν μνήμην οὐδαμῶς πεποιημένη· ὁ δὲ
σωτὴρ τοὺς γεωργοὺς ἀπήλεγχεν εἰς πρόσωπον ἑστῶτας καὶ πα-
ρόντας· οὗτοι δ' ἦσαν οἱ ἄρχοντες καὶ ἡγούμενοι τοῦ λαοῦ· οἷς
ὁμοῦ καὶ ἣν ποιήσονται κατ' αὐτοῦ ἐπιβουλὴν ἐδήλου· καὶ ὡς ἀρ-
E θήσεται ἀπ' αὐτῶν ὁ ἀμπελών, καὶ δοθήσεται ἑτέροις γεωργοῖς

ad alios erat transferendum: tresque omnino causas recensuit; primam de fructibus quos improbi agricolae abnegaverunt: neque enim imperata fecerunt, sed leges eis latas violaverunt. Causam alteram, facinora adversus prophetas dixit: hi quippe missi erant a Deo famuli. Tertiam denique causam adtulit patrisfamilias filium caesum. Quamobrem fusi omnis sanguinis poenae ab iis reposcentur, a sanguine iusti Abelis usque ad sanguinem Zachariae. Haec pontificibus atque senioribus in faciem obiecta, non mediocre his probrum creabant. Quare admirari licet servatorem, qui praeter cetera potestatem quoque sermonis magna cum auctoritate exserebat, atque instar iudicis poenam iisdem sapientissime coram decernebat. Huic autem servatoris nostri parabolae consonat, uti dictum est, illa Isaiae. Sed tamen propheta vineam obiurgat, nulla cultorum facta mentione: at vero servator vinitores coram obiurgat atque praesentes. Hi porro erant principes ducesque populi: apud quos etiam scelus adversus se ab his patrandum commemoravit: foreque ait ut vinea iis auferatur, atque aliis locetur cultoribus. Exin

προὔλεγε· διασαφῶν ἐφεξῆς τίς ποτε εἴη ὁ ἀμπελών· καὶ διδάσ- A
κων τὴν βασιλείαν τοῦ θεοῦ εἶναι τὸν ἀμπελῶνα· ἥ τις βασιλεία
θεοῦ διὰ τοῦ θεοσεβοῦς πολιτεύματος πάλαι πρότερον τοῖς ἄρ-
χουσι τοῦ προτέρου λαοῦ ἐπεπίστευτο· ἐπεὶ δὴ μηδὲ τοὺς δέοντας
καρποὺς ἀπεδίδοσαν, πρὸς δὲ τῇ τοῦ νόμου παραβάσει μιαιφο-
νίαις ἑαυτοὺς περιέπειραν, εἰκότως τὴν κατ' αὐτῶν ὁ σωτὴρ ἐξε- B
νέγκατο ἀπόφασιν, εἰπών, διὰ τοῦτο λέγω ὑμῖν ἀρθήσεται ἀφ'
ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς
καρποὺς αὐτῆς. N.

Cap. XX. 17. Λίθος ὃν ἀπεδοκίμασαν. Εὐσεβίου. Λίθος ὁ κύριος λέ-
γεται διὰ τὸ γεῶδες σῶμα· λίθος τεμνόμενος ἄνευ χειρῶν κα- C
τὰ τὴν Δανιὴλ ὅρασιν, διὰ τὴν ἐκ παρθένου γέννησιν· οὐ γὰρ
ἐδέησεν αὐτῷ σπορᾶς ἀνθρωπίνης, καὶ μήτηρ αὐτῷ ἀπειρόγαμος
κόρη, καινὸν τρόπον ἢ καθ' ἡμᾶς, ἐξ ἁγίου πνεύματος κύουσα. N.

Cap. XXI. 5. " Καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις καλοῖς καὶ
„ ἀναθήμασι κεκόσμηται, εἶπε· ταῦτα ἃ θεωρεῖτε, ἐλεύσον- D
„ ται ἡμέραι, ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθον, ὃς οὐ κα-
„ ταλυθήσεται „. Καὶ ὅτι μὲν ἀξιοθέατα ἦν πάντα τὰ τῆς οἰ-
κοδομῆς, τά τε τῆς ἄλλης κατασκευῆς τοῦ αὐτόθι νεὼ, δηλοῦ-
σιν αἱ ἱστορίαι· δείγματος δὲ χάριν, εἰς ἔτι δεῦρο λείψανά τι-
να πεφύλακται, δι' ὧν τὰ ἴχνη καταλαμβάνεται τῶν πάλαι κα- E

enucleabat, quaenam vitis esset; nempe Dei regnum vineae nomine intelligi declarabat: quod quidem Dei regnum per piam religionem olim principibus prioris populi concreditum fuerat. Sed enim quum hi neque debitos fructus redderent, et praeter legis violationem caedibus quoque semet impiavissent, merito servator hanc in illos sententiam tulit dicens: propterea dico vobis auferetur a vobis regnum Dei, et dabitur genti quae fructus eius exhibebit.

Lapidem quem reprobaverunt. Lapis dicitur Dominus propter terrenum corpus: lapis absque manuum ministerio excisus, prout fertur in Danielis visione, propter suam de virgine nativitatem: neque enim illi opus fuit humano semine; sed matrem habuit nuptiarum expertem puellam, quae novo inter homines more de spiritu sancto concepit.

Quum ei quidam in sermone de templo dicerent, pulcris id lapidibus atque donariis esse exornatum; in his, ait, quae cernitis, futuro mox tempore lapis super lapidem non relinquetur, quin omnia funditus diruentur. Spectaculo dignum fuisse templi aedificium atque ornatum, testantur historiae. Speciminis vero gratia ad hunc usque diem reliquiae aliquot ibidem servantur, e quibus vestigia deprehenduntur veterum eius loci structurarum: quam-

A τασκευασμάτων[1] · ἀλλὰ καὶ τούτων χρὴ προσδοκᾷν τὸν ἀφανισ-
μὸν, ὁσημέραι τῆς ἐρημίας αὐξούσης, καὶ τῆς εἰρημένης προρ-
ῥήσεως ἀποῤῥήτῳ δυνάμει εἰσαεὶ ἐνεργούσης · οἶδα δέ τινων ἀκού-
σας ἑρμηνευσάντων τὴν προειρημένην φωνὴν ἑτέρως · μὴ γὰρ πε-
ρὶ πάντων τῶν οἰκοδομημάτων εἰρῆσθαι, ἀλλὰ περί τινος μέρους,
B ὃ δὴ οἱ μαθηταὶ αὐτοῦ θαυμάζοντες ἐπεδείκνυον αὐτῷ · κατ᾽ ἐκεί-
νου γὰρ ἐξενηνοχέναι αὐτὸν τὴν πρόῤῥησιν. N.

Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου. Εὐσεβίου. 8.
Αὐτίκα σαμαρεῖται Δοσίθεον[2] μετὰ τοὺς χρόνους τοῦ σωτῆρος
γενόμενον, αὐτὸν εἶναι τὸν ὑπὸ Μωσέως προφητευόμενον προφή-
C την ἐπείσθησαν, ἀπατηθέντες ὑπ᾽ αὐτοῦ, ὡς τὸν χριστὸν αὐτὸν
εἶναι ἀποφήνασθαι · ἄλλοι δὲ κατὰ τοὺς χρόνους τῶν ἀποστόλων,
Σίμωνα τὸν μάγον τὴν μεγάλην τοῦ θεοῦ δύναμιν ἐκάλουν, αὐ-
τὸν εἶναι νομίσαντες τὸν χριστόν · καὶ κατὰ τὴν Φρυγίαν δὲ Μον-
τανὸν ἕτεροι · ἀλλαχοῦ δὲ πάλιν ἑτέρους ἄλλοι νενομίκασι · καὶ
D οὐ παύσονταί γε ἀπατεῶνες · προσδοκᾷν γὰρ χρὴ καὶ πλείους τοι-
ούτους ἔσεσθαι · ἐξ ὧν δὴ καὶ αὐτῶν ἡ ἀλήθεια τῶν σωτηρίων προ-
γνώσεων τὴν μαρτυρίαν εἴληφεν. N.

Ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσα- 20.

quam harum quoque reliquiarum mox futura est abolitio, crescente in dies vastitate, quia scilicet supradictum oraculum arcanam iis vim continenter facit. Sed tamen nonnullos quoque audivi, qui praedictum effatum aliter interpretabantur: nimirum non de universo aedificio Christum esse locutum, sed de illius parte quadam, quam mirabundi discipuli praeceptori ostendebant. In hanc, inquam, tantummodo partem vaticinium incumbere nonnulli existimant.

Multi enim venient in nomine meo. Actutum Samaritani Dositheum, qui servatoris aetati successit, prophetam illum esse Mosis vaticinio promissum, firmiter arbitrati sunt; adeo fraudibus eius capti, ut Christi loco habendum consuerint. Alii vero ipsa apostolorum aetate Simonem magum magnam Dei virtutem appellabant, et Christum esse putabant: tum alii pariter in Phrygia Montanum: alii denique alios diversis locis hac opinione prosecuti sunt. Neque finem facient veteratores. Nam et alii plures eiusmodi expectandi sunt: qui sane et ipsi oraculorum a servatore editorum veritatem confirmant.

Cum obsessa ab exercitibus Hierosolyma videritis. His verbis indicia

(1) Scilicet ipse Eusebius ex iis vestigiis templum delineaverat, teste Hieronymo praef. ad sit. et nom. hebr. loc. *Eusebius post chorographiam terrae iudaeae, et distinctas tribuum sortes, ipsius quoque Hierusalem templique in ea, cum brevissima expositione picturam ad extremum in hoc opusculo laboravit*.

(2) Lege Theodoretum fabul. haer. I. 1.

*

λήμ. Ευσεβίου. Διὰ τῶν προκειμένων σημεῖα δίδωσι τοῦ και- A
ροῦ τῆς παντελοῦ ἐρημίας τοῦ τόπου· μηδεὶς γάρ, φησι, προσ-
δοκάτω μετὰ τὴν ἐσομένην πολιορκίαν, καὶ τὴν ἐπὶ ταύτην γε-
νησομένην ἐρημίαν τοῦ τόπου, ἑτέραν αὐτῆς ἔσεσθαι ἀνανέωσιν,
ὡς ἐπὶ τῶν χρόνων Κύρου τοῦ περσῶν βασιλέως γέγονε· καὶ με-
τὰ ταῦτα ἐπ' Ἀντιόχου ἐπιφανοῦς· καὶ πάλιν ἐπὶ Πομπηΐου· B
πολλάκις γὰρ ἤδη πολιορκίας ὑπομείνας ὁ τόπος, μείζονος
ἠξιώθη μετὰ ταῦτα τιμῆς· ἀλλὰ νῦν τὴν ἐσχάτην τῆς πόλεως
ἐρημίαν καὶ τὸν παντελῆ ἀφανισμὸν ἐπελεύσεσθαι αὐτῇ γι-
νώσκητε, ἐπειδὰν ἴδητε αὐτὴν ὑπὸ στρατοπέδων πολιορκουμέ-
νην· ἐρήμωσιν δὲ τῆς Ἱερουσαλὴμ ὀνομάζει, τοῦ ἱεροῦ τὸν ἀφα- C
νισμὸν, καὶ τῶν ἐν αὐτῷ πάλαι πρότερον κατὰ τὸν Μωσέως
νόμον ἐπιτελουμένων τὴν καθαίρεσιν· μὴ γὰρ δὴ τῆς πόλεως
αὐτῆς ἐρημίας νόμιζε δηλοῦσθαι διὰ τουτων, ὡς μηδενὸς ἐν αὐ-
τῇ μηκέτι κατοικήσοντος· ἐπιλέγει δ' οὖν ἑξῆς ὅτι κατοικηθή-
σεται ἡ πόλις, οὐ μὲν ὑπὸ ἰουδαίων ἀλλ' ὑπὸ ἐθνῶν (1)· ἐρήμω- D
σιν δὲ αὐτῆς ἀποκαλεῖ τὸ μηκέτι ὑπὸ τῶν οἰκείων, μηδὲ κατὰ
τὴν νόμιμον λατρείαν συστήσασθαι αὐτήν· ὅπως δὲ καὶ ταῦτα
ἐπληροῦτο, οὐδὲν δεῖ πολλῶν λόγων· πάρεστι γὰρ ὑπ' ὄψεσιν
ὁρᾷν, ἰουδαίους μὲν εἰς πάντα τὰ ἔθνη διεσκεδασμένους, ἀλλο-
φύλους δὲ καὶ ἀλλογενεῖς, οἰκήτορας τῆς πάλαι μὲν Ἱερουσα- E

profert eius temporis, quo ille locus ad omnimodam vastitatem vocandus erat. Nemo quippe, ait, post eam, quae eventura est, obsessionem, et loci vastitatem inde consecuturam, nemo inquam alteram expectet instaurationem; cuiuscemodi Cyri Persarum regis temporibus accidit; tum etiam sub Antiocho illustri, et denique sub Pompeio. Saepe enim bellicas incursiones passa urbs, maiorem postea dignitatem recuperavit. Nunc tamen extremam urbi vastitatem atque internecivum excidium adesse creditote, cum eam ab exercitibus obsessam videritis. Iamvero vastitatem Hierosolymorum dicit ipsum templi exterminium, ac religionum, quae iamdiu ibi ex instituto Mosis peragebantur, abolitionem. Cave enim putes urbis ipsius futuram solitudinem his verbis significari, quasi nemo in ea deinceps habitaturus esset. Dicit enim infra fore ut urbs haud iam abs Iudaeis sed ab ethnicis incoleretur. Solitudinis autem nomine intelligit derelictionem a suis, ac sacrarum rerum legitimo ritu operandarum finem. Quod haec autem ita se habuerint, multis verbis confirmare non interest. Palam quippe videre est Iudaeos passim in omni gente dispersos, extraneos vero atque alienigenas versari in urbe, quae olim Hie-

(1) Cap. eod. v. 24.

A λὴμ, νῦν δὲ ἀπὸ τοῦ πολιορκητοῦ Αἰλίου Ἀδριανοῦ, Αἰλίας
μετωνομασμένης· τὸ γοῦν παράδοξον τοῦ θεσπίσματος τοῦτ'
ἂν εἴη ὅτι περ ἰουδαῖοι μέν φησι αἰχμαλωτισθήσονται εἰς πάν-
τα τὰ ἔθνη· περὶ δὲ τῶν ἐθνῶν, καὶ Ἱερουσαλὴμ ἔσται πατουμέ-
νη ὑπὸ ἐθνῶν· ἐκπληκτικὸν δὲ τὸ ἀποτέλεσμα, εἴ γε ἰουδαῖοι πλη-
B ροῦντες τὴν σύμπασαν ἀνθρώπων οἰκουμένην, ὥστε καὶ μέχρις
αἰθιόπων χωρῆσαι καὶ σκυθῶν, καὶ αὐτῶν τῶν περάτων τῆς γῆς,
ἐν μόνῃ τῇ αὐτῶν πόλει καὶ τῷ πάλαι θρησκευομένῳ παρ' αὐτοῖς
τόπῳ, οὐχ οἷοί τέ εἰσιν ἐπιβαίνειν· καὶ εἰ μὲν ἦν παντελῶς ἔρη-
μος ἡ πόλις καὶ ἀοίκητος, κἂν ὑπενόησέ τις τοῦτο εἶναι τὸ αἴ-
C τιον· νῦν δὲ ὑπὸ ἀλλογενῶν καὶ ἀλλοφύλων ἐθνῶν τοῦ τόπου κα-
τοικουμένου, μόνοις αὐτοῖς ἄβατος τυγχάνει, ὡς μηδ' ἐξ αὐ-
τόπτου δύνασθαι τὸ πατρῷον αὐτῶν ἔδαφος θεωρεῖν· ἃ δὴ τοῦ-
τον ἀποτετέλεσται τὸν τρόπον ἀκολούθως τῷ φήσαντι χρησμῷ·
καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν· καὶ δεικνὺς ὅτι οὔ-
D τε ἀναστήσεται λοιπὸν ὁ ναὸς, οὔτε εἰς τὴν προτέραν ἐπανήξουσιν
ἰουδαῖοι πολιτείαν, προστίθησι ταῖς αὐτοῦ προῤῥήσεσι, χρόνον
ὁρίζων, μέχρι τίνος ἔσται Ἱερουσαλὴμ πατουμένη ὑπὸ ἐθνῶν·
λέγει δ' οὖν· ἄχρι πληρωθῶσι καιροὶ ἐθνῶν· οὕτω σημάνας τὴν
τοῦ βίου συντέλειαν, καὶ τὸν μέχρι συντέλειαν λέγων χρόνον· ση-
E μαίνει δὲ καὶ τὸν πρὸ τῆς αἰχμαλωσίας πόλεμον, εἰπών· ἔσται

rosolyma, nunc a victore Aelio Hadriano Aelia dicta est. Ergo oraculum idcirco fit mirabile, quia Iudaei, inquit, inter omnes populos captivi dispergentur: ad gentes autem quod adtinet; et Hierosolyma, inquit, ethnicorum pede terentur. Terribilis sane eventus! quandoquidem Iudaei, qui universum terrarum orbem occupant, atque inter Aethiopas et Scythas usque ad mundi confinia degunt, ad urbem tantum suam cultumque olim ab se locum accedere nequeunt. Iam si urbs solitaria esset desertaque ab incolis, hanc fortasse praedictae rei causam suspicari liceret: nunc ab extraneis atque ab alienigenis locus habitatur, solis autem Iudaeis inaccessus est; ita ut ne aspicere quidem patrium solum oculis possint. Quae scilicet hunc exitum habuerunt, ut oraculo fieret satis dicenti, et Hierosolyma ethnicorum pede terentur. Atque ut Christus demonstraret, templum deinceps haud instauratum iri, neque Iudaeos pristinam suam rempublicam recuperaturos, ceteris suis praedictionibus addidit temporis definitionem, quamdiu scilicet Hierosolyma ethnicorum pede terenda essent: ait enim, donec tempora gentium compleantur: ita significans saeculi consummationem, nec non temporis usque ad consummationem intervallum. Significat etiam bellum quod captivitatem praecessurum erat: erit, inquit, pressura in terra,

γὰρ ἀνάγκη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ μεγάλη ἐν τῷ λαῷ τούτῳ, A
καὶ πεσοῦνται ἐν στόματι μαχαίρας[1]· ταῦτα δὲ ὅπως κατὰ μέρος ἐπράχθη, καὶ ὡς τὰ προηγορευμένα ὑπὸ τοῦ σωτῆρος ἡμῶν τέλους ἔτυχεν, ἔξεστιν ἀπὸ τῆς ἱστορίας Ἰωσήπου μαθεῖν[2]· ὃς καὶ τῆς φησάσης τοῦ σωτῆρος ἡμῶν προῤῥήσεως, οὐαὶ δὴ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις, τὸ ἀποτέλεσμα σαφῶς πα- B
ρίστησι, μνημονεύσας ὡς γυναῖκες τὰ ἑαυτῶν βρέφη ὀπτήσασαι πυρὶ, διὰ τὴν ὑπερβολὴν τοῦ κατασχόντος λιμοῦ τὴν πόλιν, ἔφαγον· συνέβαινε δὲ ταῦτα πρότερον μὲν κατὰ Τίτον καὶ Οὐεσπασιανὸν· μετὰ δὲ τούτους κατὰ Ἀδριανὸν, τοὺς ῥωμαίων αὐτοκράτορας· ἐξ ἐκείνου δὲ κυκλωθείσης ὑπὸ στρατοπέδων τῆς Ἱερουσαλὴμ, C
καὶ αὐτὸ τὸ ἁγίασμα τὸ ἐν αὐτῇ εἰς τὴν ἐσχάτην περιετράπη ἐρημίαν· καὶ τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου ἔστη ἐν μέσῳ τῷ ἁγιάσματι, τὸ χάλκεον φημὶ ἀπεικόνισμα τοῦ πολιορκητοῦ ἐν αὐτῷ μέσῳ τῷ ἱερῷ ἱδρυμένον. N. D

Εὐσεβίου. Ταῦτα μὲν οὖν ἀπὸ μυρίων τέθεικα διὰ τὴν θείαν

magnaque vindicta in hoc populo, multique gladio cadent. Atque haec singula quemadmodum acciderint, atque ut servatoris nostri oracula sint exitum consecuta, e Iosephi historia cognoscere licet. Idem alterum quoque servatoris vaticinium, nimirum vae lactantibus in diebus illis! eventu perspicue comprobatum tradit: etenim memorat quasdam mulieres, quae parvulos suos igne tostos in summa urbis fame devoraverunt. Haec primo acciderunt sub Tito et Vespasiano, iterum sub Hadriano, Romanorum imperatoribus. Exinde enim circumdata est armis urbs, atque huius sanctuarium ad summam solitudinem redactum fuit: illa denique desolationis abominatio, quam Daniel praedixerat, medio in sanctuario statuta est, aeneum dico victoris simulacrum quod in medio templo dedicatum est.

Haec igitur e plurimis adnotanda curavi propter divinum servatoris no-

(1) Eandem narrationem Eusebii contractiorem legebam in alio codice vaticano sic. Εὐσεβίου. Ταῦτα ἐξέβη ἐπὶ Αἰλίου Ἀδριανοῦ, ὃς καὶ τοὺς οἰκήτορας ἤμειψεν, ἀντὶ ἰουδαίων συναγαγὼν ἀπὸ παντοίων ἐθνῶν, καὶ τὸ τῆς πόλεως ὄνομα μεταβαλὼν ἐπώνυμον ἑαυτοῦ πεποίηκε, καὶ ἄβατον αὐτὴν ἰουδαίοις νόμῳ εἰργάσατο· ὥστε καὶ ἐξ ἐκείνου εἰς δεῦρο ἀλλογενῶν ἐθνῶν εἶναι αὐτὴν οἰκητήριον, καὶ πᾶσι μὲν τοῖς ἐξ ἁπάσης οἰκουμένης ἐπιδημοῦσι βαρβάροις τε καὶ ἕλλησιν εἶναι αὐτὴν βατὴν· μόνοις δὲ ἰουδαίοις ἄβατον, ἀκολούθως τοῖς τοῦ σωτῆρος θεσπίσμασιν· ἐν οἷς καὶ θαυμασίᾳ προγνώσει ταῦτα αὐτὰ προεφήτευσεν εἰπών· ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ τῷ λαῷ τούτῳ· καὶ πεσοῦνται ἐν στόματι μαχαίρας, καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη· καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν· εἶτα ὅρον τιθεὶς τῆς τῶν ἐθνῶν αὐτόθι κατοικήσεως, ἄχρι φησὶ πληρωθῶσι etc. ut infra.

(2) Bell. iud. VII, 8.

A τοῦ σωτῆρος ἡμῶν πρόῤῥησιν τὴν φήσασαν, οὐαὶ δὲ ταῖς θηλαζού-
σαις ἐν ἐκείναις ταῖς ἡμέραις· ἐπεὶ δὲ καὶ τοῦτο ταῖς προῤῥήσε-
σι τοῦ σωτῆρος πρόσκειται, τὸ, ἔσται ἀναγκη μεγάλη ἐπὶ τῆς
γῆς καὶ ὀργὴ τῷ λαῷ τούτῳ, ἢ κατὰ τὸν Ματθαῖον [1] θλίψις οἵα
οὐδέποτε γέγονεν, ἐπακοῦσαι καλὸν τοῦ ἱστορικοῦ τούτων αὐτῶν
B τὰ ἀποτελέσματα, ὧδέ πη ἱστοροῦντος [2]· " καθέκαστον μὲν οὖν
" ἐπεξιέναι τὴν παρανομίαν αὐτῶν, ἀδύνατον· συνελόντα δ' εἰπεῖν,
" μήτε πόλιν ἄλλην τοιαῦτα πεπονθέναι, μήτε γενεὰν ἐξ αἰῶ-
" νος γεγονέναι κακίας γονιμωτέραν· τὴν μὲν πόλιν ἀνέτρεψαν
" αὐτοὶ, ῥωμαίους δὲ ἄκοντας ἠνάγκασαν ἐπιγραφῆναι σκυθρω-
C " πῷ κατορθώματι· καὶ μόνον οὐχ εἵλκυσαν βραδῦνον ἐπὶ τὸν ναὸν
" τὸ πῦρ· ἀμέλει καιόμενον ἐκ τῆς ἄνω πόλεως ἀφορῶντες, οὔ-
" τε ἤλγησαν οὔτε ἐδάκρυσαν "· ταῦτα διὰ τὸ, ἔσται γὰρ θλί-
ψις μεγάλη· ὃ δὴ καὶ προῤῥηθὲν ὑπὸ τοῦ σωτῆρος, μεμαρτύρηται
ὑπὸ τοῦ συγγραφέως μεθ' ὅλα ἔτη τεσσαράκοντα, κατὰ τὴν Οὐ-
D εσπασιανοῦ ῥωμαίων αὐτοκρατορίαν πληρωθέν· εἶτα μεθίστησι
τοὺς λόγους ὁ κύριος ἐπὶ τὸν τῆς συντελείας καιρόν, καὶ φησί,
καὶ ἔσται σημεῖα ἐν ἡλίῳ κ. τ. λ. N.

Ἄχρι φησὶ πληρωθῶσι καιροὶ ἐθνῶν· νοήσεις δὲ τὸν λό- 24
γον ἐκ τοῦ, οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν ἀμοῤ-

stri vaticinium dicentis, vae lactantibus in diebus illis! Sed quoniam ad servatoris praedictiones haec quoque accedit: erit pressura magna in terra, vindictaque populo huic; vel secundum Matthaeum, tribulatio cuiusmodi antea numquam fuit; operae pretium est audire historicum qui casus illos sic fere narrat: " et singillatim quidem crimina civium recenseri nequeunt; summatim vero dicam, neque ullam urbem paria mala passam, neque item generationem ullam ab orbe condito scelerum fecundiorem extitisse. Et quidem urbem Iudaei ipsi pessum dederunt, Romanosque invitos diram victoriam patrare coegerunt: atque ignem propemodum morantem ad templum pertraxerunt. Certe id dum e superiore urbe inflammatum cernerent, neque doluerunt neque lacrymis dignati sunt ". Atque haec acciderunt propter illa verba, erit tribulatio magna: id quod a servatore praedictum, post annum denique quadragesimum, Vespasiano romanum imperium tenente, teste historico reapse confectum est. Exin orationem convertit servator ad tempora consummationis, aitque, erunt signa in sole etc.

Donec gentium tempora compleantur. Locutionem hanc ex illa intelliges, nondum completa sunt Amorrhaeorum peccata. Sicuti enim tunc ex-

(1) Cap. xxiv. 21. (2) Bell. iud. vi. 11.

ῥαίων· ὡς γὰρ ἐκεῖ πληρουμένων τῶν ἁμαρτιῶν μετήρχετο αὐ- A
τοὺς ἡ τοῦ θεοῦ ὀργή, οὕτω καὶ ἐπὶ τῶν ἀπίστων πληρουμένων
τῶν ἁμαρτιῶν κατὰ τὸν τῆς ἀποστασίας καιρὸν πάντας τοὺς ἐπὶ
γῆς μετελεύσεται· ἑξῆς οὖν ἐπιλέγει.

25. Καὶ ἔσται σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις. Τοῦ αὐ-
τοῦ. Τὴν συντέλειαν τοῦ αἰῶνος ἐπισυνάπτων, ὡς ἂν τῆς ὡρισ- B
μένης τοῖς ἔθνεσι προθεσμίας πληρωθείσης· ποῖα δὲ σημεῖα
ἔσονται ὁ Ματθαῖος εἶπεν· ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελή-
νη οὐ δώσει τὸ φέγγος αὐτῆς· καὶ οἱ ἀστέρες πεσοῦνται ἐκ τοῦ
οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται· καὶ τότε
φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου· χρῆν γὰρ μέλ- C
λοντος τοῦ μεγάλου φωτὸς, αὐτοῦ δὴ τοῦ θεοῦ λόγου μετὰ δυ-
νάμεως καὶ δόξης πολλῆς τὴν δευτέραν αὐτοῦ ποιεῖσθαι παρου-
σίαν, ὑποστέλλεσθαι καὶ ὑπαναχωρεῖν τὸν ἥλιον καὶ τὴν σελήνην
καὶ τοὺς ἀστέρας· ἵνα ἀντὶ πάντων αὐτὸς ὁ υἱὸς τοῦ ἀνθρώπου
καταλάμψας φωτίσῃ τὸν νέον αἰῶνα τοῦ προτέρου σχήματος D
παρελθόντος κατὰ τὸ [1], παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τού-
του· ἐπειδὰν οὖν παρέλθῃ τὸ σχῆμα τοῦτο, συμπαρελεύσεται
αὐτῷ καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες, καὶ τῶν οὐρανῶν δὲ
αἱ ἀόρατοι δυνάμεις σαλευθήσονται· αἱ δὴ ἀπ' ἀρχῆς τῆς κοσ-
μουποιίας καὶ μέχρι τῆς συντελείας ἀκινήτως καὶ ἀσαλεύτως E

pletis criminibus, invasit Ammorrhaeos ira Dei; ita cumulatis circa apostasiae tempus infidelium sceleribus, cuncti simul in orbe poenis occupabuntur. Pergit igitur dicere.

Et erunt signa in sole ac luna et stellis. Saeculi consummationem cum praedictis copulat, tamquam si tempus ethnicis praestitutum iam foret completum. Porro quaenam signa eventura sint, dicit Matthaeus: sol obscurabitur, et luna non reddet splendorem suum. Stellae caelo decident, et virtutes caelorum commovebuntur: tunc vero filii hominis signum apparebit. Decet enim, sub adventu magni luminis ipsius nempe Dei verbi cum virtute multaque gloria secundo venientis, subducere se ac refugere solem lunamque et stellas; ut instar omnium filius hominis fulgens novum saeculum illuminet, priore figura iam deposita; secundum illud, praeterit enim huius mundi figura. Quum itaque figura haec praeterierit, sol quoque et luna et stellae cum ea praeteribunt, caelorumque invisibiles potestates commovebuntur. Hae quippe quum ab orbe condito ad usque consummationem immobiliter ac firmiter partibus universi praefuerint, ceu suo iam munere expleto, tum

(1) I. Cor. VII. 31.

A ἐπεστάτουν τοῖς μέρεσι τοῦ παντός· ὡς ἂν οὖν τὴν ἑαυτῶν πλη-
ρώσασαι λειτουργίαν τότε σαλευθήσονται, μεταβολῆς τῆς ἐπὶ
τὸ κρεῖττον καὶ αὐταῖς μενομένης· ἀλλὰ καὶ ὁ ἥλιος σκοτισθή-
σεται οὐ στερούμενος τοῦ οἰκείου φωτὸς ἀλλὰ παραθέσει τοῦ κρείτ-
τονος ἀμαυρούμενος· ἀμοιβῆς γοῦν τῶν αὐτοῦ καμάτων καὶ αὐ-
B τὸς τεύξεται, ἑπταπλασίων γενησόμενος· ἥ τε σελήνη καὶ αὐτὴ
ἔσται ὡς ὁ ἥλιος, καὶ οἱ ἀστέρες τῆς ὁμοίας τεύξονται καὶ αὐτοὶ
ἐπὶ τὸ κρεῖττον μεταβολῆς· διό φησιν ὁ ἀπόστολος [1]· ἡ γὰρ ἀπο-
καραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν τέκνων τοῦ θεοῦ ἀπεκ-
δέχεται· καὶ πάλιν, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται
C ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν
τέκνων τοῦ θεοῦ· δηλοῖ δὲ ταῦτα συνᾴδουσα τοῖς προκειμένοις καὶ
ἡ τοῦ Ἡσαΐου προφητεία [2], ἐν ᾗ γέγραπται· καὶ ἔσται ὁ ἥλιος ἑπτα-
πλασίων, καὶ ἡ σελήνη ὡς ὁ ἥλιος· καὶ πάλιν, οὐκ ἔσται σοι
ὁ ἥλιος εἰς φῶς ἡμέρας, οὐδὲ ἀνατολὴ σελήνης φωτιεῖ σοι τὴν
D νύκτα· ἀλλ᾽ ἔσται σοι κύριος φῶς αἰώνιον, καὶ ὁ θεὸς δόξα σου·
οὕτως οὖν σκοτισθήσεται ὁ ἥλιος, οὐ τοῦ οἰκείου φωτὸς ἀποσβε-
σθεὶς ἀλλ᾽ αὐτὸς μὲν κρείττων ἑαυτοῦ γενόμενος, ὡς τοῦ πρώτου
φωτὸς ἑπταπλασίων ὑπάρξαι· παραθέσει γε μὴν τοῦ μονογενοῦς
υἱοῦ τοῦ θεοῦ τοῦ τὸν νέον αἰῶνα τότε καταλάμψαντος, καὶ νέαν
E καὶ καινὴν καὶ μίαν ἡμέραν διαρκῆ καὶ ἄπειρον ἀπεργασαμένου, ἣν

denique commovebuntur; atque ad conditionem meliorem ipsae quoque transibunt. Sol autem obscurabitur, non quia suum lumen amittet, sed quia potioris adiunctione vetus oblitterabitur. Igitur ipse quoque laborum suorum mutationem consequetur; septuplus enim fiet. Luna item solis vicem imitabitur, nec non stellae cum pari fructu immutabuntur. Quare ait apostolus: nam expectatio creaturae revelationem filiorum Dei expectat. Rursusque: quia ipsa creatura vindicabitur e servitute corruptionis in libertatem gloriae filiorum Dei. Profecto haec demonstrantur Isaiae vaticinio praedictis consono, in quo scribitur: eritque sol septuplus, lunaque solis instar. Rursusque: non erit tibi sol ad diei lucem, neque lunae ortus tibi noctem illuminabit: sed erit tibi Dominus lex aeterna, et Deus gloria tua. Ergo sol non ita obscurabitur, ut lumen eius extinguatur; verum ipse se potior evadet, lumenque septulo maius acquiret. Adiectione nimirum unigeniti filii Dei, qui tunc novum saeculum illustrabit, recentemque ac novam unamque diem, et quidem perpetuam infinitamque creabit, cui nulla nox succedet, haud iam sol

(1) Rom. VIII. 19. 21. (2) Is. XXX. 26. LX. 19.

οὐκέτι διαδέξεται νὺξ, μηκέτι φανησόμενος, ἅτε τῆς αἴγλης τοῦ A
κρείττονος φωτὸς μαρμαρυγῶν καλυπτούσης αὐτόν· ὡς νῦν αὐ-
τοῦ ἀνατέλλοντος ἀμαυροῦται τὸ τῶν ἀστέρων φέγγος, οὐ πάν-
τη σβεννύμενον, νικώμενον δὲ ὑπὸ τῆς κρείττονος αἴγλης· ἀργή-
σει οὖν τότε ϗ ὁ ἥλιος ϗ ἡ σελήνη, ϗ εἰς ἑτέραν τότε μετα-
βήσονται χώραν· ἀλλ᾽ οὐδὲ ἀστέρων τὶς ἔσται τότε χρεία, νυκ- B
τὸς μὴ οὔσης· ἀναπαύσονται δὲ ϗ αὐτοὶ ἐλευθερωθέντες σὺν αὐ-
τῷ τῷ οὐρανῷ καὶ ταῖς λοιπαῖς δυνάμεσι ταῖς νῦν τὰ μέρη τῆς
ὁρωμένης κτίσεως διακυβερνώσαις· οὕτω τε ὁ νέος αἰὼν ἀνήλιος
ἔσται ϗ ἀσέληνος ϗ ἄναστρος, ἡμέρας τοῦ ἡμετέρου [1] φωτὸς τὰς
ἁγίας καὶ μακαρίας ψυχὰς καταυγαζούσης· ἐπεὶ δὲ παρὰ τῷ C
Ματθαίῳ [2] φησὶν ὁ σωτὴρ, εὐθέως δὲ μετὰ τὴν θλίψιν τῶν ἡμε-
ρῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται· ϗ τὰ ἑξῆς· ὁ Λουκᾶς καὶ
τὸν τῆς θλίψεως τρόπον φησίν· εἰπὼν γὰρ ἔσονται σημεῖα ἐν ἡλίῳ
ϗ σελήνῃ ϗ ἄστροις, ἐπάγει·

Καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν, ἐν ἀπορίᾳ ἠχούσης θαλάσ- D
σης ϗ σάλου ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου ϗ προσδοκίας
τῶν ἐπερχομένων τῇ οἰκουμένῃ. Τοῦ αὐτοῦ. Πόθεν οὖν φησὶν ἡ συνο-
χὴ ἐν ἀπορίᾳ ἤχου θαλάσσης ϗ σάλου ἀποψυχόντων ἀνθρώπων;
κἀμοὶ δοκεῖ τῆς τότε γενησομένης τροπῆς τοῦ παντὸς τὴν ἀρχὴν
ἔσεσθαι διδάσκειν ἀπὸ ἐκλείψεως τῆς ὑγρᾶς οὐσίας· ταύτης γὰρ E

conspiciendum se dabit, quia splendore radiorum potioris lucis occultabitur; sicuti nunc ipso exoriente stellarum lux obtunditur, haud equidem extincta, sed maiore fulgore victa. Frustra igitur tunc erunt sol ac luna, atque ad aliam conditionem transferentur: nullusque stellarum usus erit, nocte sublata: nam et hae interquiescent, ministerii sui vacatione donatae, cum ipso caelo reliquisque potestatibus, quae nunc partibus aspectabilis mundi praesunt. Sic ergo novum saeculum sole luna stellisque carebit, quia dies dominici luminis sanctas beatasque animas collustrabit. Quoniam vero apud Matthaeum dixerat servator, fore ut statim post dierum illorum tribulationem sol obscuretur; et reliqua; Lucas tribulationis quoque rationem significat. Postea quam enim ait, erunt signa in sole et luna ac stellis, addit:

Et in terra pressura gentium, deficiente maris sonitu et aestu, atque hominibus exanimatis timore et expectatione eorum quae orbi supervenient. Quare igitur dicit pressuram illam, nec non hominum, marino motu aestuque cessante, consternationem? Videtur mihi Christus docere, fore ut initium eventurae tunc conversionis ab humidae substantiae defectu fiat.

(1) Videtur scribendum σωτῆρος. (2) XXIIII. 29.

A πρώτης ἀναποθείσης ἢ ἀποπαγείσης, ὡς μηκέτι ἦχον θαλάσσης ἀκούεσθαι, μηδὲ τὸν τῶν κυμάτων σάλον γίνεσθαι δι' αὐχμὸν ὑπερβάλλοντα, τὰ λοιπὰ μέρη τοῦ κόσμου μηκέτι τῆς συνήθους ἀπολαύοντα ἀναθυμιάσεως ἐκ τῆς ὑγρᾶς οὐσίας ἀναπεμπομένης, τροπὴν καὶ μεταβολὴν ὑποστήσεται, ὡς ἐκ τούτου σημεῖα γίνεσθαι
B ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις.

Αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Εὐσεβίου. 26.
Τίνα δὲ τὰ ἐπερχόμενα, ἑρμηνεύει συνάπτων· αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται· τοῦ γὰρ υἱοῦ τοῦ θεοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς ἐπιστησομένου, καὶ τὴν ἄθεον καὶ μεγά-
C λαυχον τυραννίδα τοῦ υἱοῦ τῆς ἀπωλείας καταργεῖν μέλλοντος τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ, ἀναλίσκειν τε τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, τῶν τε ἐπουρανίων πνευμάτων καὶ τῶν θείων καὶ ἀγγελικῶν λειτουργῶν τοῦ θεοῦ τὸν υἱὸν τοῦ θεοῦ δορυφορούντων καὶ σὺν αὐτῷ παρεσομένων, αἱ δυνάμεις τῶν οὐρανῶν σα-
D λευθήσονται· ὡς τότε πληροῦσθαι τὸ [1], ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης· ποῦ δὲ εἰσελεύσεται; ἢ εἰς τὸν νέον αἰῶνα καὶ τὴν καινὴν οἰκουμένην· καὶ δὴ τῶν δυνάμεων τῶν ἀφανῶν καὶ ἀσωμάτων, δι' ὧν ὁ σύμπας οὐρανὸς διοικεῖται, τῆς ἐξ αἰῶνος στάσεως παρακινηθεισῶν, καὶ αὐτὸς ὁ
E σύμπας οὐρανὸς ἥλιός τε καὶ σελήνη καὶ ἀστέρες παρελεύσονται,

Hac enim apprime absorpta aut concreta, ita ut maris iam nullus audiatur sonitus neque fluctuum motus fiat, nimia siccitate reliquae orbis partes, consueta humidorum vaporatione carentes, conversionem mutationemque patientur. Atque hinc signa in sole, luna, stellisque existent.

Virtutes enim caelorum commovebuntur. Nempe res eventuras ipse explicat dum mox addit. virtutes enim caelorum commovebuntur. Nam cum Dei filius cum virtute gloriaque ingenti veniet, atque ex impia superbaque tyrannide perditionis filium deiiciet praesentia sua, cumque spiritu oris sui perimet; tunc caelestibus spiritibus supremisque et angelicis Dei ministris filium Dei stipantibus cum eoque adventantibus, tunc inquam accidet ut caelorum virtutes commoveantur. Tunc illud etiam veridicum evadet: attollite portas principes vestras, et introibit rex gloriae. Quonam vero introibit, nisi in recens saeculum novumque orbem? Sane invisibilibus incorporeisque virtutibus, quae toti caelo moderantur, e sua aeterna statione commotis, ipsum caelum universum et sol ac luna stellaeque transibunt, patefacto caelo, por-

(1) Ps. XXIII. 7.

ἀνοιγομένου τοῦ οὐρανοῦ καὶ τῶν ἐξ αἰῶνος κεκλισμένων αὐτοῦ πυ- A
λῶν ἀναπεταννυμένων, ὡς ἂν ὀφθείεν τὰ ὑπουράνια, καὶ ἡ ἐξ
αἰῶνος τοῦ θεοῦ βασιλεία φανηθείη τοῖς πᾶσιν, ἣν δὲ καὶ προσεύ-
χεσθαι ἢ τάχος ἐπιστῆναι, αὐτὸς ὁ σωτὴρ ἐδίδαξε λέγειν ἐν τῇ
προσευχῇ παρακελευόμενος· ἐλθέτω ἡ βασιλεία σου· γενηθέτω
τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· οὕτω τε τῶν φθαρ- B
τῶν καὶ σωματικῶν παρελθόντων, τὰ νοητὰ καὶ οὐράνια ἐπιστήσε-
ται· ὅτε καὶ ἡ ἀσάλευτος βασιλεία τοῦ μηκέτι παρελευσομένου
αἰῶνος καθηγήσεται, καινός τε καὶ νέος οὐρανὸς, γῆ τε καινὴ συστή-
σεται κατὰ τὸν φήσαντα προφήτην (1)· ἔσται οὐρανὸς καινὸς καὶ ἡ γῆ
καινὴ, ἃ ἐγὼ ποιῶ μένειν ἐνώπιόν μου λέγει κύριος. C

21. Ἀρχομένων δὲ τούτων γίνεσθαι ἀνακύψατε καὶ ἐπάρατε
τὰς κεφαλὰς ὑμῶν. Εὐσεβίου. Τοῦτό φησι πρὸς τοὺς μα-
θητὰς, οὐχ ὡς μέλλοντας αὐτοὺς ζήσεσθαι καὶ παραμένειν
τῷ βίῳ μέχρι τῆς συντελείας, ἀλλ᾽ ὡς ἑνὸς ὄντος σώματος
αὐτῶν τε καὶ ἡμῶν τῶν τε μετὰ ταῦτα μέχρι συντελείας εἰς D
αὐτὸν πεπιστευκότων, καὶ δι᾽ αὐτὸν κατὰ τὸν παρόντα βίον τα-
πεινουμένων· τότε γοῦν ἀπολαβόντες τὰς ἐπαγγελίας ἐφ᾽ ἃς
ἠλπίζομεν, ἀνακύψομεν οἱ τέως συγκεκυφότες, καὶ ἐπαροῦ-
μεν τὰς κεφαλὰς οἱ πάλαι τεταπεινωμένοι· ἡ γὰρ ἀπολύτρω-
σις ἡμῶν ἡ προσδοκωμένη αὐτὴ ἐκείνη ἔσται, ἣν καὶ ἡ πᾶσα κτί- E

tisque quae ab orbe condito clausae fuerant, iam reseratis: atque ita supercaelestia patebunt, aeternumque Dei regnum conspicuum cunctis erit: quod sane regnum ut cito adsit, votis esse flagitandum servator docuit, dum in prece illa dicere iussit: adveniat regnum tuum; fiat voluntas tua, sicut in caelo et in terra. Atque ita, corruptibilibus corporeisque rebus praeteritis, intellectualia et caelestia succedent. Tunc etiam inconcussum regnum praeibit saeculo numquam transituro; novumque ac recens caelum, terraque nova existet; sicut ait propheta, caelum erit novum, novaque terra; atque haec ego coram me permanere mandabo dicit Dominus.

His autem fieri incipientibus, respicite et levate capita vestra. Haec ait discipulis, non quod ipsis esset usque ad saeculi consummationem vita superfutura, sed quia iidem nobiscum unum corpus constituunt, nec non quotquot usque ad consummationem Christo crediturі sunt, atque eius causa praesentem vitam in humilitate traducturi. Tunc igitur, re quam speramus impetrata, tollemus oculos qui hactenus humi defixi erant, caputque erigemus qui olim depressi fuimus. Haec est enim, quam expectamus, redemptio; quam

(1) Is. LXVI. 22.

A σις προσδοκᾷ κατὰ τὴν ἀποστολικὴν διδασκαλίαν, ἥ φησιν· ἡ γὰρ
ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν τέκνων τοῦ Θεοῦ
ἀπεκδέχεται, διὰ τὸν μέλλοντα δὴ καὶ αὐτῆς γίνεσθαι ἐπὶ τὸ
κρεῖττον μετασχηματισμόν· διὸ φησὶ, καὶ αὐτὴ ἡ κτίσις ἐλευ-
θερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς
B δόξης τῶν τέκνων τοῦ Θεοῦ· ἀφθάρτων γὰρ ἁπάντων καὶ ἀθανά-
των ἁγίων τε καὶ μακαρίων τῶν τέκνων τοῦ Θεοῦ τὸν νέον οἰκη-
σόντων αἰῶνα, χρῆν δήπου καὶ τὴν κτίσιν αὐτὴν τὴν νῦν τῇ φθαρ-
τῇ φύσει δουλεύουσαν εἰς ἄφθαρτον τὴν οὐσίαν μεταβαλεῖν τῆς
παρούσης καταστάσεως ἐλευθερωθεῖσαν· εἶτα ἐπάγει · · οὐ μόνον
C δὲ ἀλλὰ καὶ αὐτοὶ οἱ τὴν ἀπαρχὴν ἔχοντες τοῦ πνεύματος ἡμεῖς
αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν ἀπεκδεχόμενοι τὴν ἀπολύτρωσιν τοῦ
σώματος ἡμῶν· τῇ γὰρ ἐλπίδι ἐσώθημεν· ἐλπὶς δὲ βλεπομένη
οὐκ ἔστιν ἐλπίς· εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι᾽ ὑπομονῆς
ἀπεκδεχόμεθα· ὁρᾷς ὅπως ταῖς σωτηρίοις φωναῖς δουλεύων στε-
D νάζειν ὁ ἀπόστολος ὁμολογεῖ, ἀπεκδεχόμενος τὴν ἀπολύτρωσιν,
περὶ ἧς καὶ ὁ κύριος ἔλεγεν· ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφα-
λὰς ὑμῶν, ὅτι ἤγγικεν ἡ ἀπολύτρωσις ὑμῶν· βασιλείαν Θεοῦ
τὴν ἑαυτοῦ παρουσίαν ὀνομάζει, καὶ ἀπολύτρωσιν αὐτῶν· διό-
τι καὶ ὡς βασιλεὺς παραγίνεται καὶ σώζει αὐτούς.

reliqua etiam creatura omnis praestolatur, uti docet apostolus: expectatio enim creaturae revelationem filiorum Dei expectat, propter futuram scilicet ipsius quoque in melius transformationem. Idcirco ait: et ipsa creatura vindicabitur e servitute corruptionis in libertatem gloriae filiorum Dei. Nam cum omnes incorruptibiles atque immortales sanctique et beati filii Dei novum saeculum incolent, tunc opus erit ipsam quoque mundi fabricam, quae nunc corruptibili naturae obnoxia est, in immortalem converti substantiam, atque a praesenti conditione expediri. Deinde addit: non solum autem illa, sed nos quoque primitias spiritus habentes, et ipsi intra nos gemimus, redemptionem corporis nostri expectantes. Spe enim salvi facti sumus: spes autem quae cernitur non est spes. Si vero quod non videmus, speramus, per patientiam expectamus. Viden ut servatoris vocibus obsequens, gemere se apostolus confiteatur? dum redemptionem expectat, de qua Dominus dixit: respicite et levate capita vestra, quoniam appropinquat vestra redemptio. Regnum Dei adventum suum appellat atque illorum redemptionem: quandoquidem regis instar venit, illosque saluti restituit.

(1) Rom. VIII. 23.

29. Καὶ εἶπε παραβολὴν αὐτοῖς· εἴδητε τὴν σύκην κ. τ. λ.· οὕ- A
τω καὶ ὑμεῖς οταν ἴδητε ταῦτα γινομενα κ. τ. λ. Εὐσεβίου.
Ποῖα ταῦτα τὰ γινομενα; Ἱερουσαλὴμ πατουμένην ὑπὸ ἐθνῶν, τὴν συμπλήρωσιν τῶν καιρῶν τῶν ἐθνῶν, τοὺς τῆς ἀποστασιας χρόνους, τὰ ἐν τοῖς φωστῆρσι καὶ τοῖς ἄστροις σημεῖα, τὴν ἐπὶ γῆς συνοχὴν τῶν ἐθνῶν, τὴν ἔκλειψιν καὶ ἀπορίαν αὐτοῦ ἤχου καὶ B
τοῦ σάλου τῆς θαλάσσης· ταῦτα φησὶν ἅπαντα ὅταν ἴδητε γινόμενα, γινώσκετε ὅτι ἐπὶ θυραις ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ· αὕτη δὲ ἡ βασιλεία καὶ τὰ ἐν αὐτῇ, οὐκέτι λόγῳ παραδοτέα, οὐδὲ θνητῶν ἀκοαῖς λεκτέα· διόπερ ἀποσιωπητέον ταῦτα· ὀφθαλμὸς γὰρ οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέ- C
βη ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν (1)· πλὴν ὥσπερ κατὰ τὸν ἐνεστῶτα βίον, ἥλιος μετὰ χειμερίους τροπὰς ἔαρος ἐνισταμένου θερμὴν ἀκτίνα βάλλων τὰ ὑπὸ γῆν κρυπτόμενα ζωοποιεῖ σπερματα τοῦ προτέρου μεταβαλόντα σχήματος, νεαρὰ δὲ φύει καὶ τεθηλεν, ὡραίαν καὶ πολυανθῆ τὴν τῶν ἄρτι φυέντων βλά- D
στην παρεχόμενα, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ ἔνδοξος τοῦ μονογενοῦς ἄφιξις φωτὸς ζωογόνοις ἀκτῖσι τὸν νέον αἰῶνα καταυγάσασα, τὰ ἀποκρυφθέντα πάλαι κατὰ τὸν ἔμπροσθεν αἰῶνα καὶ ἐν τῷ παντὶ κόσμῳ διασκεδασθέντα σπέρματα, τουτέστι τοὺς ἐν γῆς χώματι κεκοιμημένους κρείττοσι σώμασιν ἢ κατὰ τὰ πρότε- E

Dixitque eis parabolam. Videte ficulneam etc. Ita et vos cum videritis haec fieri etc. Quaenam vero facta intelligit? Hierosolyma ab ethnicis conculcata, tempora gentium completa, apostasiae aetatem, in sole stellisque signa, in orbe pressuram gentium, defectum quietemque sonitus fluctusque marini. Haec, inquit, omnia cum fieri videritis, tum demum adesse in foribus regnum Dei scitote. Id autem regnum, eiusque bona, haud iam sermone tradi queunt, neque ad mortalium aures praedicari. Quamobrem de his reticendum est. Neque enim oculus vidit, neque auris audivit, neque in cor hominis ascendit quae praeparavit Deus diligentibus eum. Verumtamen sicuti in praesenti rerum statu sol post hibernas conversiones, vere instante, calidioribus radiis emissis, latentia sub solo semina vivificat, quae priore figura posita, novella enascuntur ac pullulant, pulcrumque et floridum recentis naturae germen ostendunt; ita gloriosus unigeniti adventus vivifici luminis radiis novum saeculum illustrans, occulta olim priore in saeculo atque orbe universo dispersa semina, id est homines in terrae sepulcris conditos, me-

(1) I. Cor. II. 9.

A ρα, θειότερόν τε μετασχηματισμένοις, εἰς φῶς προέξει· καὶ τοῦ
θανάτου καταργηθέντος, αὐτὴ λοιπὸν ἡ ζωὴ βασιλεύσει τοῦ
νέου αἰῶνος. N.

Οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη. Εὐσεβίου. Ποία γενεά; 32.
ἀλλ' ἢ (a) καινὴ καὶ νέα, ἣν αὐτὸς συνεστήσατο· περὶ ἧς ἐν προ-
B φητείαις εἴρητο [1]· γραφέτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ
κτιζόμενος αἰνέσει τὸν κύριον· καὶ πάλιν [2]· ἀναγγελήσεται τῷ
κυρίῳ γενεὰ ἐρχομένη· διόπερ δεικτικῶς εἰς τοὺς ἀποστόλους αὐτοῦ
καὶ τὴν ἐξ αὐτῶν καὶ δι' αὐτῶν καθόλης τῆς οἰκουμένης συστη-
σαμένην καινὴν γενεὰν τῆς ἁγίας ἐκκλησίας αὐτοῦ ἀφορῶν ἔλε-
C γεν· οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα γένηται· δια-
μενεῖν γάρ φησι καὶ διαρκέσειν τὸν λαὸν αὐτοῦ καὶ τὴν ἐκκλησίαν
εἰς ἐκεῖνο καιροῦ εἰς ὅ τε αὐτοπτήσειε πάντα, καὶ τὰς ἐκβάσεις
τῶν τοῦ σωτῆρος προῤῥήσεων ὀφθαλμοῖς παραλάβοι. N.

Ἕως ἅπαντα γένηται. Ὅσα προεῖπε δηλαδὴ περί τε τῆς
D ἁλώσεως τῶν Ἱεροσολύμων καὶ περὶ τῶν ἐγγὺς τῆς δευτέρας
αὐτοῦ παρουσίας ἄχρις αὐτῆς· πῶς οὖν εἶπε ὅτι ἡ γενεὰ αὕτη;
γενεὰν ἐκάλεσε τὴν θρησκείαν τῶν πιστευσάντων αὐτῷ· ἵνα μὴ
ὑπολάβωσιν ὅτι τὰ ῥηθέντα δεινὰ πρόῤῥιζον ἐξαφανίσουσι τὸ

lioribus quam antea corporibus formaque augustiore donatos, in lucem emittet: pulsaque morte, ipsa deinceps vita novi saeculi imperium tenebit.

Non praeteribit generatio haec. Quaenam est haec generatio, nisi nova illa recensque ab eo constituta? de qua in oraculis dictum est: scribatur haec in generatione altera; et populus qui creatur laudabit Dominum. Rursusque: nunciabitur Domino generatio ventura. Itaque evidenter ad suos apostolos atque ad institutam ex ipsis et per ipsos in orbe universo novam sanctae ecclesiae generationem Christus respiciens aiebat, non praeteribit generatio haec donec omnia fiant. Mansurum quippe ac duraturum populum suum ecclesiamque eatenus dicit, quoad ipsa superstes adhuc omnia inspiciet, ac praedictionum dominicarum eventum oculis contempletur.

Donec omnia fiant. Intelligit ea quae de capiendis Hierosolymis praedixerat, et de rebus quae circa secundum adventum eius accident. Cur vero ait *generatio haec*? Generationis nomine dixit religionem hominum ei credentium; nequis forte arbitraretur fore ut supra dictae clades praedicationem

(a) Ita cod.; fortasse pro ἢ ἡ; quam brevitatem (sequente tamen vocali) in deliciis fuisse Eusebio diximus p. 12.

(1) Ps. ci. 19. (2) Ps. xxi. 32.

κήρυγμα · καὶ τοὺς πιστοὺς πληροφορεῖ τούτους ὅτι οὐ μὴ ἀφα- A
νισθῇ ἡ γενεὰ τῶν πιστῶν, ἕως τῆς δευτέρας παρουσίας, ἀλλὰ διαμενεῖ μηδενὶ διακοπτομένη.

33. Οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται. Τοῦτο καὶ τὴν τῶν στοιχείων συντέλειαν ἤδη προμηνύει ἐν τῷ λέγειν, ὅτι ἀδύνατον τοὺς λόγους μου παρελθεῖν, καίτοι τῶν στοιχείων παρερχομένων. B

34. Προσέχετε δὲ ἑαυτοῖς, μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ. Εὐσεβίου. Διεγείρει τοὺς μαθητὰς ἐπὶ τὸ πάντοτε ἑτοίμους εἶναι παρασκευαζομένους εἰς τὴν αὐτοῦ παρουσίαν, ἐφ' ἣν αὐτὸς ἡμᾶς παρορμῶν τοὺς πάντας τῆς διδασκαλίας ἐποιεῖτο λόγους· νήφειν τε καὶ ἐγρηγορέναι παρακελεύεται καὶ ἀγρυπνεῖν C
διὰ πάσης τῆς τοῦ θνητοῦ βίου νυκτὸς, διὰ τὸ μηδενὶ γνώριμον τὸν καιρὸν τῆς συντελείας ὑπάρχειν. N.

Ἀλλ' ὑμῖν γε φησὶ φυλακτέον τὸ ἐντεῦθεν βάρος, ἵνα δυνήσησθε νήφειν, μήποτε ἐπιστῇ αἰφνίδιος ἐφ' ἡμᾶς ἡ ἡμέρα ἐκείνη · περὶ ἧς καὶ ὁ ἱερὸς ἀπόστολος παρῄνει γράφων (1) · ἀδελφοὶ, D
οἴδατε ἀκριβῶς ὅτι ἡ ἡμέρα κυρίου ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται· ὅταν δὲ εἴπωσιν εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος · ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σκότει, ἵνα ὑμᾶς ἡ ἡμέρα ὡς κλέπτης καταλάβῃ · πάντες γὰρ ὑμεῖς υἱοὶ φωτὸς

evangelicam extinguerent. Immo fideles suos certiores facit, haud extinctum iri fidelium generationem, donec ipse iterum veniat; sed sine ulla interruptione mansuram.

Caelum et terra transibunt. His verbis elementorum quoque finem iam vaticinatur. Siquidem ait: fieri nequit ut verba mea praetereant, etiamsi elementa transibunt.

Cavete ne forte graventur corda vestra in crapula. Discipulos admonet ut prompti sint atque ad eius adventum excipiendum parati: cuius nempe rei gratia cunctos magisterii sui sermones faciebat: sobriosque ac vigiles esse iubet, et totam mortalis vitae noctem insomnes transigere: propterea quod consummationis tempus nemini sit exploratum.

Cavenda, inquit, vobis est crapulae gravedo, ut vigilare possitis; ne inopina vos invadat illa dies: cuius causa sacer apostolus hortabatur scribens: fratres probe scitis, diem Domini, tamquam furem in nocte, venturam. Quum vero dixerint pax et securitas, tunc repentinus eis superveniet interitus. Vos autem haud versamini in tenebris, ut vos dies illa tamquam fur comprehen-

(1) I. Thess. V. 2.

A ἐστε ϗ υἱοὶ ἡμέρας· γρηγορητέον οὖν ἡμῖν ȣ̓ μόνον διὰ τὴν ἀθρόαν
ϗ ἀπροσδόκητον τȣ̃ δεσπότου ἄφιξιν, ἀλλὰ ϗ διὰ τὸν κλέπτην
τὸν ἐφεδρεύοντα. ὁ δὲ κλέπτης ἐστὶν ὁ καιρὸς τῆς ἑκάστου τε-
λευτῆς· ἢ ϗ ὁ μέλλων τὴν ἑκάστου ψυχὴν παραλαμβάνειν ἄγ-
γελος· ὡς παγὶς γὰρ ἡ τȣ̃ κυρίου παρουσία ἐπελεύσεται ἐπὶ
B πάντας τοὺς ἐν τῇ γῇ· οἱ μὲν οὖν προσεχοντες ἑαυτοῖς σώζον-
ται ὥσπερ δορκὰς ἐκ βρόχων, ϗ ὥσπερ ὄρνεον ἐκ παγίδος· οἱ δὲ
τῇ μέθῃ βεβαρυμένοι, ϗ εἰς θάνατον ὑπνώττοντες, ἐκπίπτουσιν
εἰς ἀδόκητον κίνδυνον. N.

Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσ- Cap. XXII. 6.
C χα· Εὐσεβίου. Τάχα οὐκ ἄκαιρον ἂν εἴη καὶ αὖθις περὶ τȣ̃
πάσχα διαλαβεῖν, ἄνωθεν ἑβραίων παισὶν εἰκονικῶς παραδεδο-
μένου· ὁπηνίκα γοῦν ἑβραῖοι σκιὰς μελλόντων ἐπιτελοῦντες,
πρῶτοι τὴν τȣ̃ φασὲκ ἑορτὴν ἐτέλουν, θρέμμα μὲν αὐτοῖς ἐξ
ἀγέλης ἐλαμβάνετο· τοῦτο δὲ ἦν ἀμνὸς ἢ πρόβατον· εἶτ' αὐτοὶ
D τοῦτο δι' ἑαυτῶν ἔθυον· κἄπειτα τῷ μὲν αἵματι πρῶτον ὑπέρ-
θυρα καὶ φλιὰς ἕκαστος τῶν ἰδίων κατέχριον οἴκων· ταύτῃ πη
εἰς ἀνατροπὴν ὀλοθρευτοῦ αἱμάσσοντες ȣ̓δοὺς ϗ μέλαθρα· σαρ-
ξὶ δὲ τȣ̃ προβάτȣ τροφῇ χρώμενοι, καὶ τὰς ὀσφύας ζώνῃ περι-
δεδεμένοι, τροφῆς τε ἀζύμων ἄρτων μετέχοντες, καὶ πόας πικ-
E ρίδων προσφερόμενοι, τόπον ἐκ τόπου διεβαινον, τὸν ἀπὸ τῆς αἰ-

dat: omnes enim vos filii lucis estis, filiique diei. Vigilandum est igitur non solum ob subitum atque inexpectatum Domini adventum, verum etiam propter furis insidias. Fur autem hora cuiusque mortualis intelligitur, vel etiam ille qui cuiusque animam excepturus est angelus. Tum qui sibi attenderint, tamquam caprea laqueum vitabunt, vel ut avis decipulam: qui vero crapula gravati fuerint atque in mortem consopiti, in periculum inopinum incident.

Aderat iam azymorum dies, qua pascha immolari opus erat. Haud intempestivum fortasse erit denuo de paschate aliquantum disserere, qui ritus Hebraeis caelitus figurae causa mandatus fuit. Itaque cum primum Hebraei futura adumbrantes, solemnitatem phasec agebant, victimam sibi de grege sumebant: erat autem agnus vel ovis. Hanc ipsi victimam manu propria occidebant. Exin eius cruore superliminaria postesque suae quisque domus inungebant: sic videlicet, ob mali eventus averruncationem, limen trabemque superam cruentantes. Tum victimae carnibus pasti, zona lumbos praecincti, panibus azymis degustatis, intybis etiam appositis, de loco in locum, tam-

γυπτίων γῆς ἐπὶ τὴν ἔρημον· ταῦτα γοῦν αὐτοῖς ὁμοῦ τῇ τοῦ προ- A
βάτου σφαγῇ τε καὶ τροφῇ πράττειν νενομοθέτητο· ἐντεῦθεν ἡ ἐξ
Αἰγύπτου μετάβασις, τὴν τῶν διαβατηρίων αὐτοῖς ἐπωνυμίαν
ἐπλήρου· ἀλλ' ἐκείνοις μὲν τυπικῶς ταῦτα συνέβαινεν, ἐγράφη
δὲ δι' ἡμᾶς· καί γε ἑρμηνευτὴς Παῦλος τῶν παλαιῶν συμβόλων
διαφαίνων τὴν ἀλήθειαν, δι' ὧν φησί[1]· καὶ γὰρ τὸ πάσχα ἡμῶν B
ὑπὲρ ἡμᾶς ἐθύθη χριστός· τὸ δ' αἴτιον τοῦ θυθέναι αὐτὸν, ὁ βα-
πτιστὴς παρίστησιν εἰπών[2]· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρ-
τίαν τοῦ κόσμου· καὶ Ἡσαΐας κέκραγε τηλαυγῶς[3], οὗτος τὰς
ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται. N.

28. Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μεθ' ἐμοῦ ἐν τοῖς πει- C
ρασμοῖς μου. Εὐσεβίου. Τοιούτων ἔσται πλήρης ἀγαθῶν τρά-
πεζα, ἧς μεταλήψονται οἷς τὴν διαθήκην διέθετο διὰ τὸ με-
μενηκέναι μετ' αὐτοῦ ἐν τοῖς πειρασμοῖς· ἵνα ἐσθίωσι καὶ πίω-
σιν ἐπὶ τῆς τραπέζης αὐτοῦ· ἄρτῳ μὲν οὐρανίῳ ψυχῶν ἁγίων
θρεπτικῶς τραφησόμενοι, οἴνου δὲ τοῦ καινοῦ γεννήματος τῆς ἀλη- D
θινῆς ἀμπέλου μεταληψόμενοι· ἣν αὐτὸς ὁ τῶν ὅλων θεὸς γεωρ-
γῶν τὸ καινὸν ἐξ αὐτῆς γέννημα τοῖς τότε ἀξίοις παρέξει. N.

57. Ὁ δὲ ἠρνήσατο λέγων· γύναι, οὐκ οἶδα αὐτόν. Εὐσεβίου.
Ὅρα δὲ τὸ φιλάληθες τοῦ εὐαγγελιστοῦ, πῶς οὐ καταχαρίζεται
τῷ Πέτρῳ, ἀλλὰ τὸ πάθος αὐτοῦ ὡς ἔχει διηγεῖται· ὅτι οἱ μὲν E

quam si ex Aegypto in desertum, transibant. Haec illi facere io mandatis habebant, cum caede ovis esuque. Quamobrem illa ex Aegypto digressio, nomen fecit apud Hebraeos festo transitus. Ceterum haec in typo illis contingebant. Nostri enim gratia scripta fuerunt, atque ita Paulus interpretatur dum signorum veterum veritatem his verbis aperit: nam pascha nostrum pro nobis immolatus est Christus. Causam vero immolandi huius baptizator Iohannes his verbis dixit: ecce agnus Dei qui tollit peccata mundi. Quin et Isaias clare clamitavit: hic peccata nostra fert, et pro nobis patitur.

Ut manducetis et bibatis in mensa mea. Significat plenam bonorum mensam, cuius participes erunt ii quibuscum foedus icit, propterea quod secum permanserunt in tentationibus. Ex eius igitur mensa manducabunt et bibent; pane videlicet caelesti animarum nutritore pasti; potique vino novi germinis vitis verae: propinante ipso agricolarum omnium Deo, qui novellum ex ipsa fructum his qui tunc digni erunt exhibebit.

Ille negavit dicens, o mulier non novi eum. Videsis quantopere veritati studeat evangelista; quomodo Petro haud gratificetur, sed lapsum eius

(1) I. Cor. V. 7. (2) Ioh. I. 29. (3) Is. LIII. 4.

A ἄλλοι ἀπολιπόντες τὸν διδάσκαλον ᾤχοντο, ὁ δὲ πάντων αὐτῶν
προκεκριμένος ἀπόστολός τε καὶ μαθητὴς, αὐτὸς ἐκεῖνος ὁ βοώ-
μενος Πετρος βασανων ἐκτὸς καὶ ἀρχόντων καὶ ἀπειλῆς, τρί-
τον αὐτὸν ἐξωμόσατο. N.

Ἐθεάσαντο τὸ μνῆμα, καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ. Εὐσε- Cap. XXIII. 55.
B βίου. Ἔκειτο μὲν δὴ νεκρὸς αὐτόθι, τὸ τοῦ ζῶντος λόγου ὄργανον·
λίθος δ' ἀπέκλυε παμμεγέθης τὸ σπήλαιον· καὶ πολὺς ἦν ἐν
τούτῳ γαυριῶν ὁ θάνατος, ὡς ἂν τοῦτον μετὰ τῶν ἐξ αἰῶνος ἑλὼν
ὑποχείριον· ἀλλ' οὔπω τριήμερος παρῄει χρόνος, καὶ ἡ ζωὴ πάλιν
ἑαυτὴν ἔφαινε μετὰ τὸν αὐτάρκη τοῦ θανατου ἔλεγχον· εἰ γὰρ
C δὴ θᾶττον ἀνέστη φθάσας, οὐκ ἂν οὐδὲ τεθνεὼς ἐνομίσθη· ἀλλ'
ὅτε γε ἀληθῶς ὑψοῦτο, καὶ ἀληθῶς ἐτεθνήκει, ἐν χρόνῳ δὲ τὸν
θάνατον ἀληθῶς ὑποδέδεκτο, τότε δὴ τότε ὁ τῶν ἁπάντων ζωοποι-
ὸς τοῦ θεοῦ λόγος τὴν πᾶσαν ἀνθρώποις ἀποκειμένην ἐλπίδα διὰ
τῆς τοῦ τότε θνητοῦ παλιγγενεσίας ἐπεδείκνυτο· καὶ τοῦ σώματος
D αὐτοῦ ληφθέντος πρὸς τῶν γνωρίμων καὶ τῇ προσηκούσῃ παραδο-
θέντος ταφῇ, τριταῖος αὖθις ἀπελάμβανε τοῦτο αὐτός· καὶ πά-
λιν αὐτὸς ἑαυτὸν ἔνσαρκον, ἔνσωμον αὐτὸν ἐκεῖνον, οἷος καὶ τὸ πρῶ-
τον ἦν, τοῖς οἰκείοις μαθηταῖς δείκνυσιν· οἷς καὶ ἐπὶ βραχὺ ὁμι-
λήσας, καί τινα συνδιατρίψας χρόνον, ἄνεισιν ὅθεν καὶ παρῆν· ὑπ'

candide enarret. Videlicet quod veteri magistro deserto diffugerint, ille autem omnibus iis praepositus apostolus atque discipulus, ille inclytus Petrus procul cruciatibus et iudicibus atque terroribus, ter Christum negaverit.

Viderunt monumentum et quemadmodum positum fuerit corpus eius. Iacebat ibi extinctus is qui erat viventis Verbi organum: saxum ingens occludebat specum: mors interea mirifice gloriabatur, ceu si hunc haud secus quam reliquos ex omni aevo superavisset. Sed enim nondum triduano tempore exacto, vita semet iterum conspiciendam obtulit, postquam mortis non dubium indicium fecerat. Nam si citius resurgere properavisset, ne extinctus quidem creditus esset. Sed quoniam vere sublatus in crucem fuit, vereque mortuus, atque aliquanto temporis intervallo mortem vere sustinuit, hinc enimvero quod omnia vivificat Dei verbum, universam hominibus propositam spem, per eius quod tunc mortuum fuerat resurrectionem, ostentavit. Quumque eius corpus depositum fuisset a familiaribus honestaeque traditum sepulturae, post triduum denuo resumpsit illud; rursusque carne semet et corpore indutum, cuiusmodi antea fuerat, discipulis demonstravit: quibuscum tantisper confabulans atque aliquanto tempore versans, mox illuc unde venerat abiit, caeli viam spec-

ὀφθαλμοὺς αὐτῶν, τὴν εἰς οὐρανοὺς πορείαν στειλάμενος· τί οὖν A
ἐπὶ τούτοις γίνεται; οὐκέτι ἐγὼ σοι γενοίμην ἂν τῶν πεπραγμένων διδάσκαλος· οἱ δὲ τούτων ἐπόπται, εἶεν ἂν πάντων ἀξιόχρεοι μάρτυρες, οἱ δι' αἵματος καὶ ψυχῆς τῇ θέᾳ τῶν πεπραγμένων τὴν ἀλήθειαν πιστωσάμενοι, καὶ τὴν σύμπασαν οἰκουμένην τῆς πρὸς αὐτῶν κατηγγελμένης θεοσεβείας καταπλήσαντες· οἵ δε γοῦν B
τὴν αὐτοῖς ὀφθαλμοῖς καταληφθεῖσαν παλιγγενεσίαν ταῖς ἑαυτῶν παρέδωκαν μαρτυρίαις· οὐκ ἦν γὰρ αὐτοῖς ἄχρι λόγου καὶ φωνῆς ἀκουόμενα τὰ πραττόμενα, ἀλλ' ἤδη καὶ ἔργοις ἐθεωρεῖτο καὶ ἐψηλαφᾶτό γε ἀκριβῶς πρὸς τῶν ταῦτα μεμαρτυρηκότων· διὸ δὲ καὶ αὐτοψίᾳ καὶ ἀληθείᾳ τὸ ἐναργὲς κατειληφότες, καὶ C
τῆς κατὰ τοῦ θανάτου νίκης τὰ τρόπαια τεθεαμένοι, εἰκότως ἔμαθον καταφρονεῖν τοῦ θανάτου· ταὐτὸ δὲ καὶ τοὺς αὐτῶν φοιτητὰς ἐδίδασκον, τῆς ἀθανάτου ζωῆς παρὰ τοῦ σωτῆρος εἰληφότες τὰ ἐχέγγυα. N.

D

Duo quae sequuntur Eusebii capitula quaestionibus ad Marinum addenda sunt.

Εὐσεβίου. Τοῦ φόβου τῶν ἰουδαίων ἐπικειμένου τοῖς μαθηταῖς τοῦ σωτῆρος, λέγει γοῦν ὁ Ἰωάννης· ὡς ἦσαν ὁμοῦ συνηγμένοι οἱ μαθηταὶ ἐν οἴκῳ ἑνὶ τῶν θυρῶν κεκλεισμένων E

tantibus illis ingrediens. Quid ergo post haec? Haud iam ego gestarum rerum narrator sim, verumtamen qui has viderunt, hi totius negotii testes idonei sint, qui sane sanguine ac vita gestarum rerum veritatem quam viderant confirmaverunt, totumque orbem ea, quae sibi nunciata fuerat, religione impleverunt. Hi sane resurrectionem, quam oculis spectaverant, testimoniis suis sanxerunt. Neque enim verbis ac voce tenus facta illa cognoverant, quorum testes extiterunt, sed coram dum fierent contemplati fuerant, manuque adeo tetigerant. Quare et oculis et rei veritate evidentiam consecuti, victoriaeque de morte relatae trophaeis visis, merito contemptum mortis condidicerunt: quam rem ipsam suos discipulos edocuerunt, quandoquidem immortalis vitae a servatore documenta certa perceperant.

Servatoris discipulis terrore Iudaeorum correptis, ait Iohannes mansisse eos una in domo congregatos, foribus propterea quod sibi a Iudaeis metuerent clau-

(1) Cap. xx. 19.

ὸν φόβον τῶν ἰουδαίων, πῶς ὁ Πέτρος καὶ ὁ Ἰωάννης ἀπήν-
τὶ τὸ μνῆμα· καὶ ταῦτα στρατιωτικῆς φρουρᾶς φυλαττού-
αν τόπον, ὡς ὁ Ματθαῖος ἐμαρτύρησεν· ἡ γὰρ κουστωδία
τιωτικόν ἐστι τάγμα.

Ἐροῦμεν δὲ πρὸς ταῦτα θαρσαλέως τὰς ἀποστόλους ἀπην-
αι ἐπὶ τὸ μνῆμα, προμεμαθηκότας παρὰ τῆς Μαγδαλη-
μηδένα τῶν φυλαττόντων τὸν τόπον αὐτόθι παρεῖναι· ὅπως
ἦν ἀπὸ τοῦ τὸν λίθον ἦρθαι τοῦ μνημείου· ἦρτο δὲ οὐκ ἄλ-
ἢ τῷ τὸν ἐξ οὐρανοῦ ἄγγελον ἐξαστράψαι τὸν τόπον πολ-
φωτί· καὶ αὐτὸν ἀποκυλίσαι τὸν λίθον, φοβῆσαι τε τοὺς φυ-
ς, ὡς μικροῦ δεῖν καὶ ἀπολιθωθῆναι αὐτοὺς τῷ φόβῳ· καὶ
ταῦτα ὡς εἰκὸς φυγῇ χρήσασθαι, ὡς μηδένα μὲν περι-
ῆναι αὐτῶν, σχολάζειν δὲ τὸν τόπον τοῖς ἐπὶ τὴν θέαν ἀφι-
ένοις τῆς σωτηρίου ἀναστάσεως· αὕτη γοῦν ἦν μάλιστα ἡ
τῆς ἐπιφανείας τοῦ ἀγγέλου· οὐ γὰρ δὴ τῆς ἀναστάσεως
ἀπεκίνει τὸν λίθον, οὐδ' ἕνεκεν τοῦ λίθου τοῖός δε ὤφθη,
ἵνα τοὺς μὲν ἀπελάσῃ, τὰς δὲ ἐρχομένας ἐπὶ τὴν θέαν δε-
μενος, τὴν ἀνάστασιν αὐταῖς καταγγέλλει· τούτων οὖν
ὁ Ματθαῖος λέγων· " ἀπὸ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ
μάρτυρες, καὶ ἐγένοντο ὡσεὶ νεκροί,,· ἀλλὰ πῶς παρὰ μὲν τῷ Ἰωάν-
τῆς Μαρίας ἀκούσαντες οἱ μαθηταί, κἄπειτα ἐλθόντες εἰς τὸ

Qui ergo fieri potuit ut Petrus atque Iohannes ad sepulcrum venirent? praesertim quum militari praesidio teneretur, teste Matthaeo, locus. Custodia vero erat militum manipulus.

Ad haec confidenter dicemus, ad sepulcrum accessisse apostolos postea quam a Magdalena neminem ibi custodem superesse cognoverant: id quod monumenti lapis sublatus demonstrabat; qui sane haud aliter submotus fuit, quam angelo caelis lapso, qui et luce plurima locum implevit, simulque lapidem revolvit, custodibus adeo perterritis, ut parum abfuerit quominus ipsi lapides metu fierent. Quare his fugam ut par erat capientibus, nullisque subsistentibus, locus commode patuit, siquis dominicam resurrectionem spectaturus illuc veniret. Atque haec praecipua causa fuit cur angelus apparuerit: neque enim resurrectionis iuvandae causa lapidem revolvit, neque ipsius lapidis causa talis tantusque apparuit; verumtamen ut milites abigeret, venientes autem ad monumentum mulieres comiter excipiens, de peracta resurrectione certiores faceret. Rei testis Matthaeus qui ait: ,, timore eius perculsi sunt custodes, ac prope exanimati ,,. Sed enim quomodo apud Iohannem audita Mariae narratione, tum ad sepulcrum progressi, crediderunt discipuli; apud

μνημεῖον ἐπίστευσαν, παρὰ δὲ τῷ Λουκᾷ εἴρηται, ὅτι ἐφάνη- A
σαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα ταῦτα, καὶ ἠπίστουν
αὐταῖς; ἡ μὲν παρὰ τῷ Ἰωάννῃ Μαρία τοῖς ἐκκρίτοις τῶν ἀπο-
στόλων Πέτρῳ καὶ Ἰωάννῃ μόνοις ὡς ἀπόῤῥητον ἐμφαίνουσα ἐξεῖ-
πε τὸ τεθεαμένον· οἱ δὲ πάλιν λαθόντες τοὺς λοιποὺς μαθητὰς,
μόνοι ἁπάντων ἐπὶ τὸ μνημεῖον δρομαῖοι, καὶ ἰδόντες ἐπίστευ- B
σαν· καὶ οὐδέν γε ἦν θαυμαστὸν τοὺς μὲν ἐγκρίτους τῶν ἀποστό-
λων ἰδόντας πεπιστευκέναι· τοὺς δὲ λοιποὺς οἷς αἱ γυναῖκες ἀπήγ-
γελλον ἅτε μὴ ὄψει παραλαβόντας, μὴ πιστεῦσαι αὐταῖς· αὐ-
τίκα γοῦν καὶ αὐτοῖς ὁμοῦ συνηγμένοις τοῖς μαθηταῖς ὀφθέντος
τοῦ σωτῆρος κατὰ τὸν Ἰωάννην, οἱ μὲν ἰδόντες ἐχάρησαν· Θω- C
μᾶς δὲ ἐπεὶ μὴ παρῆν μὴ δὲ εἶδεν, οὐκ ἐπείθετο· Ἔχει δ' ἂν καὶ
ἑτέραν διάνοιαν ὁ τόπος· εἴποι γὰρ ἄν τις, ὅτι ταῖς μὲν ἀπαγ-
γειλάσαις γυναιξὶ τὴν ἀνάστασιν τοῦ σωτῆρος, ὡς ἐξ ἀκοῆς τῶν
ὀφθέντων αὐταῖς δύο ἀνδρῶν κατὰ τὸν Λουκᾶν, οὐκ ἐπίστευσαν οἱ
ἕνδεκα, ἐν οἷς ἦσαν καὶ ὁ Πέτρος καὶ ὁ Ἰωάννης, μὴ δὲ αὐτοὶ πε- D
πιστευκότες· τῇ δὲ Μαρίᾳ κατὰ τὸν Ἰωάννην εἰπούσῃ ὅτι ἦραν
τὸν κύριόν μου τοῦ μνήματος, οὐ πρότερον ἐπίστευσαν οἱ δύο μα-
θηταὶ τοῦτο αὐτὸ τὸ ἦρθαι τὸν σωτῆρα, πρὶν ἐλθεῖν εἰς τὸν τόπον
καὶ ἔργῳ τοῦτο παραλαβεῖν· ὅτε γοῦν εἰσῆλθον οὗτοι εἰς τὸ μνῆ-
μα καὶ τὰ ὀθόνια εἶδον μόνα, τὸ δὲ σῶμα οὐδαμοῦ, τότε ἐπίστευ- E

Lucam vero dicitur visus nugax eiusmodi nuncius, neque fides mulieribus praestita? - Illa apud Iohannem Maria Petro ac Iohanni in apostolico caetu eximiis, rem a se visam atque adhuc arcanam solis aperuit: qui soli aeque, clam discipulis reliquis, ad sepulcrum properaverunt, reique visae crediderunt. Neque sane mirum fuit, duos eximios virtute apostolos praesenti miraculo credidisse: reliquos interim nulla visione fretos nunciis muliebribus fidem non tribuisse. Et quidem statim ac congregatis discipulis servator apparuit, ut ait Iohannes, ii qui viderant laetati sunt; nihilominus Thomas absens eaque visione exclusus, rem sibi persuaderi non est passus. Habet praeterea locus aliam explicationem. Licet enim dicere, quod narrantibus feminis servatoris resurrectionem, veluti a viris duobus auditam qui illis ut ait Lucas apparuerant, fidem abnegaverunt discipuli undecim, in quibus Petrus quoque ac Iohannes erant, et ipsi increduli. Mariae vero quae apud Iohannem ait " abstulerunt sepulcro dominum meum ,, discipuli duo haud prius de hoc ipso servatoris raptu adsensi sunt, quam viso loco rem ita se habere deprehenderunt. Ut igitur monumentum ingressi linteamina sola viderunt, corpus nullum, tum denique crediderunt. - Age vero tenebris

A σαν. - Καὶ πῶς σκοτίας οὔσης κατὰ τὸν εὐαγγελιστὴν Ἰωάννην,
τὰ εἴσω τοῦ μνήματος ἑώρων οἱ μαθηταί; ὁ γὰρ αὐτὸς καὶ τὴν ὥραν
ἐπεσημήνατο εἰπών, πρωΐ, ἔτι σκοτίας οὔσης· καὶ τοὺς δύο μα-
θητὰς τὰ εἴσω ἐν τῷ μνήματι τεθεαμένους· εἰσῆλθον δέ φησι καὶ
εἶδον καὶ ἐπίστευσαν· ἀρχομένης μὲν καταρχὰς τῆς ἡμέρας, ἐπὶ
B τὸ μνῆμα ἐμαρτύρησεν ἡ γραφὴ ἔτι τότε σκοτίαν εἶναι· πλὴν
ἀλλ᾽ ἤδη πρωΐα ἦν· τοῦτο δὲ τὸ πρωῒ ἔτι σκοτίας οὔσης αὐτὴ
καθ᾽ ἑαυτὴν ἰδοῦσα Μαρία, ἐπάνεισι πρὸς τοὺς μαθητάς· εἶτ᾽ ἄγ-
γελος αὐτοῖς παραγίνεται· ἐν δὴ οὖν τῷ μεταξὺ χρόνῳ μετὰ τὴν
πρώτην ἄφιξιν ἀπιούσης αὐτῆς πρὸς τοὺς ἀποστόλους, καὶ τὴν ὥραν
C προκόψαι εἰκὸς ἦν· κἀκείνων πάλιν ἐπὶ τὸν τάφον ἀφικνουμένων,
ἔτι μᾶλλον αὐξῆσαι τὸν χρόνον· ὡς μηκέτι σκοτίαν εἶναι, ἀλλ᾽
ἤδη καθαρὰν ἡμέραν, καθ᾽ ἣν ἀπαντήσαντες οἱ εἰρημένοι, καὶ τοῦ
μνημείου ἐκτὸς ἑστῶτες, διορᾶν τὰ εἴσω κείμενα ὀθόνια οἷοί τε
ἦσαν· καὶ πολὺ μᾶλλον ἔνδον γενόμενοι ὑπὸ λαμπρᾶς ἡμέρας,
D ἤδη τοῦ τόπου κατηυγασμένου· διόπερ οὐ νυκτὸς ἀπήντων οἱ ἄν-
δρες, ἀλλ᾽ οὐδὲ σκοτίας ἔτι οὔσης, ἀλλ᾽ ἤδη καταυγαζούσης
λαμπρᾶς ἡμέρας· - Εἰ δὲ λέγει τὸ εὐαγγέλιον, ὡς ἄρα ἦσαν
ὁμοῦ συνηγμένοι οἱ μαθηταὶ διὰ τὸν φόβον τῶν Ἰουδαίων· εἶτα
πρὸς τοῦτο ἀνθυποφέροι τις λέγων· πῶς οὖν οἱ συγκεκλεισμέ-
E νοι ἐφοίτων ἐπὶ τὸ μνημεῖον ἐν ἡμέρᾳ διαυγεῖ; ἐροῦμεν, ὅτι τοὺς

adhuc offusis, ut ait evangelista Iohannes, qui fieri potuit ut interiora monumenti spectarint discipuli? Namque idem horam ipsam notavit dicens "mane, quum adhuc tenebrae essent". Tum de duobus discipulis loquens qui monumenti interiora spectaverunt, ingressi sunt, ait, viderunt ac crediderunt. Diei quidem initio, testis est scriptura tenebras adhuc versatas circa monumentum. Sed tamen matutinum iam tempus erat. Atque hoc tempore antelucano Maria quum sola vidisset, ad discipulos pedem retulit. Deinde angelus supervenit. Hoc igitur intervallo, dum illa post priorem accessum suum ad discipulos regrederetur, horam quoque progredi necesse fuit. Rursus dum illi ad sepulcrum veniunt, maior temporis lapsus fuit. Quare haud iam offusis tenebris, sed die perspicua, praedicti homines illuc pervenerunt, qui extra monumentum constituti, linteamina intus posita perbelle inspicere potuerunt; multoque magis locum ingressi, qui iam splendida diei luce collustrabatur. Itaque neque noctu ad monumentum venerunt discipuli, neque obsidentibus tenebris, immo radiante diei luce. - Iam quia evangelium ait congregatos una propter metum a Iudaeis fuisse discipulos; siquis, inquam, idcirco obiiceret, quonam igitur pacto, qui inclusi erant,

μὲν ἐν τῇ πόλει μέσους οἰκοῦντας τῶν ἰουδαίων, εἰκὸς ἦν ἀποκεκλεῖσθαι ὁμοῦ τοὺς πάντας ἐν οἴκῳ ἑνὶ συνηγμένους· οἱ δὲ ἐπὶ τὸ μνῆμα ἀφικνούμενοι τῆς πόλεως ἐκτὸς ὄντες, μακρὰν ἐτύγχανον καὶ τοῦ τῶν ἰουδαίων φόβου· ὡς ἐπὶ ἐρημίζοντα τόπον καὶ ἀνδρῶν ἐσχολακότα παριόντες· τάχα δὲ καὶ κρείττους φόβου γενόμενοι τῶν μαθητῶν ὅ τε Πέτρος καὶ Ἰωάννης τολμηρότερον ἐθάῤῥουν προϊέναι τοῦ οἴκου· τῶν ἄλλων μὴ τοῦτο πράττειν τολμώντων, ἢ μόνων δὴ τούτων, οἳ καὶ ἐν τοῖς ἄλλοις πλείονος ἠξιωμένοι τιμῆς παρὰ τοὺς λοιποὺς ἀποστόλους μεμαρτύρηνται. N.

Εὐσεβίου. Ἀπορήσειεν ἄν τις, πῶς τοῖς ἕνδεκα μαθηταῖς ὁμοῦ συνηγμένοις μετὰ τὴν ἀνάστασιν ἐπιστὰς ὁ κύριος κατὰ τὸν Λουκᾶν καὶ κατὰ Ἰωάννην συμφώνως ταῦτα ἀπομνημονεύσασιν, οὐκέτι παρ' ἀμφοτέροις ταὐτὰ πράττων οὐδὲ φάσκων ἀναγέγραπται.

Ὅτι τὴν αὐτὴν ὀπτασίαν οἱ δύο συνέγραψαν εὐαγγελισταὶ κατὰ μίαν καὶ τὴν αὐτὴν ὥραν τε καὶ ἡμέραν γενομένην, παραστῆσαι δεῖ πρότερον· τοῦτο δ' ἂν γένοιτο φανερὸν ἐπιτηρήσαντί σοι ἀκριβῶς τὴν γραφήν· ὁ μὲν γὰρ Ἰωάννης προειπὼν, τῇ δὲ μιᾷ τῶν σαββάτων ἔρχεται Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακε τὸν κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ· ἑξῆς ἐπισυνάπτει λέγων· οὔσης ὀψίας ἐν ἐκείνῃ τῇ ἡμέρᾳ συν-

die perspicua ad sepulcrum veniebant? Respondere licet; discipulos quidem illos qui intra urbem mixti Iudaeis versabantur, non sine causa ianuis obseratis una in domo mansisse congregatos: veruntamen eos qui ad monumentum venere, quum extra urbem degerent, idcirco Iudaeorum metu caruisse, atque ad locum solitarium et mortalibus vacuum accedere non dubitavisse. Fortasse vero Petrus ac Iohannes, metu discipulorum spreto, prodire domum ausi sunt, nemine praeter hos pedem liminibus efferente: qui duo sane in reliqua etiam vita maiore quam ceteri apostoli honore adfecti feruntur.

Ambiget aliquis, quomodo undecim discipulis uno in loco congregatis post resurrectionem coram oblatus Dominus, secundum Lucam atque Iohannem qui hanc rem concorditer memorant, idem nihilominus haud paria facere vel dicere apud utrumque feratur.

In primis demonstrandum est, visionem eandem ab utroque evangelista tradi una hora dieque eadem oblatam: quae res contemplanti sedulo scripturae seriem satis apparebit. Nam Iohannes postquam dixerat "una sabbatorum venit Maria Magdalena discipulis nuncians visum sibi Dominum atque haec sibi dixisse" ilico deinde addit "quum sero esset illa die, con-

A ηγμένων τῶν μαθητῶν, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέ-
σον, καὶ εἶπεν, εἰρήνη ὑμῖν· ὥστ' εἶναι σαφὲς ἐκ τούτων, ὅτι
κατ' αὐτὴν τὴν κυριακὴν ἡμέραν τῆς ἀναστάσεως, ὀψίας ἦν πε-
πραγμένα τὰ παρὰ τῷ Ἰωάννῃ· καὶ κατὰ τὸν Λουκᾶν δὴ ἡ αὐ-
τὴ ἡμέρα καὶ ὥρα εὑρεθήσεται: λέγει γοῦν κ͵ αὐτός· τῇ δὲ μιᾷ
B τῶν σαββάτων ὄρθρου βαθέος ἐπὶ τὸ μνῆμα ἦλθον αἱ γυναῖκες·
εἶθ' ἑξῆς ὅτι ἰδοῦσαι ἀγγέλους ἐπανῆλθον καὶ ἀπήγγειλαν τοῖς
μαθηταῖς ἃ τεθέαντο· Πέτρος δὲ σπεύσας ἐπὶ τὸ μνῆμα ἀπαν-
τᾷ, καὶ τὰ ὀθόνια θεωρεῖ· καὶ ταῦτα μὲν ὄρθρου βαθέος ἐγένε-
το τῇ ἀναστασίμῳ ἡμέρᾳ· λέγει δὲ ἑξῆς ἐπισυνάπτουσα ἡ γρα-
C φή· κ͵ ἰδοῦ δύο ἐξ αὐτῶν ἐν τῇ αὐτῇ ἡμέρᾳ ἦσαν πορευόμενοι εἰς
κώμην· οὗτοι δὲ ἦσαν οἱ περὶ τὸν Κλεόπαν· οἷς συνελθὼν εἰς τὴν
Ἐμμαοῦν, λαβὼν ἄρτον εὐλόγησε, κ͵ ἐπιδιδοὺς αὐτοῖς, ἀφανὴς
ἐγένετο· εἶτ' ἐπιλέγει· καὶ ἀναστάντες ὑπέστρεψαν αὐτῇ τῇ ὥρᾳ
εἰς Ἱερουσαλήμ, κ͵ εὗρον ἠθροισμένους τοὺς ἕνδεκα· εἶτα ὁμι-
D λούντων αὐτῶν, ἔστη ὁ Ἰησοῦς ἐν μέσῳ, κ͵ λέγει αὐτοῖς, εἰρήνη
ὑμῖν, καὶ τὰ ἑξῆς· δέδεικται τοίνυν κ͵ ἀπὸ τοῦ Λουκᾶ ὡς ἡ αὐ-
τὴ ἐτύγχανεν ἡμέρα, κ͵ ἡ αὐτὴ δὴ ὥρα συνίσταται, ἀπὸ τοῦ ἐν
μιᾷ ἡμέρᾳ τοὺς περὶ Κλεόπαν εἰς τὴν Ἐμμαοῦν γενέσθαι· κἀ-
κεῖθεν ἐπανεληλυθέναι εἰς τὴν Ἱερουσαλήμ, ἤδη που πάντως ἑσ-
E πέρας καταλαβούσης· εἶτα τὴν ἐπιφάνειαν γεγονέναι· N.

„ gregatis discipulis, venit Iesus, stetitque in medio eorum, ac dixit, pax „ vobis „. Hinc est perspicuum, ipsa die dominica resurrectionis, vespertino tempore, contigisse ea quae Iohannes scribit. Age vero in Lucae quoque narratione dies eadem atque hora deprehendetur. Etenim hic etiam ait: " una sabbatorum profundo diluculo ad monumentum venerunt mulieres „. Exin narrat, ut visis angelis regressae sint, discipulisque res visas nunciaverint: tum uti Petrus ad monumentum festinanter iverit, ac linteamina viderit. Atque haec profundo diluculo evenerunt ipsa die resurrectionis. Mox conexa oratione ait scriptura: " et ecce duo ex illis ibant ipsa die in ca- „ stellum „: quorum alter Cleopas erat; quos comitatus Emmauntem usque Iesus, accepit panem, benedixit, deditque illis, tum ex oculis evanuit. Deinde scriptura addit: " qui surgentes regressi sunt eadem hora in Hieru- „ salem, et invenerunt congregatos undecim „. Tum fabulantibus illis, stetit Iesus in medio eorum dixitque pax vobis. Igitur Lucae verbis comprobatum est, unam esse diem atque horam, propterea quod una die Cleopas Emmauntem venerit, atque Hierosolyma reversus fuerit, vespere iam prorsus inchoato; et post haec Christi evenerit manifestatio.

Compertum cuique legenti est, suprascriptum frustum nihil aliud esse nisi initium seu potius praeparationem eusebianae quaestionis de factis dictisque abs redivivo Iesu coram discipulis congregatis, pro varia Lucae ac Iohannis narratione. Ipsa igitur quaestio periit, quia catenae evangelicae auctor hactenus excerpsit. Attamen detrimento aliquantulum mederi licet, implorata ut supra (p. 101. sqq.) Ambrosii ope comm. in Luc. lib. X. 171, qui Eusebii quaestionem deperditam de more expilat: aridius tamen, neque graecam abundantiam aemulans: quippe dum brevis esse laborat, obscurus propemodum aliquando fit.

Consideremus qua gratia secundum Iohannem crediderint apostoli, qui gavisi sunt; secundum Lucam quasi increduli redarguantur: ibi spiritum sanctum acceperint, hic sedere in civitate iubeantur, quoadusque induantur virtute ex alto. Et videtur mihi ille quasi apostolus maiora et altiora tetigisse, hic sequentia et humanis proxima: hic historico usus circuitu, ille compendio: quia et de illo dubitari non potest qui testimonium perhibet de his quibus ipse interfuit, et verum est testimonium eius: ab hoc quoque qui evangelista esse meruit vel negligentiae vel mendacii suspicionem aequum est propulsari. Et ideo verum utrumque putamus, non sententiarum varietate, nec personarum diversitate distinctum. Nam etsi in primo Lucas eos non credidisse dicat, postea tamen credidisse demonstrat: et si prima consideremus, contraria sunt; si sequentia, certum est convenire. Ipsa igitur scripturae verba consideremus. Sic ait Iohannes: " Et gravisi sunt discipuli, viso " Domino ". Dicit ergo his iterum: " pax vobis; sicut misit me pater, et ego mit- " to vos. Et cum hoc dixisset, insufflavit his et dixit: accipite spiritum sanctum; " quorum remiseritis peccata, remittuntur his, et quorum retinueritis, retenta " sunt ". Lucas autem dicit: " et quomodo cognoverunt eum in fractione panis. " Dum autem haec loquuntur, ipse stetit in medio eorum et dicit eis: pax vobis, " ego sum, nolite timere. Conturbati vero et conterriti existimabant se spiritum vi- " dere ". Et possent videri hic plures fuisse: sed quia et hic sero resurrectionis die (nam advesperascente iam die qui fuerant ingressi manere cum Domino, ubi ille se repente subduxit, eadem hora ad discipulos hi duo remeasse produntur, quando Dominus palpandum se obtulit) et secundum Iohannem sero die illa una sabbatorum inducitur apparuisse discipulis, et vulnera obtulisse palpanda; nequid ambiguitatis adferret, putavimus diligentius requirendum. Videtur enim separatim se istis undecim demonstrasse, sicut se Ammaoni (1) et Cleophae seorsum iam vespere demonstraverat: et quemadmodum isti duo, ita etiam videntur illi undecim ad confirmandos reliquos convenire potuisse. Denique et conturbati sunt, ut habes secundum Lucam; et ideo aperuit eis sensum ut intelligerent ea quae scripta sunt. Hunc autem latius, illum succinctius scripsisse non dubium est. Quomodo enim soli Cephae visum dicerent, si ab omnibus erat visus? Sed sicut ex mulieribus Mariae, et alii Mariae Magdalenae, ita ex viris Petro visus est primo mane *etc.*

(1) Nomen discipuli alterius, qui cum Cleopha Emmauntem ivit, evangelista reticuit. Ecce autem Ambrosius non heic solum verum etiam in aliis scriptis Ammaonem illum appellat: qua in re peccare nonnullis visus est, castelli nomen leviter depravatum homini attribuens. Defenditur tamen ab editoribus maurinis Ambrosius, tum quia nihil vetat, quominus illum discipulum Ammaonem sive Emmaonem ab Emmaunte patria dictum putemus; tum quia idem ab Origene appellatur *Simeon* quod nomen parum differt ab *Ammaone*, ita ut haec varietas librariis imputanda sit.

ΕΚ ΤΗΣ ΑΠΟΛΙΝΑΡΙΟΥ

ΕΙΣ ΤΟΝ ΛΟΥΚΑΝ ΕΡΜΗΝΕΙΑΣ.

A Ἀπολιναρίου. Εἰ διὰ τὰ κρυπτὰ δόγματα, μυστικὰ Cap. VIII. 16.
καὶ ἀπόκρυφα ὀνομαζόμενα, ὁ λύχνος ἅπτεται, ἵνα αὐτὰ δείξῃ, εἰκότως ἐπιφέρεται τῷ οὐδεὶς λύχνον ἅψας, τὸ οὐ γάρ ἐστι κρυπτὸν ὃ, καὶ τὰ ἑξῆς· τάχα δὲ καὶ τοῦτο δηλοῖ· εἰ γὰρ καὶ κρυπτὴν ἔχει τὴν ἐργασίαν, ἀλλ' ὅσῳ ἂν ἑαυτὸν καλύπτῃ διὰ τὸ ἀκενόδοξον, τοσοῦτον ὁ θεὸς αὐτὸν ἐπὶ πλέον δοξάζει, καὶ νῦν καὶ ἐν τῷ αἰῶνι τῷ μέλλοντι· φύσιν γὰρ ἔχει ὁ νοῦς ὁ ἀνθρώπινος, καθ' ἣν κατεσκεύασεν αὐτὸν ὁ δημιουργὸς, λύχνου δεομένου τῆς ἀπὸ τοῦ λόγου καὶ σοφίας καὶ ἀληθείας τοῦ ἀληθινοῦ φωτὸς ἀνάψεως· σπουδάζειν δὲ χρὴ τὴν δοθεῖσαν ἡμῖν λαμπρότητα φυλάσσειν ἐν ὑψηλῷ, καὶ μὴ συγκαλύπτειν ἀργίᾳ, ἧς σύμβολον ἡ κλίνη, ἀναπαύουσα τὸ σῶμα τῆς σαρκικαῖς ἡδοναῖς· οὐ γὰρ φυσικὸν ἡμῖν, ἀλλ' ἐκδόσεως τὸ κάλλος· τὸ δὲ τοιοῦτον ἀμελούμενον ἀφίσταται· ἐπάγει δὲ ἡμᾶς τῆς ἰδίας φιλοδοξίας τὴν τοῦ θεοῦ δόξαν τέλος τῶν ἔργων προτιθείς· εἰκότως δὲ ταῦτα πρὸς τοὺς ἀποστόλους λέγει, οὓς ἤθελε φανερῶς κη-

(B at line "λύπτῃ", C at line "ἡμῖν λαμπρότητα", D at line "δὲ ταῦτα")

APOLINARII

COMMENTARIORUM IN LUCAM FRAGMENTA.

Si ob occulta dogmata, quae mystica et apocrypha dici solent, lucerna accenditur ut illa collustret, merito verbis *nemo qui lucernam accendit*, subditur *non enim est occultum quod* etc. Fortasse etiam dicere vult: etiamsi opera sua celet homo, tamen quo magis ipse occulit modestiae causa, eo studiosius Deus illum gloria auget praesenti tempore futuroque saeculo. Porro hominis mentem hac natura creator instruxit, ut sit lucerna, quae rationis et sapientiae ac veritatis sincero lumine inflammetur. Dandaque opera est, ut concessum nobis splendorem sublimi loco conservemus, neque ignavia occulamus, cuius symbolum lectus, qui carnalibus voluptatibus corpus resolvit. Neque formositas nobis insita naturaliter, sed donum est: quae si negligatur, defluit. Sane Christus a vana nos gloria revocat, dum finem operum statuit gloriam Dei. Atque haec apte ait apostolis, quos voluit doctrinam

ῥύξαι τὸν λόγον κοπιῶντας ἐν τῇ διδαχῇ, ϗ μὴ ἀναπεπτωκότας A
εἶναι βουλόμενος.

Cap. XVIII. 29. Οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν ἢ γονεῖς ἢ ἀδελφοὺς ἢ
γυναῖκα ἢ τέκνα. Ἀπολιναρίου. Προστέθεικεν ὁ Λουκᾶς ϗ περὶ
γυναικὸς, οὐχ ὡς ἑτέρως ἀπαλλοτριοῦσθαι δέον τοῦ γένους, πλὴν
ὅσον ἐν προτιμήσει τοῦ καλλίονος, καὶ πρὸς τὸ ἀνεμπόδιστον τῆς B
εὐαγγελικῆς διακονίας· οὐδὲ μὴν τὴν οἴκου καὶ χρημάτων ἀπό-
στασιν, ὡς ἀλλοτρίων ὄντων, χριστὸς ἀποδέχεται· ἀλλ' ὥς τε
καὶ περὶ ταῦτα σχολάζειν τὸν ἀνακεῖσθαι μέλλοντα τῇ τοῦ εὐαγ-
γελίου λειτουργίᾳ· οὕτως τοίνυν οὐδὲ τὸν ἀπὸ γυναικὸς καὶ γά-
μου χωρισμὸν ὡς ἀπό τινος πονηροῦ νομιστέον ἐπαινεῖσθαι, ἀλλ' C
ὥς τε μὴ δὲ τοῦτο ἐμπόδιον εἶναι τῷ λειτουργῷ· καὶ καθάπαξ
ἡ τῶν πνευματικῶν προτίμησις οὐκ ἀλλότρια δείκνυσι τὰ σαρκι-
κὰ, ὡς ἐπιχειροῦσιν οἱ Μανιχαίου μαθηταὶ, μάτην τοῦ θεοῦ τὴν
κτίσιν ἀθετοῦντες καὶ ἀπαλλοτριοῦντες τοῦ ποιητοῦ τὰ ποιήμα-
τα· ἀδιάφορον δὲ τὸ λέγειν ἕνεκεν τοῦ ἐμοῦ ὀνόματος ὡς ὁ Ματ- D
θαῖος φησὶ, ἢ ἕνεκεν τοῦ εὐαγγελίου ὡς ὁ Μάρκος, ἢ ἕνεκεν
τῆς βασιλείας τοῦ θεοῦ ὡς ὁ Λουκᾶς· τό τε γὰρ ὄνομα τοῦ χρι-
στοῦ δύναμίς ἐστι τοῦ εὐαγγελίου ϗ τῆς βασιλείας· τό τε εὐαγ-
γέλιον εἰς ὄνομα ἀνήρτηται τοῦ χριστοῦ· καὶ ἡ βασιλεία τοῦ θεοῦ
διὰ τοῦ ὀνόματος αὐτοῦ γνωρίζεται ϗ παραγίνεται. N. E

aperte praedicare, laborantes in magisterio, non se ignaviae tradentes.

Nemo est qui reliquerit domum aut parentes aut fratres aut uxorem aut filios etc. Apolinarii. Addit Lucas uxoris quoque mentionem, ita tamen ut non aliter a cognato genere abhorrendum sit, quam rei sublimioris gratia, atque ut nihil ab evangelico ministerio nos impediat. Neque enim larium aut pecuniae, tamquam rerum alienarum, omissionem Christus approbat, sed ita ut nequis impendat curam his, si quidem evangelicis muneribus functurus est. Sic itaque ne uxoris quidem nuptiarumque abstinentiam, ceu rei malae, credendum est commendari; sed eo tantum nomine, ut nulla ministro impedimenta sint. Omnino spiritalium rerum praelatio haud in alienorum numero carnalia ponit, ut Manetis discipuli volunt, qui Dei creaturam temere abolent, remque factam a factore abalienant. Porro perinde est sive dicatur propter nomen meum, ut ait Matthaeus; sive propter evangelium, ut Marcus; sive propter regnum Dei, ut loquitur Lucas. Nam et Christi nomen vim habet evangelii et regni; rursusque evangelium in Christi nomen adsciscitur; et denique regnum Dei per Christi nomen agnoscitur atque venit.

A Εὑρήσετε πῶλον δεδεμένον. Ἀπολιναρίου. Ὅτι δὲ σημεῖον ἦν τὸ γινόμενον, δῆλον· οὐ γὰρ ἀπὸ τοῦ ὄρους τῶν ἐλεῶν εἰς Ἱερουσαλὴμ εἰσιόντι τῷ κυρίῳ χρεία τις ἦν ἐπ' ὄνου καθέζεσθαι, ὃς τὴν Ἰουδαίαν καὶ Γαλιλαίαν ἅπασαν διῄει πεζός· ἀλλὰ τὸ ἔποχον αὐτὸν ἐπὶ τοῦ πώλου θεωρεῖσθαι, δηλοῖ τὸ ἐπὶ τοῦ Cap. XVIIII. 30.
B νέου λαοῦ καθέζεσθαι τὸν οὐράνιον ἡγεμόνα καὶ βασιλέα τῆς Ἱερουσαλήμ· τὸ γὰρ νέον τῆς κλήσεως ἐδήλωσεν ὁ πῶλος· ἀκριβέστατα δὲ Ματθαῖος τὴν ὑποτύπωσιν τῶν πραγμάτων γεγενημένην ἔδειξεν, οὐ μόνον τοῦ πώλου μνημονεύων ἀλλὰ καὶ τῆς ὄνου ἑπομένης· ὅτι καὶ ὁ Ἰσραὴλ ὕστερον ἀκολουθήσει τῷ νέῳ λαῷ, καθὰ τότε ἡ μή-
C τηρ τῷ πώλῳ· ὅτι γὰρ ἐπὶ τὸν πῶλον ἐκαθέσθη, δηλοῦσιν οἱ λοιποὶ, οἱ καὶ μόνου τοῦ πώλου μνημονεύσαντες ἀγομένου πρὸς τὸν Ἰησοῦν· ὁ δὲ Ματθαῖος εἰπὼν καὶ τὴν ὄνον ἀχθεῖσαν, καὶ ἐπάνω αὐτῶν καθεσθέντα τὸν κύριον, οὐδή που ξυνωρίδα γενομένην τοῦ τε πώλου καὶ τῆς μητρὸς λέγει· πῶς γάρ; ἀλλ' ἑπομένην τὴν ὄνον·
D δεδεμένος δὲ ὁ πῶλος καὶ ἡ ὄνος τοὺς προσδεδεμένους τοῖς ἀνθρωπίνοις πράγμασιν ἔδειξε λαοὺς, καὶ μὴ ἀνέτους εἰς τὸ δέξασθαι τὴν ἐπίβασιν τοῦ κυρίου· ἀνιέμενοι δὲ διὰ τὸ θεῖον ἐπίταγμα τοῦ κυρίου, μηδενὸς ἀποκωλῦσαι δυνηθέντος, εἰ καὶ βούλονται κωλύειν τινὲς, ὡς αὐτοὶ δεσπόται· ἀλλ' ἐάν τις ὑμῖν εἴπῃ τί φησιν, ἐρεῖτε
E ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει· θεία δὲ κλῆσις ἐν τούτῳ δεδήλωται.

Invenietis pullum alligatum. Prodigium huic rei inesse patet. Neque enim ex olearum colle Hierosolyma ingredienti Domino opus erat in asello sedere, qui Iudaeam Galilaeamque pedester obibat. Verum eius in pullo equitatio significat caelestis ducis atque regis Hierosolymorum in novo populo thronum. Novitatem quippe vocationis demonstrabat pullus. Sed tamen Matthaeus accuratissime gestarum rerum imaginem deformavit, qui non pulli tantummodo sed asinae quoque sequentis mentionem fecit: quia videlicet ad extremum Israel novum populum subsequetur, velut eo tempore pullum mater. Sane quod in pullo equitaverit, significant ceteri, qui et unius pulli meminerunt ad Iesum adducti. Matthaeus vero dum asinam quoque ad Iesum adductam ait, illisque insidentem Dominum, haud bigam de matre pulloque factam dicit. Qui enim id fieret? sed sequentem asinam significat. Porro pullus alligatus et asina irretitos humanis negotiis populos ostendunt, neque recipiendae Domini sessioni vacantes: qui ceteroqui divino Domini nutu solvuntur, quin vetare quisquam possit, etiamsi herili potestate contradicere velit. Siquis, inquit, vobis aliquid dixerit, Dominum his opus habere respondebitis: quibus verbis divina vocatio demonstrata fuit.

Cap. XX. 2. Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; Ἀπολιναρίου. Τίς ὢν, A
καὶ πόθεν τὸ ἀξίωμα εἰληφὼς τὸ ὑπὲρ ἡμᾶς, ἀποκωλύεις ἅπερ
ἡμεῖς οὐκ ἐκωλύσαμεν ἐν τῷ παντὶ χρόνῳ, διελέγχων τὴν ἡμετέραν ἐπιστασίαν, καὶ καταισχύνων ὡς ἀμελῶς ἔχοντας περὶ τὸ τῷ ἱερῷ πρέπον; ἔδει δὲ οὐκ ἐρωτᾶν, ἀλλ' εἰδέναι μάλιστα μὲν ἐκ τῶν ἄνω προφητῶν· εἰ δὲ μὴ τὴν Ἰωάννου μαρτυρίαν ἔναυλον B
τῇ μνήμῃ φέροντας, ὅτι οὗτος ἐστὶν ὁ προσδοκώμενος πάλαι σωτὴρ τοῦ κόσμου, καὶ γινώσκειν τὴν ἐξουσίαν καὶ μὴ ζητεῖν περὶ αὐτῆς. N.

3. Ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα. Ἀπολιναρίου. Ἐχρῆν μὲν οὖν ἀπὸ τῶν προφητῶν ταῦτα εἰδέναι· ἐπεὶ δὲ οὐ συνίασιν, C
ἄντικρυς μὲν μαρτυρεῖν ἑαυτῷ ὁ κύριος ἐκκλίνει, Ἰωάννην δὲ παρέχεσθαι μάρτυρα βούλεται· ἐπειδὴ δὲ οὐκ ἀποδεξαμένοις οὐδὲ τὸν Ἰωάννην διαλέγεται, διὰ τοῦτο πρότερον ἐρωτᾷ περὶ τοῦ Ἰωάννου ἥν τινα γνώμην ἔχουσιν· εἰ γὰρ ἐκεῖνον ἦσαν ἀποδεδεγμένοι, πάντως καὶ τὴν μαρτυρίαν ἀκόλουθον ἦν ἀποδέξασθαι· καὶ D
οὕτως ἂν ἠπίσαντο τὴν ἐξουσίαν· ἀναγκαίως οὖν ἐρωτᾷ διὰ ταῦτα περὶ τῆς χάριτος τῆς ἐν Ἰωάννῃ· αὕτη γὰρ αὐτὸν ἔντιμον καὶ ἀξιόπιστον καθίστησι μάρτυρα· καὶ εἴπατέ μοι φησὶ, πότερον ἐκ θεοῦ ἦν τὸ βάπτισμα Ἰωάννου, ἢ ἀνθρώπινον; τὸ γὰρ ἐξ οὐρανοῦ λέγων, τὸ ἐκ θεοῦ δεδήλωκε· λέγουσιν, οὐκ οἴδαμεν· καὶ E

In qua potestate haec facis? Quis tu, aut qua dignitate apud nos praeditus, id vetas quod nos nullo tempore prohibuimus? ministerium interim nostrum vituperans, infamiamque creans, quasi rem sacram segniter curemus. Atqui non tam sciscitari, quam e superioribus prophetis id cognoscere opus erat. Praeter quam quod recens erat apud eos Iohannis testimonium dicentis hunc illum esse iamdiu expectatum mundi servatorem: atque ita potestatem agnoscere oportuit non scrutari.

Rogabo et ego vos unum verbum. Oportuisset quidem haec a prophetis eos didicisse: quod quoniam minime sciebant, declinat sane Dominus quominus manifeste de se testetur, datque operam ut Iohannis testimonio utatur. Sed quoniam alloquitur homines qui ne Iohannem quidem probabant, idcirco in primis rogat eos quodnam iudicium de Iohanne habeant? Etenim si hunc probabant, prorsus consequebatur ut testimonium quoque reciperent: atque ita Iesu potestatem agnoscerent. Igitur necessario his verbis interrogat de Iohannis gratia; quae sane hunc honorabilem gravemque testem efficiebat. Ergo mihi dicite, inquit, Iohannis baptisma a Deo ne sit an humanum? Nam cum ait e caelo, rem a Deo manantem significat. Illi aiunt se nescire: qui-

A πρὸς τοῦτο ὁ σωτὴρ ἀκολούθως, οὐδὲ ἐγὼ λέγω ὑμῖν, φησι, ἐν
ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ· τοῦτο δέ ἐστι, τὸ οὐ δύνασθε οὐδὲ
περὶ ἐμοῦ ἀκούειν ὅστις εἰμί, ἐπεὶ τὸν μάρτυρα οὐ δέχεσθε, ὃς
ἦλθεν εἰς μαρτυρίαν ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός· εἰ γὰρ ἠπί-
στασθε ὅτι τὸ φῶς εἰμι τὸ ἀληθινὸν, ἔγνωτε ἂν ὅτι εἰκότως ἀφαι-
B ρῶ τὸν σκότον τῆς φιλοκερδείας ἀπὸ τοῦ ἱεροῦ. N.
Πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν· ἴσως τοῦτον ἰδόντες 13.
ἐντραπήσονται. Ἀπολιναρίου. Οὐχ ὡς ἀγνοοῦντος μέν τοι τὸ
ἀποβησόμενον τοῦ πέμποντος εἴρηται τὸ, ἴσως τοῦτον ἐντραπή-
σονται, ἀλλ᾽ ὡς τοῦ πράγματος ἔχοντος τὸ ἄξιον ἐντροπῆς· δού-
C λους δὲ πρώτους λέγει τοὺς ἐν καιρῷ Ἠλίου, ὅτε τοὺς πλείονας
ἀνεῖλεν Ἰεζάβελ· δευτέρους δὲ τοὺς περὶ τὸν Ἀμὼς καὶ Ὠσηὲ
καὶ Ἠσαΐαν, ὑφ᾽ ἓν τάγμα κειμένους παρὰ τῷ Ματθαίῳ, μέχρι
τῶν τελευταίων, τῶν περὶ Ἱερεμίαν καὶ Ἰεζεκιὴλ καὶ Δανιήλ[1]·
ὁ δὲ Μάρκος καὶ Λουκᾶς εἰς τρία διεῖλον μέρη τὴν τῶν προφητῶν
D ἀποστολήν· δοῦλον λέγοντες ἀπεσταλμένον, πρῶτον καὶ δεύτε-
ρον καὶ τρίτον, ἵν᾽ οἱ περὶ τὸν Ἡσαΐαν δήπου κεχωρισμένως εἰσά-
γωνται, τῶν περὶ τὸν Ἰεζεκιὴλ τελευταίων ὄντων· καὶ κατὰ ταύτην
γε τὴν διαίρεσιν τὸ τὰ τρία ἔτη ἔρχομαι καρπὸν ζητῶν ἐν τῇ
συκῇ ταύτῃ καὶ οὐχ εὑρίσκω, εἰς τοὺς προφήτας ἂν λέγοιτο· ἵνα
E τὸ τέταρτον ἔτος ᾖ, τὸ τῆς παρουσίας τοῦ κυρίου· ἐπάγει δὲ ἡ

bus consequenter subdit servator: ne ego quidem vobis dico, in qua potestate haec facio. Hoc est, fieri nequit ut quis ego sim intelligatis, quoniam testem non recipitis, qui venit ut testimonium lumini perhibeat. Nam si me verum lumen esse crederetis, profecto non ignoraretis me avaritiae tenebras iure meritoque de templo pellere.

Filium meum dilectum mittam: hunc ubi aspexerint, fortasse reverebuntur. Haec ait, non quia mittens nesciret quid eventurum esset, sed quia reapse negotium reverentia dignum erat. Primos autem servos ait illos aetate Eliae, quos plurimos occidit Iezabel. Posteriores intelligit Amosum, Oseam, Isaiam, uno ordine positos apud Matthaeum, usque ad postremos Hieremiam, Ezecielem, Danielem. Marcus vero Lucasque in tres dividunt partes prophetarum missionem: narrant enim famulum primum, alterum, tertiumque missum; ut Isaiam cum aliis seorsum sistant; postremusque Ezeciel item cum aliis sit. Iuxtaque hanc divisionem illud etiam, *tertio iam anno fructum ab hac ficu petens, nullum invenio*, ad prophetas refertur; ita ut quartum in annum adventus

(1) Huc usque extat scholion Apolinarii etiam in alio codice vaticano.

παραβολὴ τὸ κατὰ τȣ̃ κυρίου τόλμημα, ὅτι ἐξέβαλον αὐτὸν A
ἔξω τȣ̃ ἀμπελῶνος, τουτέστιν ἔξω τῆς πόλεως καὶ τȣ̃ ναοῦ, ϗ
ἀπέκτειναν. N.

81. Ἐπερώτησαν αὐτὸν λέγοντες. Ἀπολιναρίου. Οὗτοι μέν τοι
οἱ ἡρωδιανοὶ μετὰ τῶν φαρισαίων προσῄεσαν τῷ κυρίῳ, ϗ πα-
γίδα αὐτῷ ἡτοίμασαν ὡς ᾤοντο δυσδιάφυκτον· εἰ μὲν γὰρ εἶπε B
δεῖν δοῦναι Καίσαρι φόρους, διαβλητέος πρὸς τὸν λαὸν ἔμελ-
λεν ἔσεσθαι, ὡς τὸ ἔθνος καταδουλῶν· εἰ δὲ ϗ ἐκώλυσεν, οἱ τȣ̃
ἡγεμόνος συνέλαβον ἂν αὐτόν· διὰ τοῦτο ϗ τὰ ἐγκώμια ϗ ἡ μαρ-
τυρία τȣ̃ ἀληθεύειν ἅπαντα, ϗ πᾶσαν πρᾶξιν ὀρθὴν μετὰ παῤ-
ῥησίας ὑποτίθεσθαι· αὕτη γὰρ ἡ ὁδὸς τȣ̃ θεοῦ τὸ μὴ φροντίζειν C
τινός, μηδὲ ὑποστέλλεσθαι πρόσωπον· ταῦτα γὰρ φασὶν ὥστε
ὑπαγαγεῖν αὐτὸν καταφρονῆσαι μὲν τȣ̃ ἄρχοντος, ἀπαγορεῦσαι
δὲ τοὺς τελουμένους τῷ βασιλεῖ φόρους· εἰδότας ὅτι ϗ Ἰουδας ὁ
γαλιλαῖος εἰσηγησάμενος μὴ ὑπακούειν βασιλεῖ, μὴ δὲ ἀπογρά-
φεσθαι τὰς οὐσίας, ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ D
διεσκορπίσθησαν· πρὸς δὲ τὴν τοιαύτην πεῖραν ὁ τȣ̃ σωτῆρος λό-
γος πρῶτον μὲν αὐτὸ ἐξελέγχει ὅτι πειράζουσιν, ἵνα μὴ δὲ ὡς
λαθόντες αὐτὸν μέγα φρονῶσιν, ἀλλ' εἰδῶσιν ὅτι καὶ τὰ ἐγκάρ-
δια γινώσκει· εἶτα κελεύει τὸ ἀργύριον προσενεχθῆναι αὐτῷ τὸ
τῷ βασιλεῖ τελούμενον· καὶ οὐχ ὅτι ἀγνοεῖ τὴν ἐπιγραφήν, ἀλλ' E

Domini incidat. Addit autem parabola facinus adversus dominum, quod eum vinea expulerint, hoc est urbe ac templo, ac denique occiderint.

Rogaverunt eum dicentes. Herodiani hi sunt, qui cum Pharisaeis venerunt ad Dominum, eique laqueum ut ipsi quidem opinabantur aegre vitabilem tetenderunt. Nam si tributum Caesari dandum diceret, in odium populi incurreret, quasi servitium gentis praegravaret. Sin forte prohibuisset, praesidis utique satellites eum comprehendissent. Hinc illae praeviae laudes, et quod in omni re veritati studeret, et quod confidenter quidquid bene visum esset faceret: quia haec scilicet via Domini esset, neminis rationem habere neque alicuius aspectum reformidare. Sic aiunt, quo ei praesidis contemptum suadeant, atque ut ipse principi tributum pendere vetet. Noverant enim Iudam quoque galilaeum, deterrentem homines ab observantia principis atque a re familiari censui subiicenda, morti traditum, et quotquot ei auscultabant dispersos. His insidiis occurrens servatoris sermo, primo quidem hoc ipsum arguit quod se tentarent; ne forte se nescium fefellisse gloriarentur, immo vero agnoscerent, se mentium quoque arcana scire. Deinde iubet denarium proferri quem principi penderent: neque sic loquitur, quia nesciret inscriptionem,

A ἵνα [a] ἐκ τοῦ θεωρουμένου τὴν ἀπόκρισιν εὐλόγως ποιήσηται· καὶ ἐξ ὧν ἀποκρίνονται τὸ ἑπόμενον ἀκούσωσι. N.

Ἀπολιναρίου. Τὸ ὡς ἄγγελοι τοῦ θεοῦ ἐν οὐρανῷ, οὐχ τοὺς xx.36.
ἀνθρώπους ἔσεσθαι ἐν οὐρανῷ δηλοῖ [1], ἀλλ' ὡς τοὺς οὐρανίους ἀγγέλους· ὁ γὰρ Μάρκος οὕτω φησὶν [b], ἔσονται ὡς ἄγγελοι ἐν οὐ-
B ρανῷ· ὥσπερ γὰρ τὸ ἀγγελικὸν πλῆθος πολὺ μὲν ὄν, οὐ μὴν ἐκ γεννήσεως αὐξηθὲν, ἀλλ' ἐκ δημιουργίας ὑπάρχον, ἄπειρόν ἐστιν, οὕτω καὶ τὸ ἀνιστάμενον πλῆθος τῶν ἀνθρώπων· ὅτι δὲ γενήσεται ἀνάστασις καὶ οὐκ ἀδύνατον τὸ πρᾶγμα τοῦτο ἐξ ἐπαγγελίας τοῦ θεοῦ δείκνυσι καὶ οὐκ ἐκ φυσιολογίας· ἴσμεν γὰρ ὅτι
C καὶ πρὸς τὴν λέξιν ταύτην οἱ ἀπὸ Μαρκίωνος καὶ Οὐαλεντίνου ἔτι μάχονται, εἰς ψυχὰς ἀνάγοντες τὸν λόγον· ταύτας γὰρ ζῆν, καὶ περὶ τούτων εἰρηκέναι τὸν κύριον φασὶν, ὡς τούτων ὄντος θεοῦ· οὐ-

verum ut e re oculis subiecta concinnam ipse responsionem faceret, illique consentanea suis dictis audirent.

Verba *sicut angeli Dei in caelo* haud homines in caelo futuros significant, sed caelestibus angelis similes evasuros. Etenim Marcus ait futuros ut sunt angeli Dei in caelo. Nam sicuti angelorum numerus permultus est, neque tamen procreationibus auctus, sed creatione infinitus est; ita erit resurgentium quoque hominum multitudo. Quod autem futura sit resurrectio, neque ea res impossibilis sit, Dei promissione non physica doctrina ostendit. Sane novimus Marcionitas ac Valentinianos adhuc hanc lectionem oppugnare, dum haec verba ad animas referunt. Has nimirum vivere, et de his locutum Dominum aiunt, tamquam harum reapse Deum. Atqui Sadducaei non

(a) Deest in cod. ἵνα. (b) Cap. XII. 25. Scribe autem οἱ ἐν οὐρανῷ; nam praecedens οἱ vocis ἄγγελοι sequentem absorpsit.

(1) Si Apolinarius prae oculis habet primam, id est iustorum, ut aiunt millenarii, resurrectionem, post quam ipsi existimant vitam iustos in hoc orbe diu producturos, caelestem moribus et visione Dei, sed terrenam incolatu, donec in caelum denique abripiantur, is absurdam quidem sed non haereticam, ut arbitror, sententiam sequitur. Sin hominum corpora numquam in caelo futura ait, is ab ecclesiae catholicae doctrina aperte discedit. Apolinarii futilia de millenario regno dogmata reprehenduntur in Cyrilli apologetico concil. ephes. ed. Colet. tom. III. p. 1366. Eiusdem Apolinarii libros de resurrectione fabulosos et iudaizantes vituperat magnus Basilius ep. CCLXIII et CCLXV, itemque Hieronymus prolog. lib. XVIII. in Isaiam. Idem Hieronymus ibidem commemorat veterum, praesertim haereticorum, de animarum et humanae carnis statu controversiam, quam infra videtur attingere Apolinarius. Sane animas defunctorum statim post hominis obitum praemium vel poenam pro meritis consequi ante corporum etiam resurrectionem confessa est graeca simul latinaque ecclesia in generali concilio florentino ed. praedict. tom. XVIII. p. 30-31, quum antea pars aliqua Graecorum super ea re dissentiret, ac piorum animas ante corporum resurrectionem nonnisi tranquilla quadam spe aut visione frui modice opinaretur. Gravissima denique sollemnisque fuit sententia dicta a Iohanne papa XXII circa piarum animarum a corporibus secretarum non dilatam beatitudinem. Multo tamen antea magnus Gregorius papa doctrinam hanc diserte tradiderat dialog. IIII. 25; ne alios auctores in re notissima et certissima laudem.

δέπου δὲ σαδδουκαίοις περὶ ψυχῶν ἦν ἡ ἀντιλογία, ἀλλὰ περὶ A
σωμάτων [1], ὥστε περὶ τούτων ἡ ἀπόκρισις· λέγεται δὲ τότε ἀνί-
στασθαι ὁ νεκρὸς ὅταν μετὰ σώματος ἡ ψυχή· οὐχ ὡς τῆς ψυ-
χῆς ἐν τῷ μεταξὺ διαλελυμένης, ἀλλ' ὡς ἀπρακτούσης καὶ τὰ
τῆς ζωῆς ἴδια ὅσα μετὰ σώματος οὐκ ἐχούσης· ἓν γάρ τοι τὸ
συναμφότερον ἐστὶν ἄνθρωπος, καὶ ἡ ζωὴ κοινὴ, καὶ ἑκατέρου δεῖ B
πρὸς τὸ τὴν ἐκ θανάτου ζωὴν πάλιν συστῆναι· ἐμήνυσεν ἐπὶ τῆς
βάτου· ἐδήλωσεν ἐπὶ τῆς γραφῆς τῆς βάτου· αὕτη δὲ ἱστόρη-
ται ἐν τῇ βίβλῳ τῆς ἐξόδου.

Cap. XXII. Ἐγένετο δὲ φιλονεικία ἐν αὐτοῖς τὸ τίς αὐτῶν δοκεῖ εἶναι
24. μείζων. Ἀπολιναρίου. Ἡ ἐν αὐτοῖς γενομένη φιλονεικία τὸ τίς C
αὐτῶν δοκεῖ μείζων εἶναι, φαίνεται τοιαύτην ἔχουσα τὴν κίνησιν,
ὡς ἐπειδήπερ ὁ κύριος ἐξ ἀνθρώπων μεθίσταται, δέοι τινὰ ἐξ αὐ-
τῶν, τῶν ἄλλων ἡγεμόνα γενέσθαι, ὥσπερ ἐν τάξει τῇ τοῦ κυ-
ρίου· ὁ δὲ σωτὴρ αὐτὸ τοὐναντίον παρεγγυᾷ μὴ ζητεῖν τὸ πρωτεῖον
καὶ τὸ προστατεῖν τῶν ἄλλων. D

48. Φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; Ἀπολιναρίου.
Σημεῖον τὸ φίλημα δέδωκας ὁ προδιδοὺς, διὰ τὸ καὶ μᾶλλον
πλησιάσαι δύνασθαι κατὰ τὴν συνήθειαν; καὶ ὁ κύριος φιλοῦντα
μὲν αὐτὸν οὐκ ἀπεστράφη, τῇ τε συνήθει πραότητι καὶ προσελέγ-
χων ἔδειξε δὲ αὐτῷ, ἵνα μὴ νομίζῃ λανθάνειν, ὅταν οὐκ ἐπὶ τοῦ- E

animarum sed corporum dogmati adversabantur: quare de corporibus responsum fit. Dicitur autem tunc resurgere mortuus, cum anima in corpus redit: non quia interim dissoluta fuerit anima, sed quia veluti sine humanis actibus mansit, neque vitam cum corpore communem habuit. Rei quippe utriusque coniunctio homo est, et vita communis; neque utraque opus est ad vitam denuo post obitum redintegrandam. Rem porro commemoratione dictorum apud rubum demonstravit, quae historia in exodi libro scribitur.

Facta est contentio inter illos quis eorum videretur esse maior. Contentio inter eos de principatu excitata videtur inde habuisse ortum, quia mox Domino ex hominibus excessuro, necesse videbatur aliquem reliquorum ducem fieri, ac Domini veluti stationem tenere. Verumtamen servator contrarium mandat, ne primatum videlicet adpetant, atque ut ne ceteris praeesse velint.

Osculo filium hominis prodis? Osculi signo uteris proditor, ut facilius me adeas ob veterem consuetudinem? Et Dominus quidem osculantem non aversatur; tum solita mansuetudine reprehendens demonstrat ei (ne is forte

(1) Act. XXIII. 8.

A τὸ αὐτὸν δέχεται ὅπερ σχηματίζεται διὰ τοῦ φιλήματος, ἀλλ' ἐπ' ἐκεῖνο ἐφ' ὅπερ ἥκει καὶ βούλεται τοῦ ἐπιτελέσαι.

Αὕτη ὑμῖν ἐστιν ὥρα. Ἀπολιναρίου. Τουτέστιν ὁ τῆς συγ- 53.
χωρήσεως καιρός.

Εἰ σὺ εἶ ὁ χριστὸς, εἰπὲ ἡμῖν· εἶπε δὲ αὐτοῖς κ. τ. λ. Ἀπο- 67.
B λιναρίου. Ἐλέγχοντος μέν τοι ἦν αὐτοὺς τὸ εἰρημένον, ὅτι οὐ παντελῶς διαλέληθεν αὐτοὺς τὸ πρᾶγμα διὰ τὴν ἐκ τῶν σημείων ἐπίγνωσιν· πόθεν γὰρ τὸ λέγειν τοῦτον μόνον χριστόν, ὅπερ ἐφ' ἑτέρων οὐκ εἰρήκασιν; ἐπιφέρει δὲ τὸ τῆς κρίσεως, ἀπειλῶν ὅτι ὄψονται αὐτὸν ἐν τῇ οὐρανίᾳ δόξῃ φαινόμενον· ἀλλ' ὅμως ἀκού-
C σαντες οὐκ ἔπτηξαν οὐδὲ ἐφυλάξαντο, ἀλλὰ βλασφημίαν εἶπον εἶναι τὸν λόγον· οὕτως οὐκ εἰς ὠφέλειαν τοῖς ἀνηκόοις αἱ τῶν μυστηρίων ἀποκαλύψεις, ἀλλ' εἰς κατάκρισιν· τὸ δὲ ὑμεῖς λέγετε ὅτι ἐγώ εἰμι, φησὶ προσλαμβάνων καὶ τὴν ἐκείνων ἀκόντων μαρτυρίαν· εἰ γὰρ περὶ αὐτοῦ λέγουσιν ὃ περὶ μηδενὸς ἑτέρου,
D δῆλοι γίνονται μείζονα ἐν αὐτῷ καὶ οἷα οὐκ ἐν ἑτέρῳ τινὶ κατειληφότες· οὐδεμίαν γὰρ ἔχει χώραν εἰς ὑποψίαν τὸ πρᾶγμα, τὸ μηδαμόθεν εὐλόγως δυνάμενον ὑποπτεύεσθαι· διόπερ φησὶ ὅτι ὑμεῖς λέγετε ὅτι ἐγώ εἰμι, τουτέστιν ἄκοντες μαρτυρεῖτε· δύναμιν ὁμολογίας ἐχούσης ὑμῶν τῆς ἐρωτήσεως· οὐ γὰρ ἂν ἐπύθεσθε περὶ οὗ μηδὲν
E ἂν ἠρώτησεν ἕτερος, εἰ μὴ τὸ πρᾶγμα ἦγεν εἰς τὴν ὑπόληψιν. N.

Iesum se celare putaret) minime eum se recipere ad id quod osculo simulabat, sed ad facinus cuius patrandi causa venerat.

Haec est hora vestra. Hoc est indulgentiae meae tempus.

Si tu es Christus, dic nobis. Respondit autem eis etc. Christi responso redarguuntur; neque enim res eos latebat, qui prodigia resciverant. Cur enim hunc solum dicebant Christum, quam appellationem ceteris non impertiebant? Quamobrem sententiam servator fert; minatur scilicet fore ut se videant caelesti gloria circumdatum. Neque tamen dicto territi sunt, neque saluti suae consuluerunt; immo sermonem blasphemiae insimulaverunt. Adeo mysteriorum revelationes nil prosunt contumacibus, vel potius eosdem damnant! Iam verba *vos me esse dicitis* idcirco ait, ut vel invitorum testimonium recipiat. Si enim de illo dicunt, quae nemini praeterea tribuunt, satis declarant se maius aliquid in eo quam in ceteris deprehendisse. Nullus enim suspicioni locus est, nisi alicunde recta coniectura fieri possit. Ait ergo *vos me esse dicitis*, hoc est inviti mihi testes adestis. Habet quippe confitendi vim sciscitatio vestra. Neque enim interrogaretis de eo quod alius nemo percontaretur, nisi vobis ipsa res suspicionem iniiceret.

Cap. XXIII. 39. Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτόν. A
Ἀπολιναρίου. Ἀπλούστερον μὲν ὁ Ματθαῖος εἶπεν ὅτι καὶ συσταυρωθέντες ὠνείδιζον αὐτῷ· ἀκριβέστερον δὲ ὁ Λουκᾶς ἕνα φησὶν εἶναι τὸν βλάσφημον· εἰκὸς δὲ ἦν καὶ τοὺς δύο πρότερον βλασφημεῖν, οὐκ εἰδότας ἐφ' ᾧ κατεκρίθη· μαθόντας δέ, τὸν μὲν ἕτερον μεταβαλέσθαι, τὸν δὲ ἕτερον ἀμετάθετον ἔχειν τὴν πονη- B
ρίαν· πολλοὺς γὰρ ἂν ἴδοι τις ἐφ' ὁμοίοις καταδικασθέντας, καὶ τοὺς μὲν ὁμολογοῦντας καὶ καταψηφιζομένους ἑαυτῶν, τοὺς δ' ἀρνουμένους καὶ ἐφ' ὁμολογουμένοις. N.

XXIIII. 1. Ἀπολιναρίου. Παραγενέσθαι μέν τοι τὰς γυναῖκας φησὶν ἐπὶ τὸν τάφον ὁ μὲν Ματθαῖος ὀψὲ σαββάτων, ὁ δὲ Λουκᾶς C
ὄρθρου βαθέος, καὶ Ἰωάννης μιᾷ τῶν σαββάτων πρωῒ σκοτίας οὔσης· ὡς φαίνεσθαι προκεκοφυῖαν τὴν νύκτα πολύ, καὶ πρὸς ἡμέραν εἶναι· τὸν γὰρ τοιοῦτον καιρὸν, δυνατὸν καὶ ὀψὲ σαββάτων καλεῖσθαι, καὶ βαθὺν ὄρθρον τῆς μιᾶς τῶν σαββάτων· λίαν δὲ πρωῒ καὶ ὁ Μάρκος εἰπών, τὸν νυκτερινὸν ἔτι τῆς ὥρας ἐδήλω- D
σε· δῆλον γὰρ ὅτι οἱ μὲν μίαν σαββάτων εἰπόντες, τὴν ἀναστάσιμον ἡμέραν ἐβουλήθησαν ἐπιδεῖξαι· ὁ δὲ Ματθαῖος τὸ ὀψὲ σαββάτων λέγων, τὴν ἀρχὴν τῆς ἀναστάσεως δηλοῖ· ἄρχεται γὰρ ὁ σαββατισμὸς ἰουδαίοις καὶ πᾶσα ἑορτὴ νόμιμος ἀπὸ ἑσπέρας. E

Maleficorum autem cruci pariter fixorum unus blasphemabat eum. Simplicius Matthaeus ait eos quoque qui pariter crucifixi erant convicia ingessisse. Ceteroqui accuratius Lucas unum ait blasphemum fuisse. Opinari vero licet utrumque antea blasphemum fuisse, quoad causam damnandi Iesu nesciverunt: qua mox cognita, alter quidem mentem immutavit, alter in malitia perseveravit. Profecto multos videre licet eodem damnatos crimine, quorum alii et rem fatentur et sibi ultro poenam irrogant, alii manifestum etiam scelus infitiantur.

Ad sepulcrum venisse mulieres ait Matthaeus sero sabbatorum; Lucas profundo mane; Iohannes una sabbatorum mane tenebris adhuc obtinentibus. Hinc patet noctem admodum provectam fuisse, neque a luce diurna abfuisse. Tempus enim huiusmodi appellare licet et sero sabbatorum, et profundum mane unius e sabbatis. Iam et Marcus valde mane dicens, nocturnam adhuc fuisse horam significavit. Porsus constat, qui unam sabbatorum dixerunt, eos diem resurrectionis voluisse ostendere; Matthaeum sero sabbatorum dicentem, resurrectionis initium demonstravisse. Iudaicus enim sabbatismus atque omne legale festum vespere initium capit.

ΕΚ ΤΗΣ ΦΩΤΙΟΥ

ΕΙΣ ΤΟΝ ΛΟΥΚΑΝ ΕΡΜΗΝΕΙΑΣ·

A Οὗτος ἔσται μέγας. Φωτίου. Μέγας ἔσται ὅπερ ἦν, Cap. I. 32.
εἰ καὶ τὴν βραχύτητα τῆς σαρκὸς ὑποδύεται· οὐδὲ γὰρ ἡ τῆς
ἀνθρωπότητος πρόσληψις τὸ μέγεθος κατασμικρύνει τῆς θεότη-
τος, ἀλλὰ συνυψοῦται μᾶλλον αὐτῇ τὸ ταπεινὸν τῆς ἀνθρωπό-
τητος· μέγας οὖν ἔσται καὶ μετὰ σάρκωσιν, καὶ ὑψίστου κλη-
B θήσεται· οὐκέτι γὰρ σὺ καλέσεις, ἀλλ' ἐκεῖνος κληθήσεται· πα-
ρά τινος; παρὰ τοῦ πατρὸς δηλονότι· οὐδεὶς γὰρ οἶδε τὸν υἱὸν εἰ
μὴ ὁ πατήρ· ἐξ οὗ γὰρ ἡ τοῦ υἱοῦ ἄρρητος καὶ ὑπεραιώνιος γέν-
νησις, οὗτος αὐτὸς καὶ τὴν ἀψευδῆ κατάληψιν κέκτηται· παρ'
οὗ δὲ γνῶσις ἀληθὴς τοῦ γεννήματος, οὗτος ἐπιθεῖναι καὶ γνῶσιν
C κατάλληλον ἀξιόπιστος· διὸ καί φησιν ὁ τῶν ὅλων θεὸς καὶ πα-
τὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, οὗτός ἐστιν ὁ υἱός μου ἀγα-
πητός· ἔστιν οὖν ἀεὶ, εἰ καὶ νῦν ἡ κλῆσις αὐτοῦ εἰς ἡμετέραν δι-
δασκαλίαν καὶ ἐπίγνωσιν πεφανέρωται· διὰ τοῦτο καὶ κληθήσε-
ται φησὶ, οὐ γενήσεται· ἦν γὰρ καὶ πρὸ αἰώνων τῷ ὁμοουσίῳ
D συνεδριάζων πατρί.

PHOTII

COMMENTARIORUM IN LUCAM SPECIMEN.

Hic erit magnus. Huic magnitudo sua constabit, etiamsi is carnis brevitatem subiit. Neque enim humanitatis assumtio amplitudinem imminuit divinitatis, immo vero cum hac extollitur humanae quoque naturae humilitas. Magnus itaque erit post incarnationem, atque altissimi filius vocabitur. Porro haud tu sic eum vocabis, sed ipse vocabitur. Quonam autem nomenclatore? patre scilicet: nemo enim nisi pater filium novit. Nam cuius est inenarrabilis ac sempiterna filii generatio, idem haud fallacem illius intelligentiam habet. Iam cui verax geniti notitia est, ipse congrui nominis idoneus auctor fit. Reapse Deus omnium et pater domini nostri Iesu Christi, hic est, ait, filius meus dilectus. Semper itaque est, quamvis eius appellatio nunc demum ob eruditionem nostram cognitionemque propalata fuerit. Idcirco vocabitur, ait, non fiet. Quippe ante saecula consubstantiali patri adsidebat.

51. Ἐποίησε κράτος. Φωτίου. Οὐχ ὡς πάλαι διὰ Μωσέως A
ἐπὶ αἰγυπτίους· οὐδὲ διὰ Ἰησοῦ τοῦ Ναυῆ, ὡς τότε ἱεριχούντεια
τείχη κατασείων· οὐδὲ δι᾽ ἀγγέλου, ὡς ἡνίκα τὰς ἑκατὸν ὀγδοή-
κοντα πέντε χιλιάδας κατεστρώννυεν· ἀλλὰ διὰ τοῦ ἰδίου βρα-
χίονος [1]· καὶ κατετροπώσατο οὐκ αἰγυπτίους ἢ ἀσσυρίους, ἀλ-
λὰ πάντα λογισμὸν ὑπερήφανον, τουτέστιν τὸν μὴ ὑποκύπτοντα B
τῇ παρουσίᾳ αὐτοῦ.

Διεσκόρπισεν ὑπερηφάνους. Φωτίου. Τίνας τούτους; τὰς
διανοίας· τίνος; τῆς καρδίας αὐτῶν· τουτέστιν ἃς οἴκοθεν καὶ
ἀπὸ καρδίας ἔσχον ὑπερηφάνους διανοίας, εἰς τὸ μὴ πιστεῦσαι
αὐτῷ, ταύτας διεσκόρπισε καὶ διεσκέδασε καὶ σαθρὰς ἀπήλεγ- C
ξεν· ἢ διεσκόρπισε τοὺς ὑπερηφάνους διανοίᾳ, καὶ τὰς τούτων
αὐτῶν καρδίας, τὰς βουλὰς αὐτῶν τὰς καθ᾽ ἡμῶν, ἀπρακτῆσαι
ποιήσας· διεσκόρπισεν οὖν ἀληθῶς καὶ ἐλίκμησε τὰς ὑπερηφά-
νους διανοίας τῶν μὴ πιστευσάντων αὐτῷ, οὐδὲ σκιὰν ἀπολο-
γίας αὐτοῖς ἀπολιπών· ἀπὸ γὰρ οἰκείας καρδίας, καί τοι τοσαῦ- D
τα ἔχοντες τὰ δυσωποῦντα αὐτούς, ἐφυσιώθησαν καὶ ἐματαιώ-
θησαν· μή τε τὴν τῆς γραφῆς αὐτῶν παράβασιν εἰς τὸ πιστεῦ-
σαι αἰτιᾶσθαι ἔχοντες· εἴ γε πλήρης αὕτη τῶν περὶ τῆς παρ-

Fecit potentiam. Non ut olim per Mosem adversus Aegyptios; neque ut per Iesum Navi filium, cum Hierichuntis moenia quassavit; neque per angelum, veluti cum millia hominum centum et octoginta prostravit: sed in brachio suo fecit potentiam; subvertitque non Aegyptios aut Assyrios, sed superbarum mentium consilia, quae videlicet eius adventum nequaquam obsequio debito prosequebantur.

Dispersit superbos. Quinam hi sunt? nempe cogitationes. Cuiusnam vero? cordis eorum: nimirum quas in penetralibus cordis versabant cogitationes, quominus Christo crederent, has dispersit ac dissipavit futilesque coarguit. Vel, dispersit mentis superbae homines; atque horum corda, id est consilia in nos eorumdem, cassa fecit. Vere itaque dispersit ventisque ferendas tradidit superbas incredulorum cogitationes, nullumque reliquit excusationi locum. Suis enim cordibus (quamquam tot argumentis deterrerentur) inflati sunt et evanuerant. Profecto scripturas suas causari non poterant,

(1) Photius in amphilochiana quaestione cxc (quae ex numero editarum a Wolfio est) in Isaiae verbis illis *brachium Domini cui revelatum est*, apud Ioh. xII. 38 laudatis, Christi ipsius incarnationem sapienter intelligit; quae interpretatio congruam lucem huic item loco evangelico affundit *fecit potentiam in brachio suo*.

A θένου καὶ τῆς συλλήψεως αὐτῆς καὶ τοῦ τεχθησομένου προφητειῶν· μή τε τὴν τοῦ πονηροῦ ἀπάτην καὶ ἐπιβουλήν· αὕτη γὰρ χριστοῦ τεχθέντος ἠσθένει· ἀλλ᾽ ἐξ οἰκείας πωρώσεως, καὶ τῆς ὑπερηφάνου διανοίας, καὶ τῶν ἰδίων καρδιῶν βλαστήσαντες ὀλέθριον τὴν ἀπιστίαν.

B Καὶ σὺ παιδίον. Φωτίου. Ὥσπερ λέγομεν καὶ σὺ Βηθ- 76.
λεὲμ οἶκος τοῦ Εὐφραθᾶ, οὐχ ὅτι ἐπαισθάνεται ὁ οἶκος τῶν λεγομένων· καὶ σὺ Καπερναοὺμ, οὐχ ὅτι ἡ χώρα ἀκουστικὴν δύναμιν ἔχει, ἀλλ᾽ ὡς ἤδη παρόντων, τῇ μὲν τῆς εὐφροσύνης, τῇ δὲ τῆς κακώσεως, καὶ ὅτι πάντως αὐταῖς τὰ εἰρημένα γενήσεται,
C καὶ ὅτι οὐκ ἔστιν ἄλλως γενέσθαι· διὰ γὰρ τοῦ σὺ, τὸ ὡσανεὶ καὶ αὐτὰ ὁρᾷν καὶ ἀκούειν τῶν ἐπαγγελλομένων τὴν ἔκβασιν μηνύει· οὕτως εἰ καὶ μή πως φωνῆς ἐπαισθάνῃ, ἀλλὰ φωνὴ χρηματίσεις τοῦ λόγου, καὶ προφήτης ἔσῃ τοῦ ὑψίστου· καὶ τὸ παιδίον δὲ εἰπὼν, δίδωσι τὰ ἐναργῶς πάντως ἐσόμενα ἐννοεῖν· ἢ τὸ, καὶ σὺ
D παιδίον ἐπήνεγκεν, ἵνα διαστείλῃ ἀπὸ τῶν εἰρημένων τὰ ῥηθησόμενα, καὶ μὴ δόξῃ περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ ἄμφω εἰρῆσθαι· τὰ μὲν γὰρ περὶ τοῦ κοινοῦ σωτῆρος καὶ εὐεργέτου εἴρηται· ἔδει δὲ καὶ περὶ τοῦ κήρυκος εἰπεῖν· ἵνα οὖν μὴ σύγχυσις γένηται, καὶ νομίσῃ τις τὰ περὶ τοῦ κηρυσσομένου εἰς τὸν κήρυκα ἀναφέρεσθαι, εἰκότως
E μετὰ τὸ εἰπεῖν ἐκεῖνα, διαστέλλων τὸν κήρυκα φησὶ καὶ σὺ παιδίον

quominus crederent: etenim plenae sunt vaticiniorum de virgine et de eius conceptu, et de partu futuro. Neque rursus diaboli fraudem aut insidias: vis enim huius, Christo nato, infirmata fuit. Ergo de sua duritia et de mentis cordisque superbia pessimam sibi pepererunt incredulitatem.

Et tu puer. Sicuti dicimus et tu Bethleem domus Ephrathae, non quod domus verba audiat: et tu Capharnaum, non quod locus vim auscultandi habeat; sed quia iam instabat illi quidem laetitia, huic vero infortunium: quae utrique effata, nulla vi impediente, omnino eventura erant. Dum ergo aiebat, tu, innuebat quodammodo visum atque auditum ab illis locis vaticinii exitum. Quare et tu, puer, etiamsi nondum loquentium vocem audis, vox tamen ipse Verbi es, ac propheta altissimi eris. Quare dum ait, et tu puer, facit ut cogitemus quae sine ulla dubitatione futura erant. Vel locutionem, et tu puer, posuit ut dicta a dicendis secerneret, atque ut ne videretur de uno eodemque subiecto loqui. Priora enim de communi benefico servatore dicta fuerant; nunc de praecone demum loquendum erat. Nequa igitur confusio fieret, neu quisquam praedicati propria ad praedicatorem referenda putaret, recte pot illa dicta, praeconem distinguit dicens, et tu puer propheta al-

προφήτης ὑψίστε κληθήσῃ· κ̀ ὄντως πάντες προφήτην αὐτὸν ὠνό- A
μαζον· ὕψιστον δὲ ἐνταῦθα κ̀ κύριον τὸν χριστὸν λέγει, οὗ προ-
τρέχων Ἰωάννης ὡς αὐτοῦ πρόδρομος κ̀ κήρυξ, ὅτε παρεγένετο
ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, ἡτοίμαζε τὰς ὁδοὺς αὐτοῦ, ἤγουν
προηυτρέπιζε τὰς ψυχὰς τῶν ἀνθρώπων, ὧν ἐπιβαίνειν ἔμελλεν
ὁ λόγος, διὰ τοῦ τῆς μετανοίας κηρύγματος. B

79. Ἐπιφᾶναι τοῖς ἐν σκότει. Φωτίου. Εἰπὼν ἐν σκότει, ἵνα
μὴ νομίσῃς σκότος αἰσθητὸν, ἐπήγαγε κ̀ σκιᾷ θανάτε, δηλῶν
τὸ ἐκ ποίας σκιᾶς γινόμενον λέγει σκότος· σκιὰ δὲ θανάτου δη-
λονότι ἡ ἁμαρτία, οὐκ οὖσα μὲν αὕτη θάνατος, τὴν δὲ πρὸς
ἐκεῖνον φυλάττουσα ὁμοιότητα κ̀ ἀναλογίαν· ὡς γὰρ ἐκεῖνος ἐςὶ C
ψυχῆς χωρισμὸς ἀπὸ σώματος, οὕτως κ̀ ἡ ἁμαρτία χωρισμός
ἐστι ψυχῆς ἀπὸ θείου πνεύματος· κ̀ ὥσπερ ἐκεῖνος οἷς ἂν πλη-
σιάσῃ, τούτους λυμαίνεται, οὕτως αὕτη οἷς ἂν ἐμφιλοχωρήσῃ,
τούτους ἀπόλλυσιν.

Cap. II. 33. Καὶ ἦν Ἰωσὴφ κ̀ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες. Φωτίου. D
Ἐθαύμαζον οὐχ ὡς τότε πρῶτον περὶ αὐτοῦ μανθάνοντες, ἀλλ'
ὡς ἐφ' οἷς προεμεμαθήκεσαν ἔτι παραδοξότερα προσενωτιζόμε-
νοι· ὑπερφυῶν γὰρ πραγμάτων γνῶσις ὁσάκις ἂν εἰς μνήμην
ἄγει τὸν ἐγνωκότα, τοσαυτάκις ἐν ταῖς διανοίαις ἀνακαινίζει τὸ
θαῦμα. E

tissimi vocaberis. Reapse hunc omnes prophetam postea vocitaverunt. Porro altissimum et dominum hoc loco dicit Christum, cui praecursor et praeco Iohannes praemissus, cum in Iudaeae deserto conspiciendum se dedit, vias eius paravit, seu animas hominum, quibus ipsum Verbum superventurum erat, paenitentiae praedicatione ante imbuit.

Illuminare his qui in tenebris. Quum in tenebris dixisset, ne forte de sensilibus tenebris cogitares, addit *et in umbra mortis*, demonstrans quas tenebras et quibus genitas umbris dicat. Iamvero umbra mortis peccatum est: quod quamvis ipsum minime mors est, similitudinem tamen atque analogiam erga illam tuetur. Nam ut mors animam corpore abstrahit, ita peccatum a sancto spiritu animam separat. Ac veluti quos attingit illa corrumpit; ita peccatum quibus inest, exitium adfert.

Iosephus et mater mirabantur. Non quia nunc primum de Iesu aliquid intelligerent, admiratione adficiebantur, sed quia mirabiliora praecognitis modo audiebant. Quippe natura comparatum est, ut maximarum rerum cognitio quoties menti recurrit, toties meditanti admirationem incutiat.

ΦΩΤΙΟΥ

ΑΜΦΙΛΟΧΙΑ

ἡ πρὸς Ἀμφιλόχιον μητροπολίτην Κυζίκου λόγων ἱερῶν συλλογὴ, ἐν ᾗ ζητή-
A ματα τῆς θείας γραφῆς διαλύεται. ὧν προδιευκρινεῖται τὸ δεσποτικὸν ἐκεῖνο
παράγγελμα τὸ λέγον, μὴ ἔχετε ζώνην (1) μήτε ὑποδήματα μήτε πήραν·
ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον, ἀράτω ὁμοίως καὶ πήραν, καὶ τὰ ἑξῆς.

Matth. X. 10. Marc. VI. 8. Luc. IX 3. X. 4. XXII. 36.

B α. Πολλὰ τῶν ἀπορημάτων προκατασκευῆς δεῖται, καὶ τὴν λύσιν ὑποφεύ-
γει χωρὶς ἐπιοῦσαν προκαταστάσεως. τοιαύτης τινὸς οἰκονομίας λόγου, κατ' ἐνίων
δόξαν καὶ ὑπόληψιν, καὶ τῆς σῆς συνέσεως ἀπαιτεῖ τὸ ἐρώτημα· διόπερ ἐκεῖνο
δεῖ προειρῆσθαι, καὶ προλαβεῖν τὴν τάξιν εἰς μάθησιν, ὅτι οὐχ ὅσα φαινομέ-
νην ὑποβάλλει μάχην, ἤδη καὶ τῇ ἀληθείᾳ ὁρᾶται μαχόμενα· πολλὰ μὲν γὰρ
C φαίνεται πολλάκις ἀλλήλοις ἀντιπίπτοντα, οὐκ ἔστι δέ· οὐδὲ γὰρ οὐδ' ἁπλῶς
καὶ ὡς ἔτυχεν ἡ μάχη συνέστηκεν, οὐκ ἐν λόγοις οὐκ ἐν πράγμασιν, πολλῶν δὲ
περιστάσεων συνδρομὴ ταύτην συγκροτεῖ καὶ συνίστησιν· καὶ οὐκ ἔργον τοῦτο συνιδεῖν·
οὐ γὰρ ὅσοι τὰ παλαιὰ φιλοσοφεῖν καὶ τὰ ῥητόρων πράττειν ἐγνώκασιν, οὐκ ἐν τούτοις
μόνον πολὺ καὶ ἄπειρον ὑπονοηθὲν τὸ διάφορον, ὕστερον ἀκριβείας δικαζούσης,
D διαφορᾶς ἀφείθη ἐλεύθερα· ἀλλὰ καὶ ἐν αὐτῇ γε τῇ καθωμιλημένῃ τῶν πολ-
λῶν χρήσει, πολλὰ μὲν ἁπλῶς οὕτως ἀκοῦσαι φαίνεται μάχεσθαι, κριθέντων

PHOTII

AMPHILOCHIA

Sive ad Amphilochium Cyzici metropolitam sacrorum sermonum collectio, in qua quaestiones de scriptura divina solvuntur. Princeps autem perpenditur illa Domini iussio dicentis, ne habeatis zonam, neque calceamenta, neque peram. Item, nunc vero qui habet crumenam, sumat pariter et peram; et reliqua.

1. Dubitationes multae sunt, quae absque praevio sermone ac veluti praeparatione dissolvi nequeunt. Rei ac dispensationis huiusmodi, prout certe quidam existimant atque credunt, tua quoque prudens interrogatio rationem sciscitatur. Quamobrem praefari oportet, sedemque futurae doctrinae antecapere; non omnia videlicet quae pugnae speciem prae se ferunt, reapse pugnantia comperiri. Multa quippe saepe videntur sibi invicem adversari, quamquam ea minime ita se habent. Neque enim temere aut quomodocumque repugnantia existit sive in sermonibus sive in rebus gestis, verum ea e multarum circumstantiarum concursu exsurgit atque creatur. Neque id cognitu difficile est: non solum enim qui veteres doctrinas profitendas et rhetoricas artes exercendas sibi sumserunt, multam in his atque infinitam discordiam cernere sibi principio videntur, quae mox res diligenter perpensae ab omni contradictione absolvuntur; verum etiam in ipso familiari vulgi usu haud pauca primo auditu videntur repugnare, quibus ad trutinam revocatis, conflictus in concordiam vertitur. Si-

(1) Hieronymus adv. Iovin. II. 6. *aes in zona*. Zona ergo dicitur pro crumena.

δὲ, εἰς συμφωνίαν ἡ μάχη μεταπίπτει. εἴ τις οὖν τὴν μὲν ἐν τῇ ἀνὰ χεῖρα ὁμι- A
λίᾳ φαινομένην στάσιν, τῆς ἀληθοῦς μάχης ἀδεκάστῳ γνώμῃ διακρίνει,
ἀφορίζει δὲ κἂν τοῖς τὸν φιλόσοφον καὶ ῥήτορα βίον ἀσκουμένοις τὰ μαχόμενα
τῶν φαινομένων, ἐπὶ δὲ τῆς ἱερᾶς ἡμῶν φιλοσοφίας οὐ τὸν αὐτὸν διασώζει
νόμον, ἀλλὰ καὶ τὴν ἐπιπόλαιον ἀντιλογίαν εἰς ἄσπονδον ἐκβιάζεται, οὗτος καὶ
χωρὶς τινος αἰτιωμένου συκοφάντην ἑαυτὸν καὶ φαῦλον κριτὴν ἀποφαίνει. B

β. Αὐτίκα γοῦν ἵνα ἀπὸ τῆς τῶν πολλῶν συνηθείας ἄρξωμαι, ὁ φόνος
αὐτοῖς καὶ πολιτείας ἐστὶ φύλαξ, καὶ μύσους ὑπόθεσις. καὶ δὴ καὶ ἡ ἐμπορία
κόσμος τῇ πόλει, καὶ ὕβρις οὐκ ἔλαττον. καὶ πῶς οὐκ ἐναντία ταῦτα; ὅτι φο-
νεύειν μὲν οὐκ ἔξεστιν εὐεργέτην, οὐδὲ πολίτην εὔνουν τῇ πόλει, οὐδ' εἴ τις ἀναίτιος.
πολέμιον δὲ καὶ κακοῦργον καὶ προδότην ἄλλως, ἔνδικον τεθνᾶναι. καὶ δὴ καὶ τὸν ἀλ- C
λοτρίους γάμους διορύττοντα, ἐπ' αὐτοφώρῳ ἁλόντα, κύριός ἐστιν ὁ ἠδικημένος καὶ τοῦ
εἰσπράττεσθαι τὴν δίκην. ἔξω δὲ τοῦ μύσους λαβὼν, δικαστὴν ἄλλον ἐπιζητεῖ
τοῦ ἐγκλήματος. πάλιν ὅσοι τὸ ταπεινὸν σχῆμα τῆς πολιτείας ὑποδύονται,
ἐμπορίαις τὴν πόλιν συναύξουσιν. οἱ δὲ στρατηγεῖν ἢ δημαγωγεῖν ἢ τὰ τοιαῦτα
ταχθέντες, εἰς ἐκείνην καταβαίνοντες τὴν πρᾶξιν, τῆς πολιτείας ἐξυβρίζουσι τὸ D
ἀξίωμα. καὶ τῶν παραδειγμάτων οὐκ ἔστι πέρας τῷ βουλομένῳ διαπεραίνεσθαι.
ὁρᾷς ὡς πολλὰ μὲν φαντασίαν παρέχεται ἀντιθέσεως, ἐξεταζόμενα δὲ τὴν
συμφωνίαν ἀσπάζεται; οὕτως οὖν καὶ ἐπὶ τῆς ἱερᾶς ἡμῶν γραφῆς δέον θεωρεῖν, ἧς
ῥητὸν καὶ τὸ σὸν πρόβλημα, πρὸς ὃ δηλονότι διετυπώθη καὶ τὸ ὅλον τοῦ λόγου
προοίμιον. E

Exod. XXXII. 27. γ. Μωσῆς ὁ νομοθέτης εἶπε, μᾶλλον δ' ὁ κοινὸς καὶ πλάστης καὶ νομο-
θέτης δι' αὐτοῦ, οὐ φονεύσεις. καὶ πάλιν, θέσθε ἕκαστος τὴν ἑαυτοῦ ῥομφαίαν
ἐπὶ τὸν μηρὸν, καὶ διέλθετε καὶ ἀνακάμψατε ἀπὸ πύλης εἰς πύλην διὰ τῆς παρ-

quis igitur rerum quotidianarum apparentem dissensionem, incorrupto mentis iudicio, a vera differentia discernit; itemque in philosophicis disciplinis atque in rhetoricis, a discordibus in speciem pugnantia vere distinguit; in sacra vero nostra doctrina eodem iure non agit; sed vel superficiariam quamlibet verborum pugnam ad insolubilem vertere nititur contradictionem; hic inquam, quin opus accusatore sit, sycophantam se malumque iudicem esse prodit.

2. Profecto ut a re satis communi exordiar, homicidium et reipublicae tutela creditur apud vulgus, idemque materia sceleris. Tum mercatura decori simul civitati, simulque dedecori est. Quid ni igitur haec contraria sunt? quia videlicet neque benemeritum occidere licet civem, neque urbis studiosum, nec quemvis innocuum: hostem vero et maleficum et praecipue proditorem, aequum est interfici. Praeterea qui alienos thalamos violat, si in facinore deprehendatur, licet coniugi laeso poenas de illo sumere: si tamen aliunde facinus cognoscatur, alium iudicem causa postulat. Rursus homines obscuro vitae generi dediti, mercimoniis suis civitatis commoda augent: qui vero aut ordines militares, aut civiles magistratus, aut similia munera gerunt, hi si ad illa negotia se forte demittant, vitae suae dignitatem dedecorant. Nullus exemplorum finis erit, siquis omnia persequi velit. Viden ut multa speciem prae se ferunt contrarietatis, quae mox perpensa concordiam tuentur? His igitur considerationibus in sacra quoque scriptura nostra uti oportet, cuius est effatum illud quod tu mihi obiicis, et cuius gratia totum sermonis huius prooemium adornatum fuit.

3. Legislator Moses (immo vero communis omnium creator et legislator ore eius loquens) ait, non occides. Rursusque: accingite unusquisque latus ense; itote ac

A ἐμβολῆς, καὶ ἀποκτείνατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἔγγιστα αὐτοῦ· πῶς οὖν αὗται αἱ φωναὶ τὴν ἀλλήλων οὐ νομοθετοῦσιν ἀναίρεσιν; ἢ δηλονότι οὐ φονεύσεις μὲν τὸν ἀναίτιον· τὸν δέ γε θανάτου ἔνοχον, καὶ τὸν πατρῴους νόμους ἐνυβρίσαντα, εἰδώλοις τε τὸ τοῦ πλάστου σέβας ἀναψάμενον, φόνῳ κολάσεις· ἐάσειν μοι δοκῶ τὸ οὐ μοιχεύσεις, καὶ τὸ Os. I. 2.
B λάβε σεαυτῷ γυναῖκα πορνείας καὶ τέκνα πορνείας· ἔχει γάρ τι καὶ τοῦ ζητουμένου βαθύτερον (1)· πλὴν ὅτι περίστασις κἀνταῦθα ποιεῖ τὴν φαινομένην μάχην μὴ μάχεσθαι· οὐκ ἔξεστιν εἰς θεοῦ προφήτην ὑβρίζειν, οὐ χειρὶ, οὐ γλώσσῃ, οὐχ ἑτέρῳ τρόπῳ τινί· καὶ μαρτύριον παῖδες ἀθύροντες καὶ προφήτην ποιούμενοι γέλωτα, ἀντὶ σκωμμάτων σωμάτων εἰσεπράχθησαν ὄλεθρον· ἀλλ᾽ εὑρήσεις τινὰ, ἐπεὶ IIII. Reg. II. 24. III. Reg. XX. 36.
C μὴ τοῦ προφήτου τὴν ὄψιν ἐπάταξεν, ὅτι τὴν ἐσχάτην δίκην ἀπέτισε· καὶ τὸ κρατύνον μᾶλλον τὸ ἄπορον, τούς τε πρὸς ὕβριν ἐξενεχθέντας θηρίον ἐσπάραξε, καὶ τὸν εὐλαβηθέντα τὴν μίμησιν, θηρίον ἄλλο διέσπασε· τί οὖν ἄρα οὐκ ἐναντία ταῦτα; οὐ μὲν οὖν οὐδὲ πολλοῦ δεῖ· οὐκ ἔξεστι μὲν γὰρ οὐδ᾽ ὅλως οἰκείᾳ κρίσει καὶ ὁρμῇ ἀνεπιθισόμενον· ἐπειδὰν δὲ θεὸς κελεύῃ καὶ ἡ ψῆφος ἄνωθεν φέροι-
D το, οὐ μόνον οὐκ ἔχει χώραν τὸ οὐκ ἔξεστιν, ἀλλὰ καὶ τὸν παρημεληκότα πικρῶς ἡ δίκη μετέρχεται· ἑκάτερον οὖν τῶν ἱερῶν γραμμάτων παράδειγμα τὴν δοκοῦσαν ἐναντίωσιν ἀποσκευάζεται· τὸ μὲν ἐκ τῆς τοῦ ἀνευθύνου καὶ ὑπευθύνου δηλονότι περιστάσεως, τὸ δὲ παρὰ τὴν θείαν ψῆφον καὶ τὸ ἀνθρώπινον ὅρμημα.

δ. Πολλὰ δὲ καὶ ἄλλα τὴν ἐν ἄλλοις μάχην προφαίνοντα, τῶν περιστατι-
E κῶν ὀρθῶς διακριθέντων, εἰς συμφωνίαν μεθίσταται· ἄλλα δὲ γίνεται ποτὲ μὲν παρὰ τὸν τόπον, ἄλλο τε παρὰ τὸν χρόνον, ἐνίοτε δὲ καὶ παρὰ τὸ πρόσωπον· ἔχει μὲν οὖν καὶ ὁ χρόνος διαφορὰς οὐκ ὀλίγας, πολὺ δὲ τὸ πρόσωπον πλείους·

circumite castrorum portas; occidant singuli fratrem suum et necessarium ac proximum. Quid ni igitur dicta haec mutuas caedes lege sanciant? nisi quia intelligimus parcendum esse innoxio; mortis autem reum, et qui patrias leges violavit, debitumque creatori obsequium ad idola transtulit, hunc inquam neci esse tradendum. Libenter omitto verba, adulterium ne facito; et, cape tibi feminam meretricem, ac liberos nothos crea: habent enim altiorem praesenti quaestione sensum: sed tamen heic quoque circumstantia facit, ut apparens pugna reapse non pugnet. Haud licet Dei prophetam manu, lingua, modo quolibet, violari. Rei testes illusores pueri, qui quum prophetam risui habuissent, convicia sua corporum suppliciis luerunt. Ceteroqui et alium invenies, qui quia prophetae faciem non verberavit, in extremum exitium incidit. Quodque magis difficultatem roborat, et illos qui iniurii fuerant fera laniavit, et eum similiter qui ab eo facto imitando caverat, alia fera invasit. Quid ergo? nonne haec contraria sunt? Minime gentium. Etenim quaedam proprio indicio instinctuque suscepta, prorsus non licent: verum ubi Deus iusserit, et sententia caelitus lata fuerit, non solum verbo *non licet* locus haud est, verum etiam inobsequentem poena acerba consequitur. Utrumque igitur sacrarum litterarum exemplum apparentem contrarietatem dispellit: alterum quidem noxii et innoxii circumstantia; alterum a divino decreto et hominis voluntate.

4. Multa quoque alia quae aliter pugnare videntur, perpensis recte circumstantiis, ad consensum revocantur. Id vero accidit modo loco, modo tempore, interdum quoque persona. Et sunt quidem in tempore differentiae non paucae, mul-

(1) Videsis in hoc volumine Theodori mopsuesteni interpretationem Oseae prophetae.

ἄρχοντα ϗ ἀρχόμενον· εἰσάγοντα, εἰσαγόμενον· τελειοῦντα, τελειούμενον· μα- A
θητὴν, διδάσκαλον· ϗ τὸ αἴτιον ϗ τὸ ἀναίτιον· ϗ κοινὴ πάλιν τοῦ προσώπου
τομὴ, μεταβολὴ τούτου ϗ ὑπαλλαγή· ἄλλο γὰρ εἶδος ἀποτελεῖται, τοῦ ἤθους μὲν
μεταπίπτοντος, τοῦ προσώπου δὲ διαμένοντος· ϗ ἕτερον πάλιν ὅταν ἀνθ' ἑτέρου ἕτε-
ρον ὑποβάλληται· οἷον ἐβασίλευσεν ὁ Θεὸς τὸν Σαοὺλ, ϗ πάλιν ἀφεῖλεν αὐτὸν τῆς
βασιλείας· ἔτι τρεῖς(1) ἡμέραι, ϗ Νινευὶ καταστραφήσεται, ϗ μένει χρόνον ἡ πόλις τῆς B
προσθεσμίας ἐλεύθερος τοῦ πάθους ἀπείρατος· ϗ ἄλλα δὲ μύρια τῇ μεταβολῇ
τῶν ἠθῶν τὸ πρόσωπον μεριζόμενα. τῶν λογισμῶν τὴν στάσιν καλεῖ πρὸς διάλυ-
σιν· τὸ δὲ τὸν Ἀαρὼν μὴ δοῦναι δίκην τῆς μοσχοποιΐας ὅτε τὸ ξίφος τοὺς μετεσ-
χηκότας τῆς αὐτῆς αἰτίας ἐδίκαζε, ϗ εἰς ἄλλας μὲν ἔστιν ἀναφέρειν αἰτίας, ϗ τὸ
ἀντιπῖπτον ἐκεῖθεν συνάγειν εἰς τὸ ἀκόλουθον· ἀλλ' οὖν γε ϗ ἡ τῶν προσώπων C
ἑτερότης οὐ μικρὸν διαλύσασθαι τὴν ἐναντίωσιν, εἴ γε μάλιστα ϗ τὰ ἄλλα περὶ
αὐτό τε ϗ ἐξ αὐτοῦ λαμβάνει τὴν πρόοδον· ἀλλὰ πολὺ μὲν καὶ πολλαχοῦ τῆς
θείας γραφῆς τὸ ποικίλον τῆς ἐν τῷ προσώπῳ περιστάσεως· ϗ πολλὰ παρὰ τὴν
ἄγνοιαν ἢ κακουργίαν τοῦ θεωρήματος οὐκ ἔχοντα μάχην, ὡς μηδ' ἀποστροφὴν εὑ-
ρεῖν δεδυνημένα συμφωνίας, προτείνεται. D

ε. Ἐκ τῶν τοιούτων τοιγαροῦν ἀγνοημάτων ἢ κακουργημάτων, ϗ τὸ μὴ ἔχε-
τε ζώνην μήτε ὑποδήματα μήτε πήραν, ϗ τὸ ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον ἀρά-
τω ὁμοίως καὶ πήραν· ϗ ὁ μὴ ἔχων, πωλήσει τὰ ἱμάτια αὐτοῦ ϗ ἀγοράσει μά-
χαιραν, ὡς ἐναντία προβάλλονται ϗ μαχόμενα· ἐγὼ δὲ οὔπω μὲν λέγω τὰ ἄλ-
λα, ἀλλ' ἐκεῖνο, πῶς ἡ τῶν ῥητῶν ἐφεξῆς ϗ κατὰ συνέχειαν σύνθεσις οὐκ ἐδυσ- E
ώπει φυγεῖν τὴν τῆς μάχης ὑπόληψιν, παραπέμπει δὲ μᾶλλον ἐλθεῖν ἐπὶ ζήτη-
σιν καὶ τὸ βάθος ἀνιχνεύειν τοῦ προστάγματος; ἅμα γὰρ ϗ ἐν τῷ ἀκαρεῖ μήτε λή-

to autem in persona plures; dominus et subditus; dux et ductus; initians et initiatus; discipulus et magister; noxius et innoxius. Rursus communis est personae divisio, immutatio eiusdem vel suppositio. Namque alia species consurgit mutato more, manente persona; alia rursus cum uni rei alia supponitur. Veluti, regem fecit Deus Saulem, et vicissim eidem regnum ademit. Adhuc tres dies et Ninive subvertetur: expectat autem urbs praestitutum tempus libera malo et illibata. Sexcenta alia sunt, quae per morum mutationem personam subdividentia, mentis tumultum ad quietem vocant. Iam quod Aaron poenas non dederit conflati vituli quo tempore affines eidem crimini gladius ulciscebatur, id ipsum inquam aliis causis imputare licet, atque eius rei repugnantiam ad aequitatem pertrahere. Itaque personarum diversitas non mediocriter ad conciliandas dissonantias valet; quandoquidem et aliae res circa personam praecipue atque ab ea momentum accipiunt. Et quidem in sacris litteris multa et frequens est ob personae circumstantiam varietas. Complura item, quae dempta inscitia malitiave legentis, nihil dissonum habent, nihilominus ceu nullo effugio consonantiam nancisci queant, obiiciuntur.

5. Ex huiusmodi ergo inscitia vel malitia manat item quaestio illa, ne habeatis zonam neque calceamenta neque peram: tum etiam, nunc vero qui habet crumenam, sumat pariter et peram: quas siquis non habet, vestimenta sua vendet gladiumque emet. Ego vero, aliis interim omissis, illud rogo, cur non ea quae ibi consequenter dicuntur, contextusque structura, suffecerint ad excludendam omnem repugnantiae opinionem; immo vero non impulerint ad exquirendum altiusque vestigandum praecepti sensum arcanum? Nullo enim interiecto temporis spatio, neque

(1) De τρεῖς pro τεσσαράκοντα satis diximus ad Mopsuest. comm. in Ion. p. 65. n. 1.

A θης ἐμπιπτούσης, μήτε γνώμης ἀστατούσης, οὐ μὴν οὐδὲ βίας ἰσχυούσης, ἀλλ᾽ οὐδ᾽
ἀκοῆς τὸ διάφορον ὑποβαλλομένης, πῶς ἐνῆν τὸν αὐτὸν τἀναντία ἐπισημαινόμενον,
νομοθετεῖν αἱρεῖσθαι ἃ καὶ φεύγειν προσέταττεν; ἀλλ᾽ εὐγνώμονος μὲν ἴσως ἂν εἴη
λαβεῖν ἐντεῦθεν τῆς θεωρίας ὑπόθεσιν· τὸ δὲ καὶ ῥητῶς τὸν χρόνον ἀμείβειν, καὶ
τοῖς ῥᾳδιουργοῦσιν ἀντιστήσεται· ὅτε γάρ φησιν ἀπέστειλα ὑμᾶς· νῦν δὲ λέγω ὑμῖν·
B ἄλλῳ δὲ καὶ ἄλλῳ καιρῷ ἑτέραν καὶ ἑτέραν ἐναρμόζειν ἐντολὴν, οὐ μόνον οὐδὲν ἄτο-
πον, ἀλλ᾽ ἴσθ᾽ ὅτι μᾶλλον οἰκειότερον, ἢ εἴ τις τὰ αὐτὰ προστάττει, τοῦ κατὰ
τὸν καιρὸν διαφόρου ἐξ ἀνάγκης ζητοῦντος διάφορα.

ϛ. Ἀλλὰ γὰρ οὕτω τῶν εἰρημένων διεσκευασμένων, τινὲς προκείμενον ἐπι-
λυόμενοι φασὶν τὸν κοινὸν δεσπότην τοὺς μαθητὰς πάλαι μὲν παιδοτριβοῦντα, καὶ
C πρὸς τὸ τῆς ἀκτημοσύνης εἰσάγοντα στάδιον, μηδὲν αὐτοῖς τῶν προσύλων καὶ χα-
μαὶ καθέλκειν δυναμένων ἐπιτρέψαι συνεφέλκεσθαι, μηδ᾽ ἂν εἴη οἷς ὁ ῥέων βίος
οὗτος καὶ πρὸς τὴν φθορὰν ἐλαύνων συνέχεται· εἴωθε γὰρ πολλάκις καὶ μάλιστα
τοῖς ἀτελεστέροις ἡ τῶν ἀναγκαίων μέριμνα, καὶ τῶν περιττῶν καὶ ὑπὲρ τὴν χρείαν τὴν
σπουδὴν κατ᾽ ὀλίγον συνεπισύρεσθαι, καὶ πολλὴν τῇ ψυχῇ τὴν λύμην συγκατεργά-
D ζεσθαι· διὰ τοῦτο, φασὶν, ὁ σωτὴρ ἄρτι μυσταγωγουμένοις ἀπεῖπε τότε μηδὲν
τοῖς μαθηταῖς τῶν γηΐνων καὶ σωματικῶν συνεφέλκεσθαι· ὕστερον δὲ τὸν ἀγῶνα
δεινυκότας ἀνύβριστον, καὶ πεῖραν ὅσον ἔδει δόντας ἐν οἷς τοῦ σαρκικοῦ κατεφρόνη-
σαν, ἔτι δὲ καὶ τοῦ σωτηρίου πάθους λοιπὸν ἐστηκότος, μεθ᾽ ὃ πολλῶν πειρασ-
μῶν νιφάδες τοὺς ἀγωνιστὰς περιστοιχίζειν ἤρξατο, καὶ χειμὼν ἀνυπόστατος διωγ-
E μῶν καὶ θλίψεων ὑπεδέχετο, διὰ ταῦτα τὴν τῶν μετρίων κτῆσιν καὶ ἃ συγκροτεῖ τὴν
ζωὴν μὴ διαρρυῆναι, συγχωρεῖ· τοῦ γὰρ τῆς φιλοχρηματίας πάθους τῶν ἀποστο-
λικῶν ἠθῶν τε καὶ τρόπων ἐξ αὐτῆς κρηπῖδος ἀνατραπέντος, καὶ τοῦ διωγμοῦ σφο-
δρὸν καὶ ἀνυπόστατον πνέοντος, ἐχρῆν τι παραμύθιον εἰς ἐφόδιον φέρειν τῆς παν-

subrepente oblivione, neque mentis inconstantia, neque vi aliqua ingruente, neque rumore quolibet rem diversam subiiciente, qui fieri poterat ut idem contraria approbans, eadem facere iuberet, quae cavere imperaverat? Immo hominis prudentis erit hinc sumere explicandae rei argumentum. Illud etiam contradicentium levitati adversatur, quod diversa tempora diserte servator innuit; cum enim, inquit, misi vos. Nunc autem dico vobis. Iam quod diversis temporibus diversa praecepta congruant, non solum non est absurdum, verum etiam quandoque aptius, quam siquis eadem imperet, etiamsi diversitas temporis necessario diversam rem postulet.

6. Quae quum ita se habeant, nonnulli ut propositam quaestionem solvant, aiunt communem Dominum discipulos olim erudientem atque in paupertatis curriculo exercentem, nulla eos re materiali atque humi deprimere solita sivisse abripi, ne illis forte fluxus hic mundus, qui ad interitum ducit, adhaereret. Solet enim saepenumero, praecipue imperfectioribus, victus necessarii cura, rerum quoque superfluarum quasque usus non postulat paulatim studium ingerere, multumque animae detrimentum adferre. Propterea, dicunt, servator nuper initiatis discipulis interdicebat, quominus terrenis rebus corporeisque distraherentur. Deinde autem agone iam honorifice peracto, documentoque satis edito quantopere carnalia spernerent, dominica insuper passione instante, post quam tentationibus innumeris athletae propemodum obruendi erant, atque intolerabili persequutionum angustiarumque procellae obiiciendi; idcirco modicae rei familiaris possessum concedit, quo scilicet vita sustentaretur. Namque avaritiae vitio ex apostolicis moribus vitaque funditus everso, persequutione autem vehementer atque intolerandum in modum flante, aequum erat solamen aliquod ac tamquam viaticum circumferre vitae quaquaversus calamitatibus

ταχόθεν ἐπηρεαζομένης ζωῆς· καὶ οὐδ' ἐν οὐδ' ὅλως θατέρᾳ τῆς ἐντολῆς ἡ ἑτέρα λυ- A
μαίνεται· ὥσπερ οὐδ' εἴ τις στρατιώτην μετὰ νίκας καὶ τρόπαια τῶν πολεμικῶν ἀγώ-
νων τέως ἀπάγων δίδωσι πιεῖν καὶ ὅσα εἰρήνη χαρίζεται· ἢ εἴ τις εἰς διδασκάλου
μὲν φοιτῶντα ἄλλαις συνασκεῖ μελέταις, τὸν ἔφηβον δὲ διεξιόντα βαθυτέραις νόμοις
καὶ ὑψηλοτέραις ἐγγυμνάζει θεωρίαις· καὶ ποίμνιον μὲν ἄλλοις ἔθεσι καὶ θεσμοῖς
εὐθηνεῖται, τὸν ποιμένα δὲ οὐχ ἡ αὐτὴ τοῦ βίου τρίβος κατευθύνει. B

ζ. Ἀλλ' οὕτω μὲν τινες εἰς συμφωνίαν τὰς ἐν τοῖς ῥητοῖς συνάγουσι διανοίας·
οἱ δὲ τὰ μὲν ἄλλα τῶν προτεθημένων οὐκ ἔλαττον ἀγαπῶσι· φασὶ δὲ τῶν μα-
θητῶν πρότερον μὲν εἰσαγομένων καὶ τελειουμένων τάξιν ἐπεχόντων, ἀναγκαῖον εἶναι
περὶ μηδὲν ἄλλο τοὺς λογισμοὺς μερίζεσθαι ἐπιτρέπειν, ὅλον δὲ τὸν νοῦν πρὸς τὴν
μάθησιν τῶν σωτηρίων καὶ μεταχείρισιν ἐπεστράφθαι· ἄλλως τε καὶ τοῦ διδασκάλου C
παρόντος καὶ παρέχοντος αὐτοσχεδίως οὐχ ὅσα μόνον ἡ φύσις οὐκ ἔχουσα λύσιν ἔχει,
ἀλλὰ καὶ χεῖρας πολλοῖς πλήθεσι τροφὴν ἀγεώργητον ὑπηρετουμένας· ἐπεὶ δὴ δὲ
αὐτοὶ μὲν τῆς τῶν ἀτελῶν ὑπεραπέδραμον παιδαγωγίαν, ἐγγυτέρω δ' ἐγένοντο τοῦ
τελείου, αὐτὸς δὲ ἤδη τῷ ἑκουσίῳ καὶ σωτηρίῳ θανάτῳ τῆς σωματικῆς αὐτοὺς ἀπο-
στερεῖν ἐπλησίαζε παρουσίας, καὶ πρός γε τὸ κήρυγμα αὐτοῖς ἐγχειρίζειν, καὶ εἰς δι- D
δασκάλων καὶ ποιμένων προνόμιον ἀναβιβάζειν, ἀκώλυτον αὐτοῖς τότε τὰ ἀναγκαῖα
τῆς ζωῆς ἐφόδια φέρειν ἀποφαίνει· ὅπερ ἐκεῖθεν φυὲν τὴν ἀρχὴν, καὶ τὴν τῶν διδασ-
κομένων πρόνοιαν ἐκαρποφόρει, ὡς ἐπ' αὐτοῖς ἐστι τοῖς ἔργοις προϊὸν ἰδεῖν· καὶ γὰρ πα-
ρὰ τοὺς πόδας τῶν ἀποστόλων τὰς τιμὰς τῶν οἰκιῶν καὶ τῶν ἀγρῶν φέροντες ἐτίθουν,
καὶ ἐδίδοτο ἑκάστῳ καθ' ὃ ἄν τις χρείαν εἶχεν. E

η. Ἀλλὰ καὶ τοῦτο καλῶς ἐπιθεωρεῖν ὑποτίθεται· αὐτὸς ὁ δημιουργὸς καὶ

appetitae. Neque alterutrum praeceptum ab altero prorsus laeditur. Veluti siquis militem post victorias atque tropaea bellicis certaminibus aliquamdiu subducens, potu recrearet vel ceteris quae pace suppeditantur. Vel siquis puerum dum in ludo magistri versatur certis quibusdam imbueret rudimentis, tum vero in ephebos productum gravioribus institutis celsioribusque doctrinis exerceret. Denique qui grex est, aliis ritibus atque praescriptis bene se habet; qui autem pastoris munere fungitur, non eadem vitae semita commode utitur.

7. Sic ergo nonnulli scripturarum varias sententias ad concordiam trahunt. Aliis vero quaedam aliae, praeter praedictas, solutiones haud minus placent. Aiunt igitur, quo tempore discipuli primum erudiebantur ac tyronum ordinem tenebant, opus fuisse ut nulli alii rei partem tribuere cogitationum permitterentur; ut nimirum ad ediscendam exercendamque servatoris doctrinam tota mente vacarent: praesertim quia magister ipse aderat, suppeditabatque ex tempore non solum ea sine quibus vita ruit, verum etiam manus eorum ita implebat, ut illaboratas epulas multis turbis impertiri possent. Sed enim quum iam ipsi imperfectorum rudimenta excessissent, atque a statu perfecto prope abessent, magister autem praesentiam suam voluntaria salutarique nece paulo post ipsis erepturus esset; tum etiam praedicationem iisdem commissurus, atque ad magistrorum pastorumque praerogativam promoturus: tunc eos admonuit, minime esse vetitum quominus necessarium vitae viaticum secum ferrent: qui mos eo tempore inceptus, curae quoque asseclis impendendae ortum dedit; id quod ipsis rebus deinde gestis cognoscere licet. Namque ante pedes apostolorum pretia domorum agrorumque allata ponebant: vicissimque singulis id quod usui esset suppeditabatur.

8. Insuper aliud quoque praeclare considerandum exhibent. Creator ipse om-

A συνοχεὺς τοῦ παντὸς, ὅτε συμπάσης ἀπῆγε τοὺς μαθητὰς περιπαθείας προσύλου καὶ κτήσεως, γλωσσόκομον εἶχε καὶ τοὺς βάλλοντας ἀπεδέχετο· ὥστε οὐ τὸ μὴ κεκτῆσθαι ἁπλῶς, ἀλλὰ τὸ μὴ τούτοις ἔχεσθαι καὶ προσηλῶσθαι, καὶ διὰ τῆς ἐντολῆς ταύτης κωλύει· ἐπεὶ καὶ αὐτὸς, ὥσπερ ἔφημεν, εἶχεν οὐκ ἔχων· ἕνεκεν γὰρ τῶν δεομένων, καὶ παραμύθιον τῶν ἀπορουμένων, καὶ τῆς ἀνάγκης ἀποστροφήν τινα καὶ λύσιν·
B ὥσπερ οὖν οὐκ ἐναντίον, αὐτὸν μὲν γλωσσόκομον φέρειν, ἐκείνους δὲ μηδὲν συνεπιφέρειν, ὅλως ἀπαγορεύειν, οὕτως οὐκ ἔστιν ἐναντίον οὐδὲ πάλαι μὲν αὐτοὺς πρὸς τὸ τῆς ἀκτημοσύνης τραχύ τε καὶ δυσπρόσοδον ἀνατρέχειν, ὕστερον δὲ καὶ τῇ συμμέτρῳ τῶν ἀναγκαίων κτήσει, τῶν πολλῶν ἀνίεσθαι πόνων, καὶ τῆς ἐσχάτης ἔχειν παραμύθιον στενοχωρίας· ἀλλὰ γὰρ καὶ πρὸς τούτοις, μᾶλλον δὲ πρὸ τῶν εἰρημένων, ὅταν
C ἴδῃς φασὶ τῆς ἀκτημοσύνης ἆθλον τὸν πλοῦτον, σαφέστερον ἂν ἐπιστήσας συνίσῃ ὡς οὐκ ἔστιν ἀλλήλων ἀναιρετικὰ, οὐδὲ διαμάχεται ἡ ἐντολὴ τοῦ μὴ κεκτῆσθαι πρὸς τὴν ἐπιτρέπουσαν κεκτῆσθαι· ἂν τὸ μὲν συνάπτῃς δηλονότι τῷ ἐμπαθεῖ, ἡ κτῆσις δέ σοι τοῦ πάθους ἐλεύθερον· πῶς γὰρ ἂν τὸ ἀφιλάργυρον τῆς γνώμης καὶ τὸ τῆς ἀκτημοσύνης ἀνυπέρβλητον εἰς τὸ πολλαπλάσιον καὶ θαυμασιώτερον ἐβλάστανεν ἂν
D καὶ ἐκαρποφόρει τῆς περιουσίας τὸ ἄφθονον, εἰ διὰ μάχης ἀλλήλοις ἡ δίκαια κτῆσις καὶ ὁ τῆς ἀκτημοσύνης λόγος προΐεσαν; καὶ τίς μάρτυς; τίς δὲ παραστάτης τοῦ λόγου; αὐτὸς ὁ κοινὸς τοῦ γένους σωτὴρ καὶ δεσπότης, ὃς τοῖς δι' αὐτὸν λιποῦσι πάντα τὰ αὐτῶν ἑκατονταπλασίονα λήψεσθαι ἐπηγγείλατο· καὶ οὐδὲ μέχρι τούτων τὸ ἔπαθλον περιέγραψεν, ἀλλ' ἔτι πρὸς τὸ μεῖζον, καὶ οὐδ' ὅσον ἐστὶν εἰπεῖν μεῖζον, ἐξαί-
E ρει καὶ ὑπερτίθησι· τὴν γὰρ τῶν οὐρανῶν βασιλείαν κλῆρον αὐτοῖς ἐπιφέρει.

θ. Τοιαῦτα μὲν οὖν καὶ οἱ μετὰ τοὺς πρώτους συμφωνεῖν ἀλλήλοις τὰ ἱερὰ κατασκευάζοντες λόγια· καὶ δῆλον ὡς ἑκατέρα μοῖρα διὰ τῆς κατὰ τὸ πρόσωπον

nium rerum et conservator dum omni cura terrestri discipulos possessuque arcebat, marsupium tamen habebat, et qui aliquid iniicerent non respuebat. Quare hoc quoque praecepto haud prorsus opibus interdicit, sed ne his simus obnoxii ac dediti: nam et ipse, ut diximus, non habendo habebat: nempe egentium tantummodo causa, et ob eorum solandas angustias, atque ad necessitatis depulsionem quandam atque medelam. Sicuti ergo minime repugnabat, ipsum ferre loculos, illis simul interdicere quominus quicquam retinerent; ita non est contrarium, olim quidem eos ad asperum paupertatis arduumque culmen contendisse; postea vero modica rei necessariae possessione multis se sollicitudinibus expedivisse, ac summarum angustiarum solamen obtinuisse. Sed praeter haec, immo vero in primis, quum videris, aiunt, paupertatis praemium divitias, tum demum cogitando clarius intelliges non esse haec invicem peremptoria, neque pugnare mandatum non possidendi cum illo quod eius rei copiam facit: dummodo prius illud de homine pecunia perturbari solito dictum putes; possessio autem rei familiaris vacuum te perturbatione relinquat. Quomodo enim mentis liberalitas et paupertatis sublime studium multiplicem opum mirabilemque copiam pareret ac germinaret, si forte confligerent inter se iusta possessio et paupertatis doctrina? Quinam vero est huius rei testis? quis adeo sermonis auctor? nimirum ipse communis hominum servator ac dominus, qui propria omnia propter eum deserentes, centuplicem fructum relaturos denunciavit: neque hactenus praemium circumscripsit, sed magis extulit et cumulavit, ita ut nihil maius dici queat: regni videlicet caelestis hereditatem illis adiecit.

9. Haec aiunt qui post illos priores dant operam, ut sacra oracula inter se consonent. Et sane exploratum est, partem utramque a personae circumstantia ad

περιστάσεως ἑλκύσαι τὴν λύσιν ἐνεδυναμώθη τοῦ ἀπορήματος· ἕτεραι δὲ παρ᾽ ὅσον A
ἐπήλθομεν δόξαι ἐκ τῶν αὐτῶν μὲν ἐγγὺς ἐκείναις ἀφορμῶν ἔσχον τὴν κίνησιν· οὔτε
δὲ ταῖς προλαβούσαις οὔτε πρὸς ἀλλήλοις τὰ αὐτὰ διασώζουσι τέλη· ἀπὸ μὲν γὰρ
τῆς τῶν προσώπων ἑτερότητος, καὶ αὐταῖς τὸ ἄπορον λύεται· λέγουσι δὲ τὴν μὲν
προτέραν ἐντολὴν ἥτις τὸν τῆς ἀκτημοσύνης εἰσέφερε νόμον, πρὸς τοὺς μαθητὰς ὡς
ἀληθῶς εἰρῆσθαι, κἀκείνοις ἐφαρμόζειν μόνοις, καὶ ὅσοις τὸ τῆς φιλοσοφίας ἔντονον καὶ B
παραπλήσιον ἄλυτον διὰ βίου μένει· τὴν δὲ δευτέραν οὐδὲν μὲν παρακινεῖν τοῦ περὶ
τῆς ἀκτημοσύνης τοῖς ἀθληταῖς δεδομένου νόμου, πρόσωπον δὲ ὑποβάλλειν μὲν
τῶν μαθητῶν, εἰς ἑτέρους δὲ τὴν ἀναφορὰν ἔχειν· ἀλλ᾽ ἑκατέρᾳ μὴν δόξῃ τὰ κοι-
νὰ μέχρι τούτου· σχίζεται δὲ τὸ λοιπὸν θατέρας ἡ ἑτέρα· καὶ ἡ μὲν πρόσωπον ὑπο-
τιθεμένη ὅσον πολιτικόν τε καὶ τοῦ μιγάδος οὐδὲν ἀνέχει, ἅτε δὴ πρὸς μείζονα C
φιλοσοφίαν δυσανάγωγόν τε καὶ δυσήνιον· τούτοις δὲ ἄρα ὑπαγορεύει διοικονομεῖσ-
θαι καὶ τὴν τῶν μετρίων κτῆσιν, καὶ τῆς τοὺς μαθητὰς ἀθλοθετούσης νομοθεσίας
ἐλευθέρους τούτους ἀφίησιν· ἡ δὲ τοὺς ἰουδαίους τῶν μαθητῶν ἀντισάγουσα, προ-
φητείαν εἶναι τῆς δευτέρας τὰ ῥήματα διατίθεται κατὰ παντὸς τοῦ γένους, ἥτις καὶ
πρὸς ἔργον ἐκβέβηκεν, Οὐεσπασιανοῦ καὶ Τίτου εἰς πολιορκίαν τῆς Ἱεροσολύμων D
πόλεως καταστάντων· οἳ καὶ ταύτην πολέμου νόμῳ παραστησάμενοι, μαχαίρας ἔρ-
γον τὸ ἰουδαίων ἔθνος ἐπέδειξαν· τότε γὰρ δὴ τότε οἷς μὲν ἡ κτῆσις ἔπιπλά τε,
καὶ ὅσα ἄλλα κομίσαι ῥᾴδια, ταῦτα φέροντες εἰς τὰς ἐπέκεινα τῆς Ἰουδαίας πό-
λεις τῆς οἰκείας ἀπέτρεχον μητροπόλεως· οἱ δ᾽ ἄλλως πλούτῳ βαρυνόμενοι, ἢ καὶ
τισιν ἑτέροις τρόποις ἐνισχημένοι, οὗτοι δὴ τῇ πόλει μένειν ἐξαπαιτούμενοι, ξίφη καὶ E
μαχαίρας καὶ τὰς ἄλλας πολεμικὰς πανοπλίας ἐξωνεῖσθαι συνηλαύνοντο, τοῦ
πολέμου πρὸς τὴν πρᾶξιν καὶ μὴ βουλομένους ἐπαναγκάζοντος· καὶ τοῦτο δὴ τοῦ-
το εἶναι ὃ τὸ δεσποτικὸν προαπεθέσπισε στόμα, νῦν δὲ ὁ ἔχων βαλάντιον, ἀράτω

conciliandam dubii solutionem vires colligere. Ceterae vero, quantum novimus, sententiae ex iisdem fere principiis manant; neque tamen sive cum prioribus sive ipsae secum ad finem usque consentiunt. Nam et ipsae quidem a personarum diversitate quaestionem solvunt: ceteroqui prius praeceptum, quod paupertatis legem sanciebat, discipulis revera aiunt traditum, hisque solis congruere, nec non iis hominibus qui religiosi instituti parem severitatem insolubiliter per omnem vitam amplexi sunt. Altero autem mandato haud infirmari aiunt latam perfectioribus illis paupertatis legem; idque personam quidem praetendere discipulorum, verumtamen alios homines reapse spectare. Hactenus sententiae utrique commune aliquid inest. Deinde in diversa abeunt: etenim altera personam proponit ab omni quidem re politica ac populari abhorrentem, ceteroqui sublimioris vitae haud capacem neque patientem: his, inquam hominibus modicum rei familiaris possessum attribuit, eosdemque legis eius, quae discipulis coronata certamina indicit, immunes esse sinit. Altera vero sententia Iudaeos discipulorum loco ponens, in posterioris mandati verbis vaticinium contra universam gentem contineri ait: quod sane exitum nactum est, cum Vespasianus ac Titus Hierosolyma urbem obsidione cinxerunt; qui post hanc belli iure subactam Iudaeos gladiis consumendos tradiderunt. Tunc enim quorum possessio supellex erat et quidquid facile asportari poterat, id in alias extra Iudaeam urbes ferentes, a sua metropoli diffugiebant: dum alii interim divitiis gravati, aut quolibet modo detenti, dum urbanae stationis tenaces sunt, mucrones et enses atque alia arma bellica coemere festinabant, bello ad id invitos urgente. Atque hanc rem nimirum dominico ore praedici: nunc vero qui habet crumenam, sumat pariter et

A ὁμοίως καὶ πήραν· ὁ δὲ μὴ ἔχων, πωλήσει τὰ ἱμάτια αὐτοῦ καὶ ἀγοράσει μάχαιραν· τοῦτο δὲ ἄρα καὶ χρησμοῖς ἄνωθεν προδηλοῦσθαι· συγκόψατε τὰ ἄροτρα ὑμῶν Ioël. III.10.
εἰς ῥομφαίας, καὶ τὰ δρέπανα εἰς σειρομάστας, τοῦ θείου προκαταγγέλλοντος· οὕτως οὖν φασὶν οὐδαμῶς μάχεσθαι τὸ μὴ ἔχειν ζώνην μήτε ὑποδήματα μήτε πήραν, πρὸς τὸ νῦν δὲ ὁ ἔχων βαλάντιον, ἀράτω ὁμοίως καὶ πήραν· ὁ δὲ μὴ ἔχων
B πωλήσει τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγοράσει μάχαιραν.

1. Ἀλλά γε τοῖς οὕτω τὴν ἀπορίαν ἐπιλυομένοις ἀντιπεσεῖται μὲν ἴσως αὐτὰ τὰ δεσποτικὰ ῥήματα· ὅταν γὰρ ἀπέστειλα ὑμᾶς φησί· καὶ νῦν δὲ λέγω ὑμῖν· οὐκ ἄλλοις ἀλλ' ὑμῖν αὐτοῖς, οὓς καὶ κηρύσσειν ἀπέστειλα· ὥστε νῦν ἡ τῶν προσώπων ὑπαλλαγὴ οὐδεμίαν εὑρίσκει χώραν ἀποδοχῆς· οὐ μὴν ἀλλὰ καὶ τίνα
C λόγον, ποῖον δὲ συνδιασώσει εἱρμὸν τὸ, ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον, ἀράτω καὶ πήραν, πρὸς τὴν τῆς ἀκτημοσύνης ἐντολήν; πῶς γὰρ ἂν ὁ ἀκτήμων βαλάντιον ἔχοι; τίνα δὲ προφητείαν τὸ προσλαβεῖν τῷ βαλαντίῳ καὶ πήραν τῆς τῶν ἰουδαίων ὑπογράφει καταστροφῆς; ἀλλ' ἡ τοιαύτη μὲν ἔρευνα τῶν λογισμῶν ἀδεκάστῳ κρίσει καὶ τῶν ἔμπροσθεν ἀποδεδομένων λόγων ἐνίοις τισὶ διανοίαις ἐμποδὼν ἂν σταίη, καὶ
D οὐκ ἂν συγχωρήσειε τὴν λύσιν ἀναμφισβήτητον προελθεῖν· τὸ γὰρ πάλαι μὲν τοῖς μαθηταῖς ἀποκωλῦσαι, ὕστερον δ' ἐπιτρέψαι τὴν κτῆσιν· ταύταις δὲ ταῖς ἐντολαῖς πῶς ἂν ἐφελκυσθείη συναρμόσαι τὸ, ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον, ἀράτω καὶ πήραν; καὶ τὸ, ὁ δὲ μὴ ἔχων, πωλήσει τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγοράσει μάχαιραν; οὔτε γὰρ εἰ ταῦτα δοθείη, τῆς προτέρας ἐντολῆς οὐδαμῶς ἐπιγινώσκε-
E ται τοῖς λαβοῦσιν ἡ φυλακή· οὐ γὰρ ἂν χώραν εἶχε τὸ βαλάντιον· καὶ ἡ δευτέρα δὲ οὐκ ἐπιτροπὴν εἰσάγει μᾶλλον τῇ κτήσασθαι, ἀλλ' ἔλεγχον τοῦ μὴ φυλάξαι τὰ πρότερα· ἀλλὰ γὰρ τοὺς μὲν ἱεροὺς ἐκείνους ἄνδρας ἄγειν τε χρεὼν καὶ θειάζειν τῆς τε πρώτης ἐπιβολῆς καὶ τῆς εὐσεβούσης γνώμης· καὶ ὅτι τὴν ἀρχὴν

peram: quas siquis non habet, divenditis vestimentis gladium acquiret. Id ipsum antiquioribus quoque oraculis significatum fuerat, propheta dicente: aratra vestra in gladios, et falces in lanceas concidite. Sic igitur verba, ne habeatis zonam neque calceamenta neque peram, negant pugnare cum his, nunc qui habet crumenam, sumat pariter et peram: qui vero non habet, vestimenta sua vendet gladiumque emet.

10. Sed enim his qui hac ratione controversiam dirimunt, ipsa fortasse dominica verba contradicunt: cum misi vos, inquit. Nunc autem dico vobis: non aliis sed vobis ipsis quos antea praedicatum misi. Quare locus recipiendae personarum mutationi nullus est. Immo vero quid consentaneum, vel quem nexum habent verba nunc qui habet crumenam, sumat pariter et peram, cum paupertatis mandato? Cur enim pauper crumenam haberet? Iam ipsa perae cum crumena assumtio, quodnam quaeso iudaici exitii vaticinium innuit? Sane haec opinionum indagatio si libero iudicio fiat, praedictarum quoque sententiarum nonnullis obstabit, neque sinet indubiam solutionem evadere. Namque olim interdixisse discipulis, deinde concessisse, opes; his, inquam, mandatis qui fieri potest ut accommodetur dictum illud, nunc qui habet crumenam, sumat et peram? rursusque illud, qui autem non habet, divenditis vestibus gladium emet? Neque vero, si vel haec concedantur, idcirco apparet prioris mandati apud eos qui acceperant observantia; alioqui nullus crumenae locus esset. Posterius autem mandatum non tam possidendi copiam facit, quam superioris violationem coarguit. Quae quum ita se habeant, nihilominus sacros illos interpretes propter sua priora tentamina piumque animum divinis praeconiis efferre decet. Opum quippe hermeneuticarum initium inde traxerunt ii, qui

τῆς εὐπορίας ἐκεῖθεν οἱ μετ' αὐτοὺς ἀπεδέξαντο, σπέρματα λαβόντες καὶ ἀπαρχὰς A
ἀκριβεστέρων ἐπιλύσεων· καὶ τό γε πατέρας αὐτοὺς μᾶλλον ἡμῖν ἐπιγράφει, καὶ
τροφείων ἡμᾶς ἀποφαίνει χρεώστας, ὅτι ταῖς συντόνοις αὐτῶν ἐπιβολαῖς καὶ φιλο-
πονίαις, εἰς ἄκρον ἐστὶν ἰδεῖν τὰ πλεῖστα τῶν ἱερῶν γραμμάτων τὴν ἐργασίαν ἀπει-
ληφότα, καὶ μηδεμίαν ἀγνοίας ἢ ἀμφισβητήσεως τισὶ καταλελοιπότα πρόφασιν.

ια. Φαίη δ' ἄν τις ἴσως ὁδηγῷ τῷ πνεύματι χρώμενος, ὥστε καὶ τὰς εἰρη- B
μένας λαβὰς ἐκφυγεῖν, ὡς τὸ μὲν πολλὰ τῶν φαινομένων ἐν τῇ θείᾳ γραφῇ μά-
χεσθαι, παρὰ τὴν ἄγνοιαν ἢ τὴν κακουργίαν τῶν τοῖς ῥητοῖς ἐπιβαλλόντων, ὀρθῶς
τε καὶ δικαίως εἴρηται· οἱ μὲν γὰρ οὐ συνορῶντες τὰ περιστατικὰ δι' ὧν τὰ μα-
χόμενα λύεται· οἱ δὲ κακομηχανοῦντες, τὴν ἀπορίαν κρατύνουσι· πλὴν ἀλλά γε
νῦν ἡ ἀπὸ τοῦ προσώπου περίστασις οὐδὲν μέγα τῇ παρούσῃ θεωρίᾳ συμβάλλε- C
ται, αὐτῶν δὲ μᾶλλον τῶν ἱερῶν γραμμάτων ἡ ἀκριβὴς συνεξέτασις ἐξ ἑαυτῶν δια-
σκεδάζεται ἐπιθολοῦσαν ἄγνοιαν τῇ καθαρότητι τοῦ νοήματος· καί μοι συνδιασκό-
πει τοῖς λογισμοῖς καὶ συνακολούθει τῷ ἐγχειρήματι· πρῶτον μὲν ὁ δεσπότης οὐκ
ἐπιτάττει τοὺς μαθητὰς βαλάντιον αἴρειν, ἀλλὰ τοὺς ἔχοντας, καὶ πήραν συν-
επιφέρειν ἀφίησι· ποῦ τοίνυν ταῦτα ἀσύμφωνα, καὶ πῶς ἂν ἀλλήλοις μάχοιτο; D
μαθητὰς μὲν ποιεῖν καὶ δεικνύναι τῆς ἀκτημοσύνης νομοφύλακας· τοὺς ἡθητηκότας
δὲ συγχωρεῖν, κἀπὶ τῶν ὁμοίων λύειν τὸ πρόσταγμα· ἀῤῥωστήματι γὰρ γνώμης
κανὼν ἀκριβείας ἀσύμφορον· καὶ ὁ δοὺς τοῖς προλαβοῦσι τῆς ὀλιγωρίας τὸν ἔλεγ-
χον, αὐτὸς ἀναχαιτίζει τοῦ νομοθέτου τὴν ἐπὶ τοῖς μέλλουσι πρόνοιαν· συγχω-
ρεῖται μὲν οὖν ὡς ἔφημεν τοῖς κτησαμένοις τὸ βαλάντιον καὶ ἡ πήρα· ἢ εἰ βού- E
λει προαναφωνεῖται τῆς ἐσομένης πολιτείας τοῖς μὴ τὰ φθάσαντα συντηρήσασιν ὁ
τρόπος· ἐναντίον δὲ τῇ ἐντολῇ, δι' ἧς οἱ τελειωθέντες τὴν ἀκτημοσύνην κατώρθω-
σαν, οὐδαμῶς ἂν τοῦτο συνορασθείη· ὁρᾷς πῶς ἐξ αὐτῆς τῆς λέξεως καθαρῶς ἡ

illos consecuti sunt, interpretes, seminibus nimirum acceptis ac solutionum accuratiorum primitiis. Idque magis illis patrum ius erga nos adserit, nosque omnis observantiae debitores demonstrat, quod nimirum acribus eorum conatibus ac laboribus, nunc demum ad apicem videre licet sacrarum litterarum interpretationem provectam, nec cuipiam inscitiae aut dubitationis ansam iam esse relictam.

11. Quod si forte aliquis sancti spiritus instinctu dicat, praedictas offensiones declinandi causa, plerasque earum quae in divina scriptura videntur contradictiones, inscitia malitiave eorum fieri qui textus illos oppugnant; id inquam recte admodum iusteque dicetur. Etenim partim haud considerant circumstantias quibus repugnantiae auferuntur, partim vero improbitate sua difficultatem exaggerant. Attamen personarum circumstantia haud magnopere praesenti argumento prodest; sed ipsarum potius sacrarum litterarum diligens consideratio, inscitiae sordes puritate sui sensus hinc eiiciet. Sequere me igitur cogitatione tua, meamque operam comitare. Primo quidem Dominus haud iubet discipulos crumenam gerere, verum eos qui hanc haberent, peram quoque simul ferre sinit. Qui quaeso haec inter se dissonant, vel quomodo sibi adversantur? in discipulorum numero habere ac praedicare eos qui paupertatis mandatum curant; violatoribus autem indulgere, atque eius rei praeceptum antiquare. Etenim infirmae menti severitas regulae inutilis est; et qui superiore vita neglectum legis prae se tulit, is inhibet ulteriorem legislatoris providentiam. Conceditur ergo, ut diximus, habentibus crumenam etiam pera; vel potius futurum vitae genus eorum, qui priora mandata minime observaverunt, praedicitur. Verum id profecto haud contrarium apparet mandato illi, cui perfecti discipuli obsequentes, paupertatem sedulo retinuerunt. Vides ut ex ipsa locutione perspicue solutio

A λύσις προέρχεται; μηδὲν ἐργώδες μηδὲ περινενοημένον παρέχουσα, ἀλλὰ νῦν φη-
σιν ὁ ἔχων βαλάντιον, ἀράτω ὁμοίως καὶ πήραν.

ιβ. Δύο τάξεις νῦν, ὃ καὶ ἐπὶ πάσης ἄλλης ἐςὶν εὑρεῖν ἐντολῆς, συνορῶνται·
οἱ μὲν κατορθοῦσιν, οἱ δὲ τὸ πρόςαγμα παραβαίνουσι· τοῖς μὲν κατωρθωκό-
σι, καὶ τῶν μειζόνων ὁ πόνος πιςεύεται, τοῖς δ' ἐῤῥαθυμηκόσι, οὐδὲν ἄλλο βά-
B ρος ἐπιτίθεται· ἀλλὰ καὶ συγχωρεῖται τὸ φθάσαν, ἵνα μὴ τὸ πᾶν ἐξ ἀπογνώ-
σεως ἀπολέσωσι· ἔδωκε τοῖς μαθηταῖς μηδὲν κεκτῆσθαι· οὐδὲν αὐτοῖς τῶν ἀναγ-
καίων ἐπιλέλοιπεν, οὐ μικρὸν οὐ μέγα· οὐχ εὗρον ἀφορμὴν οὐδεμίαν οὐδ' αἰτίαν
πλάσαι παραβάσεως· καὶ μάρτυρες αὐτοὶ τῦ μηδενὸς ἐν ἐνδείᾳ νομοφυλακοῦντας
καταςῆναι· μή τινος γάρ φησιν ὑςερήσατε; οἱ δὲ οὐδενός· ἐπεὶ οὖν ὁμοτίμως Luc. XXII. 35.
C μὲν ἡ ἐντολὴ ἐδόθη, ὁμοτίμως δὲ τὸ τῆς χρείας ἄφθονον ὑπῆρχεν· ἀλλ' οἱ μὲν
οὐ δέον συνεπιφέρειν, βαλάντιον εἶχον· οἱ δὲ τῆς ἐντολῆς ἦσαν· τοὺς μὲν ὑπερ-
ιδόντας τὸ πρόςαγμα ἅμα μὲν ἐλέγχων, ἅμα δὲ ἀφεὶς φέρεσθαι τῇ γνώμῃ,
καὶ οὐ συγκλείων εἰς βίαν· ἅμα δὲ εἰ βούλει καὶ προαναφωνῶν αὐτοῖς τῆς πο-
λιτείας τὸ μέλλον, ὁ ἔχων φησὶ βαλάντιον, ἀράτω ὁμοίως καὶ πήραν· προανε-
D κήρυξε γὰρ ὁ παραβὰς οἷς ἔφθασε πράξας, καὶ τῆς ἐντολῆς ἀλογήσας, οἵαν
καὶ περὶ τῶν συςοίχων τὴν ἐν τῷ μέλλοντι διάθεσιν δείξει· τοῖς δὲ καθαρῶς
ἀσπασαμένοις τὸ πρόςαγμα, τῆς γνώμης αὐτῶν ἀποδεξάμενος τὸ ςεῤῥὸν, καὶ τὸ
κεφάλαιον τῶν κατορθωμάτων ἐν ἀγῶνος μοίρᾳ χαρίζεται, καὶ πρὸς τὸ τῆς φι-
λοσοφίας ἄκρον οὓς εἰσάγει ἀναφέρει.

E ιγ. Διό φησι πρὸς ἑκατέρους τῦ λόγυ σχιζομένυ, νῦν δὲ ὅτε μάλιςα τὸ πά-
θος ἥκει τὸ ἐμὸν, καὶ ὁ καθ' ὑμῶν ἐπὶ μέγα κρατύνεται πόλεμος, καὶ πολλῶν
ἔλεγχον δώσουσι λογισμοί· οἷς μὲν ὁ τῆς ἐντολῆς λόγος οὐδ' οὕτω χαλεπὸς
ὢν οὐκ ἐφυλάχθη, τούτοις ἀκολουθήσει μετὰ τῦ βαλαντίου καὶ ἡ περιπόνησις

fluat, sine ullo vel labore vel subtili excogitatione, nunc vero qui habet crumenam, sumat pariter et peram!

12. Duos heic hominum ordines (ut in alio quovis iusso deprehendere licet) videmus: alii scilicet mandatum curant, alii violant: recte agentibus maioris quoque molis labor concreditur; socordibus nullum insuper pondus adiicitur, immo et illud prius remittitur, ne omnia desperatione pessum dent. Mandavit discipulis nihil ut possiderent: nihil iis necessarium, sive id parvum esset sive magnum, defuit; nullam occasionem causamve confingere potuerunt, cur obedientiam abiicerent. Quin ipsi testati sunt nulla se egestate laboravisse dum ei praecepto obsequerentur. Numquid, ait, vobis defuit? responderunt, nihil. Quandoquidem igitur commune mandatum erat, communis quoque fuit victus copia. Verumtamen alii contra officium crumenam habuerunt, alii mandato adhaeserunt. Quare mandati violatores simul reprehendit, et simul suo quemque permittit arbitrio ferri, nullaque vi cogit. Simul autem, si ita placet, praedicit illis futuram ipsorum vitam: qui habet, ait, crumenam, sumat pariter et peram. Nam qui antea deliquit, mandato contempto, is satis portendit qualem postero quoque tempore in re simili animum gesturus sit. Contra eorum, qui accurate rem imperatam fecerunt, constans ingenium probans, summam quoque perfectionem in agonis partem largitur, eosque ad religiosae vitae culmen monitis suis subvehit.

13. Quamobrem ait utrique ordini, bipartito sermone: nunc cum maxime passio mea appropinquat, bellumque magnum contra vos ingravescit, multorum denique revelabuntur cogitationes. Etenim illos, a quibus superius mandatum, licet non ita arduum, violatum fuit, eos inquam post crumenam consequetur perae quo-

*

τῆς πήρας· οἷς δ' ἀνωτέρω γενέσθαι τῆς ἀθετήσεως διεπονήθη, οὗτοι καὶ τὸ τέ- A
λος οἰκεῖον τῶν προηγωνισμένων ἐπιθήσουσι· καὶ τοὺς μὲν τῆς ἄκρας φιλοσοφίας,
καὶ διὰ τοῦτο καὶ τῆς ἀκτησίας καταπεπτωκότας, ἡ τῶν πολλῶν μέριμνα καὶ ἡ φρον-
τὶς ὑποδέξεται· οἷς μετὰ τοῦ βαλαντίου καὶ ἡ πήρα, καὶ ὅσα ἂν τὸ εὐπερίστατον
ἐπιτάττῃ τοῦ βίου, οὐ διαλείψει δι' ὄχλου γινόμενα· τοῖς δέ γε τηρήσασιν ἐν
σπουδῇ καὶ πόνοις τὸ ἀγώνισμα, ἐπεὶ τοῦτο φησὶν ὑμῖν ὀρθῶς τε καὶ ἐπιμελῶς B
διαπέπρακται, καὶ τὸν τῆς ἀκτημοσύνης ἆθλον ὥσπερ ἀῤῥαγῆ κρηπῖδα τῶν μελ-
λόντων ἀγώνων ἐπήξατε, λείπεται δὲ παρεσκευασμένους ἔτι μᾶλλον καὶ ἑτοίμους
ὑμᾶς εἶναι νῦν ἢ πρότερον πρὸς τὸν ὑπὲρ ἐμοῦ θάνατον· ἤδη γὰρ κἀγὼ τὸν ὑπὲρ
τοῦ κόσμου ὑπέρχομαι· εὖ δὲ ποιοῦντες προαπέθεσθε μὲν πάντα τὰ τοῦ βίου· οὐ-
δὲν δ' ὑμῖν ἐπισύρεται τῶν μεθέλκειν δυναμένων ἀπὸ τοῦ μὴ χαίροντας ἐλθεῖν C
ἐπὶ τὸ πάντων κεφάλαιον τὴν ὑπὲρ ἐμοῦ σφαγήν· ἕψεται πάντως ὑμῖν προθύ-
μους εἶναι, καὶ τὸ ἔσχατον ἀποδοῦναι περιβόλαιον, καὶ ἀλλάξασθαι τῆς ζωῆς
τὸν ὑπὲρ ἐμοῦ θάνατον· τοῦτο γὰρ σημαίνοι ἂν τῶν εἰρημένων πάντων εὐστοχώτερον
τὸ βαλάντιον μὴ ἔχειν, καὶ ἡ τοῦ ἱματίου πρᾶσις, καὶ ἡ μάχαιρα· ὡσανεὶ ὅταν
περ οὐδὲ τοῦ ἐσχάτου περιβολαίου ὁ τὴν τῆς ἀκτημοσύνης τελεσάμενος φείσεται, ἀλ- D
λὰ κἀκεῖνο δώσει χωρῶν εὐθύμως πρὸς μάχαιραν· διὸ οὐ πωλησάτω φησὶν οὐ-
δὲ ἀγορασάτω, ἀλλὰ πωλήσει καὶ ἀγοράσει· ἅμα μὲν οὐ νόμον, οὐδ' ἐπίταγμα
τὰ ῥήματα ποιῶν, ἅμα δὲ καὶ τὸ μέλλον προαγορεύων· οἷον οὐκ ἐπιτάσσω φη-
σὶ τοῦτο γενέσθαι, ἀλλ' εἰδὼς τὸ γενησόμενον προλέγω, ὡς ἡ τῆς ἐντολῆς φυλα-
κὴ καὶ τὸ ἔσχατόν που καὶ μέγα ὑμῖν προϋπογράφει κατόρθωμα· ἐκείνη γὰρ πεί- E
σει καὶ τὸν ὑπὲρ ἐμοῦ θάνατον ἡδέως ἑλέσθαι, τὸ πάσης ὑμᾶς βιωτικῆς ἐλευ-
θέρους εἶναι μερίμνης, πρὸς τὸ μηδὲν ἐπιστρέφεσθαι τῶν σωματικῶν, τὸ πάντα
πρὸς τὴν ἐμὴν ἀναφέρειν θεραπείαν· ὅτι δὲ οὐ μᾶλλον ἑτέρου τινὸς χάριν τὰς μα-

que adiectio: contra illi, quibus curae fuit ut ab inobedientia caverent, coronidem quoque idoneam prioribus actibus imponent. Hinc eos qui a sublimi philosophia ideoque etiam a paupertatis laude exciderunt, multarum rerum sollicitudo et cura excipiet: eosdemque praeter crumenam et peram, cetera etiam, quae vitae lautitia exigit, turmatim circumsistent. At vero illis qui sedulo et fortiter in proposito opere perseveraverunt, quoniam hoc, inquit, recte et diligenter a vobis peractum certamen est, ac paupertatis laborem ceu immobilem futurorum agonum columnam constituistis, superest ut nunc apprime morti pro me obeundae parati sitis: nam et ego necem pro mundo mox subiturus sum. Bene autem est, quod antea mundana omnia abiecistis, nihil ut vos pelliciat eorum, quae impedire possent, quominus laetabundi ad summam rei veniatis, nempe ad caedem mei causa patiendam. Pronum oppido vobis erit alacres fieri, atque extremum amiculum tradere, et mei gratia mortem cum vita commutare. Id enim commodissime omnium praedicta verba significant, crumenam non habere, vestimenti venditio, gladius: veluti ne novissimo quidem amiculo perfectus paupertatis assecla parsurus sit, verum illud quoque cessurus, dum expedite currit ad gladium. Hinc non ait *vendat* aut *emat*; sed *vendet* et *emet*: quibus verbis neque legem neque iussum statuit; et tamen rem futuram ante denuntiat. Scilicet haud mando inquit, ut haec fiant, sed futuri praescius ante edico, fore ut praecepti custodia ad extremum quoque et insigne facinus viam vobis muniat: illa enim suadebit vobis, ut necem quoque mei causa libenter adire velitis, omni cura saeculari vacetis, nihil corporale sectemini, cuncta ad meum famulatum referatis. Quod autem haud alius rei gratia gladios me-

A χαίρας ὁ τὰ ἀπ' ἀρχῆς προβλήματα φθεγγόμενος αἰνιγματίζεται λόγος, ἢ σύμ-
βολον αὐτὰς πεποιημένος τοῦ τε οἰκείου πάθους καὶ τῶν μαθητῶν, σαφῶς ἀνα-
πτύσσεται τοῖς ἐφεξῆς· ἀποκριναμένων γὰρ τῶν μαθητῶν ὡς μάχαιραι δύο εἰσὶν,
εὐθ' ἕτερόν τι προσαπῄτησε παρ' αὐτῶν, οἷον ἱμάτιον πωλῆσαι, ἢ τοῖς ἔχουσι
τὸ βαλάντιον, εἰ καὶ ἡ πήρα προσείληπται, οὔτε πρὸς ἄλλην διάνοιαν μετεβίβα-
B σεν, ἀλλ' ἱκανόν ἐστι φησίν· ἀντὶ τοῦ περιγράφει τοῖς συμβόλοις τὸ μηνυόμενον,
καὶ ἀρκούντως ἔχει παραστῆσαι ταῦτα τὸν σκοπόν· αἱ γὰρ δύο μάχαιραι τὴν χρεί-
αν ὅλην ὑπογράφουσι, καὶ τοῦ συμβόλου τὸ βούλημα διαγγέλλουσι· καὶ γὰρ τού-
των ἡ μὲν παραβολὴν ἐπεῖχε τοῦ δεσποτικοῦ πάθους, ἡ δὲ τῶν γνησίων τε καὶ
ὡς ἀληθῶς τοῦ λόγου μαθητῶν, οἷς ἅπαντα τῆς εἰς τὸν δεσπότην εὐνοίας ἀλ-
C λασσομένοις καὶ αὐτὴ προσαποδύεται ἡ τελευταία περιβολή· γυμνοὶ δὲ τῶν περι-
γείων, ἀλλὰ καὶ αὐτῆς τῆς φύσεως, χαίροντες ἔδραμον πρὸς τὴν, ὅταν ὁ καιρὸς ἐκά-
λει τοὺς ἀθλητὰς, ὑπὲρ τοῦ ποθουμένου σφαγήν.

ιδ. Ἀλλὰ τοιαύτη μὲν καὶ ἡ νῦν τῶν ῥητῶν τὴν συμφωνίαν δεικνῦσα θεωρία,
τῇ μὲν τῶν προσώπων οὐ χρησαμένη διαφορᾷ, ὅτι μὴ δ' ἐπέτρεπε τοῦτο τῆς ἱε-
D ρᾶς γραφῆς ἡ φωνή, ὑπ' αὐτῶν δὲ τῶν ἐμβεβηκότων πραγμάτων, καὶ τῆς καθ'
εἱρμὸν προόδου τοῦ λόγου. τὴν συμβολικὴν τῶν ῥημάτων σημασίαν ἀναπτύσσουσα·
ἔστι μὲν οὖν ἔστιν οὐ κατὰ τοὺς εἰρημένους μόνον τρόπους τὴν φαντασίαν τῆς μάχης
ἀπαντῶσαν λαβεῖν, ἀλλὰ καὶ κατ' ἄλλους πολλῷ τῶν εἰρημένων πλείονας, ὧν
ἡ στοιχείωσις καὶ συγκεφαλαίωσις ἰδιαζούσης ἀλλ' οὐχὶ τῆς νῦν ἐστιν ὑποθέσεως·
E πλὴν οὐδὲν κωλύει καί τινας αὐτῶν διελθεῖν, οἳ καὶ πρὸς ἄλλα τινὰ τῶν σῶν ἀπο-
ρημάτων τοῖς συνεπισκοποῦσι πόρον παρέχονται· πολλὰ μὲν γὰρ τῶν οὐ μαχο-
μένων, ἂν τὸ μὲν οἰκονομίᾳ λέγῃ, τὸ δὲ τῆς φύσεως τὸ ἀκόλουθον, σὺ δὲ μὴ
διαστείλῃς, πλάνην ποιεῖ ἀντιθέσεως· οἰκονομία (1) δὲ λέγοιτ' ἂν κυρίως μὲν ἡ τοῦ

moret arcano dominicus sermo, iamdiu parabolis uti solitus, nisi ut eos suae ac discipulorum passionis symbolum faciat, manifeste enucleat in subsequentibus. Quum enim respondissent discipuli praesto esse gladios duos, nihil praeterea ab iis exquisivit, puta vel ut vestem divenderent, vel an ii, quibus esset crumena, peram quoque sumpsissent, neque ad alias eos transtulit cogitationes; sed satis est, ait: scilicet signis res quae portenditur circumscripta est; atque haec adsequendo scopo sufficiunt. Totum quippe negotium gladii duo oculis subiiciunt, et quid sibi velit symbolum patefaciunt. Alter enim gladius dominicae passionis imago erat, alter evangelii genuinorum et sine fuco discipulorum, qui cunctis infra Domini caritatem locatis, novissimum quoque amiculum exuunt, atque omni terrestri re, immo et ipsa natura, nudati, simul ac occasio athletas evocat, ad necem pro dilecto ovantes convolant.

14. Atque ita haec etiam quae in manibus est disputatio consonantiam dictorum demonstrat, haud equidem personarum differentia, quam divinae scripturae locutio heic non patitur, sed consequentibus factis, et progrediente sermonis ordine symbolicam verborum significationem aperiens. Profecto licet non solum praedictis modis simulamentum pugnae cognoscere, sed aliis etiam multo iis qui dicti sunt pluribus, quorum expositio atque percensio, peculiaris cuiusdam, non praesentis, tractationis est. Nihil tamen vetat, quominus aliquot perstringamus, qui etiam nonnullis aliis dubitationibus tuis, siquis rem tecum considerabit, responsionem suppeditabunt. Nam multa eorum, quae minime inter se pugnant, si partim secundum oeconomiam dicantur, partim secundum naturae ordinem, tuque ea minime discernas, contradictionis fucum facient. Oeconomia vero principaliter dicitur Verbi incarnatio aut

(1) De hoc sacro vocabulo multus est Suicerus in thesauro, quem cum fructu adibis.

λόγου φρικτικὴ ὑπὲρ ἔννοιας ἐνανθρώπησις· καὶ καθ' ἕτερον δὲ τρόπον τῶν ἀκρι- A
βεστέρων νόμων ἢ ἐπί τινα χρόνον ὑποστολὴ ἢ σχολὴ, ἢ τῶν ἀνειμένων εἰσφορὰ
πρὸς τὴν τῶν δεχομένων ἀσθένειαν, διοικονομοῦντος τοῦ νομοθέτου τὸ πρόσταγμα·
προκύπτουσι δὲ τῆς πρώτης οἰκονομίας, οὐδὲ τῆς δευτέρας ἐχούσης τὸ ἀδιαίρε-
Luc. XXII. τον, καὶ ἄλλοι τρόποι διάφοροι· αὐτίκα ὁ σωτὴρ ἠγωνία τε καὶ παρῃτεῖτο τὸν θά-
43. Joh. X. νατον· ἀλλὰ καὶ ἐξουσίαν εἶχε θεῖναι τὴν ψυχὴν αὐτοῦ καὶ πάλιν λαβεῖν αὐτήν· B
18. καὶ ὅρα ὡς εἴ τις μὴ τὸ μὲν τῇ οἰκονομίᾳ δοίη, τὰ δὲ τῇ ἐξουσίᾳ τῇ θεϊκῇ, ἑαυ-
τὸν τοῖς ἐναντίοις περιτρέψει· καὶ τό γε νῦν τῆς οἰκονομίας ὄνομα φύεται μὲν ὥσπερ
εἴρηται ἀπό γε τῆς δηλούσης τὴν ἐνανθρώπησιν, ἥτις καὶ κυρίως ἂν καὶ πρώτως
οἰκονομία τῷ ἀξιώματί τε καὶ τῷ αἰτίῳ τῆς ἐξ αὐτῆς λέγοιτο· οὐ μὴν εἰς ὅλον
ἐκείνῃ συμφύεται· σχίζεται γὰρ εἰς δύο τέως καὶ αὐτή· καὶ τὸ μὲν αὐτῆς ἐπὶ μᾶλ- C
λον, τὸ δὲ ἐπ' ἔλαττον τῷ σημαινομένῳ συμβιβάζεται· εἰ μὲν γάρ τις τὴν ἀγω-
νίαν καὶ τὴν τοῦ θανάτου παραίτησιν καθ' ὃ γέγονεν ἄνθρωπος λαβεῖν ἐθελήσοι,
οἰκονομίαν ἐνταῦθα τὴν μᾶλλον προσφυομένην ἕξει τῷ προταχθέντι ῥήματι· εἰ δ'
ἀγωνιᾷν καὶ παραιτεῖσθαι τὸν θάνατον, οὐκ αὐτὸ τοῦτο διότι γέγονεν ἄνθρωπος
τὶς ὑπολάβοι· πολλοῖς γὰρ καὶ τῶν μαρτύρων καὶ ἀσκητῶν ἑκούσιος ὁρμὴ καὶ χαρὰ D
πρὸς τὸν θάνατον· ἀλλ' οἰκονομεῖσθαι νῦν τὴν ἀγωνίαν καὶ τὴν τοῦ θανάτου παρ-
αίτησιν εἰς βεβαίωσιν μὲν τῆς ἐνανθρωπήσεως, ἔλεγχον δὲ φθάνοντα τῶν ὑποθεμέ-
νων φαντασίαν τὸ φρικτὸν τῆς ἐνανθρωπήσεως καὶ παράδοξον, τὴν ἐπ' ἔλαττον οὕ-
τος συναπτομένην τῆς οἰκονομίας φωνὴν πρὸς τὴν τῆς μάχης λύσιν εὗρεν ἐπίκουρον·
πλὴν ἀλλ' οὐδὲν ἔλαττον ἑκατέρωθεν ἡ φαντασία τῆς μάχης ἐλαύνεται. E

ιε. Εἰσὶ δὲ καὶ παρὰ τούτοις οἰκονομίας διάφορα μὲν σημαινόμενα, τῆς αὐτῆς δ' ὅμως λαχόντα γενέσεως· πλὴν ἀλλά γε νῦν μυρία μὲν καὶ ἄλλα τῶν

pra omnem intelligentiam admirabilis. Rursus alio modo oeconomia intelligitur severi iuris ad certum tempus remissio atque iustitium; vel etiam immunium pensitatio propter aegros recipientium animos praestita; sic videlicet legislatore mandatum suum moderante. Existunt autem e priore oeconomia (neque posterior ipsa abhorret) alii quoque modi plures. Exempli causa, servator in agonia factus mortem deprecabatur. Atqui idem potestatem habebat ponendi animam, atque iterum sumendi eam. Constat, nisi quis prius illud oeconomiae adscribat, alterum vero divinae potestati, ipsum se contradictionibus implicaturum. Et hoc loco quidem oeconomiae nomine intelligitur, ut diximus, incarnatio, quae praecipue primitusque ob dignitatem suam et efficientiam merito dicitur oeconomia. Neque tamen praedictum nomen in hac una notione consistit. Nam et ipsa notio interdum in duas scinditur; quarum altera magis, altera minus cum re intellecta congruit. Nam siquis agoniam mortisque deprecationem quatenus homo erat intelligere volet, is oeconomiam praeposito nomine maxime dignam habebit: sin agoniam pati et mortem deprecari, haud a Christi humanitate repetet; (propterea quod multi martyres piique athletae sponte atque alacriter ad necem properaverunt) verum idcirco factum esse in agonia Iesum et mortis fugam adpetivisse indicabit, ut humanitatis suae fidem faceret, atque ut in antecessum eos refelleret, qui admirabile atque inopinum incarnationis opus phantasiae adscripturi erant; qui, inquam, sic opinabitur, is oeconomiae vocabulum secundario sensu ad repugnantiae conciliationem auxiliarium habebit. Aeque tamen utrimque simulata repugnantia expellitur.

15. Sunt autem praeter has aliae quoque et variae vocabuli oeconomiae significationes, quae tamen ab eadem origine manant. Denique alia innumera quae ad du-

A εἰς ἀπορίαν ἀναφερομένων, τῇ ἐπικρίσει τε καὶ διαλήψει τοῦ τὴν κυρίως οἰκονομίαν δηλοῦντος ὀνόματος ἡ λύσις ἐκεῖθεν πρὸς τὸ σαφὲς ἄγει· ἐπιλύσεως δὲ οὐδὲν ἔλαττον διὰ ταύτης τύχοι ἂν ἢ δι' ἄλλης ἐφόδου καὶ τὸ, τί με ζητεῖτε ἀπο- Ioh. VIII. 40.
κτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν λελάληκα ὑμῖν; καὶ ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσ- X. 30.
μέν· συγκρούειν μὲν γὰρ ἀλλήλοις δοκεῖ πως τοῖς ἀσυνέτοις ἢ ῥαδιουργοῦσι τὰ
B ῥητά· ἀλλ' ὅγε σοφὸς τῆς ἀληθείας λόγος τὴν μὲν τῶν φωνῶν τῇ ἀκηράτῳ καὶ μακαρίᾳ τῆς θειότητος ὑποφέρων φύσει· τὴν δὲ καθ' ἣν αὐτὴν ὁ λόγος τὴν ἡμετέραν οὐσίαν προσείληφεν, πᾶσαν διωθεῖται ἀμφισβήτησιν· οὐκ ἀποστατήσει δ' ἂν τοῦ εἰκότος καὶ εἴ τις τῇ αὐτῇ διαλύοιτ' ἂν ἐπισκέψει καὶ τὸ, ὁ πατήρ μου μεί- Ioh. XIIII. 28.
ζων μου ἐστί· δεῖται μὲν γὰρ συνετῶν καὶ καθ' ἑαυτὸ τοῦτο τὸ ἱερὸν χωρίον ἀκ-
C ροατῶν· μᾶλλον δ' ἂν δεηθείη καὶ τῆς εἰρημένης φωνῆς, ἥτις ἐδήλου τὴν ἰσότητα τοῦ πατρὸς, συνεξεταζομένης καὶ συμπαραβαλλομένης αὐτῷ· εἰ γὰρ καὶ ἑτέραις πατρικαῖς ἐπιστασίαις ἡ ἐν αὐταῖς φαινομένη μάχη τὴν συμφωνίαν προήνεγκεν· οἷον ὅτι τὸ μὲν μείζων εἰς τὸ αἴτιον ἀναφέρεται(1)· τὸ δὲ ἓν μηνύει τῆς φύσεως τὴν ἰσότητα· ἀλλ' οὖν καὶ ὁ τῆς οἰκονομίας λόγος εἰς ἑαυτὸν τὸ μείζων ἀναδεχόμενος,
D ἐλευθέραν ἐπηρείας τὴν τοῦ πατρὸς πρὸς τὸν υἱὸν διὰ τοῦ ἑνὸς συγκατασκευάζει ἰσότητα· οὐδὲν δὲ κωλύει τοὺς τὴν ἔριν ἐπιτιθεμένην αὐτοῖς ὑποφέροντας λόγους, διαφόροις ἀποσκευάζεσθαι ταύτην ἐφόδοις· ἐπεὶ καὶ ὅπερ νῦν εἴρηται ὁ πατήρ μου μείζων μου ἐστὶν, ἑτέραις παρ' ἡμῶν ἐπισκέψεσιν, αἳ τὴν τῶν ἀκροατῶν ὑπόληψιν ὑπεβάλοντο, τῆς ἀπορίας ἀνεκαθάρθη, οὐ μεμπτὴν οἶμαι τὴν λύσιν ἀπενεγκάμενον.

E ις. Χωρὶς δὲ τῶν εἰρημένων καὶ παρὰ τὴν ἀνάγκην καὶ τὴν ἄδειαν, οἱ εἰς τὸ ἄπορον ἐκβιαζόμενοι λόγοι συκοφάντας τοὺς ἐπιτιθεμένους αὐτοῖς ἀπελέγχουσιν·

bitandum trahunt, iudicio et discretione nominis quod principaliter incarnationem significat, declarationem perspicuam consequuntur. Et hac quidem ratione, nihilo secius quam alia, solutionis compotes fieri licet. Veluti in hoc loco: cur me quaeritis interficere hominem qui veritatem locutus sum vobis? Tum, ego et pater unum sumus. Stultis oppido hominibus levique mente praeditis contraria haec dicta videntur: sed enim sapiens veritatis sermo alterum quidem dictum ad immortalem beatamque divinitatis naturam referens, alterum ad humanam quam Christus communem nobis substantiam sumpsit, universam profligat ambiguitatem. Neque a iusta sententia recedet, siquis eodem consilio explicet etiam, pater maior me est. Nam cum sacer hic locus per se prudentes auditores postulat, tum multo etiam magis indiget, ut supradicta vox, quae cum patre aequalitatem significat, adiungatur huic iuxtaque ponatur. Nam si aliis quoque patriis notionibus simulata ipsorum pugna concordiam exhibet; veluti quia vocabulum *maior* ad causam refertur; *unum* autem naturae aequalitatem significat; sequitur ut oeconomiae quoque sermo, qui in se recipit vocem *maior*, liberam errore comprobet per vocem *unum* patris cum filio aequalitatem. Porro nihil prohibet, quominus ii sermones qui adhaerente sibi contentione laborant, diversis hanc propulsent argumentis. Et quidem hoc ipsum, de quo nunc agimus, pater maior me est, aliis a me rationibus, quae mentem auditorum pervicerunt, omni dubitatione expeditum fuit, cum probabili ut arbitror solutione.

16. Praeter hactenus dicta, et praeter necessitatem et immunitatem, ii qui difficultatem calumniose sermones clamitant, auctorum suorum sycophantiam coarguunt.

(1) De vocabulo αἴτιον et de aliis Dei Patris nominibus et de toto hoc loco theologico legesis praeclaras ss. patrum auctoritates apud Petavium theol. dog. de trin. V, 5.

Marc. II. 25. ἐξ οὗ ϗ ὁ κοινὸς δεσπότης ϗ πλάστης τοῦ γένους ϗ σωτὴρ τὸν Δαβὶδ τοὺς ἄρ- A
τους φαγόντα τῆς προθέσεως, νόμων ἀφίησιν ἀθετήσεως· ὡς γὰρ θέμενος,
καὶ εἰδὼς τήν τε φύσιν καὶ ἰσχὺν τοῦ νόμου, καὶ ἐφ' ὃ νόμος τὴν πολιτείαν ἐτέ-
θη ῥυθμίζειν, τοὺς μὲν ὑβριστὰς, ϗ οἷς ὑπεροψία ποιεῖ τὴν παράβασιν, δικαιοῖ
τὴν δίκην ἐν ἄλλοις πολλάκις ὑπέχειν· οἷς δὲ στοργὴ μὲν ϗ αἰδὼς τῶν νόμων,
ἀνάγκη δὲ τὴν στοργὴν καὶ τὸ αἰδούμενον διὰ τῆς ἀσθενείας ἐκλύει, συγγνώμην B
διδοὺς τῇ ἀτονίᾳ, ϗ σπλάγχνοις ἐλέους τούτους ἀνακρίνων· καθάπερ δὲ ϗ τὸν
Δαβὶδ νόμων παραβάσεως ἀπολύει, τοῖς ἠνεγκαμένοις οὐχ ὑπεροψίαν ἐγκαλῶν τολ-
μήσαι τῶν νόμων, τῆς δ' ἐν τῇ φύσει ῥώμης οὐ συμπαρατεινομένης τῇ γνώμῃ· ϗ
τοῦτο λόγον αὐτοῖς τιθέμενος συνηγορίας ὁ φιλάνθρωπος γράφει τὴν ἐλευθερίαν· ϗ
πολλὰ ἄλλα τῶν ἀπορουμένων εἰς τὸ εὔπορον διὰ τῆς αὐτῆς ἐπιβολῆς μεθοδεύεται. C

ιζ. Τί δὲ δεῖ τὰς ἄλλας ἐκτιθέναι περιστάσεις; αὐτὸς καθ' ἑαυτὸν ὁ τῆς
ἀναγνώσεως τρόπος οἰκείως μὲν τοῖς νοήμασι τῆς φωνῆς τὸν ἦχον ἐναρμοζόμενος,
πάσης ἀπορίας ἀποτειχίζει πάροδον· ἐπαλλαττομένης δὲ τῆς καταλλήλου φωνῆς
Ioh. XV. 16. VI. 71. τῷ νοήματι, εἰς τὸ ἀδιανόητον τὸ σαφὲς καταδύεται· ἐγὼ φησὶν ἐξελεξάμην ὑμᾶς
πρὸς τοὺς μαθητὰς ὁ σωτήρ· ϗ οὐκ ἐγὼ ἐξελεξάμην ὑμᾶς (1)· εἴ τις οὖν ἑκατέραν D
τῶν προκειμένων περίοδον τῷ αὐτῷ τῆς φωνῆς κατασχηματίσειε τόνῳ, ἢ τὸ ἀνάπα-
λιν τὴν μὲν προτέραν ἐν ἐρωτήσει, τὴν δὲ δευτέραν ὅπερ ἦν τῆς προτέρας ἀποστησά-
μενος προενέγκοι, τὰ σαφῆ ποιήσει δυσέκμαρτα, ϗ τὰ λαβῆς ἁπάσης ὑπεραναστη-
κότα, ἐπίμωμα· ὁ γὰρ ἐκλεξάμενος εἰδώς τε ὡς ἐξελέξατο, ϗ τοῖς μαθηταῖς
τὴν ἐκλογὴν ἐπὶ μνήμης φέρων, ὡς ἂν τό τε ἀρχαῖον χρέος τῆς εἰς αὐτὸν εὐνοίας μὴ E
ῥεύματι λήθης ὑποσύροιτο, ϗ πειθηνίους μᾶλλον τοῖς προσταττομένοις ἔχοι, δῆλον

Quare et communis dominus et creator generis atque servator Davidem, qui panes oblationis comedit, de laeso iure absolvit. Nam utpote legislator, naturam legis vimque cognoscens, et quibus actibus moderandis lex sit posita probe sciens, iniurios equidem et qui per contemptum peccant, poena dignos saepe declaravit: veruntamen iis quibus amor et reverentia legum inest, sed necessitas cum infirmitate coniuncta amorem reverentiamque labefactat, veniam mollitudinis impertitur, neque in hos sine misericordiae adfectibus sententiam fert. Sicuti beatum quoque Davidem de laesis legibus absolvit; iis qui panes abstulerant haud audacem legum contemptum exprobrans; sed quia naturae robur non satis mentis proposito respondebat, id eis in defensionis loco ponens, absolutionem decernit clemens Iesus. Et aliae quidem controversiae multae ad liquidum hac ratione deducuntur.

17. Ceteras autem circumstantias recensere quid interest? Nam et ipse per se lectionis modus, si cuique sententiae proprium vocis sonum accommodet, aditum omni dubitationi obstruit: sin apta vocis ratio a significatu suo demutetur, res perspicua in obscuram vertitur. Ego vos elegi, ait servator discipulis. Itemque, non (a) ego elegi vos? Siquis igitur utramque ex his periodis eodem vocis tono figuret; vel vice versa priorem interrogative, alteram ita efferat ut priorem oporteret, rem manifestam ad perplexitatem trahet, et ea quae nulli criminationi obnoxia erant, in culpa ponet. Nam qui elegerat, quum electionis suae conscius esset, atque hanc discipulis in mentem revocaret, ne antiquum scilicet benivolentiae erga se debitum oblivionis fluctibus abriperetur, atque ut eos promptiores mandatis curandis faceret;

(a) Si *nonne* latine dicas, vim sententiae photianae infringes.

(1) Antiqua scilicet Graecorum scriptura carebat nota illa interrogandi, qua nunc perspicuitatis gratia utimur. Reapse vix in codicibus recentissimis praedicta nota conspicitur.

A ὡς οὐκ ἀπαγορεύων οὐδ᾽ ἐξαρνούμενος ὅπερ ἔπραξε, ἀλλ᾽ ἐπιβεβαιούμενος μᾶλλον
δι᾽ αὐτῆς ἐρωτήσεως, οὐκ ἐγὼ φησὶν ἐξελεξάμην ὑμᾶς; εἴωθε γὰρ ἐν πολλοῖς ὁ
λόγος ἐκεῖνα τῶν εὐεργετημάτων ἐρωτήματα ποιεῖν, ἃ περιφανεστάτην ἔχει τὴν ἐναρ-
γίαν, καὶ οὐκ ἔστιν οὐδενὶ τῶν λαβόντων ἐξαρνεῖσθαι τὴν χάριν· ὑπάγοιτο δ᾽ ἂν τῷ
αὐτῷ κανόνι καὶ τὸ ἐὰν ἐγὼ περὶ ἐμαυτοῦ μαρτυρῶ, ἡ μαρτυρία μου ἀληθής ἐστι· Ioh. VIII. 14.
B καὶ ἐὰν ἐγὼ περὶ ἐμαυτοῦ μαρτυρῶ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής; εἰ γὰρ καὶ V. 31.
ἑτέρα διασκέψει τὸ δοκοῦν ἐνταῦθα διαμάχεσθαι λύσιν εὑρίσκει (1), ἀλλ᾽ οὖν οὐδεὶς
ἂν ἐπιτιμήσειεν ὁρῶν πρὸς τὴν δίκην, καὶ εἴ τις μὴ ἀποφαινομένου λέγοι τὸ, ἡ μαρ-
τυρία μου οὐκ ἀληθὴς, ἀλλὰ διὰ τῆς ἐρωτήσεως ἀπογυμνοῦντος τε καὶ ἀνακαλύπ-
τοντος τὴν τοῖς ἰουδαίοις ἐμβαθυνομένην καὶ ἐνειλιττομένην τῆς ἀποστασίας τε καὶ κα-
C κουργίας γνώμην· εἰ μέν τοι γέ τις τὰς ἀποφάσεις ἐν ὁμοίῳ σχήματι τῶν καταφά-
σεων τῇ ἀναγνώσει διεξίοι, μάχης ὡς ἀληθῶς ἑαυτὸν καὶ ταράχου ἐμπλήσει, κἂν
τῆς θεορρημοσύνης τὸ θαυμάσιον πάσης ἐπιβουλῆς καὶ ἐναντιώσεως ὑπερανῳκισμένον
ὁρᾶται· τῆς αὐτῆς δ᾽ ἂν εἴη διασκέψεως καὶ ἡ, μείζων Ἰωάννου τοῦ βαπτιστοῦ οὐκ Matth. XI. 11.
ἐγήγερται ἐν τοῖς γεννητοῖς τῶν γυναικῶν, δεσποτικὴ μαρτυρία· εἶτα, ὁ δὲ μικρό-
D τερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστι; ἐρωτηματικῆς γὰρ ἀναγινωσ-
κομένης τῆς, ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστι, φωνῆς,
οὐδεμία μὲν ἀναίρεσις τῆς προτεταγμένης μαρτυρίας, οὐδεμία δὲ μικρολογίας εὑ-
ρίσκεται χώρα· οὐ μὴν ἀλλ᾽ οὐδὲ περινοίας ἄλλης δεήσεται ἡ τῶν προκειμένων ῥη-
μάτων σαφήνεια· ἀλλὰ γὰρ τοῦτο μὲν καὶ ἰδίας ἐν ἄλλοις ἔτυχεν ἐργασίας (2)· τοιοῦ-
E τον ἂν εἴη καὶ τὸ καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε (a), οὐ γὰρ ἀποφαινομένου τὸ Matth. XXVI. 45.
ῥῆμα, ἐν ἐρωτήσει δὲ ποιουμένου τὴν τῆς ὀλιγωρίας ἐπιτίμησιν· οἷς ἐπιφέρεται ἀκό-

hunc patet neque retractare quod egerat neque negare, sed ipsa potius confirmare interrogatione, non ego, inquit, elegi vos? Solemus enim in sermone ea beneficia interrogando commemorare, quae indubiam evidentiam habent, et quorum nemini bene his adfecto licet gratiam inficiari. Sub eandem regulam cadit etiam illud: si ego mihi ipsi testimonium do, testimonium meum verax est. Item, si ego mihi ipsi testimonium do, testimonium meum non est verax? Quamquam enim alia quoque consideratione quod heic videtur pugnare dirimitur, nemo tamen obiurgabit dicamve impinget, siquis dicat non esse hoc negativum, testimonium meum non est verax; sed eius qui retegit denudatque insitum Iudaeis atque implicitum apostasiae et improbitatis ingenium. Siquis igitur adfirmationes eodem tenore quo negationes inter legendum pronuntiet, is enimvero pugna se ipsum ac perturbatione complebit; etiamsi divini oraculi dignitas incursioni omni et contrarietati superior esse videatur. Illud etiam pari cautela tractandum est dominicum testimonium, maior Iohanne baptista inter filios mulierum nemo surrexit. Deinde, qui autem minimus est in regno caelorum, hic maior illo est. Interrogative enim prolata voce, minimus autem in regno caelorum maior illo est? neque praedictum testimonium perimitur, neque ullus cavillando locus superest. Quin adeo nulla praeterea sollertia opus erit ut supra dicta verba inclarescant. Sed enim hic locus alibi quoque peculiarem nactus est lucubrationem. Huiusmodi erit etiam dormitis iam et requiescitis? non enim pronuntiativa locutio est, sed eius qui interrogando so-

(a) Terminatio τε indicativi aeque modi et imperativi apud Graecos propria est. Verumtamen in latina lingua huic ambiguitati locus non est: quare in vulgato bibliorum nostrorum textu interrogare non licet.

(1) In amphilochiana quaestione IIC. (2) Lege quaestionem amph. CXXII apud Wolfium.

λουθόν τε καὶ συναρμοζόμενον, τὸ, ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν· οὐ γὰρ ἂν ἄλλως A
ἑτοιμότερον ἡ τῶν ῥημάτων συνέπεια ἐλευθεροῦσαν ὑπέλθοι ψῆφον τοῦ μηδὲν μάχεσ-
θαι, εἰ μὴ τὸ, καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε, τὴν ἐρωτηματικὴν διὰ τῆς
ἀναγνώσεως προβάλλοιτο ἐπιτίμησιν· καὶ μυρία ἄλλα.

ιη. Κακουργήσειε δ' ἄν τις τῶν τὰ τοιαῦτα τολμᾷν εἰωθότων παρὰ τὴν σύγ-
Matth. V. 39. χυσιν τῆς αἰτίας τὸ κακούργημα διαπλέκων, καὶ πρὸς τὸ, ἐάν τις σε ῥαπίσῃ εἰς τὴν B
Ioh. XVIII. 23. δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, τὴν ἀντεπενεχθεῖσαν τῷ τυπτήσαν-
τι δεσποτικὴν φωνὴν τί με δέρεις, ὡς ἀντιπράττουσαν προβαλλόμενος (1)· ἀλλ' εἰς τὸ
ἐμφανέστατον καθισταμένου ὡς ἡ αἰτία διάφορος, θᾶττον ἀπαιτεῖται τὸν ἔλεγχον·
καὶ γὰρ τῷ μὲν εἰς ἀργύριον ἢ κτῆσιν ἄλλην ἢ καὶ αὐτὸ τὸ σῶμα τὴν ζημίαν ὑπομέ-
νοντι, μὴ ἀντεπεξιέναι, παραχωρεῖν δὲ τῷ κριτῇ τῶν ὅλων, τῆς εἰρήνης Θεὸς ἐπι- C
τάττει τὴν ἐκδίκησιν· ἐπειδὰν δέ τις τὰς ἀδίκους ἐκτείνῃ χεῖρας οὐχ ὅπως εἴς τι
τῶν εἰρημένων τὴν βλάβην ἐνστήξειεν, ἀλλ' ἐν τῇ τοῦ προσώπου ὕβρει τὸ πρεσβευό-
μενον λωβήσηται τὴν εὐσέβειαν (2), τότε μὴ φέρειν ῥαθύμως τὴν ὕβριν προστάττομεθα·
μὴ δὲ σιγῇ συγκατασκευάζειν τῷ ἐχθρῷ τὸν προπηλακισμὸν τοῦ σεβάσματος· ταύ-
την καὶ ὁ θεῖος Παῦλος, ἅτε δὴ γνήσιος τοῦ λόγου μαθητὴς, ἐν σοφίᾳ τὴν ἐντολὴν D
Act. XIII. 8. κατωρθώσατο· τοῦτο μὲν Ἐλύμαν τὸν μάγον (3) ἐπιβουλεύοντα τῷ κηρύγματι στερήσει
τῶν ὄψεων ἀναστέλλων τε τοῦ τολμήματος καὶ δίκην ἀπαιτῶν· τοῦτο δὲ τῷ χιλιάρ-
Act. XXII. 25. χῳ τὸν ῥωμαϊκὸν ἐπισείων φόβον, ἵνα μὴ ῥᾷον ὂν ἀνασώσασθαι, τῆς σωτηρίας προ-
δότης ἁλῷ, καὶ τῷ τῆς εὐσεβείας ὑποκατακλινόμενος ἐχθρῷ· τοῦτο δὲ μακροῖς
ἐπιστομίζων ἐλέγχοις τοὺς τὴν συκοφαντίαν κατὰ τῆς πίστεως συσκευάζοντας· καὶ E

cordiam obiurgat. Cui sermoni subtexitur consectaneus alius et congruus: surgite, eamus hinc. Neque enim promptius aliter sermonis series ab omni contradictione felici calculo liberabitur, quam si *dormitis iam et requiescitis* interrogativam in legendo prae se ferat increpationem. Eius generis innumera sunt.

18. Maligne aliquis eorum, quibus haec artificia familiaria sunt, versutiam suam cum causae perturbatione miscebit, dum ei locutioni, siquis te percusserit in dextra gena, praebe illi et alteram; opponet Christi responsum, qui percussori ait, cur me caedis? Verum ubi perspicue patefactum fuerit causam rei esse aliam, criminatio ilico refelletur. Etenim homini qui pecuniae aut aliarum opum aut corporis detrimentum passus fuerit, mandat pacis Deus ne repugnet, atque ut omnium iudici persequutionem iniuriae permittat. Verum enim vero ubi quispiam scelestas manus intulerit, non ut alicui praedictarum rerum noceat, sed ut in oris contumelia rem praecipuam pessumdet, nempe sanctimoniam; tunc demum haud aequo animo iniuriam pati iubemur; ne patientiae obtentu audaciorem impium reddamus, neu silentio augeamus hosti animos, quo pietati petulantius insultet. Huic divus etiam Paulus, ceu sincerus evangelii discipulus, sapienter praecepto paruit. Idcirco enim magum Elymam praedicationi adversantem orbitate oculorum perculsum ab audacia cohibuit atque ultus est. Idcirco etiam tribuno romanum incussit timorem, ne salutis propriae, quam facile consequi poterat, ultro proditor videretur, ac pietatis cederet inimico. Ideo denique uberrimis eos repressit refutationibus

(1) Quaestionem hanc aliis verbis versat Photius etiam in amphilochiana CLVII, quam Wolphius edidit.

(2) Cicero in or. post red. in sen. V, et Lactantius inst. V. 9. caput dicunt partem hominis sanctissimam. Photius autem anagoge utitur.

(3) *Elymas* vocabulum significat *persam*: (Polychron. ad Dan. cap. VIII. 2.) magi autem genus hominum persarum. Photio nomen proprium visum est *Elymas*. Ad hunc actuum apostolicorum locum respexisse arbitror Menandrum historicum in excerptis apud me ineditis eclogarum Porphyrogeniti, ubi extat epigramma de alio mago recentiore persa praedicationi evangelicae obsistente.

A τῶν καλλινίκων δὴ μαρτύρων ὁ θεῖος χορὸς διὰ τὴν αὐτὴν αἰτίαν πρὸς τοὺς τυ-
ράννους ἐπαῤῥησιάζοντο ἀπτοήτῳ γλώσσῃ καὶ δυσωπήτοις ὀφθαλμοῖς τὸν ὑπὲρ τῆς
εὐσεβείας λόγον συνείροντες, καὶ τῆς ἀσεβείας τὸ δύσφημον διελέγχοντες· ἐν οἷς
μὲν γὰρ ὁ τύραννος τὸν τοῦ μαρτυρίου λόγον ἔνδον κακούργως ἀποκρυπτόμενος ἄλ-
λαις ἐπηρείαις, ὥσπερ τισὶ προαγωνίσμασι, τὸν ἀθλητὴν δοκιμάζει, σιγᾷν ἄμει-
B νον καὶ πράως φέρειν τὴν ἐνόχλησιν· ἐπειδὰν δὲ τὴν σκηνὴν διαλύσας, ἀπρόσωπον τὴν
κατὰ τῆς εὐσεβείας εἰσέρχεται κωμῳδίαν, τότε δὴ τότε γενναῖόν τε καὶ φίλον Θεῷ,
καὶ τῆς δεσποτικῆς ἐργασίας μίμησις, ἀντεπεξιέναι λόγοις, καὶ μὴ τῇ σιωπῇ προ-
διδόναι ταῖς κωμῳδίαις τὸ λατρευόμενον, κρεῖττον δὲ παρέχειν λαβῆς ἁπάσης καὶ
συσκευῆς· τοῦτο μὲν ἀληθέσι λόγοις, τοῦτο δὲ τῷ τῆς ψυχῆς παραστήματι· εἰς ἀρ-
C γύριόν τις ἐπιβουλεύει, εἰς ἀγρούς, ἢ καὶ χεῖρα ὕβρεως ἐπανατείνεται τῷ σώματι;
ἀνεξικάκως προσήκει φέρειν, μακροθυμίᾳ διαπραΰνειν τὸ φλεγμαῖνον τῆς ὀργῆς,
καὶ τῆς φιλαργυρίας, ὀλιγωρίᾳ τῆς ζημίας, ὑποστέλλειν τὸ ἄπληστον· ἀλλ' ὡς
ἐναγεῖς, ὡς ἀσεβεῖς τοὺς τῆς ἀρετῆς ἐργάτας καὶ τῆς εὐσεβείας κήρυκας ὁ ταύτης
ἐλαύνει ἐχθρὸς καὶ κακοῖς παραδίδωσιν, οὐ σιγῇ τὴν ὕβριν οἴσομεν, ἀλλ' ὡς ἄδι-
D κα μὲν πάσχοιμεν εὐσεβοῦντες αὐτοί, ἄδικα δὲ πάσχοι τὸ σεπτὸν τοῦ κηρύγματος,
καὶ γνώμῃ καὶ γλώσσῃ παῤῥησιασόμεθα· ἐκεῖ μὲν γὰρ ἡ σιγή, θαυμασίας ἐστὶν
ἀρετῆς ὑποτύπωσις· ἐνταῦθα δὲ τὸ σιγᾷν, καταθρασύνεσθαι τοῦ λόγου μᾶλλον πα-
ρακαλεῖ τὴν ἀσέβειαν.

ιθ. Ὑπάγοιτο δ' ἂν τῷ αὐτῷ τῆς διακρίσεως τύπῳ καὶ ὁ Ἀνανίας καὶ ἡ Act. V. 1.
E Σάπφειρα τῷ κορυφαίῳ ποινὰς εἰσπραττόμενοι· καὶ ἡ ἕως ἑβδομηκοντάκις ἑπτὰ ἐν- Matth. XVIII. 22.
τολὴ μετροῦσα τοῖς ἁμαρτάνουσι τὴν συγχώρησιν· καὶ γὰρ διὰ μὲν τῆς ἐντολῆς,
αὐτός τε Πέτρος καὶ ἡμεῖς τὰ εἰς ἑαυτοὺς ἁμαρτήματα πολλάκις ἀφιέναι διδασ-
κόμεθα· τὴν δ' εἰς τὸ θεῖον ὕβριν, οὔτε παρορᾷν ἐντολὴν ἔχομεν, οὔτε παρεῖδεν

qui religioni calumnias struebant. Et quidem fortissimorum quoque martyrum egregius chorus ob eandem causam constanti lingua firmisque oculis armabantur, pietatem oratione tuentes, ac superstitionis flagitium coarguentes. Quoad enim tyrannus veram ipsam accusationem maligno animo dissimulat, aliis interim sycophantiis ceu quibusdam velitationibus athletam exercens, silere praestat clementerque molestiam pati. Verum ubi aulaeo sublato, haud iam personatus contra religionem adgreditur fabulam, tum denique strenui viri est, et cum Deo gratum opus tum dominici facti aemulum, verbis adversantibus uti, neque per silentium malis histrionibus Dei cultum prodere; immo vero hunc ab omni criminatione atque impetu vindicare, tum veridica scilicet oratione tum etiam animi strenuitate. Nocet aliquis pecuniae, agris, vel contumeliosam quoque manum corpori adfert? patienter ferre decet, constantia mitigare iracundiae flammam, damnique contemptu insatiabilem avaritiae sitim inhibere. Ubi tamen piacularium atque impiorum instar, honesti moris asseclae religionisque praecones, ab harum virtutum hostibus traducentur malisque irretientur, tunc haud taciti iniuriam perferemus; sed quia iniqua patimur pii, et quia evangelii sacrario vis infertur, mente linguaque audebimus. Nam quum priore rerum conditione silentium mirae virtutis significatio est, posteriore tamen si forte vocem contineamus, impietatis audaciam contra evangelicum verbum exacuemus.

19. Porro ad exemplum discriminis sistere licet Ananiam atque Sapphiram, qui apostolorum principi poenas dependerunt; itemque mandatum illud quo peccantibus indulgentiam septuagies septies impertiri iubemur. Sane hoc praecepto tum ipse Petrus tum nos de condonandis multoties iniuriis admonemur: ceteroqui contumeliam adversus Deum neque nos dissimulare iubemur, neque ipse neglexit Deus, a

ἐκεῖνο, ὅς γε τοὺς ἠσεβηκότας καὶ νοσφισαμένους μὲν τὰ ἀναθήματα, ψευσαμένους A
δὲ τὸ πνεῦμα τὸ ἅγιον, τὴν ἐσχάτην δίκην ἀπήτησε· καὶ δὴ καὶ ὁ τοῦ κορυφαίου
μὲν συνόμιλος, οὐκ ἐλάττοσι δὲ πρεσβείοις τῶν ἄλλων μαθ. τῶν φέρων τὸ προνό-
μιον, Παῦλον λέγω πάλιν τὸν τῆς οἰκουμένης διδάσκαλον· ἀλλὰ γὰρ οὗτος ὁ
Rom. XII.14. θεῖος ἀνὴρ ἐν τῷ λέγειν εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὐλογεῖτε καὶ μὴ καταρᾶσ-
II. Timoth. IIII.14. θε· καὶ πάλιν, Ἀλέξανδρος ὁ χαλκεὺς πολλά κακά μοι ἐνεδείξατο· ἀπολυθείη ἂν B
τῆς δοκούσης ἐναντιώσεως· τὸ μὲν γὰρ δίκην δοῦναι τὸν ἠδικηκότα ἐπαρᾶσθαι, ὁ
προπηλακισμὸς ποιεῖ καὶ ὁ πόλεμος τοῦ κηρύγματος· ὧν ἐπαίτιος καὶ Ἀλέξανδρος·
τὸ δὲ εὐλογίαις ἀμείβεσθαι τοὺς ὑβριστὰς, ἐφ' οἷς εἰς ἡμᾶς αὐτοὺς τὸν διωγμὸν
παλαμῶνται, διατέτακται.

κ. Οὐκ ἀγνοῶ δὲ ὡς οὐκ ἀρᾶς ἐπέχειν λόγον τῷ θεσπεσίῳ Παύλῳ τὰς C
περὶ τοῦ χαλκέως φωνὰς ἔνιοι φασίν· ἀλλὰ πρόῤῥησιν μᾶλλον εἶναι τῶν μελλόντων
αὐτὸν ἐπ' ἐσχάτῳ δεινῶν καταλαμβάνειν δυσσεβοῦντά τε καὶ τὸν κατὰ τῆς εὐσε-
βείας πνέοντα πόλεμον· καὶ ταῦτα προανακηρύττειν καὶ ὑπογράφειν διὰ ῥημάτων τὸν
κήρυκα· ἅμα μὲν τῆς τοσαύτης λύσσης τὸν ἀποστάτην ἀπάγοντα, ἅμα δὲ καὶ
τοῖς συναθλοῦσιν εἰσάγοντα παραμύθιον, τὸ δοῦναι δίκην πάντως τὸν ἐπηρεα- D
στὴν, μὴ δὲ λαθεῖν ἐφ' οἷς ἔδρασε τὸ τῆς προνοίας ἀλάθητον· δι' ὧν καὶ τῶν πολ-
λῶν τοὺς ὀκλάζοντας ἀνακτώμενόν τε καὶ πρὸς τὸ θαῤῥεῖν ἔστι συνορᾶν ἐπανάγον-
τα· ἐγὼ δὲ εἰ μὲν μηδαμοῦ κατὰ τῶν ἐπιβουλευόντων τῷ δόγματι μηδεμίαν εἶ-
δον τοῖς ἁγίοις ἢ ἀγανάκτησιν ἢ ἐπιτίμησιν, οὐδ' αὐτὸς ἀναποστροφὴν ἄλλην ἐποι-
Act. XIII.10. ούμην τῆς νομιζομένης νυνὶ μάχης, ἢ τὴν πρόῤῥησιν· ἀλλ' ὅ γε μάγος Ἐλύμας E
πλήρης μὲν παντὸς δόλου πλήρης δὲ ῥαδιουργίας, υἱὸς δὲ καταβοώμενος διαβό-
Act. XXIII. 3. λου, καὶ πάσης δικαιοσύνης ἐχθρός· καὶ δὴ καὶ αὐτὰς πικρῶς ἀφῃρημένος τὰς
ὄψεις· καὶ ὁ κεκονιαμένος τοῖχος, εἴ τι τὸ τῆς ἀρχιερωσύνης ἔφερε τυπτομένῳ τῷ

quo rei qui seposito sacro pretio, spiritui sancto mentiti fuerant, summo supplicio adfecti fuerunt. Profecto etiam principis socius, atque haud minoribus meritis inter alios discipulos praerogativa fulgens (Paulum rursus dico mundi magistrum); hic inquam divinus vir qui dixerat, benedicite persequentibus vos, benedicite et ne maledicatis; idem cum postea sic: " Alexander aerarius multa mihi mala intulit: " retribuat illi Dominus secundum opera eius ": eodem effugio expedietur ab apparente contradictione. Namque ut imprecetur vindictam reo, contemptus atque oppugnatio evangelii in causa est, quorum reus Alexander: verum benedictionibus remunerari offensores, quatenus nosmet persequutione oppugnant, id demum praeceptum est.

20. Non ignoro equidem negare nonnullos, ea quae divus Paulus de aerario dicit, dirarum vim habere; sed vaticinium magis esse poenarum quae ipsum denique correpturae erant, impium videlicet et qui religioni bellum conflabat: atque has praeconem Paulum designare verbis illis atque praedicere: dum una studet a tanto furore apostatam revocare, et suis pariter sociis laborum solamen insinuare; propterea quod maleficus omnino puniendus foret, neque omnituentem providentiae oculum facta eius laterent. Atque his locutionibus multorum demissos animos erigi a Paulo et ad fiduciam revocari videmus. Equidem si nusquam cernerem sanctorum hominum contra dogmatis hostes iracundiam vel invectionem, haud aliud effugium simulatae huius repugnantiae quaererem quam vaticinium. Sed enim quum magus Elymas plenus omni dolo, plenus fallacia et Diaboli filius dicatur, atque omnis iustitiae hostis; quumque idem oculis acerbe multetur; verba insuper paries dealbatus (sive is pontificatus insignia coram caeso apostolo gerebat, sive secus)

A ἀθλητῇ γνώρισμα, εἴ τε καὶ μή· καὶ ὅσα μὲν ἄλλα πρὸ βραχέος εἴρηται, ὅσα δὲ καὶ τῶν ῥηθέντων πλέον πανταχοῦ τῆς ἱερᾶς φέρεται γραφῆς· ἀλλὰ γὰρ ταῦτα δὴ ταῦτα λαμπρῶς οὐ κοινὴν οὐδ' ἀσφαλῆ τὴν διὰ τῆς προῤῥήσεως καταφυγήν μοι δεικνύουσι.

κα. Πλὴν ἡμῖν οὐχ ἑρμηνείας νῦν ἀκρίβεια, παραδείγματα δὲ μόνον ζητημάB των, ὧν ἡ λύσις γυμνάζεται, πραγματεύεται· ἐπεὶ καὶ ἄλλην τινὰ οἶδα τοῦ προκειμένου ῥητοῦ διασάφησιν· ἥτις καὶ τὴν ἀρὰν καὶ τὴν πρόῤῥησιν ἀποκλίνουσα, οὐδὲν χαλεπὸν οὐδ' ἐφύβριστον τῷ Ἀλεξάνδρῳ περιτίθησι· τὸν γὰρ κύριον, ὅς ἐστι φιλανθρωπίας καὶ σωτηρίας πηγὴ, τοῦτον ἀποδιδόναι φησὶ τοῖς κακούργοις οὐ τιμωρούμενον τὸ οἰκεῖον πλάσμα, οὐδὲ κολάζοντα, μεθιστῶντα δὲ τῶν φαύλων ἔρC γων καὶ πρὸς τὴν τῶν ἀμεινόνων πρᾶξιν μεταρυθμίζοντα· ὃ τίνος ἂν εἴη ἀρᾶς; τίνος δὲ ποινὰς ἀναβοώσης προῤῥήσεως; ἀλλ' οὖν ὥσπερ καὶ θατέρᾳ τῶν ἐπιβολῶν οὕτω μοι δοκεῖ καὶ ταύτῃ τὰ ἐφεξῆς διαμάχεσθαι· καὶ γὰρ ἐπάγει, ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις· ἀλλ' ἐμποδὼν μὲν τοῖς ἄλλοις ἴσως ἵσταται ταῦτα· συμφωνεῖ δὲ μᾶλλον τοῖς εἰς ἀρὰν τὸ χωρίον ἀναφέρουσι.

D κβ. Οὐκ ἐναντιώσεται δὲ ἡμῖν οὐδὲν οὔτε Στέφανος τῶν μαρτύρων πρῶτος Act. VII. 60.
τοὺς φονευτὰς εὐλογίαις ἀλλ' οὐκ ἀραῖς ἀμυνόμενος· οὔτε πρὸ αὐτοῦ ὁ κοινὸς δεσ- Luc. XXIII.
πότης ὑπὲρ τῶν σταυρούντων τὸν πατέρα ἐξιλεούμενος· ἀλλ' ὁ μὲν τοῦ σωτῆρος λό- 34.
γος ἔχει τι καὶ τῆς παρούσης ἐρευνῆς βαθύτερόν τε καὶ μυστικώτερον· ὁ δὲ καλλίνικος μάρτυς πῶς ἡμῖν οὐ δι' ἀγῶνος ἐλεύσεται; ὅτι τοὺς Ἰουδαίους βλέπων τοῖς E κατ' αὐτοῦ θυμοῖς ἀναφλεγομένους καὶ τῇ ἀπονοίᾳ μεθύοντας, καὶ σφᾶς αὐτοὺς ὅλους τῷ φόνῳ βαπτίσαντας, αὐτὸς ἤδη λοιπὸν ἐπὶ πύλαις ἑστηκὼς τοῦ μαρτυρικοῦ θανάτου, καιρὸν δὲ παραινέσεως πάντα τῆς μιαιφονίας ἀποτειχιζούσης, οὐδεμίαν τε ἐπιτίμησιν ἐνδιδούσης, τοῦτο μὲν ὅτι ἐπὶ ξυροῦ ἵστατο ἀκμῆς, τοῦτο δὲ ὅτι μη-

et quotquot paulo ante dicta sunt, et quae plura dictis in sacra passim scriptura feruntur; haec, inquam, evidenter admodum mihi demonstrant, quam nec obvium neque tutum ad prophetiam perfugium sit.

21. Sed enim haud accurata interpretatio, sed exempla modo quaestionum, cum solutionum tentamine, mihi nunc in manibus sunt. Nam et aliam novi praedictorum verborum declarationem quae a diris simul vaticinioque declinans, nihil grave aut contumeliosum Alexandro imponit. Etenim a Domino, qui est omnis clementiae salutisque fons, hominem illum aiunt traditum maleficis, haud equidem puniendi causa creaturam suam neque in eam animadvertendi, verum potius ut a malis operibus revocaret atque ad meliorem frugem traduceret. Qua in re quid oro dirarum est? quid vaticinii poenam clamantis? Sed enim sicuti uni praedictarum sententiarum, ita mihi videntur etiam huic adversari quae sequuntur verba, quem tu quoque cave; valde enim obstitit praedicationi nostrae. Haec, inquam, aliis fortasse sententiis adversantur; favent vero interpretibus iis qui locum ad diras referunt.

22. Neque vero nobis obstabit beatus Stephanus, martyrum primus, qui interfectores suos bonis verbis non diris remuneratus est; neque ante hunc communis dominus, qui pro crucifixoribus patrem exoravit. Quamquam reapse servatoris oratio habet aliquid altius atque augustius, quam ut nunc indagari pro dignitate queat. Triumphalis tamen martyr quid ni nobis patronus causae adsit? qui Iudaeos cernens ira inflammatos vecordiaque ebrios, seque caede penitus impiantes, ipse iam in martyricae necis limine versans, et iam supplicio adhortationem quamlibet sibi eripiente, neque locum obiurgationi largiente, tum quia summi discriminis impendebat

δεμία ὄνησις τοῖς οὕτω κεκρατημένοις ἐπιτίμησις ἢ παραίνεσις, ὃ λοιπὸν ἦν τὴν A
ἐσχάτην ὁ ἀθλητὴς ἐπὶ τοὺς φονευτὰς ἁρπάζει θεραπείαν· καὶ μὴ στῆναι αὐτοῖς τὴν
ἁμαρτίαν τὸν κοινὸν δεσπότην ἐξαιτεῖ· τίς οὗτος; ὁ μακρὰν μὲν αὐτοῖς πρότερον
νουθέτησιν καὶ διδασκαλίαν ἀποτείνας· ὡς δ' ἀπειθεστέρους τε τοῖς παραινοῦσι λό-
γοις, καὶ μᾶλλον ἑώρα πρὸς δυσσέβειαν παροξυνομένους, τότε δὴ τότε καὶ μά-
λα δικαίως, καὶ τοῖς ἐλέγχοισί τε καὶ στηλιτεύσασι τούτους ὑποβαλὼν, ἀπεριτμή- B
τους τῇ καρδίᾳ καὶ σκληροτραχήλους (1), φονεῖς τε καὶ προδότας, καὶ προγονικὸν τὸ
μίασμα φέροντας, ἅτε δὴ προφητοκτόνων τέκνα, δεικνὺς ἅμα καὶ ἀποκαλῶν· ὥστε
οὐ μόνον οὐδαμῶς ἡμῖν ὁ πλήρης χάριτος καὶ σοφίας καὶ πνεύματος ἁγίου καὶ δυ-
νάμεως οὐ μὲν οὖν ἀνταγωνιστὴς οὐκ ἔστιν, ἀλλὰ καὶ πάντων μάλιστα συναγωνιστὴς
καὶ ὑπέρμαχος· εἰ δ' ὁ γνήσιος τοῦ δεσπότου μαθητὴς καὶ μαρτύρων πρῶτος δόξαν C
ὑμῖν τοῖς ἔργοις ἔδειξε μετελθὼν τὴν αὐτὴν, δῆλον ὅτι καὶ τὸν διδάσκαλον· ἵνα
Ioh. VIII. 44. μὴ νῦν λέγω, ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου (2) ἐστὲ, καὶ γενεὰ πονηρὰ καὶ μοιχα-
Matth. XII. 39. λὶς καὶ μύρια ἄλλα· ὧν τὸ Ἰουδαίων ἔθνος ὑπεύθυνον, τὰ αὐτὰ καὶ τελεσάμενον
καὶ διδάξαντα τὸν στεφανοδότην τῷ γνησίῳ μάλιστα τοῦ κηρύγματος, καὶ τῷ δι' αἵ-
ματος πόθῳ λαμπρῶς καὶ ἀναμφιβόλως ὁ στεφανίτης παρέστησε· κἂν εὐχῇ καὶ συγ- D
γνώμῃ μετὰ προκαταβληθεῖσαν πᾶσαν ἄλλην προνοίας τε καὶ φιλανθρωπίας μέ-
θοδον ὁ σωτὴρ τοῦ γένους τοὺς διὰ σταυροῦ θάνατον αὐτῷ ἐπενηνοχότας ἀνέφερεν.

κγ. Ἀλλὰ ταῦτα μὲν ἴσως καὶ τῆς παρούσης μακρότερον ὑποθέσεως· χω-
ρὶς μέν τοι γε τῶν προεκτεθέντων, καὶ παρὰ τὸ διττὸν τοῦ ὀνόματος συνταράξοι ἂν
Amos. III. 6. τις τὸ βούλημα τῆς γραφῆς οὐκ ἐν ὀλίγοις· αὐτίκα τὰ κακὰ καὶ οὐκ ἔστιν ἃ μὴ κτί- E
Iacob. I. 13. ζει κύριος· καὶ τῶν κακῶν πάλιν οὐδενός ἐστιν αἴτιος· καὶ πῶς ἂν συμβιβασθείη ταῦ-

hora, tum quia nullus sperabatur fructus increpandi vel adhortandi homines ita percitos; quod reliquum erat, extremum athleta erga suos carnifices expromit officium, atque ut ne illis peccatum imputet, communem dominum deprecatur. Quis autem hic? nempe is qui longam nuper apud Iudaeos recitaverat admonitionem atque doctrinam: idem quum eos vidisset adversus hortamenta sua contumaces, atque ad scelus alacriores, iuste admodum reprehensionibus atque invectionibus onerans, incircumcisos corde durisque cervicibus, homicidas ac proditores vocavit atque coarguit, et patrio crimine imbutos, prophetarum scilicet occisoribus genitos. Quare non solum nobis vir hic gratia et sapientia sanctoque spiritu ac virtute plenus non adversatur, verum etiam maxime favet ac patrocinatur. Quod si verissimus Domini discipulus, martyrumque primus, sententiam nostram factis ipsis secutus est, satis hinc apparet in eodem instituto fuisse magistrum. Ne iam commemorem verba, vos ex patre diaboli estis; et generatio prava ac adultera; et sexcenta alia; quorum et reum esse iudaicum populum; simulque coronae auctorem dominum in eodem secum opere doctrinaque versantem, seu praedicationis sinceritate seu fundendi sanguinis alacritate, evidenter ac splendide coronatus noster ostendit: etiamsi deinde bonis precibus atque venia, post ceteram omnem curae ac dilectionis exhaustam rationem, servator generis auctores sibi per crucem necis prosequutus est.

23. Verum haec fortasse longius a praesente proposito abeunt. Et quidem praeter hactenus dicta, nominis quoque ambiguitas haud raro fieri potest ut sententiam conturbet. Veluti, non est malum quod non faciat Dominus: rursusque, nullius mali auctor Dominus est. Quomodo haec, inquam, congruent, nisi ambiguum vo-

(1) Cod. σκληροκαρδίους.

(2) Vocabulum διαβόλου regi a πατρὸς existimarunt nonnulli teste Photio, qui de patre diaboli disputat in amph. quaest. LXXXVIII apud Wolphium, et prolixius in quaest. XLVII codicis vaticani.

A τα, εἰ μὴ τὸ διττὸν τῆς φωνῆς διαιτήσειε; κακὰ μὲν λέγεσθαι κυρίως τὰ ἁμαρ-
τήματα, ὧν ἐστι καὶ τὸ θεῖον ἀναίτιον· κακὰ δὲ καὶ τὰ λυποῦντα πάλιν καὶ ἀβού-
λητα, νόσος καὶ πενία καὶ τραύματα, ἀκρὶς καὶ βροῦχος καὶ ἐρυσίβη καὶ κάμπη καὶ
χάλαζα, καὶ ὅσα ἄλλα πολλάκις ἡ πρόνοια τὰς τῶν πλημμελούντων ὁρμὰς ἀνα-
στέλλουσα, καὶ τῶν κηλίδων ἀποκαθαίρουσα, τοῖς ἐνόχοις ἐπαφιέναι καὶ λέγεται καὶ
B πιστεύεται· οὐ κακύνουσα τὸ ἀνθρώπινον, οὐδὲ πρὸς τὸ χεῖρον τὸ δημιούργημα
μεταπλάττουσα, μή τι γένηται· ἀπάγουσα δὲ τῶν κακυνόντων μᾶλλον, καὶ
τῇ καταλλήλῳ τοῦ τοσοῦτος θεραπείᾳ τὸ ἠρρωστηκὸς τῆς γνώμης πρὸς τὸ ἄμεινον
ἐπανάγουσα· τοιοῦτον ἂν εἴη καὶ τὸ, παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ Act VII. 42. Rom. I. 26. XI. 8.
οὐρανοῦ· καὶ παρέδωκεν αὐτοὺς εἰς πάθη ἀτιμίας· καὶ ἔδωκεν αὐτοῖς πνεῦμα κα-
C τανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν· τῆς γὰρ φωνῆς τὸ ὁμώνυμον κἀνταῦθα οὐ
τυχὸν μὲν διακρίσεως, εἰς ἀτοπίαν συστρέφει τὸ νόημα· πῶς γὰρ καὶ τότε ψυχικὸν
ὄμμα τυφλοῖ ὁ θεός; πῶς δὲ πάθεσιν ὁ τούτων καθαιρέτης καὶ ἀσεβείᾳ καὶ πλά-
νῃ παραδίδωσι; διακριθέντος δὲ τοῖς σημαινομένοις τοῦ ῥήματος, παντὸς ὁ λό-
γος σοφίσματος ἀπολύεται· τὸ γὰρ παρέδωκε σημαίνει μὲν καὶ τὸ ἐνεχείρισεν καὶ παρ-
D έπεμψεν, ἢ συνώθησε καὶ συνήλασε· σημαίνει δ' οὐδὲν ἔλαττον καὶ μάλιστά γε τῷ
βουλήματι τῆς γραφῆς καὶ τὸ συνεχώρησε, καθυφῆκε καὶ ἐνέδωκεν, εἴασε φέρεσθαι
ταῖς ὁρμαῖς, ἀφῆκε τὸ ἑκούσιον αὐτοδέσποτον· καθ' ὃ σημαινόμενον ὑπειλημμένου τοῦ
παρέδωκεν, οὐδὲν τῶν παραλόγων ὅλως ὑφίσταται· ἀφέλκει μὲν γὰρ τὸ θεῖον νόμῳ
φιλανθρωπίας καὶ προνοίας τῶν παθῶν καὶ ἁμαρτημάτων τὸ ἀνθρώπινον· ἐπειδὰν
E δὲ μοχθηρίας ὑπερβολῇ τὸ ἀναστελλόμενον τῆς εὐεργεσίας καὶ χάριτος οὐκ ἀνέχοι-
το, οὐδ' ἐθέλοι τῷ μεθέλκοντι πείθεσθαι, τότε δὴ τότε ὑπενδίδωσι φέρεσθαι
τῇ ῥύμῃ τὸ ἀπειθοῦν, καὶ ἀφίησιν ἀποκεχρῆσθαι τῷ βουλήματι, ἵνα μὴ ἐπὶ
πλέον ἀναστέλλων καὶ ἀναχαιτίζων τῆς ῥοπῆς, δόξῃ διαφθείρειν τὸ αὐτεξούσιον·

cabuli sensum distinguas? Mala scilicet primario sensu dicuntur peccata, quorum Deus causa non est: mala praeterea sunt illa quae molestia adficiunt, nobisque invitis accidunt, morbus, paupertas, vulnera, locusta, bruchus, rubigo, eruca, grando, et quotquot alia saepenumero reis immitti a divina providentia dicuntur atque creduntur, vel ut ruentes ad peccata mortales cohibeat, vel ut labes abluat: minime vero ut depravet humanum genus, neque ut peiorem conditionem creaturae suae faciat Deus; quod absit; immo potius ut a vitiorum irritamentis abstrahat, atque ut congrua laborantis cura, infirmam animi partem ad meliorem frugem revocet. Huiusmodi erit etiam locutio: et tradidit eos servire militiae caeli. Et tradidit eos in passiones ignominiae. Et dedit eis spiritum compunctionis, oculos ne videant. Nam vocabuli homonymia heic quoque, nisi discernatur, absurdam sententiam parit. Quomodo enim aut quando animae oculum excaecat Deus? quomodo passionibus, ille qui harum purgator est, et impietati atque errori tradit? Distinctis autem vocabuli notionibus, omni cavillatione expeditur sermo. Nam verbum tradidit significat sane alienae potestati dedidit, transmisit, compulit: nihilominus, immo vero potissime secundum scripturae sensum, concessit, indulsit, permisit, ferri sivit impetu suo, arbitrium esse liberum passus est: iuxta quam notionem verbo *tradidit* intellecto, nulla absurditas sequitur. Avocat enim Deus ingenito bonitatis providentiaeque suae more a passionibus ac peccatis homines: verumtamen ubi hi, superante malitia, frenos a divina beneficentia gratiaque iniectos indignantur, noluntque retrahenti morem gerere, tum demum sinit cursu suo contumaces ferri; atque arbitrio abutendi copiam facit: ne si forte vehementius inhiberet ac sisteret propensionem, liberae voluntatis facultatem pessumdare videre-

καὶ ἡ εὐεργεσία καὶ ἡ πρόνοια τοῖς ἀγνώμοσι ϗ ἀχαρίστοις εἰς ἔγκλημα περιτρέ- A
ποιτο.

κδ΄. Κατὰ τοῦτο δὴ τὸ σημαινόμενον ἔθος ἐστὶ παραλαμβάνεσθαι τοῖς ἱεροῖς ἡμῶν γράμμασι τὸ ἔδωκε ϗ παρέδωκε καὶ εἴ τι τοιοῦτον· ὅπερ οὐδένα μῶμον οὐδὲ λαβὴν τῇ φιλανθρωπίᾳ καὶ δικαιοσύνῃ τοῦ Θεοῦ οὐδ᾽ ἡντιναοῦν, ὡς πᾶσιν ἐστὶ

Exod. VII. 3. 99. φανερὸν, προσάπτει· οὕτω λέγεται σκληρῦναι πάλιν τὴν καρδίαν Φαραώ· οὐχ ὅτι B
λαβὼν εἴκουσαν ϗ πειθομένην αὐτῷ τοῖς προστάγμασιν, εἰς τὸ σκληρὸν ϗ ἀτέραμνον ϗ ἀπειθὲς μετεπλάσατο, ἀλλ᾽ ὅτι μεθέλκων ϗ ἀνακόπτων τῆς ἀπειθείας ϗ τοῦ ἀντιτύπου φρονήματος, ἐπείπερ οὐδαμῶς εὗρεν ὑπενδιδόντα ϗ πρὸς πειθὼ μεθιστάμενον τὸν αἰγύπτιον, ἀλλ᾽ ὅλον ἑαυτὸν ποιοῦντα τοῦ ἀντιθέτου ϗ ἀντιταγμένου βουλήματος, ὁ μηδαμοῦ φθείρων τὸ αὐτεξούσιον, ἀφῆκε τῇ γνώμῃ φέρεσθαι C
τὸν οὐ βουληθέντα πεισθῆναι τῇ κρείττονι· εἴη δ᾽ ἂν ἀπᾷδον οὐδὲν ϗ εἴ τις ἐνταῦθα τὸ ἐσκλήρυνεν, ἀντὶ τοῦ σκληρὰν οὖσαν ϗ ἀπότομον, αὐτὸς διὰ τῶν ἐπενεχθέντων σημείων μᾶλλον ἐξήλεγξε, ϗ τὴν ἀπείθειαν ἐθριάμβευσε· ϗ τὸ τῆς γνώμης ἀμείλικτόν τε ϗ ἀνίατον οὔπω τοῖς πᾶσιν οὕτω γνώριμόν τε καὶ περιβόητον, περιφανῶς ἐστηλίτευσεν· ἡ γὰρ τῶν θαυμάτων ὑπερβολὴ παρακλήσεως ϗ πειθοῦς D
ἁπάσης τοὺς νόμους νικῶσα, τοῦ Φαραὼ δὲ τῆς γνώμης ἐλαττουμένη, πῶς οὐκ ἀνυπέρβλητον αὐτοῦ ϗ ἀθεράπευτον τὴν σκληροκαρδίαν παρίστησιν; οὕτω μὲν οὖν τὸ ἔδωκεν ὁ Θεὸς ϗ παρέδωκεν εἰς πάθη ἀτιμίας, καὶ ἐσκλήρυνε τὴν καρδίαν Φαραὼ, πᾶσαν συκοφαντίας ἐκφεύγει περιδρομὴν καὶ δεινότητα.

κε΄. Τί δὲ τὰ ἄλλα με δεῖ τῶν ὁμωνύμων ἐπέρχεσθαι; ὅπου γε καὶ ἡ τίς E
συλλαβὴ τοὺς τῆς διαστολῆς λανθάνουσα νόμους, οὐ τὴν τυχοῦσαν σύγχυσιν καὶ ταραχὴν τοῖς μηδὲν τούτων ἐπικοινωνοῦσιν εἰσάγει· καὶ γὰρ δηλοῖ μὲν αὐτὸ τοῦτο καὶ τὸ ἀνὰ χεῖρα τὴν ἐρώτησιν· συμφθέγγεται δὲ ϗ τῶν ἀποφάσεων ἥτις αὐτῷ

tur: atque ita benefica eiusdem vis ac providentia vecordibus atque ingratis crimini verteretur.

24. Hac igitur ratione solent scripturae nostrae verbis uti *dedit* et *tradidit* et horum similibus: id quod nullum probrum nullamque ansam vituperandi Dei bonitatem atque iustitiam, ut cuique exploratum est, parit. Sic rursum Deus dicitur induravisse cor Pharaonis: non quod illud molle pridem suisque iussibus docile, ad duritiem, pertinaciam, contumaciamque converterit; sed quia diu data opera ut cor illud ab inobedientia et refractario spiritu revocaret, postquam aegyptium nullo modo cedentem neque ad obedientiam reversum sensit, immo vero se totum in contraria repugnantique sententia obfirmantem: Deus qui numquam liberi vim arbitrii laedit, sivit eum sua voluntate ferri, qui meliori consilio morem gerere recusabat. Neque erit absurdum, siquis hoc loco vocem *induravit* sic fere intelligat, ut durum regis cor atque praefractum, Deus editis prodigiis evidentius coarguerit, et contumaciam eius quasi triumpho ostentaverit, desperatumque et intractabile mentis vulnus, nondum omnibus satis cognitum, manifesta luce impertiverit. Prodigiorum sane magnitudo quum omnis adhortationis suasionisque fines excesserit, neque tamen Pharaonis animum expugnaverit, nonne summam atque insanabilem cordis eius duritiam demonstravit? Sic ergo locutiones dedit Deus vel tradidit in passiones ignominiae, itemque et induravit cor Pharaonis, quaslibet calumniae insidias astumque frustrantur.

25. Iam quid opus est me cetera homonyma persequi? siquidem vel *quis* syllaba praeter distinctionis leges posita, non mediocrem perturbationem confusionemque ignaris harum legum creat. *Quis* enim, de qua nunc agimus, syllaba inter-

A μάλιστα διαμάχεται, τῇ οὐδεὶς (a)· ἄλλοτε δὲ τὸ ἀόριστον σημαίνει· οὐ μὴν οὐδὲ
θαυμασμοῦ καὶ καταπλήξεως τάξιν ἀπαρνεῖται· ἀλλὰ καὶ πρὸς τὸ σπάνιον ὑπο-
φέρεται· ἐπιτίμησιν δὲ πάλιν· ἔσθ᾽ ὅτε καὶ ἀμηχανίαν καὶ διαπόρησιν· ὅτι δὲ καὶ
προσδιορισμὸς τοῖς φιλοσοφοῦσι καθωμίληται, οὐδὲ τὴν εὐτέλειαν οὐδὲ τοιαῦτα
ἕτερα παρατρέχει· καὶ τῶν παραδειγμάτων τὰ ἱερὰ γέμει γράμματα· ἅπερ εἴτις
B μὴ φυλοκρινήσῃ, μηδ᾽ ἑκάστῳ τῆς φωνῆς τὸ προσῆκον ἀπονέμοι, οὐδὲ λόγου δεῖ,
πλάνης ὅσης τοὺς ἑαυτοῦ λογισμοὺς ἀναπλήσει· καὶ τοῦτο κατάδηλον ἀπ᾽ αὐτῆς γε
τῆς τῶν ῥημάτων παραθέσεως· αὐτίκα τὸ, τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δό- Ps. XXIII. 8.
ξης; καὶ τὸ, τίς εἶ σὺ, ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς; καὶ ὅσα τοι- Iob. I. 22.
αῦτα ἐρώτησίν (b) τε δηλοῦσι καὶ οὐδεμίαν ἀπορίαν κινοῦσιν· εἰ δέ τις διὰ τὴν τῆς
C φωνῆς ὁμοιότητα, καὶ τὸ, τίς ἔγνω νοῦν κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; καὶ Rom. XI. 34. 35.
τίς προέδωκεν αὐτῷ καὶ ἀνταποδοθήσεται αὐτῷ; καὶ τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται Ps.
καὶ οὐκ ὄψεται θάνατον; εἴ τις οὖν καὶ ταῦτα διὰ τὸν αὐτὸν τύπον τῆς φωνῆς πρὸς LXXXVIII. 49.
τὴν αὐτὴν διάνοιαν ἐκβιάσοιτο, πολὺ ἂν τῆς ἀληθείας ἀποσφαλείη· ταῦτα γὰρ τὴν
τῆς ἀποφάσεως ἐπέχοντα δύναμιν, τὴν τῆς ἐρωτήσεως οὐκ ἀναδέχεται τάξιν· οὐ-
D δεὶς γὰρ οὔτε νοῦν ἔγνω κυρίου, οὔτε σύμβουλος αὐτοῦ γέγονεν, οὐ μὴν ἀλλ᾽ οὐδ᾽
ἔστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον· οὐδ᾽ ἑτέρῳ δὲ πάλιν τῶν εἰρη-
μένων συμφέρεται, εἰ καὶ τῇ προόδῳ τοῦ ῥήματος οὐ διήλλακται· οὐδὲ τὸ, ἄνθρω- Iob. I. 1.
πός τις ἦν ἐν χώρᾳ τῇ αὐσίτιδι· καὶ ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ (c) Luc. X. 30.
εἰς Ἱεριχώ· τὸ γὰρ ἀόριστον ἡ φωνὴ νῦν σημαίνει τῶν ἄλλων ἀποστήσασα· ὥσπερ καὶ Luc.
E τὸ εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵ τινες οὐ μὴ γεύσονται θανάτου ἕως ἂν ἴδωσι τὴν VIIII. 27.
βασιλείαν τοῦ θεοῦ, τὴν τοῦ προσδιορισμοῦ χρείαν ἀναπληροῖ· ἀρκεῖ γὰρ καὶ μνήμη μό-

rogationem significat. Tum vero cum ea quoque negatione construitur, quae vel apprime illi adversatur, cum vocabulo scilicet *nemo*. Alias autem indefinitam rem ostendit. Sed neque admirationis stuporisque vim recusat. Quin adeo ad raritatem quoque indicandam adhibetur, nec non ad obiurgationem; interdum quoque ad perplexitatem atque dubitationem. Denique quia restrictio modestis hominibus familiaris est, ne humilitatem quidem neque alia similia non significat. Plenae exemplorum sacrae litterae sunt: quas circumstantias nisi quis discernat, et suum cuique voci officium tribuat, nihil attinet dicere, quantis erroribus mentem suam inficiet. Atque id ipsa locutionum prolatione perspicuum fiet. Exempli gratia, quis est iste rex gloriae? Et, quis es tu, ut respondeamus his qui nos miserunt? et quotquot similia vel interrogationem significant, vel nullam quaestionem commovent. Quod siquis propter vocabuli similitudinem, locutiones quoque, quis novit mentem Domini? aut quis consiliarius eius fuit? et, quis ante dedit illi ut ei retribuatur? et, quis est homo qui vivet, nec mortem videbit? siquis, inquam, has locutiones propter eandem vocabuli formam, ad eandem notionem vi pertrahet, procul admodum a veritate aberrabit. Quippe hae quum negandi vim habeant, interrogandi rationem non recipiunt. Nemo enim vel mentem Domini novit, neque eius consiliarius fuit; neque est homo qui victurus sit mortemque non visurus. Neque hae rursus cuiquam ex ante dictis locutionibus congruunt, etiamsi terminatio vocabuli nequaquam differt: neque item, homo τις erat in regione Ausitide; et homo τις Hierosolymis Hiericuntem veniebat. Vox enim heic ostendit indefinitum aliquid, atque a superioribus sententiis abludit. Velati et illud, sunt τινες de hic praesentibus, qui non gustabunt mortem, donec videant regnum Dei, restrictionis officium implet. Suffi-

(a) Nempe οὐδείς τις, latine *nemo quisquam*. (b) Cod. ἀπόκρισιν *responsionem*. (c) Cod. Ἰσραήλ.

τοῦ ἑνὸς παραδείγματος τὴν χρῆσιν ἐπιδεῖξαι τῆς φωνῆς, ὡς οὐδενὶ τῶν προτεταγμένων συμ- A
βιβάζεται.

Gen. III. 11. κϛ. Τίνα δ' ἂν ἔχοι κοινωνίαν πρὸς τὰ προλαβόντα, εἰ καὶ τῆς φωνῆς ἀπα-
Exod. II. 14. ράλλακτος ὁ ἦχος, τὸ τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ; καὶ τίς σε κατέστησεν ἄρ-
Rom. XIIII. 4. χοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; καὶ τίς εἶ σὺ ὁ κρίνων ἀλλότριον οἰκέτην; καὶ τίς ἐπά-
II. Reg. XI. 21. ταξε τὸν Ἀβιμέλεχ υἱὸν Ἱεροβοάμ; καὶ τίς ἐστιν οὗτος ὁ κρύπτων με βουλήν; ταῦ- B
Iob. XLII. 3. τα γὰρ εἰς ἀγανάκτησιν μὲν καὶ ἐπιτίμησιν ἀφορῶσιν, οὐδὲν δὲ ὅμοιον τῶν προδε-
δηλωμένων παριστῶσιν· εἰ δέ τις καὶ ταῦτα εἰς τὸν τῆς ἐρωτήσεως μεθελκύσει νό-
μον, ἵνα μὴ πρὸς τὰ ἄλλα λέγω, ἄγνοιάν τε κατηγορήσοι τοῦ Θείου, καὶ οὐ κα-
ταμέμφεσθαι τὰς πράξεις διὰ τῆς φωνῆς, ἀλλὰ μαθεῖν ζητεῖν ἐξ ἀγνοίας τὸν
παρασχόντα τὴν τοῦ πρᾶξαι ἄδειαν· καὶ δὴ καὶ τὸ τίς εἰμὶ ἐγώ; κύριέ μου κύριε· C
I. Reg. XVIII. 18. καὶ τίς ἐστιν ὁ οἶκος τοῦ πατρός μου; ἐπὶ τοσοῦτον ἐμφανεστάτην φέρει τὴν παραλλα-
γήν, ἐφ' ὅσον ἀπαράλλακτον προάγει τὴν φωνήν· εὐτελείας γὰρ ὁμολογίαν ἰδίας,
καὶ τῆς πρὸς Θεὸν εὐχαριστίας γνώμην ἀναφαίνει· οὐ μὴν εἰς ἐρώτησιν, οὐδὲ πολ-
λοῦ δεῖ πρὸς ἐπιτίμησιν ἢ ἀγανάκτησιν, ἢ πρὸς ἄλλό τι τῶν προειρημένων τὸν λο-
γισμὸν διαβιβάζει. D

Ps. CVI. 43. κζ. Τὸ μέν τοι σπάνιον εἴπερ τι ὅλως δηλοῖ, τὸ, τίς σοφὸς καὶ φυλάξει
Is. LIII. 1. ταῦτα; καὶ τὸ, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφ-
θη; εἰ γὰρ καὶ μὴ πάντες, ἀλλ' οὖν γε τινὲς καὶ πεπιστεύκασι, καὶ τὴν φρουρητι-
κήν τε καὶ κυβερνητικὴν καὶ παντοκρατορικὴν τοῦ Θεοῦ δύναμιν ἐκ τῆς περὶ αὐτοὺς
καὶ τῆς περὶ τὸ σύμπαν εὐεργεσίας τε καὶ προνοίας συνιδεῖν ἠξιώθησαν, καὶ τῆς E
ἐκεῖθεν μαρμαρυγῆς ταῖς λαμπηδόσι τὸν νοῦν ἐλλαμφθῆναι· πῶς δ' αὐτίκα τὸ
Is. LXIII. 1. θαῦμα καὶ τὴν ἔκπληξιν οὐκ ἀφίησιν ὁ λέγων, τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ;

cit autem vel unius exempli mentio indicando vocabuli usui, nempe qui nulli superiorum congruit.

26. Sane quid commune habent cum suprascriptis, quamquam vocis sonus haud immutatur, locutiones hae? videlicet, quis tibi nunciavit te esse nudum? quis te dominum constituit iudicemque nostrum? quis es tu, qui alienum servum iudicas? quis percussit Abimelechum Hieroboami filium? quis est qui me sententiam celat? Nimirum hae locutiones ad indignationem obiurgationemque spectant, nihil autem simile praedictarum exhibent. Quod siquis eas ad interrogationis regulam traheret, nequid praeterea dicam, ignorantiam quoque in Deo coargueret; neque ab eo reprehendi hac voce actiones hominum suaderet, verum operam dari ab eodem propter suam inscitiam ut sciat aliquid, qui aliis facultatem agendi suppeditat. Utique et illud, quis sum ego? dominus meus, dominus. Et, quae est domus patris mei? tanto magis haec diversitatem rei palam faciunt, quanto similiore voce dicuntur. Significatur enim propriae vilitatis confessio, gratusque adversus Deum animus. Neque licet heic cogitare interrogationem, multoque minus obiurgationem aut indignationem, aut quemlibet e praedictis modum.

27. Iam etiam raritatem quam quod maxime hoc vocabulum designat. Nempe, quis sapiens, et custodiet haec? et, quis credidit auditui nostro? et, brachium Domini cui revelatum est? Nam si minus cuncti, certe aliquot crediderunt; quibus sane conservatricem, rectricem, dominamque omnium Dei vim tum e beneficiis in se mundumque totum collatis, tum etiam e providentia contueri dignanter concessum fuit: quorum luminum radiis collustrati, mentis tenebras dispulerunt. Nonne vero admirationem stuporemque prodit is qui ait, quis est iste veniens ex Edom?

A καὶ τίς ἐστιν οὗτος, ὅτι καὶ ἡ θάλασσα καὶ οἱ ἄνεμοι ὑπακούουσιν αὐτῷ; ὅπερ οὐδε- Marc. IIII.40.
μία τῶν προτεταγμένων φωνῶν οὖμενουν οὐκ εἶχεν ἰσχὺν σημαίνειν· προσθείη δ' Hierem.
ἄν τις τοῖς εἰρημένοις καὶ τὸ τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ; καὶ τίς ἄν με θείη VIIII.1. Iob.
κατὰ μῆνα ἡμερῶν τῶν ἔμπροσθεν; καὶ ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσε- XXVIIII. 2. Rom.
ται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; εὐχῆς μὲν γὰρ καταφυγὴν ἐξ ἀμηχανίας VII.24.
B τὰ εἰρημένα δηλώσει, εἰς οὐδὲν δὲ τῶν προδιεσταλμένων συνεχθείη· καὶ ἀπαλλαγῆς
μὲν ἐξαίτησιν τῶν συνεχόντων, οὐ μὴν ἐρώτησιν, οὐδὲ προσδιορισμὸν, οὐδὲ τὸ ἀό-
ριστον, οὐδ' ἐπιτίμησιν, ἀλλ' οὐδὲ τὸ σπάνιον, ἀλλ' οὐδὲ εὐχαριστίαν, ἢ εὐτέλειαν,
οὐδὲ θαῦμα καὶ ἔκπληξιν ὑπογράφει.

κη. Σὺ δέ μοι κἀκεῖνο προσεπιζήτει, τὸ τίς ἀπατήσει τὸν Ἀχαάβ· καὶ τί- III.Reg. XXII.20.
C να ἀποστελῶ; καὶ τίς πορεύσεται πρὸς τὸν λαόν; φαντασίαν μὲν τινὰ παρέχε- Is.VI.8.
ται ὡς δυνατὸν ὑφ' ἕν τι τῶν προδιευκρινημένων ἀναχθῆναι· οὐ μήν γε καὶ τῇ
ἀληθείᾳ πάροδον εὑρίσκει; ἀλλὰ προκλητικῆς μᾶλλον ἐστὶ διανοίας, ἢ ἑτέρου τινὸς
τύπον διασώζει· τὸ δὲ τίς γάρ μου ἡ ἰσχὺς ὅτι ὑπομένω; ἢ τίς μου ὁ χρόνος Iob. VI. 11.
ὅτι ἀνέχομαι; πῶς οὐχ ἕτερόν τι σημαινόμενον ἐπιζητήσει, δι' οὗ τὸ ἐκεῖνο βού-
D λημα οὐκ ἐξυβρίσοι; τὸ γὰρ βραχὺ καὶ ἄτονον καὶ ὀλιγοχρόνιον τοῦ βίου καὶ τῆς
ἰσχύος ὁ τῇ ταλαιπωρίᾳ ἐκτρυχωθεὶς παραστῆσαι βουληθεὶς, διὰ τούτων τῶν ῥη-
μάτων ἐκεῖνά τε ἅμα καὶ τὸν ἐπ' αὐτοῖς ὀλοφυρόμενον νοῦν καὶ ἀπειρηκότα ἀναπ-
τύσσει· ἀλλὰ γὰρ καὶ τὸ τίς ἄρα γνοίη ὅτι εὕροιμι αὐτόν; καὶ τὸ, τίς οἶδεν εἰ Iob. XXIII. 3. Ion.
ἐπιστρέψοι; κατὰ διαπόρησιν εἰρημένα, εἰ οὕτως προσληφθείη, οὐδὲν μὲν τὴν διά- III.9.
E νοιαν ἀμαυρώσει, εἰς οὐδεμίαν δὲ ἀμφιβολίαν τὸν ἀκροατὴν περιστρέψει· ἐκπεσόν-
τα δὲ τῆς τοιαύτης σημασίας, οὐδὲν ἔλαττον ἢ ὅπερ ἐβούλετο δηλοῦν ἡ ὀρθότης
τοῦ σημαινομένου, ἀπορίας αὐτὸν ἀναπλήσει· καὶ οὐ ταύτας μόνον, ἀλλὰ καὶ πολ-
λὰς ἄλλας διαφορὰς τῆς προκειμένης φωνῆς παραλελειμμένας ὁ βουλόμενος τὴν ἐκ-

quis est hic, cui mare ventique obediunt? quem sane significatum, dictarum antea locutionum nulla prae se fert. Adde his, si lubet: quis dabit capiti meo aquam? Quis me ponet iuxta mensem superiorum dierum? Et, infelix ego homo! quis me liberabit de corpore mortis huius? Scilicet haec hominem in angustiis ad preces confugientem exhibent, cum sententiarum priorum nulla congruunt: et vota quidem pro malorum depulsione continent, non tamen vel interrogationem, vel modestiae significationem, vel indefinitum quid, vel aliquam increpationem; neque rursus raritatem, neque gratiarum actionem, neque admirationem vel stuporem.

28. Praeterea istud etiam meum considera, quis decipiet Achaabum? et, quem mittam? et, quis ibit ad populum? Nonnullam haec quidem speciem habent, fore ut sub aliquo e praecedentibus modis concludantur, re tamen vera aditum illuc non inveniunt, sed provocandi potius, vel modi nescio cuius sententiam continent. Illud autem, quae enim fortitudo mea ut sustineam? aut quodnam tempus meum ut perferam? quid ni alium sensum sibi deposcet, ita ut consilium minime iniurium Deo sit? Ille enim calamitatibus pressus dum vitae brevitatem viriumque infirmitatem et paucitatem declarare studet, his quae dixi verbis et illa simul mala, et suum ob ea maestum defessumque animum aperit. Insuper illud, numquis novit an eum deprehensurus sim? et, quis novit, utrum sit reversurus? haec, inquam, dubitanter dicta, si ita intelligantur, nequaquam sententiam obscurabunt, nullaque auditorem ambiguitate irretient. Sin eadem a praedicta significatione recedent, perplexitas auditorem obruet, contraria prorsus illi perspicuitati, quae rectae intelligentiae fructus est. Atque huius vocabuli τις multas alias differentias a me praeter-

ρὰν ἀναλεγόμενος γραφὴν εὑρήσει, ἃς οὐδὲν ἔργον οὔτε αὐτὸν λαβεῖν οὔτε τοῖς ἄλ- A
λοις ἐκκαλύψαι.

κθ. Οὐ μόνον δὲ μία λέξις ϗ τότε βραχεῖα κατὰ πολλῶν μὲν ὑποκειμένων φερομένη, οὐ προσφυῶς δὲ παραλαμβανομένη, τὸν νοῦν τῶν ὀρθῶς ἐχόντων ἐπιθολοῖ ϗ διαταράττει, ἀλλὰ ϗ γράμματος παραλλαγὴ, ἢ πρόσθεσις ϗ ἀφαίρεσις, εἰ ϗ μὴ χαλεπὸν ἀποσκευάσαι, ὅμως ἄτοπόν τι ἀπαντᾶν εἴωθε παρασκευάζειν· ϗ B
ἵνα νῦν ἐάσω τὰ ἄλλα, ἀλλὰ γὰρ ϗ τὸ ἔκτησεν εἴ τις μηκυνόμενον διὰ τοῦ βρα-
Prov. VIII. 22. χυνομένου (1) ϗ γράψειε καὶ νοήσειεν ἐν τῷ, κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν (a) αὐτοῦ εἰς ἔργα αὐτοῦ· εἶτα πρὸς τὴν τοῦ Ἀρείου γνώμην ἀποκλίνοι, κατὰ τῆς τοῦ υἱοῦ θεότητος τὴν γλῶσσαν ὀξύνει· οὗ τὸ δύσφημον πολλαχῶς μὲν ἐρρατίζειν ϗ διελέγχειν ῥᾷον·
ἀλλ' οὖν οὐδὲν ἔλαττον ϗ ὅτι τὸ ἔκτησεν οὐ τῆς διὰ τοῦ ἰῶτα γραμμῆς, διὰ δὲ C
τῆς τοῦ ἦτα προφερόμενον ὁ ὑποδεικνὺς ἀνακαλύπτων εἰς σιγὴν αἰσχύνης τοῦ αἱρετικοῦ φρονήματος τὸ λάλον θράσος συνελάσει· ἡ γὰρ μετὰ τοῦ μεγέθους προϊοῦσα λέξις οὐκ ἐλαττοῖ τὴν φύσιν οὐ μειοῦν, οὐδὲ συστέλλει πρὸς τὸ βραχύτερον, οὐδὲ εἰς κτίσμα τὴν ἄκτιστον οὐσίαν κατάγει· μή τι γένηται· οἰκείωσιν δὲ μᾶλλον ϗ πρόσ-
ληψιν ϗ κοινωνίαν τῶν ὁμοφυῶν πατρὸς ὑπογράφει καὶ υἱοῦ· ὁ γὰρ διαστάτως D
πανταχοῦ συνὼν τῷ γεννήματι γεννήτωρ, ϗ μηδὲν ἀπότομον ϗ διῃρημένον τῆς ἐκείνου βουλῆς καὶ γνώμης κατὰ δημιουργίαν μηδὲ κατὰ πρόνοιαν πράττων, δῆλον ὅτι μετ' οἰκειώσεως ϗ προσλήψεως τῶν βουλευμάτων τῶν τοῦ υἱοῦ πάντα ἂν ϗ προάγοι ϗ προνοίας ἀξιώσῃ· οἷς γὰρ ἀπαράλλακτον ϗ κοινὸν τὸ ἀξίωμα καὶ ἡ
φύσις ϗ ἐξουσία, τούτοις δηλονότι ϗ τὸ δημιουργεῖν ϗ προάγειν, ἀμέριστόν τε ϗ E
ἀδιάστατον, ϗ παραλλαγὴν τῆς γνώμης οὐ φέρον οὐδεμίαν· ὃ ϗ ἡ παροῦσα συνεπι-

missas, qui scrutari sacros libros voluerit, profecto inveniet, quas et aliis ostendere non secus ac deprehendere, perfacile negotium est.

29. Non solum autem unica interdum brevis dictio multiplici significatu praedita, siquando haud convenienter intelligatur, mentem etiam cordatorum hominum obscurat atque conturbat; sed etiam litterulae aberratio, additio vel detractio, vel dirum quid aliquoties parit, vel certe absurdum solet efficere. Atque ut cetera interim omittam, siquis verbum ἔκτησε longa syllaba praeditum, brevi scribat (ἔκτισε) atque ita intelligat in ea locutione Dominus ἔκτισε (nempe *creavit* pro *possedit*) me initium viarum suarum ad opera sua; deinde ad Arii sententiam inclinet; is contra filii divinitatem linguam acuet. Sed Arii scaevitatem multifariam insectari et coarguere pronum est: praesertim quia verbum ἔκτησεν, haud per iota litteram sed per eta pronunciandum siquis demonstret, is loquacem haereticae superbiae audaciam ad silentium turpe compellet. Nam verbum hoc longa littera prolatum, nullo modo naturam imminuit, neque intra minorem modulum coarctat, neque ad creaturae conditionem substantiam increatam redigit: quod absit: sed necessitudinem potius et societatem communionemque unitae naturae patris filiique describit. Qui enim distincte simul existit cum genito genitor, nihilque separatum aut divisum ab eius voluntate ac mente in creationis ac providentiae opere facit, hunc patet fore ut non sine coniuncto socioque filii consilio omnia producat ac providentia dignetur. Quibus enim similis inest communisque dignitas, natura et potestas, his nimirum creare etiam et condere inseparabile erit atque indistinctum, neque ulla consilii dissensio

(a) Cod. ὁδὸν.

(1) Hinc cognoscimus, Photium pronunciavisse unico sono *i* tam *eta* quam *iota*. De re legesis disputantem Villoisonum proleg. ad Homer. p. IV, et anecdot. gr. tom. II. p. 126. sqq.

A μαρτύρηται ῥῆσις· ἐπί τε γὰρ τῇ κοσμογενείᾳ τοῦ παντὸς, καὶ ἐπὶ τῇ ἀνακαινίσει καὶ σωτηρίᾳ τοῦ παρολισθήσαντος ἡμῶν γένους καὶ καταπεσόντος εἰς συντριβὴν, κοινὴν καὶ τὴν δημιουργίαν εἶναι καὶ τὴν πρόνοιαν πατρὸς καὶ υἱοῦ ἐκδιδάσκει· ἥ τε γὰρ τῶν ὅλων ἐκ μὴ ὄντων πρόοδος, καὶ ἡ τῆς ἡμετέρας φύσεως εἰς τὸ χεῖρον ἀπονευσάσης ἐπὶ τὸ ἄμεινον ἀνάκτησις καὶ ἐπιστροφὴ, δῆλον ὅτι τῆς τοῦ πατρὸς καὶ τοῦ
B υἱοῦ καὶ πνεύματός ἐστι δημιουργίας τε καὶ προνοίας· ἀλλ' ἡ μὲν ἐκ τοῦ συστέλλεσθαι καὶ μηκύνεσθαι γραφὴ, ὡς ἐπὶ παραδείγματος εἰπεῖν, τὴν ἀπορίαν οὕτως διασκεδάζει· ὡσαύτως καὶ τὸ ἐγέννησεν ἀφαίρεσιν μὲν ἐξ ἐπιβουλῆς ἢ ἐξ ἀγνοίας τοῦ ἑνὸς ν πεπονθὸς, κτισμάτων ὕπαρξιν ἐπεισάγει· λαβὸν δὲ τὸ ἀφαιρεθὲν, πρὸς τὸ ὁμοφυές τε καὶ ὁμοούσιον κατευθύνει· καὶ πολλὰ δὲ ἄλλα κατά τε τοὺς ἔξω λόγους
C κἂν τοῖς ἱεροῖς δὲ καὶ ἡμετέροις χρησμοῖς φωράσειέ τις εἰς τὴν αὐτὴν ἀναφερόμενα σκέψιν.

λ. Οὐ μόνον δὲ γράμματος ἑνὸς πρόσθεσις καὶ ἀφαίρεσις οὕτω πολλῶν πραγμάτων καταστροφὴν καὶ ἀλλοίωσιν ἀπεργάζεται, ἀλλὰ καὶ τόνου χρῆσις (1) οὐκ εὔκαιρος, τό τε ῥῆμα ἀνθ' ἑτέρου, καίτοι τῆς γραφῆς ἀναλλοιώτου μενούσης, παρ-
D έδειξεν ἕτερον, καὶ εἰς νόημα παντελῶς ἀλλοτριώτατον τὸν νοῦν ἐκτοπήσασα, ἢ δυσσεβῆ δόξαν ἢ γελώμενον λῆρον συνήγαγε· τί δὲ λέγω γράμματα; ὅπου γε καὶ αὐτὸ τὸ πάντων βραχύτατον ἡ στιγμὴ κακουργούμενον ἢ παρορώμενον, καὶ τῆς οἰκείας μετατιθέμενον λήξεως, παντοδαπὰς μὲν καὶ μεγάλας αἱρέσεις ἀπέτεκεν· ἀφρόνων δὲ πολὺν χρόνον κατενεμήθη φρονήματα, καὶ τοῖς εὐσεβοῦσιν
E ὥστε θριαμβεῦσαι τὰ τῆς δυσσεβείας δόγματα, μακρὰ παρέσχε τὰ ἀγωνίσματα· αὐτίκα, ἵνα τὰ ἄλλα παρῶ, ὁ μετάρσιος ἄνθρωπος καὶ τῆς οἰκουμένης διδάσκαλος ὁ μέγας ἀπόστολος ἔν τισι τῶν αὐτοῦ γραμμάτων (Κορίνθιοι δὲ τὴν ἐπι-

accidet: id quod praesens etiam testatur loquutio. Nam sive in universi creatione, sive in lapsi nostri generis atque in perniciem decidui renovatione ac redemptione, communem esse docet patri filioque creationem ac providentiam. Nam et universi ex nihilo exitus, et naturae nostrae deorsum per se ruentis instauratio ac reparatio, id omne inquam a patris et filii et spiritus creatione procedit. Tum vero brevis aut longa scripturae praedictae positio, ut id exempli instar sit, ambiguitatem hoc modo dissipat. Similiter verbum ἐγέννησεν, si unius litterae ν inscitia vel astu detrimentum patiatur, creatam naturam adserit. Verumtamen si quae ablata fuerat littera resumatur, unita et consubstantialis natura revocatur. Multa alia sive in profanis scriptis sive in sacris nostris oraclis deprehendere licet, quae sub eandem considerationem cadunt.

30. Neque vero unius tantummodo litterae adiectio vel subductio tam multarum rerum subversionem mutationemque facit, verum etiam accentuum usus intempestivus facit ut aliud pro alio vocabulum sit, quamquam immota scriptura maneat; tum ad sententiam plane diversam mente abstracta, aut impium sensum aut ridiculas ineptias invehit. Sed cur litteras dico, quandoquidem interpunctio (qui brevissimus omnium apex est) prava interdum aut neglecta, suove loco demota, multiplices magnasque haereses peperit? Stultorum autem multo tempore mansere opiniones, piisque hominibus ut de impietatis dogmatibus triumpharent, diuturnorum certaminum causa fuerunt. Exempli causa, ut cetera praetermittam, vir ille in caelum mortalis adhuc sublatus, et mundi doctor, magnus apostolus, in suis quibusdam litteris (nempe in ea quae scripta est ad Corinthios epistula) sic ait: " in quibus De-

(1) Res notissima lexicographis, quos inter adi seu Cyrillum seu Philoponum.

II. Cor. IIII. 4. στολὴν ὑποδέχονται) οὕτω φησίν· ἐν οἷς ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοή- A
ματα τῶν ἀπίστων, εἰς τὸ μὴ ἐναυγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς
δόξης τοῦ χριστοῦ· ἀλλ' ὁ μὲν τοῦτο εἰπών, θαυμάσιόν τινα καὶ τῶν οὐρανίων ἀκη-
κοημάτων ἐπάξιον νοῦν τοῖς τετελεσμένοις τὴν ἐκείνου σοφίαν μυσταγωγεῖ· οἱ δ' ἀπὸ
Μάνεντος καὶ Μαρκίωνος δυσσεβεῖς ἁρπάσαντες τὴν φωνήν, καὶ πρὸς τὴν ἰδίαν αἰχ-
μαλωτίσαντες ὁρμήν· εἶτα μεταξὺ τοῦ Θεὸς καὶ τοῦ αἰῶνος τούτου, οὐ παρέντες κεῖσ- B
θαι τὴν στιγμήν, εἰς τοσαύτην ἦλθον δυσσεβείας ὑπερβολήν, ὡς μὴ μόνον τὰ ἔσ-
χατα δυσσεβεῖν, ἀλλὰ καὶ ταῖς ἱεραῖς φωναῖς ἀνάπτειν τὴν αἰτίαν τοῦ θεομαχεῖν· καὶ
ἕτερον μὲν εἶναι δοξάζειν Θεὸν ὃς τῶν ἀοράτων τε καὶ νοητῶν τῆς δημιουργίας ἔχει
τὴν ἀρχήν, ἕτερον δὲ τὸν τοῦ παρόντος αἰῶνος, καὶ ὅσα σύστοιχα τούτῳ καὶ ὁμοταγῆ,
ἀνακηρύττειν δημιουργόν· ἀλλ' ἡ μὲν περὶ τὸ ῥητὸν φρενοβλαβὴς ἐπιβουλὴ καὶ ἄλ- C
λοτε μὲν πολλαχόθεν δέδεικται σαθρά· οὐδὲν δὲ ἧττον διελεγχθείη ἂν καὶ ὅτι μὴ
τὴν στιγμὴν ἐπὶ τῆς οἰκείας χώρας ἀφῆκεν ἠρεμεῖν· ἐπεὶ καὶ ὁ παρὼν αἰὼν ποτὲ μὲν
αὐτὴν τὴν χρονικὴν παράτασιν, ἔσθ' ὅτε δὲ καὶ τὰς ἀτόπους πράξεις, αἳ κατὰ τὸν
παρόντα βίον εἰώθασιν ἀναφύεσθαι, σημαίνει· ὥστε καὶ εἴτις αὐτοῖς τὸ περὶ τὴν στιγ-
μὴν κακούργημα ἐνδώσει, οὐδὲν ἔλαττον αὐτῶν τὸ φρόνημα καθαιρούμενον διελέγ- D
χει· τῶν γὰρ πονηρῶν ἔργων καὶ πράξεων ἅτε δὴ σπορεὺς καὶ ὑποβολεὺς ὁ ἀρχέ-
κακος ὤν, εἰ καὶ κύριος αὐτῶν καὶ δημιουργὸς καὶ Θεὸς ῥηθείη, πρὸς τὴν δόξαν
μάλιστα τῶν ὑπηρετουμένων αὐτῷ τῇ πονηρίᾳ τῶν ῥημάτων μεθαρμοζομένων, οὐ-
δὲν ἂν ἡ ἀποστάτης ἐπιβουλὴ κέρδος εὑρήσει· ἐπεὶ καὶ τὰ τῶν ἐθνῶν εἴδωλα, οὐκ
ἦσαν μὲν ὅπερ ἐλέγοντο, ἐλέγοντο δ' ὅμως θεοί· Θεὸς μὲν γὰρ δημιουργίας τι- E
νὸς ἢ πραγμάτων ἐχόντων σταθερὰν καὶ γνωριζομένην ὑπόστασιν, σύμανουν οὐκ ἂν
οὔτε λεχθείη οὔτε νομισθείη· ἐκθέσμων δὲ παθῶν καὶ ἁμαρτίας, οἷς ἥδεται καὶ
τρυφᾷ καὶ τοὺς ἄλλους πρὸς αὐτὰ δι' ἀπάτης ἕλκειν ἄπαυστον ἔχει τὸ φιλονεικεῖν,

„ us huius saeculi excaecavit cogitationes incredulorum; quominus his illucesceret „ lumen evangelii gloriae Christi „. Equidem qui ita locutus est, mirificam quandam vocibusque in caelo auditis dignam sententiam discipulis sapientiae suae impertitus est. At enim Manetis Marcionisque scelesti asseclae locutionem hanc ad sensum suum captivam quodammodo pertrahunt: qui videlicet dum inter *Deus* et *huius saeculi* interpunctionem fieri non sinunt, eo sceleris progressi sunt, ut non solum ipsi gravissime religionem laederent, verum etiam sacris litteris causam affingerent adversandi Deo: ita ut alter sit Deus, qui invisibilium rerum ac spiritalium dominatum creationis causa tenet; alter autem ab ipsis praedicetur Deus praesentis saeculi et earum rerum quae huic cohaerent similesque sunt, creator. Sed enim insana circa dictum hoc cavillatio, alibi quoque et saepenumero futilis demonstrata fuit: praecipue vero convincitur, quia non sinit interpunctionem statione sua quiescere. Tum denique quia praesens saeculum modo quidem temporis spatium, modo vero etiam flagitiosos actus, qui per hanc vitam germinare solent, significat. Quare siquis etiam illam circa interpunctionem malitiam impunem esse sinat, nihilo minus haereticorum sententiam funditus perimet. Malorum enim operum atque actuum quum sator et incitator diabolus sit; hunc si forte talium rerum dominum et auctorem et deum etiam dicamus, verbis inflexis maxime ad eorum opinionem qui illius malitiae morigerantur, nullum hinc apostatica improbitas lucrum faciet. Nam et gentium idola, casso sane nomine, sed tamen dicebantur dii. Et diabolus quidem creaturae alicuius vel rerum firmam certamque substantiam habentium numquam deus dicetur vel existimabitur: ceteroqui ad pravos affectus quod attinet et peccatum, quibus ipse et gaudet atque laetatur, et alios fraudulenter illicere numquam

A μέχρις ἂν ταῦτα ἐνεργῇ, οὐδεὶς αὐτὸν οὔτε τῆς ὀλεθρίου ταύτης καὶ ἀθλίας κυ-
ριότητος οὔτε μὴν τῆς ἀρχῆς ἀπαλλάξει.

λα. Οἶδα δ' ὅτι τὸ ἱερὸν τοῦ Παύλου ῥητὸν, οὐ μόνον ἐκ τῆς τοιαύτης θεω-
ρίας τὴν δόξαν διαφεύγει τῶν ἀποστατῶν, ἀλλὰ καὶ εἴ τις τὸν περὶ στιγμῆς λόγον
ἐάσει, οὐδὲν ἔλαττον αὐτῶν καταισχύνῃ τὸ προπετές· ὥσπερ γὰρ ὁ ἀληθὴς Θεὸς
B ἡμῶν καὶ τοῦ παντὸς δημιουργὸς, Θεὸς οὐρανοῦ καὶ γῆς, λέγοιτ' ἂν καὶ Θεὸς Ἀβ-
ραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ Θεὸς παρακλήσεως, καὶ Θεὸς εἰρήνης· καὶ οὐδέ-
που διὰ ταῦτα τῶν ὁμοταγῶν καὶ συστοίχων οὐκ ἔστι Θεός· ἀλλὰ μᾶλλον ἐξ ὧν
λέγεται τούτων, καὶ τῶν ἄλλων συνεισάγεται Θεός· οὕτω καὶ Θεὸς τοῦ αἰῶνος τού-
του λεχθεὶς, ἀπὸ μέρους καὶ τοῦ παντὸς, ὅσα τε εἰς νοητὴν λῆξιν καὶ ὅσα πρὸς
C αἴσθησιν ἀναφέρεται, συνεπινοεῖται καὶ συνανακηρύττεται· οὐ μὴν ἀλλὰ καὶ καθ'
ὑπέρθεσιν τὸ ῥητὸν ἐκληφθὲν, πᾶσαν ῥᾳδίως τῶν ἐπηρεαζόντων διαφεύγει λαβήν·
τὰ γὰρ νοήματα τῶν ἀπίστων τοῦ αἰῶνος τούτου ὁ Θεὸς τυφλοῖ· τουτέστιν ἀνάξια
κρίνει τῆς τῶν κεκαθαρμένων θεωρίας· δι' ἧς αὐτοῖς ἐνῆν τὸν φωτισμὸν ἐναυγασθῆ-
ναι τοῦ εὐαγγελίου· οἱ μὲν γὰρ τοῦ νῦν αἰῶνος ἄπιστοι, καὶ στασιάζειν καὶ προσφιλο-
D νεικεῖν ἀφίενται τῷ οἰκείῳ δεσπότῃ καὶ δημιουργῷ· ἐν δὲ τῷ μέλλοντι ὅτε πᾶν γόνυ
κάμψει αὐτῷ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξο-
μολογήσεται αὐτῷ, οὐδεὶς αὐτῶν οὔτε ἀποστασίας οὔτε φιλονεικίας ἢ ἀγνοίας εἰς τὸ
μὴ συνιδεῖν τὴν κατὰ πάντων κυριότητα καὶ τὸ κράτος, ἐπιπροσθήσει γνόφος ἢ
ἀχλύς.

E λβ. Ἀλλ' ὅπερ ἐλέγετο μὲν ἡ περὶ τῆς στιγμῆς σκέψις οὐ μόνον ἐν τοῖς
θεοπνεύστοις τοῦ Παύλου ῥητοῖς, κακουργήμασι μὲν δίδωσι πλάνης ἀφορμάς, ἀκρι-
βολογουμένη δὲ καταστρέφει τὰς τῆς ἀπάτης μηχανάς, ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς

desinit; quoad quidem ita se geret, nemo eum pernicioso hoc infelicique dominatu atque imperio pollere negabit.

31. Et sacrum quidem Pauli dictum probe novi, non praedicta solum demonstratione, apostatarum sensum vitare; verum etiam omissa interpunctionis mentione, nihilo minus posse temeritatem illorum infringi. Nam sicuti verus Deus noster universi creator, Deus caeli terraeque, nihilo minus dicitur etiam Deus Abrahami et Isaaci atque Iacobi, et Deus consolationis, et Deus pacis; neque tamen idcirco ceterarum similium eiusdemque ordinis rerum non est Deus; immo potius quia dicitur praedictorum elementorum et hominum bonitatisque Deus, aliarum quoque rerum Deus comprobatur; ita cum dicitur huius saeculi Deus, a parte simul intelligitur simulque praedicatur rerum omnium Deus, sive quae ad spiritalium sive quae ad sensilium ordinem pertinent. Quin adeo si latiore sensu dictum hoc intelligatur, facile id rursus calumniatorum insidias evadet. Mentes nimirum incredulorum huius saeculi Deus excaecat; hoc est indignas iudicat defaecatarum rerum contemplatione, cuius ope contingeret eis evangelii lumine collustrari. Incredulis enim huius saeculi hominibus rebellare atque adversari domino suo creatorique permittitur; verumtamen in futuro, cum omne genu flectetur illi caelestium terrestrium et infernorum, et omnis lingua confitebitur ei; nullae iam ab iis apostasiae vel pertinaciae vel inscitiae praetendentur tenebrae, quominus Dei universalem dominatum potentiamque agnoscant.

32. Atqui, ut hactenus dictum est, interpunctionis observatio, non solum in superne afflatis Pauli dictis malitiae errorique ansam praebet, quae tamen si recte fiat, fraudis technas dissipat; verum etiam in dominicis ipsis supremae auctoritatis voci-

διαστικαῖς τε καὶ κυριακαῖς φωναῖς, οὐ τὴν τυχοῦσαν πρὸς ἑκάτερα δίδωσι ῥο- A
πήν· οἱ γὰρ αὐτοὶ τῆς ἀποστασίας ἐρασταί, τῆς δεσποτικῆς δημιουργίας τὸ ὡραῖον
τοῦτο καὶ θαυμασιώτατον φιλοτέχνημα, τὸν ὁρώμενον λέγω καὶ περικαλλῆ κόσ-
μον, οὐ θέλοντες ἀνομολογεῖν ἔργον εἶναι τοῦ δημιουργοῦ, ἀλλ' εἰς ἑτέραν ἄτοπον
φιλονικοῦντες ἀναφέρειν ἀρχήν, τὸ, πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγέ-
νετο οὐδὲν ὃ γέγονεν, οὐκ ἀγαπῶσι καταλήγειν εἰς στιγμήν· συνείροντες δὲ τοῖς B
προλαβοῦσι καὶ τὸ ἐν αὐτῷ, οὕτως λήγουσαν τὴν φωνὴν ἀφιᾶσιν εἰς στιγμήν· δια-
τί; ἵνα τὰ ἐν αὐτῷ δι' αὐτοῦ γενέσθαι λέγοντες μόνον, ὁποῖα ἂν αὐτῶν καὶ τὸ μά-
ταιον τῶν λογισμῶν ἀναπλάσοι, τῶν γεγονότων λοιπῶν ἁπάντων τὴν γένεσιν αὐτὸν
ἀφαιρήσουσι καὶ δημιουργίαν· ὁρᾷς, καὶ οὗ βραχύτερον οὐκ ἔστιν εὑρεῖν, μὴ τῇ πρε-
πούσῃ κρίσει καθυποβληθὲν, οἵων ἀτόπων τε καὶ δυσσεβεστάτων νοημάτων ἀφορ- C
μὴ τοῖς ἀσεβοῦσι καθίσταται καὶ καταφυγή.

λγ. Οὐκ ἀγνοῶ δὲ ὡς καὶ ἄλλας τινὰς ἐπαναστάσεις ἡ αὐτόλεκτος αὕτη ἡ
δεσποτικὴ παρὰ τὴν αὐτὴν αἰτίαν ὑπέστη φωνή· ὁ μὲν γὰρ κοινὸς τῆς ἀληθείας
καὶ ἀπερίεργος λόγος, μετὰ τὸ, πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγέ-
νετο οὐδὲ ἓν ὃ γέγονεν, ὡς καὶ προείρηται, οὕτως ἐπάγει τὴν στιγμήν· οἱ δὲ στί- D
ζουσι μὲν μετὰ τὸ οὐδέν· ἀρχῆς δὲ ἀπ' ἄλλης προφέροντες τὸ, ὃ γέγονεν ἐν αὐ-
τῷ ζωὴ ἦν, νοῦν μὲν ἀναγκαῖον οὐδένα δηλοῦσιν· ἀνοίγουσι δὲ τοῖς βουλομένοις
τὰ μυστικὰ καὶ φρικτὰ κάλλη τῶν ἱερῶν ἡμῶν λογίων κατορχεῖσθαι, πλατεῖαν ὁδόν·
τί γὰρ ἐὸν ἀρκεῖσθαι τοῖς ἐγνωσμένοις καὶ κάλλιστα τῆς ἑρμηνείας ἔχουσιν, ὑπερο-
ρῶντας ταῦτα ζητεῖν, τοῖς μηδὲν ὅμοιον κεκτημένοις, καινότητα δὲ μόνον χαριζομέ- E
νοις, καλλωπίζεσθαι; καὶ οὐ κατὰ πάντων φέρω τὴν ψῆφον, ἀλλ' ὧν ἡ γνώμη
τὸν λόγον μοι δείκνυσιν ἐπαληθεύοντα· ἄρχει δὲ τῆς ὁδοῦ ταύτης, ὅσα γε τὴν
ἐμὴν οὐκ ἔλιπε μνήμην, ὁ πολυμαθὴς μὲν οὐδὲν δὲ ἧττον ἡ πολυπλανὴς Ὠριγέ-

bus, non mediocre utrique sententiae momentum confert interpunctio. Namque iidem ipsi apostasiae asseclae, speciosum hoc admirandumque dominicae creationis aedificium, aspectabilem dico pulchrumque mundum, dum creatoris opus esse negant, incongruaeque alii origini tribuere student, locutionem *omnia per ipsum facta sunt, et sine ipso factum est nihil quod factum est*, nolunt interpunctione finire; sed copulata cum superioribus sequente etiam dictione *in ipso*, tum demum periodum interpunctione concludunt. Cur? videlicet ut ea quae sunt in ipso, tantummodo dicant facta per ipsum (quaecumque haec demum stulta mens illorum sibi esse confingit;) ceterarum autem rerum omnium, quae factae fuerunt, Verbo auferant originem et creationem. En res, qua nulla minor inveniri potest, quam absurdarum impiarumque opinionum scelestis hominibus ansam obtulerit ac perfugium.

33. Non nescio aliis quoque sollicitationibus hanc ipsam locutionem dominicam eadem de causa obnoxiam fuisse. Sane communis et ingenua veritatis ratio post verba *omnia per ipsum facta sunt, et sine ipso factum est nihil quod factum est*, interpunctionem, ut iam diximus, ponit. Alii tamen interpungunt post *nihil*: tum veluti ex alio initio proferentes *quod factum est in ipso vita erat*, sensum quidem idoneum nullum adferunt; immo latam viam sternunt iis, qui sacrorum mysticum et augustum oraculorum nostrorum decus violare gestiunt. Cur enim quum liceat probata et pulcherrima interpretatione esse contentis, cur, inquam, hac spreta, captanda est aliorum sensuum gloriola, qui aequi ponderis nihil habent, novitati tantummodo velificantur? Neque adversus omnes suffragium fero, sed contra eos quorum doctrina veram esse coarguit reprehensionem meam. Hanc viam primus ingressus est, nisi mea me memoria fallit, doctissimus ille neque minus errorum plenus Origenes. Excipit huius exemplum

A νης (1)· ἐκδέχεται δὲ τὴν μίμησιν ὁ πνευματομάχος (2)· εἰ καὶ μὴ τῆς δυσσεβείας· οὐ γὰρ ἅμα τε τὴν στιγμὴν ἐκεῖνος ὑπερετίθει, καὶ τὴν ἀσέβειαν διὰ τοῦ ῥητοῦ μετεδίδασκεν· ἀλλ' οὖν γε τῆς περὶ τὴν στιγμὴν καινοτομίας καὶ τῆς ἀναγνώσεως ζηλωτὴς ὁ πνευματόμαχος γεγονὼς, τῆς οἰκείας δυσσεβείας ὄργανον αὐτὸς ποιεῖται τὴν τοιαύτην ἀνάγνωσιν· τὸ γὰρ ὃ γέγονεν ἐν αὐτῷ συνθεὶς, ἔκ τε τῆς προλαβούσης συν-
B αφείας τὴν λέξιν τεμὼν, καὶ ἐκ τῆς ἐπακολουθούσης διαστάσεως τὴν στιγμὴν ἀφελὼν, τοῦτο τολμηρῶς τε καὶ ἀδεῶς κατὰ τοῦ πνεύματος ἕλκει (3)· τοῖς γεγονόσι τε, διὰ τὴν τοῦ γέγονε φωνὴν, καὶ εἰς κτίσμα τελοῦσι, τὴν ἄκτιστον φύσιν συναριθμῶν, μήτε τῆς τῶν ῥημάτων ἀκολουθίας τὴν ἐπήρειαν ἀνεχομένης, μήτ' ἄλλης αὐτῷ πρὸς τὴν δυσσέβειαν μηδὲ μιᾶς παρακροτούσης αἰτίας· Ἀπολινάριος δὲ καὶ
C αὐτὸς τὴν μίμησιν Ὠριγένους κατὰ διαδοχὴν ὑποδὺς, οὐκέτι ὁμοίως καὶ τῆς δια-

sancti spiritus oppugnator; quamquam suam peculiarem haeresim ab eo non hausit. Neque enim Origines dum transferret interpunctionem, haeresim quoque hac locutione tradebat Interim tamen interpunctionis lectionisque novitatem aemulatus ille sancti spiritus oppugnator, impietatis suae organum fecit hanc lectionem. Nam *quod factum est* cum *in ipso* copulans, dictionemque illam a praecedente nexu abscindens, tum etiam a subsequente intervallo interpunctionem revellens, loco temere et impie adversus spiritum sanctum abusus est: rebusque factis (quae dictione *factum est* indicantur) creaturaeque conditionem habentibus, increatam naturam adnumeravit: quamquam neque verborum sequela eam fraudem pateretur, nec alia quaelibet causa ad hanc ei impietatem suffragaretur. Apolinarius autem Origenis exemplum pariter secutus,

(1) Scholion in codice quodam vat. caten. in Ioh. sic habet. Ἰστέον ὡς Ἀπολινάριος καὶ Ὠριγένης καὶ Κύριλλος κατὰ τὴν διαβληθεῖσαν ἀνάγνωσιν ἐξέδωκαν· ἀλλὰ τὰ μὲν Ἀπολιναρίῳ ῥηθέντα παρεὶς ἀδιανόητα ὄντα, τὰ Κυρίλλου πρῶτον ἐκθετέον· εἶθ' οὕτως τὰ Ὠριγένους πόῤῥω τῆς γεγραμμένης κατηγορίας ὑπάρχοντα. Origenis et Cyrilli loci leguntur adhuc in eorum superstitibus ad Ioh. commentariis. Apolinarii verba in nullo vaticanae bibliothecae codice invenio.

(2) Macedonius.

(3) Ad hunc locum extat in vaticana evang. catena praeclarum Theodori mopsuesteni fragmentum ex eius deperditis in Iohannem commentariis. Τινὲς μὲν οὖν οὕτως ἀνέγνωσαν, ὃ γέγονεν ἐν αὐτῷ, ἀντὶ τοῦ δι' αὐτοῦ λέγοντες· πῶς δὲ οὐκ εὔηθες ἦν, εἰ τοῦτο ἔμελλε λέγειν ὁ εὐαγγελιστὴς, ὥς τι διδάσκων ἡμᾶς καινὸν καὶ τοῖς ἀνθρώποις ἄγνωστον; ὃ κἂν ὁ τυχὼν εἰπεῖν ἐδυνήθη καὶ περὶ τυχόντος, χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν τῶν δι' αὐτοῦ γεγονότων· πᾶς γὰρ ὅστις οὖν καὶ περὶ παντὸς τοῦτο ἐρεῖ· ἐπείπερ δῆλον ὡς ἐπὶ παντὸς τῶν ὅ τι ποτὲ διαπραττομένων, οὐκ ἂν εἴποι τις ἑτέρως, ἢ ὅτι τῶν δι' αὐτοῦ γενομένων οὐδὲν γέγονε χωρὶς αὐτοῦ· τινὲς δὲ ἑτέρως ἀνέγνωσαν, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· εἶτα ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν· πολλὰ γὰρ ἀμέτοχα ζωῆς ἐστιν, ὡς γῆ καὶ ὄρη· ἔστιν οὖν πλοκὴ καὶ βεβαίωσις τοῦ προτέρου· εἶτα καὶ ἡ σαφήνεια· εἰπὼν γὰρ ὅτι πάντα δι' αὐτοῦ ἐγένετο, ἐπήγαγε, καὶ χωρὶς αὐτοῦ οὐδὲ ἓν ὃ γέγονεν· τουτέστι καὶ συντόμως εἰπεῖν, οὐδὲν τῶν γεγονότων ἄνευ αὐτοῦ γεγένηται· μόνου τοῦ πατρὸς ὑπεξῃρημένου τῆς αὐτοῦ ποιήσεως σὺν τῷ ἁγίῳ πνεύματι· ἐπειδήπερ ἀεὶ συνὼν αὐτοῖς, εἰκότως καὶ κατὰ τὴν τῶν ὅλων δημιουργίαν αὐτοῖς κεκοινώνηκε. *Quidam legerunt sic*: quod factum est in ipso; *nempe per* ipsum *intelligentes*. *Atqui nonne stulte ageret evangelista, si hoc sibi dicendum sumeret, quasi aliquid novi aut incogniti homines edocturus? Licet enim cuique de quovis dicere*: sine ipso factum est nihil, quod factum est per ipsum. *Quilibet, inquam, de quolibet id queat dicere. Est enim exploratum, in omni re quae gesta fuerit, neminem aliter dicturum, nisi* rerum per ipsum factarum, nullam sine ipso factam. *Quidam tamen aliter legerunt*, et sine ipso factum est nihil. *Deinde*: quod factum est in ipso vita erat. *Multa enim vita carent, ut terra, ut montes. Est igitur repetitio quaedam et confirmatio prioris dicti; immo et quaedam declaratio. Nam quum evangelista dixisset* omnia per ipsum facta sunt, *adiecit*, et sine ipso nihil, quod factum est. *Id est, ut brevius dicam* factarum rerum nulla sine ipso facta fuit. *Unus cum sancto spiritu pater ab illius factura eximendus est: nam cum his semper existens, iure meritoque in universi quoque creatione socius eorundem fuit*. Alia circa hunc fere evangelii locum fragmenta Mopsuesteni legesis in catena ad Ioh. a Corderio edita.

νοίας ἐγένετο μιμητής· ἡ μὲν γὰρ εἰ καὶ τὸ περίεργον ἔχει, ἀλλ' οὖν γε μετὰ τοῦ A
μὴ δὲ μίαν ἄλλην ἀτοπίαν συνεφέλκειν, οὐδέ τινος γλαφυρότητος παντελῶς ἀμοι-
ρεῖ· ὁ δὲ, μετὰ τοῦ μηδὲν τῶν ἐπαινουμένων εἰπεῖν, καὶ εἰς μακροὺς λήρους καὶ
ἀνακολούθους γνώμας καταστρέφει τὴν σπουδὴν αὐτῶν· καὶ μικροῦ δεῖν ὧν λέγει τὸν
κύαμον καὶ τὸν ἅλα παροιμιάζεται (1)· εἰ δὲ καὶ τῷ θεσπεσίῳ Κυρίλλῳ ἡ τοι-
αύτη θέσις ἤρεσε τῆς στιγμῆς, ἀλλ' οὖν ὅσον τῶν ἀσεβῶν τῆς γνώμης διέστηκε, B
τοσοῦτο καὶ τὸ ἀναπτυσσόμενον τοῦ ῥητοῦ πρὸς τὴν ἐκείνων σπουδὴν ἐνδείκνυται τὸ
διάφορον.

λδ'. Ἀλλὰ γὰρ ὅτι μὲν ἀντὶ τοῦ ζητεῖν ὡς οὐ δεῖ καὶ τὰ θεῖα λόγια κατ-
αλλήλων συγκρούειν, ἄμεινόν ἐστι τὸ διαπορεῖν εἰς τὸ μαθεῖν· ἔτι δὲ καὶ πολλῷ
μᾶλλον περὶ τὴν συζήτησιν καὶ θεωρίαν τῶν τε λεγομένων περιστατικῶν, καὶ εἴ τις C
ἄλλος τρόπος τούτοις παραπλήσιος, ἐγγυμνάζεσθαι, αὐτὸς μὲν εὖ οἶδ' ὅτι λόγων
οὐ δεήσῃ· διδάσκαλον δέ σε καὶ ἑτέρων ἀξιῶν γενέσθαι, οὐκ ἂν ἀπελπίσαιμι·
οὐ μόνον δὲ τοσούτοις καταμερίζεται τρόποις ἡ διὰ τῶν ἱερῶν λογίων προΐεται
δοκοῦσα φαντασία τῆς ἐναντιώσεως, ἀλλὰ καὶ πολλῶν μὲν ἄλλων μνήμην οὔπω
πεποιήμεθα· ἡ δ' οὖν ἐπὶ τοῖς εἰρημένοις γυμνασία οὐκ ἐν αὐτοῖς μόνον περιγράφει D
τὸ χρήσιμον, πολλὴν δὲ ῥώμην καὶ κράτος παρέχει πρὸς τὸ τὴν ἀλήθειαν μεθο-
δεύειν καὶ διευκρινεῖν καὶ τὰ ὅμοια· καὶ γὰρ ὅσα δι' ὑπέρθεσιν λόγων ἢ ῥημάτων
ἢ ὀνομάτων, ἢ τούτων ἔλλειψιν καὶ περικοπὴν, ἢ τροπὴν καὶ μεταφορὰν, εἰς ἀμ-
φίβολον καὶ μαχομένην διάνοιαν συσκευάζεται, καὶ ταῦτα ὁ ταῖς εἰρημέναις ἔμπροσ-
θεν ἐφόδοις ἐγγυμνασάμενος, τὴν τῆς ἀκριβείας βάσανον κἀνταῦθα καθιεὶς, οὐ E
χαλεπῶς τε τὸ συγκεχυμένον διακρινεῖ, καὶ τὸ περιτρεπόμενον ὧδε κἀκεῖσε πρὸς
τὴν τῆς ἀληθείας ἑδράσει διάγνωσιν· αὐτίκα πῶς οὐκ ἐκεῖθεν πρὸς ἔλεγχον ῥᾴδιον

non tamen aeque sententiae imitator fuit. Etenim origeniana quamvis superflua est, nihilominus praeter quam quod nulla absurditate laborat, ne perspicuitate quidem omnino caret. Verum Apolinarius non solum commendabile nihil dicit, sed etiam in prolixa deliramenta ineptasque sententias labitur: parumque abest quin proverbium illud fabam et sal occinat. Quod si inclyto quoque Cyrillo huiusmodi placuit interpunctionis positio, tamen quantum ille ab haereticorum sententia abest, tantum explicatio quoque huius loci ab illorum conatibus differre cognoscitur.

34. Sed enim quod disputatione de non collidentibus, ut par est, inter se scripturis, utilior sit dubitatio discendi causa, multoque magis vestigatio atque observatio earum quae circumstantiae dicuntur, et siqua est alia huiuscemodi exercitatio: multis, ut probe scio, verbis tibi non est suadendum; quem dum censeo ceterorum quoque esse magistrum, spe non fraudabor. Sed neque in haec sola genera tribuitur ea quae in sacris oraculis versari solet simulata contradictio, sed insuper in alia plura quorum nondum mentionem fecimus. Et quidem praedictarum controversiarum sollers cognitio non in his solum utilitatem suam circumscribit, sed magnas vires roburque addit ad veritatem eliciendam discernendamque, et ad cetera eiusmodi. Nam quaecumque ob translationem locutionum aut verborum aut nominum, aut ob horum defectum ac subductionem, vel conversionem ac metaphoram, ambiguam pugnantemque sententiam faciunt, haec ille in praedictis solutionibus exercitus, explorationis acumine huc translato, haud aegre et confusa discernet, et rem ultro citroque iactatam, in veritatis lumine constabiliet. Nonne hinc scilicet facile est coarguere id quod anthromorphitis fucum

(1) Proverbium in eos qui simulant se scire quod nesciunt. Nam vates oracula consulentibus fabam et sal apponebant. Zenob. I. 25.

A ὃ τὸ τῶν ἀνθρωπομορφιτῶν γένος ἀπεβουκόλησεν; ἀφορμὰς γὰρ ὁ λαβὼν τὰς ἐν
τοῖς τοιούτοις διαφορὰς ἐπισκοπεῖν, τὴν δὲ σύγχυσιν πολλὴν τὴν πλάνην ἐργάζεσ-
θαι, εὐθὺς ἐπέγνω καὶ διεστείλατο, ἄλλην μὲν χρῆσιν ἔχειν τὰ κατὰ μεταφοράν,
ἄλλην δὲ τὴν τῆς λέξεως κυριότητα· ὧν οὐδὲν ἐπὶ νοῦν τὰ αἱρετικὰ λαβόντα φρο-
νήματα, ὅσα τροπικῶς καὶ κατὰ μεταφορὰν ἐπὶ Θεοῦ εἴρηται, τροπῆς καὶ ἀτρέ-
B πτου φωνῆς οὐ βουληθέντες συνιδεῖν ἑτερότητα, τὴν ἁπλῆν καὶ ἄληπτον καὶ ἀσχη-
μάτιστον οὐσίαν τοῦ Θεοῦ, ὅτι χεῖρας καὶ πόδας καὶ ὀφθαλμοὺς καὶ ὀσφραίνεσθαι
καὶ στόμα καὶ λόγους ἤκουσαν, ὁμοιοσχημάτιστον ἡμῖν τὸ θεῖον δυσσεβῶς τε καὶ
ἀσυνέτως ἐπλάσατο.

λε. Οὕτω γοῦν καὶ εἴ τι ἄλλο τῶν ἱερῶν γραμμάτων ὁ αἱρετίζων ἢ ὁ φι-
C λόνεικος ἁρπάσας λογισμὸς πρὸς δυσσέβειαν ἢ ἀπορίαν ἑλκύσαι φιλονεικήσειεν, εἰ
μὲν καθ' ἕν τι τῶν διευκρινημένων τὸ κακομήχανον ἐπινοεῖ, αὐτόθεν ἕξει καθ' ἑαυ-
τοῦ φερομένην ἄφυκτον τὴν ἀνατροπήν· εἰ δὲ καθ' ἕν τι τῶν παρειμένων, οὐ χα-
λεπὸν ἐκ τῶν φθασάντων τὴν ὁμοίαν κρίσιν καὶ ἐπὶ τούτοις ἑλκύσαντα, τοῖς ὁμοίοις
ἐλέγχοις τοὺς μιμησαμένους ὑποβαλεῖν, οἷς καὶ οἱ προλαβόντες ἀπεῤῥαπίσθησαν·
D καὶ τοῦτό ἐστι μετὰ τῶν ἄλλων ὃ μὴ πάσας τὰς αἰτίας ἐπεξελθεῖν ἡμᾶς κατὰ μέ-
ρος οὐκ ἐξεβιάσατο· οὔτε γὰρ στοιχείωσιν τούτων συνταγεῖν ὑπεσχόμεθα, οὔτε
δυσθήρατός ἐστιν ἐκ τῶν προειρημένων, τῶν παρειμένων ἡ θεωρία καὶ διάκρισις·
καὶ ἔτι τὰ ἄλλα οὐχ ὥσπερ ταῦτα ἐπιπολάζει καὶ τοὺς πολλοὺς ἐπινέμεται· καὶ
ὅσα φθάσας αὐτὸς διηπόρησας κατά γε τὴν νῦν καὶ τὴν προλαβοῦσαν ἀξίωσιν,
E αὐτάρκως τὸ σαφὲς καὶ τὴν τῆς ἀπορίας λύσιν εἰλήφασι.

λς. Πλὴν εἴτις γε καὶ τοῦτο τῶν ἐπιπολαζόντων θείη· ἔστι γὰρ τοῖς τε ἄλ-
λοις αἱρετικοῖς καὶ τοῖς εἰκονομάχοις μέγα καταφύγιον· καθολικὸν γὰρ τύπον πολ-
λάκις ἡ ἱερὰ φωνὴ σχηματίζουσα, οὐ καθολικὴν ἀπαιτεῖ τὴν ἔννοιαν ἐκλαμβάνεσ-

fecit? Noster enim criticus facultatem adeptus differentias observandi quae in his tropis occurrunt, et quod confusio multos errores parit, statim noverit atque distinguet, alium esse usum eorum quae cum metaphora dicuntur, alium eorum quae secundum dictionis proprietatem: quorum quum nihil haereticis in mentem venisset, hi quaecumque cum tropo ac metaphora de Deo dicuntur, quum nollent tropi aut immutatae vocis agnoscere diversitatem; simplicem et incomprehensibilem et sine figura substantiam Dei, quia manus et pedes et oculos et olfactum et os et loquelam inaudierant, similem figurae nostrae, Deum scilicet homini, sacrilege et fatue confinxerunt.

35. Atque ita quamlibet scripturarum sacrarum partem haeretici vel contentiosi hominis studium ad haeresim vel quaestionem conabitur trahere; si secundum aliquid ex ante disputatis fraudem suam comminiscatur, statim hinc habebit contra se inevitabilem refutationem. Sin vero secundum aliquid praetermissorum, haud difficile erit ex ante dictis par iudicium de re praesenti exercere, atque imitatores pari genere argumentorum refellere, quo superiores illi vapulaverunt. Ob hanc aliasque causas haud cuncta singillatim dubia percenseri a nobis necesse fuit: neque enim horum catalogum coacervare promisimus; neque ardua est, post praedicta, praetermissorum cognitio et discretio: praesertim quia cetera non tam, ut haec, frequentia sunt neque tam multos occupant. Igitur illa, de quibus nuper ambigebas, secundum praesentem prioremque postulationem, satis manifestam perplexitatis suae solutionem impetraverunt.

36. Quid porro siquis hanc etiam e vulgaribus quaestionibus poneret? quae quidem tum aliis haereticis tum imaginum oppugnatoribus magnum perfugium est. Nimirum universalem saepenumero formam sacrae litterae figurantes, haud universalem senten-

θαι· εἰς ὡρισμένα δέ τινα καὶ προειλημμένα συνάγουσα τὴν διήγησιν, μερικὴν ἐν- A
Joh. X. 8. δείκνυται τὴν ἀπόφασιν· τοιοῦτόν ἐστι τὸ, πάντες ὅσοι πρὸ ἐμοῦ ἦλθον, κλέπται
εἰσὶ καὶ λησταί· ὑποβάλλουσι γὰρ τῷ καθολικῷ χαρακτῆρι τῆς φωνῆς οἱ ἀπὸ Μαρ-
κίωνος καὶ τῆς γείτονος φρατρίας, Μωσέα τε καὶ τοὺς ἄλλους τοῦ Θεοῦ προφήτας,
τὴν παλαιὰν διαθήκην σκευὴν εἶναι δυσφημοῦντες τοῦ πονηροῦ· καίτοι γε οὐ κατ'
ἐκείνων ὡς δῆλον ἐῤῥήθη, ἀλλ' οὓς ὁ μικρῷ πρόσθεν χρόνος τῆς δεσποτικῆς παρ- B
ουσίας, ἀπατεῶνας καὶ πλάνους ἀπέδειξε· τὸ γὰρ εἰς τοὺς δαίμονας ὑπειλῆφθαι
τὴν δεσποτικὴν ταύτην ἀπεῤῥίφθαι φωνήν, κἂν εἰς ἀσεβημάτων οὐκ ἂν ἥκῃ λογισ-
μὸν, κἂν ὁμοίως φρονῇ μὴ πάντοτε τὸ καθολικὸν σχῆμα τῆς φωνῆς καὶ καθολι-
κὴν ἔννοιαν ἀπαιτεῖν, ἀλλ' οὖν τὸ περιεργότερον καὶ μὴ τῆς εὐαγγελικῆς βουλήσεως
περὶ πόδα εἶναι, δευτέραν αὐτῷ δίδωσι τοῦ προειρημένου τάξιν λαβεῖν· πλήν γε C
τὸ ἀσύνετον καὶ δυσσεβὲς τῶν θεομαχούντων θράσος τῷ τύπῳ τῆς καθολικῆς
προσανέχοντες φωνῆς, τῆς οἰκείας δυσσεβείας ἀναχώρησιν τὰ κυριακὰ νομίζουσι
λόγια.

λζ. Ὅμοιόν ἐστι καὶ τὸ, πάντα δι' αὐτοῦ ἐγένετο· καὶ ὁμοίως τοῖς πνευμα-
τομάχοις ὄργανον τῆς πλάνης ὑποβάλλεται· τῶν πάντων γὰρ τὸ πανάγιον πνεῦ- D
μα διὰ τὸ καθόλου τῆς φωνῆς οὐκ ἐξαιρούμενοι τῶν γεγονότων, καὶ αὐτὸ δε-
δυσφημήκασι· καὶ μυρία δ' ἄλλα οἱ ἱεροὶ λόγοι εἰς τὸ καθόλου μὲν σχηματί-
Eccles. I. 2. ζουσι, μερικωτέραν δὲ ποιοῦνται τὴν δήλωσιν· ὡς τὸ, *ματαιότης ματαιοτήτων,*
τὰ πάντα ματαιότης· οὐδὲ γὰρ οὐδ' ἡ ἀρετὴ τῶν ματαίων, οὐδ' ἡ σοφία οὐδ'
Ps. XIII. 3. ἡ εὐσέβεια· καὶ, πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐδὲ γὰρ οὐδ' οἱ παρὰ E
Θεοῦ καθ' ἑκάστην γενεὰν καὶ γενεὰν κατὰ παθῶν καὶ δαιμόνων καὶ τυράννων στε-
φανῖται δεικνύμενοι· καὶ πολλὰ ἄλλα τοιαῦτα ἐπὶ σχολῆς ἄν τις θεωρήσειεν· ἀρ-
κεῖν δ' οἶμαι καὶ τὰ παρατεθειμένα· τῆς γὰρ εἰκονομαχικῆς λύσσης τὴν διὰ τῆς

tiam sibi tribui postulant; sed intra terminos quosdam, qui iam praesumpti fuerunt, orationem suam coarctantes, partiariam efferunt adfirmationem. Huiusmodi est: omnes quotquot ante me venerunt, fures latronesque fuere. In hoc generali dictionis charactere concludunt Marcionitae, et proxima secta, Mosen ipsum aliosque Dei prophetas: atque ita vetus testamentum mali genii malum opus esse calumniantur. Atqui ea verba non adversus hos constat esse prolata, sed contra illos qui paulo ante Domini adventum deceptores et plani extiterunt. Nam si quis opinetur contra daemonas hanc iactam esse dominicam locutionem; etiamsi id ad sacrilegum nullum impellit sensum; etsi aeque praesumit, haud semper universale dictionis schema generalem sibi sententiam vindicare; nihilominus exquisitior subtilitas, neque satis evangelico sensui congruens, secundum huic opinioni post praedictam illam locum dat. Interim tamen vesana et sacrilega hostium Dei audacia, dum formae universalis dictionis adhaeret, sceleris sui tutamen in dominicis effatis habere se putat.

37. Illud quoque simile est *omnia per ipsum facta sunt*: quod aeque sancti spiritus oppugnatoribus argumentum errandi est. Dum enim ob universale dictionis genus, sanctissimum spiritum a creaturarum universitate non separant, ipsum blasphemant. Sexcenta alia sacrae litterae universali schemate efferunt, quibus tamen nonnisi partiarium significatum tribuunt. Veluti, vanitas vanitatum et omnia vanitas: neque idcirco aut virtus aut sapientia aut religio in vanarum numero rerum sunt. Tum illud, omnes declinaverunt, simul inutiles facti sunt: neque tamen eiusmodi erant ii quos Deus in singulis aetatibus vitiorum et daemonum et tyrannorum fecit esse victores. Multa huiusmodi licet cuique per otium observare: quamquam mihi hactenus dicta videntur sufficere. Certe et furorem oppugnantium imagines, qui simili ma-

A κακουργίας ταύτης ἀπόνοιαν, μετὰ τῆς ἄλλης αὐτῶν φρενοβλαβοῦς κακομηχανίας, ἰδιαζόντως ἡμῖν λόγος ἐθριάμβευσεν (1). Ἀλλ' ὅτι μὲν πολλὰ τῶν ἀπορημάτων προκατασκευῆς δεῖται, καὶ ὅτι τὰ σὰ παρά τε τῶν προλαβόντων ἀνδρῶν ἁγίων καὶ ἡμῖν αὐτοῖς ἐκεῖθεν χειραγωγουμένοις διευκρίνηται· καὶ ὅτι τὰ πλεῖστα τῶν αἰτίων παρ' ἃ εἴωθε συμβαίνειν τὸ ἄπορον ἐπεξήλθομεν, ὁ λόγος ἐπέδειξε· καὶ ὅτι μὲν
B τῆς ἀκριβείας πάντων ἐπειλήμμεθα, οὐκ ἂν φαίημεν· ὅτι δὲ τῆς αἰτήσεως οὐκ ἔλαττον εἰσηνέγκαμεν, οὐκ ἂν ὑπερηφάνων λόγων, δικαζούσης ἀληθείας, οὐδεὶς ἂν ἡμᾶς αἰτιάσαιτο (2).

QUAESTIO XXI.

Ἐπὶ τίνος παραλαμβάνεται παρὰ τοῖς ἱεροῖς ἡμῶν λογίοις ἡ τὸ ἀπεκρίθη φωνή· αὐτή τε καὶ τὰ παρὰ ταύτην ἐκ τῆς αὐτῆς σχηματιζόμενα λέξεως.

α. Πολλῶν ὄντων φωνῶν πολυσήμων, ὥστε καὶ πραγματείαν ὁλόκληρον οὐκ ὀλίγοις ἐπελθεῖν περὶ αὐτῶν ἐξεργάσασθαι, οὐδὲν ἀπεικὸς ἂν εἴη οὐδέ τινα παρέχον ἀπορίαν τοιαύτας φωνὰς ὁρᾶσθαι κἀν τοῖς ἱεροῖς ἡμῶν ἐνούσας λογίοις· καὶ γὰρ παρ' οἷς ἡ ἀττικὴ σπουδάζεται γλῶσσα, οὐ μόνον ἐστὶν εὑρεῖν φωνὰς κατὰ τοὺς ἐπιδεικτικούς τε καὶ ἱστορικοὺς τῶν λόγων τὸ πολύσημον ἐμπεριουμένας, ἀλλὰ καὶ πρὸς ἀντικειμένας διανοίας τὴν αὐτὴν φωνὴν ἀποσχιζομένην. Αὐτίκα Πλάτων
a. μὲν ἄλοχον τὴν παρθένον λέγει, καὶ δοκεῖ τι σοφὸν λέγειν, οὔπω γὰρ ἐπέβη λέ-

litia vesaniaque laborant, cum aliis fatuis eiusdem sectae versutiis, peculiari scripto debellavimus. Iamque adeo quod multae quaestiones sermone praevio egeant; et quod tuae dubitationes ab antiquioribus sanctis viris, atque a me, ducibus illis, dissipatae fuerint; et quod plurimas causas, unde oriri controversiae solent, percensuerim; sermo meus hactenus demonstravit. Utrum vero omnia accurate comprehenderim, nec ne, haud hercle adfirmaverim: ceteroqui quod non pauciora postulatis in medium tulerim, id si forte adfirmem, nemo me, iudice veritate, superbe loqui causabitur.

Quaenam in nostris sacris litteris subiecta notio sit vocabulo *respondit*; tum ipsi videlicet, tum aliis ad huius similitudinem conformatis dictionibus.

1. Quum multa sint multiplicis significationis vocabula, ita ut non pauci auctores integri operis argumentum de his elaborandum susceperint; nil mirum erit, nedum aliqua controversia dignum, siquae eiusmodi voces in nostris quoque sacris litteris continentur. Nam et apud eos, qui attica lingua studiose utuntur, non solum occurrunt dictiones aliquot sive in epidictico sive in historico dicendi genere quae multifariam significantiam habent, verum etiam quae in contrarios sensus unum
2. idemque vocabulum dispertiuntur. Exempli gratia Plato ἄλοχον appellat virginem, videturque sapienter loqui, quia vocis etymologia feminam innuit tori adhuc exper-

(1) Photii opus pro sanctarum imaginum cultu memorare videtur Euthymius apud Lambec. tom. III. p. 422. Quamquam nihil aliud fortasse intelligendum est, praeter ea quae pro eo dogmate dicuntur a Photio in prima epistola, et in Amphilochianis CXCVI. CXCVII. CCV.

(2) Sequentes Photii quaestiones alio volumine a me vulgabuntur. Nunc cum paucas selectas edo, ad vigesimam primam transilio.

χους· ἀλλ' ὁ αὐτός τε πάλιν καὶ πολλοὶ ἄλλοι τὴν ἐν λόγοις δευτέραν οὐκ ἔχον-
τες τάξιν, τὴν συνιοῦσαν ἀνδρὶ πρὸς λέχος σημαίνουσι τῷ ὀνόματι. Πάλιν σοφι-
β. στὴν ἐστὶν ἀκούειν τὸν τὰς λογικὰς τέχνας διδάσκοντα· δεύτερον δὲ ᾧ τὸ λεκτικὸν
εἶδος ἐπίσκηπται· καὶ τρίτον ὅς τις τὴν ἐν τοῖς λόγοις γυμνασίαν τῶν πλησιαζόντων
γ. πρὸς τὴν ἐπηρεάζουσαν ἔριν διέφθειρεν. Ἀλλὰ γὰρ καὶ τὸ σταθερὸν οὐ τὸ στάσιμον
μόνον, ἀλλὰ καὶ τὸ ἰσχυρὸν, καὶ θερμὸν, καὶ ὀξὺ σημαῖνον εὑρίσκεται. Καὶ δὴ
δ. καὶ τὸ φαῦλον, οὐ τὸ κακὸν μόνον, οὐδὲ τὸ μοχθηρὸν, οὐδὲ τὸ ἀπρεπές· ἀλ-
λὰ καὶ τὸ μέγα, καὶ τὸ μικρὸν· ὡσαύτως δὲ καὶ τὸ ῥᾴδιον, καὶ τὸ ἁπλοῦν καὶ
ε. ἀπόνηρον, καὶ τὸ τυχὸν, καὶ τὸ ἀπλῶς περιείληφε. Ναὶ δὴ καὶ τὸ πυνθάνεσθαι
δοκοῦν πρὸς ἓν ἀναφέρειν, διαφόρων ἐστὶν ἀποφυάδων ῥίζα· προβάλλεται γὰρ τό-
ς. τε μανθάνειν, καὶ τὸ ἱστορεῖν, καὶ ἐρωτᾶν, καὶ τοιαῦθ' ἕτερα. Ὁ δὲ πελανὸς ἡ λέξις
πέμμα τε ἐξ ἀλεύρου θυσίαις ἐπιτήδειον δηλοῖ· δηλοῖ δὲ καὶ τὸν περὶ τῷ στό-
ματι πεπηγότα ἀφρόν· ἀλλὰ καὶ τὸ ὀπῶδες δάκρυον πεπηγός τε καὶ ἐξηραμένον,
οἷον κόμμι, καὶ τὰ ὅμοια· καὶ τέταρτον τὸν ὀβολὸν ὅσον τοῖς μάντεσιν εἴωθε δι-
ζ. δόσθαι μισθός. Καὶ τὸ ἐμβόσε δὲ τὸ ἐπίῤῥημα δηλοῖ μὲν τὸ ἐξεναντίας· ἡ δὲ
τῶν ἀρχαίων χρῆσις ἐπιδείκνυσιν αὐτὸ καὶ ἀντὶ τοῦ σχεδὸν, καὶ ἀντὶ τοῦ ἐγγὺς παρα-
η. λαμβανόμενον. Οὐ μὴν ἀλλὰ καὶ τὸ νῦν δὴ οὐ τὸ παρὸν ἤδη μόνον, ἀλλὰ καὶ
θ. τὸ μικρὸν ἔμπροσθεν γεγονὸς ὑποβάλλεται. Ἤδη δὲ καὶ τὸ κομψὸν (a) εἰς πολλὰ
μερίζεται σημαινόμενα· τό τε γὰρ περίτρανον καὶ τὸ τεχνικόν. Τὸ δὲ πολυθρύλ-
ι. λητον ἦ δ' ὅς, καὶ ἦν δ' ἐγὼ, ἡ τοῦ Πλάτωνος φιλοτιμία· ἀλλὰ γὰρ τὸ ἦ δ' ὅς,
σημαίνει μὲν ὡς ἐπίπαν τὸ ἔφη δὲ οὗτος· ἀλλὰ καὶ τὸ ἔφη μόνον, τοῦ συνδέσμου
καὶ τοῦ ἄρθρου παρέλκοντος ἐνταῦθα χώραν ἐχόντων· ἢ μὴ δὲ σύνδεσμον, μὴ δὲ
ἄρθρον ὑπεμφαινόντων, ἀλλὰ τῆς ὅλης φωνῆς μερῶν ὑπαρχόντων, ἡνίκα μὴ δὲ γέ-

tem. Sed tamen idem Plato, aliique plures non inferioris subsellii auctores, eam
quae viro societate thalami coniuncta est hoc vocabulo indigitant. Item sophistam di-
2. cimus tum eum qui logicas disciplinas tradit, tum etiam qui dicendi artem profi-
tetur, tertio denique illum qui scholasticum auditorum suorum exercitium ad fallacem
3. contentionem vitiose traducere solet. Praeterea σταθερὸν, non solum stabile, verum
4. etiam validum et fervidum, et acre significare comperimus. Tum φαῦλον non pra-
vum tantummodo et improbum et indecorum, sed etiam magnum, immo et parvum;
itemque facile et simplex et innoxium et fortuitum quodlibet aut incogitatum denotat.
5. Et quidem verbum quoque πυνθάνεσθαι, quod unum sensum spectare videtur, complu-
rium germinum radix est. Quandoque enim exprimit discere, et explorare, et sci-
6. scitari, et alia eiusmodi. Iam dictio πελανὸς valet placentam ex farina sacrificiis ido-
neam: sed tamen valet etiam spumam circa os adhaerentem; nec non crassam la-
crymam concretam atque arefactam ceu gummi, et similia; quarto denique obolum,
7. qui hariolis mercedis ergo porrigi solet. Porro ἐμβόσε adverbium significat ex adver-
so; quamquam in usu veterum usurpatur etiam pro quasi et prope. Quin etiam νῦν
8. non pro nunc solum sed etiam pro nuper facto ponitur. Iamvero et κομψὸν in mul-
9. tas tribuitur significationes; nam et perspicuum denotat et garrulum et versutum et
10. aptum ad persuadendum, et denique artificiosum. Quid vero illud sollemne ἦ δ' ὅς,
et ἦν δ' ἐγὼ, qui Platonis ornatus est? ἦ δ' ὅς quidem per se omnino significat dixit hic:
sed etiam dixit simpliciter; ita ut copulativa particula et articulus relativus hoc lo-
co frustra sint: immo vero neque coniunctionis neque articuli vice fungantur, sed
integri vocabuli partes sint, quotiescumque haec dictio neque generis neque numeri

(a) De vocabuli κομψὸν apud ipsum Photium in bibliotheca significationibus variis disserui egomet in prae-
fatione ad novas Dionysii halic. partes ed. Mediol. praef. cap. XIIII.

τος μὴ δ' ἀριθμὸν δύναιτ' ἂν παρεμφαίνειν ἡ λέξις· ἐξ οὗ ϗ καθορᾶται τὸ ἢ δ' ὅς οὐ μόνον ἐπὶ τοῦ θήλεος μεθελκόμενον οἷον ἔφη αὕτη, ἀλλὰ ϗ πρὸς πλῆθος ἀπὸ τῆς ἑνικῆς φωνῆς περιτρεπόμενον· σημαίνει γὰρ ϗ τὸ ἔφασαν· εἰ δὲ ϗ τὸ ὦ. φίλος δηλοῖ, οὔπω παρέχειν ἐστὶν ἀξιοπιστίαν Κριτόβουλος· ἀλλὰ τοσαῦτα μὲν τέως
ια. παραδηλοῖ τὸ ἢ δ' ὅς. Τὸ δὲ ἦν δ' ἐγὼ καί τοι γε τὸν ὅμοιον σχηματισμὸν ἔχον, εἰς τρία τέμνεται ταῦτα. εἴς τε τὸ ἔφην δ' ἐγώ· καὶ εἰς τὸ ἁπλῶς ἔφην· ὅπερ
ιβ. ὁμοίως ἐπί τε ἀῤῥένων παραλαμβάνουσι ϗ θηλειῶν. Καὶ τὸ θράττειν δὲ, σημαίνει μὲν τὸ ταράσσειν ϗ τὸ ἐνοχλεῖν· σημαίνει δὲ ϗ τὸ νύσσειν ϗ κινεῖν· ἀλλὰ ϗ τὸ
ιγ. δυσωπεῖσθαι, καὶ τὸ ὑφορᾶσθαι. Καί γε ϗ τὸ πυτάζειν εὑρήσεις κατὰ διαφόρων ὑποκειμένων φερόμενον· ϗ γὰρ ἀντὶ τοῦ πραγματεύεσθαι παραλαμβάνεται, καὶ ἀντὶ τοῦ σκευωρεῖσθαι, στρατεύεσθαί τε, καὶ διατρίβειν, ϗ φροντίζειν ἐνίοτε· ἐπιστρεφῶς δὲ πράττειν τι ϗ ἐνεργεῖν· καὶ μὴν ϗ σπουδάζειν, καὶ δεῖπνον παραθεῖναι· ὅρα δὲ ϗ τὰ συνήθη ταῦτα οὐχὶ μίαν ἐθέλοντα σημασίαν περιπτύσσειν· αὐτίκα
ιδ. δὴ τὸ ἐπιεικῶς ϗ ἐπὶ κόῤῥης· τὸ μὲν εἴς τε τὸ ἱκανῶς καὶ μετρίως, ϗ εἰς τὸ
ιε. ἀστείως ἐπιμερίζεται· τὸ δὲ ἐπὶ κόῤῥης τὸ κατὰ κεφαλῆς τύπτεσθαι σημαίνει, καὶ
ις. μὴν ϗ τὸ ἐπὶ τῶν σιαγόνων· οὐδὲ τὸ ἐπισκηπτόμενον δὲ εἰς ἓν περιγράφεται, ἀλλὰ ϗ τὸν ἐναπερειδόμενον δηλοῖ, ϗ τὸν ἐνδεικνύμενον, καὶ τὸν ἐπὶ τελευτῆς ἐντελλόμενον, ϗ πρὸς τούτοις τὸ ἐναντιούμενον. Ὡσαύτως δὲ τῶν πολυσήμων ἐστὶ
ιζ. καὶ τὸ δυσωπεῖσθαι· ὑφορᾶσθαι γὰρ ἀπαγγέλλει, ϗ τὸ φοβεῖσθαι μεθ' ὑπονοίας, καὶ τὸ σκυθρωπάζειν· ἔνιοι δὲ τῶν ἑλληνικὴν γλῶσσαν ἐξακριβούντων, εἰ καὶ μὴ τῶν ἀττικῶν ἡ κομψία(a), ϗ ἀντὶ τοῦ αἰδεῖσθαι τὴν φωνὴν παραλαμβάνου-
ιη. σιν· ἡ μέν τοι συνήθεια ἐπὶ τοῦ ἱκετεύειν καὶ παρακαλεῖν κέχρηται. Καὶ τὸ δεῦρο δὲ μετὰ τοῦ σημαίνειν τὸ ἄγε, καὶ τὸ ἐνταῦθα, οὐδὲ τὸ ἐλθὲ ἀπωστρέφεται. Σκό-

rationem habet. Quare videre licet ἢ δ' ὅς non solum feminino genere adhibitum, ita ut sonet dixit ipsa; verum etiam ad multitudinem indicandam hoc singularis numeri vocabulum aliquando conversum: nam dixerunt quoque significat. Porro utrum dicatur etiam pro o sodes, nondum satis credibile fecit Critobulus. Hactenus de si-
11. gnificationibus dictionis ἢ δ' ὅς. Iam dictio ἦν δ' ἐγὼ, quae pari formae ratione utitur, in tres notiones tribuitur; nempe dixi ego; et simpliciter dixi; quod rursus
12. tam masculinis quam femineis personis assumitur. Age vero et θράττειν perturbare significat, et molestia adficere; vellicare item atque concutere; nec non pudorem
13. ingerere, et revereri. Deinde et πυτάζειν non sine sensuum varietate prolatum videbis: nam et pro satagere capitur, et pro moliri aliquid, et pro militare, et pro diversari, et quandoque pro curam gerere, et pro sedulo aliquid agere atque effectum dare: nec non pro officium exhibere et caenam apponere. Praeterea fami-
14. liaria haec videsis quam non unum evolvant significatum: exempli gratia ἐπιεικῶς et
15. ἐπὶ κόῤῥης; illud quidem et abunde valet et moderate et festive; hoc autem et ver-
16. berari in capite significat, et etiam in genis. Sed neque ἐπισκηπτόμενον unum significat, sed et firmiter menti infixum, et demonstratum, et quod a moriente mandatum est, et insuper quod adversatur. Pertinet ad varii significatus vocabula etiam
17. δυσωπεῖσθαι: nam et revereri denotat, et metuere cum suspicione, et tetrico vultu esse. Quidam vero linguae graecae apprime periti, quamquam atticus minime lepos est, vocem hanc etiam pro pudere accipiunt. Et quidem vulgi consuetudo utitur hac
18. voce ad supplicandum atque ad exorandum. Vox δεῦρο cum age significat et huc, tum

(a) Si vocabulum κομψία exiges ad regulam cognati κομψὸν, satis varium vel potius incertum hoc in loco significatum habebis.

ιθ. πει δὲ καὶ τὸ γενναῖον, ὅπως τόν τε συγγενῆ δηλοῖ καὶ τὸν ἀγαθὸν, ἀλλὰ καὶ
κ. τὸν εὐγενῆ, καὶ τὸν ἀνδρεῖον, οὐκ ἔλαττον. Ἴδοις δ' ἂν καὶ τὸ ἄτοπον, οὐ μό-
νον τοῦ κακοῦ καὶ τοῦ μοχθηροῦ κατηγορούμενον, ἀλλὰ καὶ κατὰ τοῦ μὴ τόπον
ἔχοντος· ἄτοπον γὰρ κἀκεῖνο λέγουσιν· ὥσπερ καὶ τὸ ἀνυπονόητον, οἷον ὃ μὴ ἔστι
τοπάσαι· ἀλλ' ἔτι περιέχει καὶ τὸ ξένον, καὶ παράδοξον, καὶ θαυμάσιον, καί γε
κα. καὶ τὸ παράλογον. Ἐπὶ τούτοις καὶ τὸ ἀρνύμενον πρός τε τὸ καταλλαττόμενον ἀπο-
δίδοται, καὶ τὸ περιποιούμενον· περιλαμβάνοιτο δ' ἂν ὑπὸ τῆς αὐτῆς φωνῆς καὶ ὁ
κβ. φυλάττων (a). Οὐδὲ τὸ ἀεὶ δὲ περιπτίσσεται τὸ ἀμέριστον, ἀλλὰ καὶ εἰς ἐναντίας ἀπο-
σχίζεται μερίδας· σημαίνει μὲν γὰρ τὸ διαπαντὸς, ὃ καὶ πάντες ἴσασι· σημαίνει
δὲ καὶ τὸ ἀντικείμενον, οἷον τὸ ἕως τινὸς, καὶ μέχρι τινός. Καὶ αὐτὸ δέ γε τὸ
κγ. ἕως, ποτὲ μὲν ὡρισμένον χρόνον περιγράφει· ποτὲ δὲ τὴν περιγραφὴν ἀπαρτούμε-
κδ. νον, ἐᾷ τὸν χρόνον πρὸς τὸ ἀόριστον παρατείνεσθαι. Καὶ μὴν καὶ τὸ ἄντικρυς ἀπο-
φύεται τότε διαμπερὲς, καὶ εὐθὺ, καὶ ἐπ' εὐθείας, καὶ τὸ ἰσχυρῶς, καὶ σοφῶς,
καὶ τὸ ἰθύς· ἀλλὰ καὶ τὸ ἁπλῶς καὶ ἀκριβῶς. Εἰ δὲ τὸ τελευταῖον ἀποβάλλει
σύμφωνον, τῆς ἀρχῆς τὸν τόνον τοῦ τέλους ἀναλαμβάνοντος, καὶ τὸ κατέναντι,
κε. καὶ ἐξεναντίας ἀναβλαστάνει. Οὐχ ὁρᾷς δὲ καὶ τὸ ἄρα; οὐ λέγω δὲ ὃ τόνον
τὸ διατέμνει, καὶ εἰς δύο μέρη περιΐστησιν, ἀλλ' ὃ κατὰ τὴν αὐτὴν προσῳδίαν
ῥυθμίζεται, καὶ πρὸς τὸ διαπορούμενον διαστέλλεται· σημαίνει μὲν σύνδεσμον τὸν
συλλογιστικόν· σημαίνει δὲ καὶ τὸν δὴ τόνον παραπληρωματικόν· παραλαμβάνεται
κϛ. δὲ καὶ ἀντὶ τοῦ ὡς ἔοικε καὶ ὡς φαίνεται. Ἐπισκόπει δὲ καὶ τὸ ἀτεχνῶς περι-
σπώμενον, ὅσαις διανοίαις ὑποτέμνεται· τῇ τε γὰρ σημασίᾳ τοῦ ἀληθῶς καὶ τῇ
τοῦ ἁπλῶς καὶ τελείως καὶ ἀδόλως, καὶ μὴν καὶ τῇ τοῦ ἰσχυροῦ καὶ καθάπαξ,
κζ. προέρχεται πληθυνόμενον. Εὕροις δ' ἂν καὶ τὸ ἅττα διαφόρως προαγόμενον· νῦν
μὲν γὰρ τὸ ἅτινα, νῦν δὲ τὸ τινά· ἄλλοτε δὲ τὸ ἃ ἄν· καὶ ἄλλοτε τὸ πο-

19. ne ab adesdum quidem abhorret. Adde his γενναῖον, quod cognatum sonat, et bo-
20. num, et nobilem, et strenuum aeque. Similiter cernis ἄτοπον non solum coargue-
re pravum et improbum, sed etiam quod alienum loco est; nam et hoc ἄτοπον di-
citur; sicuti etiam non provisum, ceu de quo suspicari non licuit: tum vero va-
21. let etiam peregrinum, inopinum, mirum, et rationi non consentaneum. Insuper ἀρ-
νύμενον de permutato dicitur et de acquisito: sub eadem vero voce concludere li-
22. cet etiam φυλάττων. Sed neque ἀεὶ non vult dividi; quin immo in contrarias scin-
ditur partes: valet enim, quod omnes sciunt, semper: et tamen contrarium quoque
23. denotat, id est usque ad certum tempus et quadantenus. Tum et ἕως quandoque
definitum tempus circumscribit: quandoque terminos indignatus, sinit tempus in in-
24. finitum extendi. Manant ex ἄντικρυς continuo directim, recta via, valide, sapienter,
aperte; nec non simpliciter et accurate. Quod si extremam reiiciat consonam, at-
que accentus ab initio ad finem traiiciatur (ἀντικρὺ) tum ex se gignit e regione
25. et ex adverso. Viden etiam vocabulum ἄρα? non illud aio quod accentum distrahit
atque in duas extendit partes, verum id quod eadem prosodia metimur, et quod a
dubitativo distinguitur. Hoc itaque significat coniunctionem syllogisticam: exprimit
etiam intensionem quandam expletivam: sumitur denique loco dictionis ut vide-
26. tur, ut apparet. Considera etiam ἀτεχνῶς circumflexum quot in sensus subdividatur.
Significat enim vere, simpliciter, perfecte, sincere; immo et valide et omnino.
27. Ἅττα quoque varie explicatum invenies: modo enim scribitur pro quae, modo pro
quae quidem; modo etiam pro aliquando, atque in similes abit significatus. Prae-

(a) Odyss. I. 6.

τὸ σημαίνειν ἐθέλοι, καὶ εἰς τοσαῦτα καταμερίζεσθαι. Ἐπὶ δὲ τοῖς εἰρημένοις καὶ
κη. ὁ σοφὸς τοῦτο δὴ τὸ πρόχειρον, σημαίνει μὲν τὸν μετεσχηκότα σοφίας τινός· ἰδίως
δὲ καὶ τὸν λογικαῖς τέχναις προσανακείμενον· ἔπειτα δὲ καὶ τὸν συνέσει τῶν
ἄλλων προέχοντα· ἐφ' οἷς καὶ ὃν ἀρεταὶ κοσμεῖν ἴσασιν· ἀλλά γε δὴ καὶ τὸν
ἐπιτήδειον· καὶ πρὸς ὅ τι ἂν ὁρμήσῃ, θεωρούμενον ἕτοιμον· ἐξ οὗ καὶ φασὶ σο-
φὸς ἦν τοῦ κακοποιῆσαι, καὶ σοφὸς ἀρετὴν μετελθεῖν. Συνταγείη δ' ἂν οὐκ ἀπεικό-
κθ. τως τούτοις καὶ τὸ θεσπέσιον· καὶ γὰρ καὶ τοῦτο σημαίνει μὲν τὸ θεῖον· σημαίνει
λ. δὲ καὶ τὸ πρᾶον, ἀλλὰ καὶ τὸ θαυμάσιον καὶ τὸ πολύ. Καὶ τὸ κομιδῇ δὲ εἴς
τε τὸ λίαν διαιρεῖται καὶ εἰς τὸ παντελῶς καὶ εἰλικρινῶς, ὁλοσχερῶς τε δὴ καὶ τε-
λα. λείως. Ἀλλὰ καὶ τὸ τέως διαφόρους διανοίας περιέχει· καὶ γὰρ τάττεται μὲν καὶ
ἐπὶ τοῦ τέως· τάττεται δὲ καὶ ἐπὶ τοῦ πρίν· ἀλλὰ καὶ ἐπὶ τοῦ ἕως τινός· δηλοῖ δὲ
λβ. καὶ τὸ ἐπὶ τοσοῦτον. Καὶ ὁ ἀλάστωρ δὲ σημαίνει μὲν ἁπλῶς τὸν κακοῦργον· ση-
μαίνει δὲ καὶ τὸν αὐτοχειρίᾳ φόνον εἰργασμένον· ἀλλά γε δὴ καὶ τὸν ἐπεξιόντα
τούτοις ὡς τὰ ἄλαστα ἐπισκοποῦντες, καὶ τοὺς εἰργασμένους εἰσπράττοντα δίκας.
λγ. ἔνθεν παρ' αὐτοῖς καὶ ὁ Ζεὺς ἀλάστωρ. Εὕροις δ' ἂν καὶ τὸ πύον εἰς πέντε διαι-
ρούμενον σημαινόμενα· εἴς τε τὰς πρὸ τοῦ γάλακτος ῥανίδας τῶν θηλῶν ἀποθλι-
βομένας· καὶ εἰς αὐτὸ τὸ γάλα· καὶ μὴν καὶ εἰς τὸ μεταβεβληκὸς αἷμα· καὶ δὴ
καὶ εἰς τὸ γαλακτῶδες ὑγρόν, ὅπερ καὶ ὀῤῥὸν καλοῦσι· τινὲς δὲ πύον καλοῦσι
λδ. καὶ τὸ νέον τῷ χθεσινῷ συνεψηθὲν γάλα. Οἶδε δὲ καὶ τὸ εἶεν διάφορα σημαίνειν·
καὶ γὰρ παραλαμβάνεται μὲν ὡς ἀρχὴ λόγου· παραλαμβάνεται δὲ καὶ ἐπὶ κα-
τανεύσεώς τε καὶ συγκαταθέσεως· οἱ δὲ συλλαμβάνοντες ἄμφω τὰ εἰρημένα, συγ-
κατάθεσίν τε δηλοῦν αὐτὸ βούλονται τῶν ἐν τῷ λόγῳ προειρημένων, καὶ ἀρχὴν
τῶν μελλόντων εἰρῆσθαι· ἀλλὰ καὶ ἀντὶ τοῦ ἄγε δὴ τῇ φωνῇ κέχρηνται· τοῖς δὲ
παραλαμβάνεται καὶ κατὰ τοῦ ἐπαΐω καὶ συνίημι· Καὶ πολύστιχον ἄν τις ἀπαρτίσῃ

28. ter hactenus dicta, hoc quoque notissimum vocabulum σοφός, designat quidem eum
qui aliqua sapientia praeditus est : peculiariter tamen qui logicis doctrinis dat ope-
ram : item qui prudentia ceteris antecellit : item virtutibus exornatum : item rebus
gerendis idoneum, et qui ad consequendum propositum bene instructus videtur :
unde et illud effatum, sciens erat et male faciendi, et aeque virtutem exercendi.
29. Cum his non absurde coacervabitur etiam θεσπέσιον, quod explicatur divinum, item-
30. que mite et mirificum et copiosum. Iam et κομιδῇ dividitur in valde, et prorsus,
31. et manifeste, et universim, et perfecte. Τέως quoque complures significatus com-
plectitur : nam ponitur pro interim, et pro prius, et pro usque dum, et pro in
32. tantum. Atque ἀλάστωρ significat quidem simpliciter maleficum ; sed tamen significat
etiam qui manu propria caedem facit : insuper et eum qui huiusmodi scelestos per-
sequitur, nempe qui in maleficia animadvertit, poenasque a reis reposcit : unde etiam
33. Iupiter ab ethnicis dictus ἀλάστωρ. Πύον quoque senties in quinque significatus abire:
nempe significat stillas papillarum ante lac expressas, lac ipsum, tum et sanguinem
corruptum, tum denique subviridem humorem lacteum quod serum vocant. Immo non-
34. nulli πύον appellant novum lac cum hesterno concoctum. Verbum quoque εἶεν di-
versa significare solet : nam et initium orationis est ; et ad concessionem consensum-
que adhibetur. Nonnulli vero utrumque amplectentes praedictum significatum, voce
hac et adprobationem ante dictorum in sermone demonstrari aiunt, et initium mox
dicendorum. Utuntur hac voce etiam pro age vero. Quidam denique accipiunt et-
iam pro audio et pro intelligo. Amplum conficere liceret volumen, non dico ob

βίβλον, οὐκ ἐὰν ποθὲν τὰς πολυσήμους φωνὰς ἁπάσας περιλαβεῖν ἐθελήσει· ἐρ- A
γῶδές τε γὰρ τοῦτο καὶ πλησίον τῶν ἀνεφίκτων· ἀλλ' ἐάν τις ἓν συναγαγεῖν βου-
ληθείη τὰς ἐπὶ πλέον τῶν ἄλλων συνήθεις, καὶ τοῖς λόγοις μᾶλλον ἐπιπολαζού-
σας· οἷα δὴ καὶ ἡμῖν ἐπράχθη τὴν τῶν μειρακίων ἡλικίαν ὡς καὶ αὐτὸς οἶσθα πα-
ραλλάττουσι (1)· νυνὶ δὲ καὶ ὅσαι εἴρηνται, τὴν χρείαν αὐτάρκη παρέχονται· καὶ
οὐδ' ἐπὶ τοσοῦτον ἂν ὁ περὶ αὐτῶν προῆλθε λόγος· φίλον γὰρ ἀεί μοι διευλα- B
βεῖσθαι τὸ ἀπειρόκαλον· εἰ μὴ πολλάκις περὶ ἐνίας τῶν διευκρινηθέντων λέξεων
πολλοὺς οἶδα συζητοῦντας καὶ σπουδὴν εἰς μάθησιν συνεισάγοντας.

β. Ἀλλὰ γὰρ τοσαύτης ἀφθονίας εὑρισκομένης τῶν πολυσήμων ἐν τοῖς τῶν
ἀρχαίων συντάγμασιν, ὧν ὁ βίος εἴπερ τι ἄλλο λογάδων λέξεων ἡ σοφία, τί
κωλύει καὶ ταῖς ἡμετέραις ἱερολογίαις, αἷς τῶν σωτηρίων ἔργων σκοπὸς ἡ διδασκα- C
λία καὶ ἡ παραίνεσις, διαφόρων ὑποκειμένων σήμαντρα παραλαμβάνειν ὀνόματα·
διὸ καὶ τὸ ἀπεκρίθη, ὅπερ σε πολλάκις εἰς ἀμφιβολίαν ἔφης ἐμβαλεῖν· ἵνα νῦν
ἐάσω τὸ διεχωρίσθη· καὶ ὃ μάλιστα παῖδες ἰατρῶν ἴσασι τὸ διεφορήθη τε, καὶ
ἐξεκρίθη, καὶ ἐξεχύθη, καὶ εἰς τοῦτο κατέληξεν· ἀλλ' ἐφ' ὧν γε συνήθης ἐστὶ τῶν θεο-
σόφων ἡ χρῆσις λογίων, σημαίνει μὲν τὸ ἀπεκρίθη, καὶ ἣν οὐδεὶς ἀγνοεῖ διάνοιαν, D
ἥτις καὶ πρὸς τὴν ἐρώτησιν ἀποδίδοται· πολλάκις δὲ καὶ παραπληρώματος ἐπέχει
τάξιν· ἄλλοτε δὲ καὶ ἀρχὴν ἀναπληροῖ λόγου· ναὶ δὴ καὶ τὸ διαδέξασθαι τὸν
προῤῥηθέντα λόγον ὑποβάλλεται· καὶ μὴν καὶ τὸ ἱκέτευσε καὶ ἐδέησε, εὕροις δ' ἂν
σημαῖνον, καὶ τὸ ἠρώτησε· μαρτύρια δὲ τοῦ μὲν παρὰ πᾶσιν ἐγνωσμένου, πολλά τέ
Matth. XVI.16. ἐστι καὶ λαβεῖν πρόχειρον, οἷον· ἀποκριθεὶς Σίμων Πέτρος εἶπε· σὺ εἶ ὁ χριστὸς ὁ E
υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· καὶ γὰρ πρὸς τὴν δεσποτικὴν ἐρώτησιν τὴν προλαβοῦσαν,

coacervandas undique varii significatus voces (nam id operosum et prope impossibile) sed siquis vel usitatiores tantummodo congerere vellet, et quae in sermonem frequentius incurrunt: cuiusmodi opus a me ipso confectum fuit, ut scis, quo tempore e pueris excedebam. Nunc tamen quae hactenus dixi, rei praesenti abunde sufficiunt. Immo ne tamdiu quidem sermonem produxissem (nam mihi ab insolentia cavendi mos perpetuus fuit) nisi saepenumero animadvertissem circa nonnullas ceteroqui probe exploratas voces, multos adhuc disputare, studiumque ad eas cognoscendas conferre.

2. Age vero quum tanta sit significationum variarum copia in scriptis veterum, quorum vitae curriculum in scientia praecipue deligendorum verborum consumptum fuit; quid ni nostrae quoque scripturae sacrae, quarum tamen finis est salutarium operum magisterium et suasio, quid ni, inquam, verba notionibus aliis atque aliis praedita complectantur? Quare et ἀπεκρίθη, quod tibi vocabulum saepe dubitationem iniecisse ais (ut nunc omittam significantiam separatum est; et quas medici apprime callent, sudoribus digestum, et excretum, et vasis effusum, et in hoc desivit) pro divinarum, inquam, litterarum usu ἀπεκρίθη significat id, quod nemo nescit, responsum ad interrogationem. Saepe etiam expletivum vocabulum est: interdum sermonis exordium est: tum etiam denotat eorum quae dicta fuerunt admissionem: item oravit, deprecatus est: tum denique interrogavit quoque significare comperies. Iam eius significatus, quem omnes norunt, multa atque obvia testimonia sunt. Veluti, respondens Simon Petrus ait, tu es Christus filius Dei vivi.

(1) Hinc cognoscimus qua aetate lexicon suum confecerit Photius: quo perutili opere his demum annis in Germania vulgato, ego carebam incommodissime atque aegerrime dum has Photii quaestiones interpretabar.

A ὑμεῖς δὲ τίνα με λέγετε εἶναι, τὴν αὐτῷ γνώμην ὁ κορυφαῖος ϗ τῶν συμμαθητῶν ἀποδίδωσι· ϗ ἐν τῷ ἀπεκρίθη δὲ λέγων αὐτοῖς, ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι, ἡ αὐτὴ καθορᾶται γνώμη· τοῖς γὰρ ἐρωτήσασιν ὄχλοις ὅθεν καρπώσονται τὴν σωτηρίαν, ὑποδείκνυσιν· ὥσπερ ϗ τὸ ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων· ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε· Luc. III. 11. Math. III. 11.

B εἰς γὰρ τὴν αὐτὴν ϗ τοῦτο χρείαν ἀναφέρεται· καὶ μυρία ἄλλα. Τὸ δὲ ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν, ἐξομολογοῦμαί σοι πάτερ κύριε τοῦ οὐρανοῦ ϗ τῆς γῆς, δῆλον ὅτι τῆς μὲν προειρημένης ἐννοίας διέστηκεν, ἀρχῆς δὲ χώραν ἐπέχει· οὔτε γὰρ ἐρώτησις προηγήσατο, ἀλλ' οὐδέ τινα λέγοντα διεδέξατο· ἀλλ' αὐτὸς ὁ Ἰησοῦς ἀρχὴν ἐμβαλὼν τῷ λόγῳ, τὴν εὐχαριστίαν τῷ πατρὶ Math. XI. 26.

C προσηνέγκατο· ὡσαύτως ϗ τὸ ἀποκριθεὶς ὁ ἀρχισυνάγωγος ἀγανακτῶν ὅτι τῷ σαββάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς· καὶ δὴ καὶ τὸ ἀποκριθεὶς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ ζῶντος, εἰπὲ ἡμῖν εἰ σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ· ἀρχὴν δ' ἂν ἐπέχοι λόγου καὶ τὸ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν ὃς ἐὰν δέξηται ὑμᾶς ἐπὶ τῷ ἐμῷ ὀνόματι, ἐμὲ δέχεται· καὶ ὃς ἂν ἐμὲ δέξηται, οὐκ ἐμὲ Luc. XIII. 14. Math. XXVI. 63. Marc. VIIII. 36.

D δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με.

γ. Ἐν μέν τοι γε, ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ, ὦ γύναι, μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις, εἰς οὐδέτερον μὲν ἀναφέρεται τῶν εἰρημένων, διαδοχὴν δὲ λόγου συνεισάγει· τῆς γὰρ χαναανίτιδος ἐλεεινολογουμένης μὲν τὸ τῆς θυγατρὸς πάθος, τὴν θεραπείαν δὲ αἰτουμένης· καὶ πρὸς τὴν ἀποτρέπουσαν Math. XV. 28.

E τὴν σπουδὴν αὐτῆς ὕβριν εὐγνωμονούσης ϗ λεγούσης, ναὶ κύριε, ϗ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν, ἐπάγεται κατὰ διαδοχὴν ἐκεῖνον τὸν λόγον· τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ· μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις· δῆλον γὰρ ὅτι τοὺς τῆς εὐγνωμοσύνης καὶ δεήσεως λόγους

Nam dominicae interrogationi quae praecesserat, vos autem quem me esse dicitis, suam et condiscipulorum sententiam princeps subdidit. Item in ea locutione: respondit dicens, qui habet duas tunicas, impertiat illi qui caret; idem sensus cognoscitur: erudit enim turbas, quae eum rogaverant quonam pacto salutem consequerentur. Sicuti etiam: respondit eis Iohannes dicens, ego aqua baptizo; medius autem vestrum est, quem vos nescitis. Namque verbum respondit eundem usum et hoc loco conservat. Sexcenta alia eiusmodi sunt. Sed enim locutionem: illo tempore respondens Iesus dixit, confiteor tibi pater caeli et terrae; hanc inquam constat a praecedente sententia discretam esse, atque initii locum tenere. Nam neque interrogatio praecesserat, neque cuiquam loquenti subiungebatur; verum ipse Iesus sermonem exordiens gratias patri egit. Simile est etiam: respondens archisynagogus, stomachans quod sabbato medicinam fecisset Iesus. Item: respondens pontifex dixit ei, adiuro te per Deum vivum, dic nobis num tu sis Christus Dei filius. Rursus sermonis initium continent verba haec: respondens Iesus dixit; qui receperit vos in nomine meo, me recipit. Et, qui me recipit, non me recipit, sed eum qui misit me.

3. Porro autem verba illa: respondens Iesus dixit illi, o mulier, magna est fides tua; fiat tibi ut vis; ad nullum praedictorum usuum referuntur, sed praecedentis sermonis admissionem sistunt. Nam quum Chananitis miserabiliter exposuisset filiae suae morbum, medelamque petisset; quumque eadem asperiorem precum suarum repulsam clementer excepisset, dixissetque, utique Domine etiam catelli herilis mensae reliquiis vescuntur; hac admissa oratione subditur: tunc respondens Iesus ait illi; magna fides tua; fiat tibi ut vis. Constat enim Iesum bonae supplicisque feminae oratione admissa, fidem eius laude mactavisse medelamque lar-

*

δεξάμενος ὁ Ἰησοῦς τὴν πίστιν αὐτῆς ἐμεγάλυνε, καὶ τὴν θεραπείαν παρέσχετο· εἰς A
Matth. XVI.17. τὴν αὐτὴν δὲ διάνοιαν ἀφορᾷ καὶ τὸ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ· μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι· διαδεξάμενος γὰρ τῷ λόγῳ τὴν ἀνακηρύξασαν αὐτὸν ὁμολογίαν χριστόν τε καὶ υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος, ὑπολαβὼν (1) ἐπιφέρει τὸν μακαρισμόν· τῆς αὐτῆς δ' ἂν εἴη συστοιχίας καὶ τὸ,
Marc. VIIII.37. ἀπεκρίθη δὲ αὐτῷ ὁ Ἰωάννης λέγων· διδάσκαλε εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου B
ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ ἡμῖν· καὶ πολλὰ τοιαῦτα. Ἡ δὲ κατὰ τὴν μεταμόρφωσιν τῆς θεοφανείας ἱστορία τὸν Μωϋσῆν καὶ τὸν Ἠλίαν παράγουσα συλλαλοῦντας τῷ δεσπότῃ, καθ' ἣν καὶ ὁ Πέτρος ἐδεῖτο γενέσθαι αὐτοῖς σκηνὰς
Matth. XVII.4. τρεῖς· ἐν τῷ ἀποκριθεὶς ὁ Πέτρος, τὴν ἱκεσίαν καὶ τὴν δέησιν σημαίνει· ὥσπερ πά-
Matth. XIIII.28. λιν καὶ τὸ, ἀποκριθεὶς ὁ Πέτρος εἶπε· κύριε, εἰ σὺ εἶ, κέλευσόν με ἐλθεῖν πρὸς C
σὲ ἐπὶ τὰ ὕδατα· καὶ γὰρ τῆς δειλιώσης γνώμης τοὺς μαθητὰς ἀπάγοντος τοῦ Ἰησοῦ καὶ λέγοντος, θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε, δραξάμενος ὁ Πέτρος ἀφορμῆς εἰς ἱκεσίαν αὐτὸν καθιστώσης, κύριε εἰ σὺ εἶ φησὶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα· δῆλον γὰρ ὅτι τὸ ἀποκριθεὶς ἐνταῦθα ἱκεσίαν καὶ δέησιν
Matth. XIII.36. σημαίνει· ὥσπερ καὶ ἐν οἷς τὰ λόγια φησὶ, ἀποκριθεὶς ὁ Πέτρος εἶπε, φράσον ἡμῖν D
τὴν παραβολὴν ταύτην· καὶ γὰρ καὶ τοῦτο χρείαν ἱκεσίας καὶ δεήσεως ἐμφαίνει. Τισὶ δ' ἂν οὐκ ἂν γίνοιτο δῆλον ὡς τὸ ἀπεκρίθη ἔσθ' ὅτε καὶ ἀντὶ τοῦ ἀπεδέξατο καὶ συγκατέθετο τίθεται; τοῦ γὰρ σωτῆρος ἡμῶν τὰς ἐν τῷ νόμῳ δύο πρώτας ἐντολὰς ἀπηγγελκότος, καὶ τοῦ γραμματέως συμφωνήσαντός τε καὶ τῇ τοῦ δεσπότου συγκατεθεμένου κρίσει, ἐπάγει ὁ εὐαγγελιστής· καὶ ὁ Ἰησοῦς ἰδὼν αὐτὸν ὅτι E
Marc. XII.34. νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ· οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ θεοῦ· καὶ γὰρ εὔδηλον ὡς τὴν ὁμολογίαν καὶ συγκατάθεσιν τοῦ γραμματέως διὰ τοῦ ἀπεκρίθη τὰ λόγια παρεδήλωσε.

gitum esse. Eiusdem sententiae sunt etiam haec: respondens Iesus dixit illi; beatus es Simon fili Ionae, quia caro et sanguis non revelavit tibi. Namque his verbis Petri confessionem admittens, qua eum et Christum et Dei viventis filium praedicaverat, beatum illum vicissim edicit. Eiusdem generis est: respondit ei Iohannes dicens; magister vidimus quendam in nomine tuo daemonia eiicientem, qui in comitatu nostro non est. Et multa huiusmodi. Iam in divinae transfigurationis historia, in qua Moses atque Helias cum Domino loquentes sistuntur, quo tempore Petrus rogabat ut his tria tabernacula fierent, verbis illis *respondens Petrus* rogatio et preces significantur. Rursus illis similiter: respondens Petrus dixit, si tu es Domine, iube me ad te venire super aquas. Nam quum Iesus a timiditate consilii discipulos revocaret, diceretque, bono animo estote; ego sum, nolite timere; Petrus hinc captata obsecrandi occasione; Domine si tu, inquit, es, iube me ad te venire super aquas. Satis enim patet verbo respondens denotari hoc loco preces atque obsecrationem. Sicuti etiam ubi scriptura ait: respondens Petrus dixit, edissere nobis parabolam hanc: nam id etiam precum ac postulationis vice fungitur. Cui vero non est exploratum, vocabulum respondit usurpari etiam pro annuit et assensus est? Nam quum servator duo praecipua legis praecepta proposuisset, scriba autem in hanc sententiam pedibus iret, Dominique iudicium confirmaret; prudente Iesus responso cognito, ait illi: non magnopere abes a regno Dei. Hinc prorsus patet, verbo illo respondit designari a sacris litteris deditionem animi scribae atque consensum.

(1) Vocabulum ὑπολαβὼν pro *respondens* late illustrat Wetstenius ad Luc. X. 30.

A δ. Παρέλκοντος δ' ἂν εἴη δηλωτικὸν, ὁπηνίκα ὁ ἀρχισυνάγωγος ἀσθενοῦσαν
ἐπιθανάτιον τὴν θυγατέρα καταλιπὼν, τὸν Ἰησοῦν μὲν ἐδεῖτο σωτῆρα γενέσθαι
παραγενόμενον τῆς παιδός· ἐν δὲ τούτῳ τῆς φήμης αὐτῷ τὸν θάνατον ἀπαγγε-
λούσης, ἐπάγει ὁ εὐαγγελιστὴς, ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ, μὴ φο- Marc. V. 36.
βοῦ, μόνον πίστευε· ἐμφανὲς γὰρ ὡς εἰ καὶ μηδαμῶς παρεντεθείη τὸ ἀπεκρίθη,
B οὐδὲν ἔλαττον τὸ ὑπόλειπον τοῦ λόγου τὴν αὐτὴν παρίστησι διάνοιαν· τοιοῦτον δὲ
καὶ τὸ, ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ· εἰ πάντες σκανδαλισθήσονται ἐν σοὶ, Matth. XXVI. 33.
ἐγὼ δὲ οὐδέποτε· ὅτι μέν τοι παρέλκον ἐστὶν ἐνταῦθα τὸ ἀποκριθεὶς, καὶ ὁ
εὐαγγελιστὴς Μάρκος ἐκδιδάσκει μάλιστα· καὶ γὰρ αὐτὸ τοῦτο διερχόμενος τὸ χω-
ρίον ὑπὲρ, ὃ Ματθαῖος σὺν τῷ ἀπεκρίθη διηγήσατο, αὐτὸς οὐδὲν ὅλως τῆς φω-
C νῆς δεηθεὶς, ὁ δὲ Πέτρος ἔφη αὐτῷ· εἰ πάντες σκανδαλισθήσονται, ἀλλ' οὐκ Marc. XIIII. 29.
ἐγώ. οὕτω δὲ σαφῶς ἐπιδείκνυται παρέλκον καὶ ἐν τῇ κατὰ τὸν Πιλάτον ἱστορίᾳ,
ὅτε τὸν Ἰησοῦν ἐπεχείρει τῆς τῶν ἰουδαίων ἀπολύειν μιαιφονίας· ἑκατέρου γὰρ τῶν
δύο εὐαγγελιστῶν μετὰ τοῦ ἀποκριθεὶς τὴν τοῦ λόγου σύνταξιν προσενεγκαμένου, ὁ
θεόσοφος Λουκᾶς τὴν αὐτὴν ἀναγράφων πρᾶξιν, οὐδόλως χρησάμενος τῷ ἀπο-
D κριθεὶς, ἔδειξε τοὺς ἄλλους κατὰ τὸ παρέλκον χρησαμένους τῇ φωνῇ· ἔφη γάρ·
πάλιν οὖν ὁ Πιλάτος προσεφώνησε θέλων ἀπολῦσαι τὸν Ἰησοῦν· καὶ πολλὰ ἂν εἴη Luc. XXIII. 20.
τοιαῦτα· ἡμῖν δὲ οὐ συλλέγειν ἐστὶ πλῆθος μαρτυριῶν σκοπὸς, ἀλλὰ παραδείγ- Matth. XXVII. 21.
ματι μόνον ἐνδείξασθαι, κἂν τῷ ἑνὶ περιγράφοιτο, τοῦ σημαινομένου κατάδηλον
τὴν διάνοιαν· ἐπεὶ καὶ τὸ ῥηθὲν μετὰ τὴν θεραπείαν τῆς συγκυπτούσης γυναικὸς, Marc. XV. 12.
E ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος ἀγανακτῶν, εἴ τις περιέλοι τὸ ἀποκριθεὶς, τὸ Luc. XIII. 14.
ἄλλο μέρος τῆς φράσεως ἀκήρατον τὴν αὐτὴν ἀναπτύσσει διάνοιαν· οὕτω μὲν οἶμαι
σαφῶς ἐπιδέδεικται ἀρχῆς τε λόγον πολλάκις ἐπέχειν τὸ ἀποκριθεὶς, καὶ δια-

4. Insuper etiam redundans vox est *respondit*, veluti cum archisynagogus, qui reliquerat filiam mortali morbo conflictantem, Iesum rogabat ut puellam morte ereptum iret. Quum vero interim fama ad parentem esset allata de illius obitu, subdit evangelista: audita re Iesus respondit illi: ne timeas, tantummodo crede. Constat enim, etiamsi verbum respondit minime fuisset interpositum, nihilominus reliqui sermonis eandem fore sententiam. Tale est et illud: respondens Petrus dixit ei; etiamsi omnes in te scandalizati fuerint, ego tamen haudquaquam. Sane quod heic vox *respondit* redundet, Marcus apprime evangelista docet: namque in eandem narratione versans, in qua Matthaeus verbo *respondit* utitur, ipse huius vocis subsidio non invocato sic scribit: Petrus autem dixit ei, etsi omnes scandalizati fuerint, non tamen ego. Sic aperte demonstratur redundare hoc verbum in historia quoque rerum coram Pilato gestarum, quo tempore hic Iesum Iudaeorum caedi subducere nitebatur. Nam duobus evangelistis non sine verbo *respondit* orationem suam construentibus, divus tamen Lucas eundem actum conscribens, neque omnino verbo respondit utens, satis demonstravit ceteros redundanter fuisse locutos. Ait quippe Lucas: rursus igitur Pilatus populum adlocutus est, dum Iesum liberare satageret. Permulta sane eiusmodi erunt: sed enim nobis non est propositum multitudinem testimoniorum colligere, verum exemplo tantummodo, etiamsi id unum esset, significatus huius veritatem palam facere. Sane et ab ea locutione, quae curationem inclinatae mulieris consecuta est, respondens autem archisynagogus cum stomacho, siquis verbum *respondens* subtrahat, reliqua sermonis pars integram adhuc retinebit sententiam suam. Atque ita perspicue demonstratum existimo, verbum *res-*

δοχὴν ἡγησαμένων ῥημάτων, ϗ παρέλκοντος τόπον ἔχειν, ϗ ἱκεσίας ἀναπληροῦν A
χρείαν.

ε. Ὅτι δὲ καὶ τὴν ἐρώτησιν ὑπέρχεται, ἡ τοῦ κορυφαίου Πέτρου παρίστησιν
ἐναργῶς φωνή· τὸ γὰρ κατὰ τὸν Ἀνανίαν ϗ Σάπφειραν πάθος ἀπαγγέλλων ὁ
λόγος, ϗ τῆς ψευδολογίας τὸν εἰσπραχθέντα θάνατον, συνῆψε μὲν, ϗ ἡ γυνὴ
Act.V.8. αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονὸς, εἰσῆλθεν· ἐπάγει δὲ, ϗ ἀπεκρίθη αὐτῇ ὁ Πέτρος· εἰ- B
πέ μοι εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; τί γὰρ ἂν ἕτερον οἰκειότερον εὑρεθείη ὑπὸ
τοῦ ἀπεκρίθη νυνὶ δηλούμενον, ἢ τὸ ἠρώτησεν; ὥσπερ ϗ τὸ ἀπεκρίθησαν οἱ ἰου-
Joh.II. 18. δαῖοι ϗ εἶπον αὐτῷ, τί σημεῖον δεικνύεις ὅτι ταῦτα ποιεῖς; καὶ δὴ ϗ τὸ, ἀπε-
Joh.VI. 71. κρίθη αὐτοῖς ὁ Ἰησοῦς, οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην; φανερὸν γὰρ
ἐπὶ τούτων, ὡς ἑκατέρα λέξις, τὴν τοῦ ἠρώτησε δύναμιν ἔχει· οὐ ταῦτα δὲ μό- C
νον τὸ ἀπεκρίθη σημαίνει, ἀλλ᾽ ἴσθ᾽ ὅτε μὴν καὶ πρὸς οὐδὲν τῶν προφορικῶν ῥη-
μάτων ἐπιφέρεται· πρὸς δὲ τὴν ἐνδομυχοῦσαν τῶν ἀνθρώπων διάνοιαν, ἀπευθύνε-
Luc.VII. 39. ται, ὡς ἐπὶ τοῦ, ἰδὼν δὲ ὁ φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ, οὗτος εἰ
ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρ-
τωλός ἐστιν· ὅρα γὰρ μὴ δὲ μιᾶς ἐρωτήσεως προηγησαμένης, μὴ δ᾽ εἰς ἀρχὴν τοῦ D
ἑξῆς ἀναφερομένου λόγου, μὴ δ᾽ ἄλλό τι τῶν προειρημένων τῆς φράσεως συνησα-
γούσης, ἐπάγει ὁ εὐαγγελιστὴς, καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· Σίμων
ἔχω σοι τί εἰπεῖν· καὶ δι᾽ ἐρωτήσεως προελθὼν, τό τε βλάσφημον τῶν διαλογισ-
μῶν ἐπεῤῥάπισε· καὶ πρὸς τὸ θεοσεβὲς ϗ ἀδίστακτον, ὅσα τε τῇ αὐτοῦ φιλανθρω-
πίᾳ, μετερρύθμισεν· οὐκ ἄδηλον γὰρ ὡς τὸ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐ- E
τὸν, προτασσόμενον τῆς προῤῥηθείσης ἑρμηνείας, πρὸς τὴν ἐν τῷ βάθει τῆς καρ-
δίας κίνησιν τῶν διαλογισμῶν εἴη ἂν ἀποδεδόμενον· ὁμοστοιχεῖ δὲ τῷ ῥηθέντι ϗ
Luc. XIIII.3. τὸ ἀποκριθεὶς ὁ Ἰησοῦς πρὸς τοὺς νομικοὺς, ἐπαγόμενον τῇ κατὰ τὴν διάνοιαν αὐ-

pondens et initii vice saepe fungi, et admittentis praecedentem sermonem, et expletivae quoque dictionis; et denique deprecationi inservire.

5. Quod vero etiam interrogandi vim habeat, evidenter cognoscitur e Petri principis locutione. Nam cum sacra historia Ananiae fata et Sapphirae exponit, poenamque mendacii mortem; mox attexit: et uxor eius eventus nescia supervenit. Tum pergit dicere: responditque ei Petrus; dic mihi utrum tanti agrum vendideritis? Nam quae nunc magis propria excogitari potest significatio verbi respondit, quam interrogavit? Veluti etiam illud: responderunt Iudaei, dixeruntque illi, quodnam signum ostendis, quia haec facis? Item illud: respondit eis Iesus, nonne ego vos duodecim elegi? Lectionem utroque loco vim interrogandi habere exploratum est. Neque eatenus significationes verbi respondit pertingunt; verum id aliquando ad nullum prolatum ore verbum refertur, sed occultis hominum cogitationibus occurrit. Veluti, cernens pharisaeus qui Iesum convivio exceperat, dixit intra se: hic si esset propheta, nosset utique quae quantaque mulier eum attingat; nempe peccatrix. Nunc certe, quamquam nulla interrogatio praecesserit, neque exordium consecutae orationis fiat, neque alii cuipiam e praedictis modis locutio accommodetur, addit evangelista: et respondens Iesus dixit illi: Simon habeo aliquid tibi dicere. Deinde interrogative prosequens, impias hominis cogitationes castigavit, eumque ad pietatem ac fidem pro sua clementia direxit. Neque enim dubitare licet, quin verba *respondens Iesus dixit illi*, eiusdem Iesu quam diximus expositioni praeposita, adversus animi arcanos motus intorqueantur. Paris insuper formae illud est: respondens Iesus legis peritis: quod item perturbatis seditiosisque illorum

A τῶν ταραχῇ καὶ στάσει, ἡνίκα τὸν ὑδρωπικὸν ἔμπροσθεν αὐτῶν ἑστῶτα ἐθεώρουν·
καὶ δέον τῷ πάθει πρὸς ἔλεον μεταβαλέσθαι, οἱ δὲ τῆς ἀπονοίας οὐ μεθίεντο·
τὴν αὐτὴν δ' ἂν παρέχοιτο σημασίαν καὶ τὸ, ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐ- Matth. XXI.
τοῖς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ 21.
τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, μετάβηθι εἰς τὴν θάλασ-
B σαν, μεταβήσεται· καὶ γὰρ ὅσα γε κατὰ τὸ πρόχειρον τῆς συνεπείας, πρὸς τὴν
ἐν τῷ βάθει τῆς καρδίας μελέτην ἀπεδίδοτο ἂν τὸ ἀποκριθεὶς, εἰ μὴ Μάρκος ὁ
θεσπέσιος ἀπαγγέλλων τὸ χωρίον σαφέστερον, εἰς τὴν τοῦ λόγου διαδοχὴν τὴν ση-
μασίαν μεθίστησιν· εἰπὼν γὰρ, καὶ ἀναμνησθεὶς ὁ Πέτρος λέγει αὐτῷ, ῥαββὶ, Marc. XI. 21.
ἴδε ἡ συκῆ ἣν κατηράσω ἐξήρανται, εἰσάγει τὸν Ἰησοῦν διαδεχόμενον τὸν λόγον καὶ
C λέγοντα· ἔχετε πίστιν θεοῦ· ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ
ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλ-
λὰ πιστεύσῃ ὅτι ὃ λαλεῖ γίνεται, ἔσται αὐτῷ ὃ λέγει.

ϛ. Εἰ μέν τοι γε τῶν λογίων ἡ αὐτὴ περικοπὴ μὴ ἐφ' ἑνὸς μόνου τῶν εἰ-
ρημένων ἐπιθεωρηθείη παράδειγμα, ἀλλὰ μεθελκυσθῆναι δύναιτο εἴς τε τὴν ἀπαρ-
D χὴν καὶ τὴν διαδοχὴν τοῦ λόγου, τάχα δὲ καὶ εἰς τὸ παρέλκον, οὐδ' οὕτως τῶν
σημαινομένων ὁ ἀριθμὸς πρὸς τὸ βραχύτερον συσταλήσεται, ἀλλὰ τὴν ἴσως συν-
διασώσει ποσότητα· ἀρκεῖ γὰρ τὸ πλῆθος μὴ καταβιβάζειν, κἂν ἕνια τῶν παρα-
δειγμάτων εὑρεθείη μὴ πρὸς ἕν τι μόνον ἀλλὰ καὶ πρὸς διάφορα τῶν σημαινομέ-
νων ἀναφέρεσθαι δυνάμενα, ἐπειδάν τι τούτων ὅλως εὑρίσκοιτο τὴν τοῦ ἑνὸς σημα-
E σίαν ἐξοικειούμενον. τὸ γὰρ συμπίπτειν πως ἀλλήλοις ἐπ' ἐνίων ῥητῶν τὰ διάφο-
ρα σημαινόμενα, οὐκ ἔστιν αὐτῶν τοῦ πλήθους ἀναίρεσις· ἐπείπερ οὐδὲ ἐξ ὧν συμ-
βαίνουσιν, ἀλλ' ἐξ ὧν παραλλάττουσι, χαρακτηρίζονται· οὐκοῦν ἀπὸ τῆς διαφο-

mentibus oppositum fuit, quo tempore hydropicum coram stantem viderunt: qui quum ad misericordiam flecti deberent, non tamen de sua vesania quicquam remittebant. Eadem videretur significatio dictionis: respondens Iesus dixit illis, amen amen dico vobis, si fidem habueritis neque haesitaveritis, non solum ficus prodigium patrabitis; verum etiam si huic forte monti dixeritis, commigra in mare, commigrabit. Nam quod adtinet ad naturalem sermonis contextum, verbum sane *respondens* referretur ad mentis arcanam cogitationem, nisi divus Marcus qui locum hunc explicatius edisserit, verbi significatum ad sermonis praevii admissionem exprimendam traduceret. Etenim quum dixisset: recordatusque Petrus ait illi; magister, en ficus cui male precatus es exaruit; facit Iesum sermoni huic occurrentem sic: habetote Dei fidem. Amen quippe dico vobis, qui huic monti dixerit, tollere hinc et in mare proiicitor, si modo in corde suo non dubitet, sed id fore, quod ait, credat, fiet ei secundum suam locutionem.

6. Quod si aliquando scripturae sacrae eadem pericope non ad unius e praedictis modis exemplum sumitur, verum et ad initium et ad admissionem sermonis trahi potest, fortasse etiam ad redundantiam: non idcirco tamen significationum numerus arctior fiet, sed quantitatem suam conservabit. Nam ne numero quicquam detrahatur, sufficit (etiamsi aliquot exempla sint, quae non ad unum sed ad varios significatus referri queant) sufficit, inquam, siquod in his omnino exemplum existat, quod unius rei significatum sibi vindicet. Non enim quia nonnullarum vocum variae significationes invicem incurrunt, idcirco perimitur harum numerus: nam neque ideo quia congruunt, sed quia differunt, characterem accipiunt. Ergo

ρᾶς ἕκαστον προσῆκε σκοπεῖν· καὶ τὸ εἶδος φυλάττειν ἀσύγχυτον· ἀλλ᾽ οὐκ ἐξ ὧν A
εἰς κοινωνίαν συνάγονται, τὴν ἐν αὐτοῖς διαφθείρειν ἑτερότητα.

ζ. Οὐ μόνον δὲ τοῦ ἀπεκρίθη διάφοροι σημασίαι ὡς ὁ λόγος ἔδειξεν ἀποφύονται, ἀλλὰ καὶ τὸ ἠρώτησε δύο τινῶν τὸ ἐλάχιστον ὑποκειμένων παρὰ τοῖς ἱεροῖς ἡμῶν λογίοις ἀπαγγέλλει διάνοιαν· ὧν ἡ μὲν καὶ τοῖς ἔξωθεν ἐπιπολάζει, ἡ καὶ τὴν ἀπόκρισιν ἀπαιτεῖν εἴωθεν· ἡ δὲ πόρρωθεν μὲν ταύτης τῆς διανοίας διέστατα· B
σημαίνει δὲ τὸ παρεκάλεσε καὶ ᾐτήσατο· ἥτις οὐκ ἔλαττον τῆς προειρημένης ἐν τοῖς
Act. III. 3. Ioh. IIII. 31. Luc. XIIII. 18. VII. 36. θεοσόφοις χρησμοῖς ἐπιφαίνεται πλεονάζουσα· τὸ γὰρ ἠρώτα ἐλεημοσύνην· καὶ ἠρώτησαν αὐτὸν ῥαββὶ φάγε· καὶ ἐρωτῶ σε ἔχε με παρῃτημένον· καὶ τὸ ἠρώτα τίς αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ᾽ αὐτοῦ· καὶ μυρία ἄλλα τὴν τοῦ ἱκετεύειν καὶ δεῖσθαι οὐδένα λανθάνει τὴν χώραν ἐπέχειν· παραλαμβάνεται δὲ καὶ τὸ ἠρώτη- C
Luc. V. 3. σε καὶ ἀντὶ τοῦ προσέταξεν, ἐνετείλατο, καὶ εἶπεν· ἐμβὰς γάρ φησιν ὁ Ἰησοῦς εἰς ἓν τῶν πλοίων ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον· οὐδὲ γὰρ ἀποκρίσεώς ἐστιν ἀπαίτησις ἡ φωνή· οὐδὲ τὸ παρεκάλεσεν ἐνταῦθα σημαίνει· ἀλλ᾽ ἐπιτάγματος καὶ ἐντολῆς, προβάλλεται χρείαν· καὶ τοῦτο μάλιστα τότε ἡγούμενον τοῦ λόγου καὶ τὸ ἐπαγόμενον παριστᾷ· οὐχ ὅτι μόνον διδασκα- D
λικῷ λόγῳ χρώμενος, καὶ τὸν ὄχλον ἔχων ἡδέως προσέχοντα, καὶ τὴν προσήκουσαν διδασκάλῳ τιμὴν νέμοντα, τοὺς λόγους ὁ σωτὴρ μετ᾽ ἐξουσίας ἐποιεῖτο, ἀλλ᾽ ὅτι καὶ μετ᾽ ὀλίγον παραπλησίᾳ πράξει χρῆσθαι τὸν Σίμωνα κελεύοντος τοῦ Ἰησοῦ, ἀντὶ τοῦ ἠρώτησεν ὁ εὐαγγελιστὴς τὸ εἶπε τῆς ὁμοίας χρείας προτάττει· εἶπε
Luc. V. 6. γάρ φησι πρὸς τὸν Σίμωνα ἐπανάγαγε πρὸς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκ- E
τυα ὑμῶν εἰς ἄγραν· προστακτικὴν γὰρ ἄμφω δύναμιν ἔχει. Ἀλλὰ ταῦτα μὲν ὡς ἐν κεφαλαίῳ καὶ τὴν σὴν οἶμαι χρείαν ἱκανὰ πληρῶσαι· οὐ γὰρ ἄν σε λήσεται μνήμην ἔχοντα τῶν εἰρημένων, ποίαις τῶν ἱερῶν λογίων περιόδοις τίνα τῶν

cuiusque differentia spectanda est, et sua cuique species servanda: non autem idcirco quia alicubi congruunt, diversitas abolenda.

7. Sed enim variae significationes, ut sermo meus hactenus ostendit, non ex uno *respondit* verbo gignuntur: verum etiam verbum *rogavit* duorum saltem significatuum nostris in scripturis sententiam tuetur; quorum alter profanis quoque auctoribus familiaris est, responsionemque elicere solet: alter vero a praedicto vehementer differt; denotat enim precatus est et postulavit. Atque hic significatus haud minus altero in divinis oraculis frequens occurrit. Nam rogavit eleemosynam; et rogavit eum, magister manduca; et rogo te, habe me excusatum; et rogabat eum quidam pharisaeus, ut secum cibum caperet; et plurimis aliis locis, verbo huic notionem precandi subesse neminem latet. Immo vero rogavit sumitur etiam pro imperavit, in mandatis dedit, edixit. Conscensa, ait scriptura, Iesus Simonis navicula, rogavit eum ut a terra paullum subduceret. Etenim id verbum haud heic responsionem poscit; neque oravit significat; sed mandati nutusque vice fungitur. Idque maxime ab his quae hanc locutionem praecedunt et quae subsequuntur, cognoscitur: non solum quia, dum magistrali sermone uteretur, dumque populum avide audientem haberet, sibique ut doctori honores debitos exhibentem, par erat servatorem cum dignitate loqui; sed quia et paulo post, dum simili actione uti Petrum iuberet Iesus, pro *rogavit*, evangelista ponit simili vi *dixit*. Etenim *dixit*, ait, Simoni reduc in altum, atque in praedam retia vestra demittite. Scilicet utrumque verbum rogavit et dixit imperativam vim habent. Sed quae summatim hactenus dixi satis videntur necessitati tuae facere. Profecto enim te non latebit, dictorum huc usque memorem, quis quibusnam sacrae scripturae locis si-

A τοῦ ἀπεκρίθη σημαινομένων ἐφαρμοσθείη· τῶν δ' ἄλλων ῥημάτων οἷς τὰ ἱερὰ γράμματα ἐπὶ διαφόρων πραγμάτων ἐχρήσατο, τὰ μὲν ἤδη λόγῳ περιείληπται, τὰ δὲ τῆς θείας φιλανθρωπίας εὐμενέστερον εἰς ἡμᾶς ὁρώσης τάχα ἂν ὑποβληθήσεται.

QUAESTIO XXIIII.

B

Πῶς θελητός τε καὶ ἀθέλητος τῷ πατρὶ ὁ θάνατος λέγοιτ' ἂν εἶναι τοῦ χριστοῦ· καὶ πῶς πάλιν ὁ αὐτὸς συνέλθοι τῷ πονηρῷ θελητός τε ἅμα εἶναι καὶ ἀθέλητος.

C

α. Ἡ μὲν οὖν ἀπορία γλαφυρωτέρας τινὸς θεωρίας ἀπαιτεῖ καὶ διακρίσεως λόγον· οὐκ ἔστι δ' ἀπρόσδεκτον ἐπικουρίας ἑκάτερον τῶν ἀπορουμένων, ἀξιόλογον ἐπιδειχθῆναι· δεῖ δ' οὖν ἐκεῖνα πρότερον εἰς τὴν ἐνισχύουσαν ῥοπὴν ἀναγαγόντας, οὕτω κατὰ τὴν προσήκουσαν τάξιν καὶ τὴν λύσιν ἐπάγειν πειρᾶσθαι· ἀλ-
D λὰ γὰρ ὅτι μὲν θέλημα τοῦ πατρὸς ἦν ὁ σταυρὸς τοῦ χριστοῦ, αὐτὸς ἡμᾶς ὁ σωτὴρ διδάσκει ἐν τῇ τοῦ θανάτου παραιτήσει λέγων, πλὴν οὐχὶ τὸ ἐμὸν θέλημα, Matth. XXVI.
ἀλλὰ τὸ σὸν γενέσθω· ἡνίκα τὸ πάθος, τῆς ἀνθρωπίνης φύσεως τὴν ἀλήθειαν 39.
ἐπιδεικνὺς, ἀπηύχετό τε καὶ ἀθέλητον ὠνόμαζεν· οὐ μόνον δὲ τότε, ἀλλὰ καὶ ἡνίκα ἐπετίμησε τῷ Πέτρῳ, φρόνημα μὲν τοῦ θεοῦ εἰπὼν τὸν ἑκούσιον θάνατον αὐ-
E τοῦ· φρόνημα δὲ διαβόλου, ᾧ δὴ καὶ ὁ Πέτρος, ἐξ οὗ καὶ τὴν ἐκείνου κλῆσιν Matth. XVI. 23.
κατεδικάζετο, τηνικαῦτα συνυπήγετο, εἰ καὶ μὴ ἐκ τῆς αὐτῆς διαθέσεως· ὁ μὲν γὰρ ἐκ φιλοστοργίας καιρὸν οὐκ ἐχούσης· ὁ δὲ τὴν ἡμῶν ἐξ ὧν ἐκακούργει καὶ ἐνήδρευε σωτηρίαν· ἀλλ' οὖν εἰς ἓν συνέῤῥεον, καί τοι γνώμης ἐκμαχομένης ὁρμη-

gnificatus verbi *respondit* idoneus futurus sit. Cetera autem vocabula, quorum varia significatione sacrae litterae utuntur, partim jam oratione mea comprehensa fuerunt, partim vero, divina nobis clementia mitius respiciente, mox fortasse exponentur.

Quomodo et voluntaria et involuntaria patri mors Christi dici queat fuisse. Et quomodo rursus accidat ut eadem mors diabolo voluntaria simulque involuntaria fuerit.

1. Quaestio haec paulo altioris meditationis atque iudicii orationem postulat. Neque argumenta desunt, quibus utraque dubitatio satis gravis demonstrari potest. Ergo opus est, ut primum dubia haec suis singula momentis corroborata exponamus; deinde ut convenienti ordine ad eorumdem solutionem adgrediamur. Sane quod patris voluntate crucem Christus pertulerit, ipse nos servator certiores facit, dum necem ab se deprecans ait, verumtamen non mea voluntas sed tua fiat: quo tempore scilicet ut humanae naturae veritatem confirmaret, mortem aversabatur sibique involuntariam aiebat. Neque tunc solum, sed etiam cum Petrum increpuit, Dei consilio mortem, quam sponte obiturus erat, decretam ait; diaboli autem molimine tunc prohibitam, itemque a Petro, qui ob id diaboli nomine ad ignominiam notatus fuit. Neque tamen eodem animi instinctu uterque ciebatur; sed intempestiva benivolentia Petrus; salutis nostrae odio ac persequutione diabolus. Ceteroqui reapse eodem confluebant, quamquam diversa mente perciti, nempe ut ne Chri-

μένοι, τὸ μὴ βούλεσθαι παθεῖν· οὗ τὸ πάθος τὰ πάθη τῆς ἀνθρωπίνης ἰάσατο φύσεως· ὁρῶν μὲν γὰρ ὁ τῆς κακίας γενεσιουργὸς τὸ ἀκήρατον ἐκεῖνο καὶ θεοπρεπὲς σῶμα τοῖς φυσικοῖς καὶ ἀδιαβλήτοις ὑποκείμενον πάθεσι, τὴν ἐπιβουλὴν ἐβούλευέ τε, καὶ εἰς ἔργον ἄγειν ἐσπούδαζεν· ὁρῶν δὲ πάλιν διὰ τῶν θεοσημείων τῆς θεϊκῆς ἀξίας τὴν αἴγλην ὑπεραστράπτουσαν, συνεστέλλετό τε καὶ ἀνεδύετο, καὶ πρὸς τὸ θέλειν τε ἅμα καὶ μὴ θέλειν τὸν δεσποτικὸν θάνατον ὑποφερόμενος, τὴν μηχανὴν εἶχεν εἰς ἀμηχανίαν καταστρέφουσαν· ὅμως ἐνίκα τὸ δειλὸν ἡ ἀπόνοια· τῷ γὰρ τῆς μιαιφονίας τεχνίτῃ μᾶλλον αἱρετὸν τὸ σύνηθες, ἢ φοβερὸν ὁ ἐπιφυόμενος φόβος· οὕτω γοῦν ἐμφανῶς τῶν ἱερῶν ἡμῶν λογίων θελητὸν εἶναι τῷ πατρὶ τὸν θάνατον ἀνακηρυττόντων τοῦ υἱοῦ, ἀθέλητον δὲ τῷ πονηρῷ· τὸ γὰρ ὅτι παντὸς αὐτῷ μᾶλλον ὁ διὰ σταυροῦ θάνατος ἠγωνίζετο, λαβεῖν ἐστι C καὶ ἐκ πολλῶν ἄλλων καὶ ἔθεν οὐκ ἄδηλον· καὶ γὰρ τὸ Ἰουδαίων ἔθνος ἐκείνου κακουργεῖν ἀνακινοῦντος, τὸν κατὰ σωτῆρος ἐπαλαμῶντο θάνατον· ἀλλ' ὁμοίως μὲν ἐπίδηλον καὶ ὡς οὐχὶ τῷ πατρὶ τὸ πάθος τοῦ υἱοῦ θελητόν· ἔτι δὲ τοῦ λόγου προϊόντος, ἐπὶ πλέον δηλωθήσεται.

β. Ἐπεὶ οὖν εἰς τάξιν ἤχθη ταῦτα διατυπώσεως, διαλογίζεσθαι προσήκει καὶ σκοπεῖν, ὡς εἰ καὶ περὶ τοῦ αὐτοῦ πράγματος τἀναντία λέγεται, τοῦ δεσποτικοῦ φημὶ θανάτου, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον· ἀλλὰ τὸ μὲν ἐξ αὐτοῦ τοῦ πάθους ὃ πέπονθε λέγεται, τὸ δὲ ἐκ τοῦ ἐκβεβηκότος· τὸ μὲν γὰρ ἐκβεβηκὸς διὰ τοῦ θανάτου, ἡ σωτηρία τοῦ γένους ἐπράχθη τῶν ἀνθρώπων, καὶ τῆς τοῦ διαβόλου τυραννίδος ἡ καθαίρεσις· ὃ δῆλον ὅτι θελητόν τε τῷ πατρὶ καὶ εὐδοκία, E καὶ τῆς αὐτοῦ προνοίας συμπάσης περὶ τὸ ἀνθρώπινον γένος τὸ κεφάλαιον· τοῦτο δὲ πῶς οὐκ εὔδηλον ὅτι καὶ τῷ ἐχθρῷ ἀθέλητόν τε καὶ ἐσχάτη πληγή; τὸ μέν τοι γε

ilus pateretur: cuius passio humanae naturae passionibus medicinam fecit. Nam quum cerneret princeps malitiae auctor inlibatum illud Deoque dignum corpus physicis, quae tamen dedecore omni carebant, passionibus obnoxium, insidias ei moliebatur, easque effectas dare studebat. Rursus in eo observans divinae dignitatis splendorem per prodigia coruscantem, cohibebatur ac pedem referebat: ac modo dominicam volens mortem, modo eandem nolens, a versutia sua ad consilii inopiam transibat. Sed denique timorem vesania superavit. Nam caedium auctorem suus magis mos delectavit, quam timor inde oriens absterruit. Sic igitur evidenter sacrae nostrae scripturae praedicant voluntariam patri mortem filii fuisse, involuntariam autem diabolo. Et tamen quod idem diabolus crucis supplicium indicendum vel apprime curaverit, tum ex aliis coniecturis tum ex hac indubia colligere licet, quia videlicet iudaicam ipse gentem ad facinus concitavit, quo servatoris caedes peracta fuit. Atqui exploratum aeque est, filii passionem praeter patris voluntatem contigisse; id quod progrediente oratione luculentius declarabitur.

2. Age vero quaestionis iam statu proposito, sequitur ut mentis ratiocinio et consideratione noscamus, etiamsi forte circa eandem rem, dominicam nempe mortem, contraria dicantur, haud haec tamen secundum modum eundem dici. Namque unum dicitur, quatenus aerumna est quam Christus patitur; alterum, quatenus fructus paritur; Fructus autem eius necis fuit, salus humani generis reconciliata, diabolique tyrannis deleta. Hinc patet hanc rem fuisse patri placitam ac voluntariam, atque eius totius erga homines providentiae summarium. Quod ni vero et illud perspicuum sit, Christi nimirum obitum ab inimici nostri voluntate alienum fuisse, eique cladem maximam intulisse? Nam filii cae-

A σφαγιασθῆναι τὸν υἱὸν, ὅπερ ἦν ἡ διὰ τοῦ πάθους ποιοῦσα πρᾶξις, καθ' ἑαυτὸ μὲν οὔ τε ἡδὺ τῷ πατρὶ οὔ τε εὐπρόσδεκτον, ἀλλὰ καὶ λίαν ὀργῆς ἄξιον καὶ θυμοῦ· ὥσπερ δὴ τῷ πονηρῷ καταθύμιόν τε καὶ πάντων ἐρασμιώτατον τῶν τερπνῶν· διὸ καὶ ὁ φιλάνθρωπος ἡμῶν σωτὴρ ἐν τύπῳ μεθοδεύων προσευχῆς τὴν ἄφεσιν τῶν ἐξυβρισάντων εἰς αὐτὸν, πάτερ φησὶν ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· Luc. XXIII. 34.
B οὐ γὰρ οἴδασιν τί ποιοῦσιν· οὕτω μὲν ἀθέλητος τοῦ παιδὸς ἡ σφαγὴ τῷ πατρὶ, καὶ πολλὴν τὴν ἀγανάκτησιν ἀνακινοῦσα· ὡς καὶ αὐτῆς δεῖσθαι τῆς δεήσεως τοῦ ἠδικημένου, ἐφ' ᾧ διὰ μετανοίας καθηραμένους, μὴ δοῦναι δίκην τοὺς ἠδικηκότας· καὶ οὐκ ἐναντίον τὸ θέλειν καὶ μὴ θέλειν τὸν θάνατον τοῦ υἱοῦ τὸν πατέρα· τὸ μὲν γὰρ, ἐκ τοῦ ἐκβεβηκότος κατορθώματος· τὸ δὲ, ἐξ αὐτῆς τῆς προκαταρχούσης
C λέγεται πράξεως· καθάπερ γὰρ εἴ τις στρατηγὸς τὸν ἀριστέα βλέπων δεχόμενον τραύματα, καὶ τοῖς τραύμασι τῶν ἐναντίων τὰς παρατάξεις κενοῦντα, καὶ αὐτὸν τὸν ἀρχηγὸν τοῦ πολέμου καταβάλλοντα, χαίρει μὲν οἷς τὸ τρόπαιον κατὰ τῶν ἀντιπάλων ὁ ἀριστεὺς ἵστησι, καὶ τοῖς τραύμασι πρὸς τὸ παράδοξον βλέπων τοῦ κατορθώματος οὐκ ἀλγύνεται· καθ' ἑαυτὰς δὲ τὰς πληγὰς λογοθετῶν, καὶ ταύταις
D ἐπιστρεφόμενος, οὐχ' ἡδέως ὁρᾷ τραυματίαν τὸν τὴν νίκην ἀναδησάμενον· οὕτω δὴ καὶ ὁ πατὴρ, οἷς μὲν ἑώρα τὸν υἱὸν τοῦ ἀνθρωπίνου γένους τὸν πολέμιον ταῖς ἐπὶ τοῦ σώματος πληγαῖς καταβάλλοντα, τῆς θεῷ πρεπούσης εὐφροσύνης ἦν, καὶ ταῖς τοῦ παιδὸς ἀνδραγαθίαις ἐσεμνύνετο· οἷς δ' ὁ φίλτατος τετραυματισμένος ἦν ταῖς πληγαῖς καὶ τοῖς μώλωψι, καθ' ἑαυτό γε εἰς αἵρεσιν οὐκ ἀνέφερε· μᾶλλον δ' ἐν-
E ταῦθα πλέον τὸ τῆς θελήσεως, ἤπερ ἐν τῷ παραδείγματι· ἐκεῖ μὲν γὰρ ἀρχομένων τῶν τραυμάτων, ἐπείπερ ἄδηλος ἦν ἡ νίκη, πικρὸν τὸ θέαμα τῷ στρατηγῷ, τῆς τροπῆς τῶν ἐχθρῶν οὔπω παρούσης, κατεφαίνετο· ἐνταῦθα δὲ ἀπ' αὐτῶν τῶν τραυμάτων, μᾶλλον δὲ καὶ πρὶν τοὺς μιαιφόνους τὸν σωτῆρα τοῖς τραύμα-

des, qui erat naturalis passionis effectus, per se quidem patri neque iucunda erat neque grata, immo indignationis apprime merens atque furoris; sicuti e contrario nihil erat ex diaboli sententia magis, nihil eidem carius aut amabilius. Quamobrem clemens servator illa precum suarum formula veniam iis qui se laeserant curans; pater, ait, condona illis hoc peccatum; non enim sciunt quid agant. Adeo filii caedes contra patris voluntatem fiebat, ut multam huic iracundiam commoveret; ac necesse fuerit laesum ipsum, deprecatorem fieri, quo rei paenitentia expiati poenas evaderent. Neque repugnat, patrem filii necem voluisse pariter ac noluisse: nam quod eam vellet, fructus praestantia in causa erat; quod vero nollet, id facinus per se spectatum faciebat. Nam veluti imperator si fortem militem cernat vulnera excipientem, vulneribusque hostium ordines consumentem, ipsomet belli duce prostrato; laetatur equidem quod victoriam strenuus hic de adversariis referat, neque eius vulneribus, dum praeclarum facinus spectat, dolet; sed tamen postea plagas ipsas per se considerans, atque his commotus, cruentam victoriam haud laeto animo aspicit: sic pater quatenus gentis humanae hostem a filio suo acceptis in corpore vulneribus profligatum videbat, dignam Deo laetitiam capiebat, filiique fortitudine gloriabatur: quatenus vero carissimus ille plagis atque vibicibus onerabatur, id per se, inquam, aequo animo non ferebat. Ceteroqui plus voluntatis in passione Christi, quam in proposito exemplo versatum est. Nam quod adtinet ad exemplum, dum vulnera quidem imponuntur, incerta adhuc victoria, tetrum imperatori spectaculum est, nondum hostibus inclinatis; verum in Christi passione ipso vulnerum initio, immo priusquam cruenti illi servatorem plagis adficerent, splendidum corus-

σιν ἐνυβρίσαι, λαμπρόν τε καθεωρᾶτο τὸ τρόπαιον, καὶ οὐδὲν ἔλαττον ἢ ὅτε τοῖς A
ἐναγεστάτοις ἐτολμᾶτο τὰ ἀτόλμητα· Θεῷ τε γὰρ καὶ τὰ μέλλοντα πάρεστι, καὶ
ἡ γνῶσις ἀμφοῖν πρόεισι δι' ἴσου· οὐδὲν κατ' αὐτό γε τοῦτο τῶν ἐπιγινομένων,
οὔτε τῶν πάλαι γεγονότων, οὔτε μὴν τῶν ἤδη παρόντων, τὸ ἔλαττον ἀποφερο-
μένων· οὐδὲν οὖν ἄπορον ἔτι παραδέχεται, τὸ θελητὸν εἶναι τῷ πατρὶ τὸν θά-
νατον τοῦ υἱοῦ καὶ ἀθέλητον· οὐδὲ τὸ σπουδὴν μὲν αὐτὸν εἶναι κατασπραχθῆναι τῷ B
ἀρχικάκῳ τῆς φύσεως ἡμῶν ἐχθρῷ, πάσης δὲ μᾶλλον χαλεπωτέραν πληγὴν φέ-
ρειν τὸ προελθὸν πέρας ἀπὸ τῆς σπουδῆς· ὁ μὲν γὰρ πονηρὸς τῷ αἵματι χαί-
ρων καὶ περιχανὼν τοῦ σωτῆρος, οὔπω τῆς χαρᾶς τοῖς σπλάγχνοις ἐμβαθυναμέ-
νης, τήν τε ἀνίατον ἔσχε καταλαμβάνουσαν πληγὴν, καὶ τὸν ὄλεθρον ἀπαραίτητον·
ὁ δὲ πατὴρ οὐκ ἀρεσκόμενος αὐτόθεν τῇ τοῦ αἵματος χύσει, ἠρέσθη τε μάλιστα C
συμφοροῦν τὸ τέλος ὁρῶν, καὶ περιχαρῶς προσεδέξατο· οὐκ αὐτὸ τοῦτο φιλῶν τὴν
σφαγὴν τοῦ παιδὸς, ἀλλ' ἐκ τοῦ τέλους ὡς εἴρηται καὶ ταύτην ἐξοικειούμενος, καὶ
εἰς εὐδοκίας λόγον μεταποιῶν.

γ. Καὶ ἔχεις κἀντεῦθεν εἰ βούλει καὶ ἀπορήματος παλαιοῦ πρὸς λύσιν ὁρῶ-
σαν ἀναφυομένην ἀφορμήν· τὸ δὲ ἀπόρημα εἰ καὶ τοῖς τὰ θεῖα φιλοσοφοῦσιν οὐκ D
ἄδηλον, ἀλλ' οὖν εἰς κοινὴν ἁπάντων γνῶσιν εἰπεῖν λυσιτελέστερον· εἰ λύτρον ἐδό-
θη τὸ σωτήριον αἷμα τὴν ἀπὸ τῆς αἰχμαλωσίας ἀνάῤῥυσιν τοῦ γένους ἡμῶν μεθο-
δεῦον, τίς ὁ λαβών; πατρὶ μὲν γὰρ οὐχ ἡδὺ τοῦ παιδὸς ἡ σφαγή· τῷ δὲ λη-
στῇ πῶς οὐ τολμηρὸν καὶ φονεῖ, δοῦναι κύριον αἵματος γενέσθαι τοῦ δεσποτικοῦ;
πολλὰ μὲν γὰρ καὶ ἄλλα τὴν διάλυσιν παραστήσει τοῦ ζητήματος, ὧν οὐκ ἄκαι- E
ρον ἴσως μετ' ὀλίγον ἐπιμνησθῆναι· τὸ δὲ διὰ τῶν ῥηθέντων προϊὸν, ὁ πατὴρ
μὲν δέχεται τὸ αἷμα τοῦ παιδὸς πόθῳ τοῦ ἐκβεβηκότος· ὁ δὲ πονηρὸς ἐτόλμα

eabat trophaeum: neque minore perspicuitate quam postea visum est, cum ii scelesti immane facinus iam perpetraverant. Quippe Deo futura quoque praesentium instar sunt, isque pari utriusque temporis scientia utitur: et seu quae adhuc eventura sunt, seu quae iamdiu praeterierunt, seu denique quae in praesenti adsunt, aequali apud Deum conditione fruuntur. Iam nullam itaque dubitationem patitur, quod filii obitus et voluntarius patri fuerit et involuntarius. Rursus aeque indubitatum est, studiose id facinus ab antiquo naturae nostrae hoste fuisse curatum; itemque acerbissimam omnium cladem, re effecta, diabolum suo sibi studio intulisse. Etenim hic qui servatoris cruore gaudebat eique inhiabat, gaudio suo visceribus nondum recepto, mortiferum vulnus atque ineluctabile exitium perpessus est. Contra pater, etsi sanguinis effusione ilico non est gavisus, nihilominus rei exitum spectans summopere delectabatur, atque hunc cum ingenti laetitia expectabat: haud sane quod filii caedem per se ipsam expeteret; sed ob eius fructum, ut diximus, hanc amplectens atque in rei placitae loco ponens.

3. Porro autem hinc potes veteris quoque quaestionis dissolvendae occasionem ultroneam, si lubet, capere: quae sane quaestio quamquam sacrae scientiae studiosis, non est incognita, nunc tamen non sine fructu ad communem omnium notitiam proferetur. Si pretii loco servatoris sanguis datus fuit, qui nostri generis a captivitate redemptionem curaret, quis eius receptor est? Patri certe haud erat grata filii caedes: latroni autem et homicidae diabolo quid ni sit nefarium dominici sanguinis potestatem tribuere? Aliae quidem multae quaestionis solutiones sunt, quas paulo post memorare non erit fortasse intempestivum: sed haec sponte ex ante dictis fluit, quod nempe pater filii sanguinem boni fructus studio suscepit; dia-

A μὲν καὶ ἐθρασύνετο λαβεῖν· ἀντέλαβε δὲ τῆς τυραννίδος αὐτοῦ τὴν καθαίρεσιν καὶ
τὴν ἀπροσδόκητόν τε καὶ ἀνίατον πληγήν· ἣν καὶ ὑπιδόμενος, ἅμα τε ἐπεπήδα τῷ
σταυρῷ, καὶ ἅμα συνεστέλλετό τε καὶ ἀφίστατο τῆς θεομαχούσης ὁρμῆς· καὶ οὐ-
κέτι παρενοχλεῖν οἶμαι τὸ τῆς ἀπορίας ἰσχὺν ἕξει τὰς τῶν εὐσεβούντων ἀκοάς·
πλὴν οὐδὲν κωλύει πρὸς τὴν ἐπαγγελίαν ἐλθεῖν· ὡς ἐπεὶ τὸ λύτρον πρὸς δύο
B τινὰ τὴν ἀναφορὰν ὡς εἴπομεν ἔχει, ῥύσιόν τε τῶν κατεχομένων εἶναι, καὶ δῶρον
ὁρᾶσθαι τῷ κατέχοντι· ὡς μὲν ῥύσιον τῶν κατεχομένων, λύτρον ἂν εἴη τὸ σω-
τήριον αἷμα· ὡς δὲ δῶρον τοῦ κατέχοντος, οὐδαμῶς· ἐπεὶ καὶ πολλὰ ἄλλα τῷ
κυρίως λεγομένῳ προσόντα λύτρῳ τῇ ἀφράστῳ ταύτῃ καὶ ὑπὲρ λόγον οὐ πρόσε-
στιν οἰκονομίᾳ· καὶ γὰρ ὁ μὲν τὸ λύτρον διδοὺς, οὐκέτι δυνάμενος εἶναι κύριος ὧν
C παρέσχε, τὴν ζημίαν ἔχει κατὰ τὸ ἀπαραίτητον ἀκολουθοῦσαν· κερδαίνει δ' ὁ λα-
βὼν καὶ καθίσταται δεσπότης ὧν πρότερον τὴν ἐξουσίαν οὐκ εἶχε· ἐνταῦθα δὲ τοὐν-
αντίον ἅπαν· ὁ μὲν καταθέμενος τὸ λύτρον (καὶ γὰρ πάντα ἐν τῇ χειρὶ
αὐτοῦ· καὶ οὐδὲ τοῦ Ἄβελ αἷμα, οὐ μὴν οὐδὲ τῶν μαρτύρων ἔξω τῆς αὐτοῦ
καθέστηκε προνοίας καὶ χειρός) οὐδὲν μὲν δηλονότι ἐζημίωται· τίς γὰρ ἂν ὅλως
D εἰπεῖν ἐννοήσῃ, ὡς μὲν τῶν θεραπόντων αὐτοῦ, καὶ ὧν ἐκενώθησαν αἱμάτων ἐστὶ
λόγος αὐτῷ, καὶ μετὰ θάνατον ὡς ἀθανάτων βοώντων ἀκούει; τὸ δὲ σωτήριον
καὶ ζωοποιὸν αἷμα τοῦ κόσμου οὐκ ἐν τοῖς ἀθανάτοις τῆς αὐτοῦ προνοίας ταμείοις
συνέχει ἀνώλεθρον αὐτῷ, καὶ φθορᾶς σωμάτων ἀνέπαφον συντηρούμενος(1); οὐκ ἐζη-
μίωται τοίνυν οὐμενοῦν ὁ τὸ λύτρον καταθέμενος· ἀλλὰ καὶ τοῦ γένους ἡμῶν παν-
E τὸς ὁ φιλάνθρωπος προσεκέρδησε τὴν σωτηρίαν· ὁ δὲ λαβεῖν νομίσας ὅτι λαβεῖν
μόνον ἐνόμισε, καὶ αὐτὴν προσαπώλεσεν, ἐφ' ᾗ τι μέγα ἐφρόνει καὶ ἣν ἐνισχύειν

bolus autem quum furore et audacia ad accipiendum raperetur, tyrannidis suae vice versa perniciem retulit, atque inopinam et sine medela plagam: de qua pridem suspicans, partim quidem ad crucem ruebat, partim retinebatur atque a sacrilego impetu abstinebat. Atque adeo quaestio haec iam non poterit piorum auribus esse molesta. Ceteroqui nihil vetat, quominus nuper promissa faciamus. Redemptionis pretium duplici sub notione considerare licet, nimirum ut captivorum redimias, atque ut captivorum domino donum. Christi sanguis quatenus redimiarum vice fungitur, sane pretium redemptionis dici potest; verumtamen quatenus donum mangoni est, illo nomine uti nequit. Et quidem alia multa redemptionis proprie dicto pretio insunt, quae arcanae huic et inenarrabili oeconomiae non congruunt. Siquidem qui pretium dedit, quia rei eius deinceps dominus esse non potest, detrimentum necessarium patitur: contra qui accipit, lucro augetur, fitque rei dominus, quae in eius potestate antea non erat. Nunc omne contra est. Qui pretium obtulit; quandoquidem omnia in Dei potestate sunt; neque ipsius Abelis neque martyrum sanguis ab eius providentia dominioque abfuit; hic inquam nullum cepit detrimentum. Nam quis omnino dicere velit, ab eo qui famulorum suorum, et quorum sanguis exhaustus fuit, curam gerit, quique mortuorum ut viventium clamores audit; quis inquam dicat, salutarem et qui orbem vivificat sanguinem, in thesauris providentiae suae ab eo non fuisse incolumem conservatum, atque ab omni corporea corruptione protectum? Non igitur damnum pertulit qui pretium contulit: immo universi generis nostri clemens Iesus salutem lucratus est. Qui vero se accepturum putabat, dum de suo unice lucro cogitat, illam quoque amisit, cuius vires tanto-

(1) Notandus hic Photii locus propter famosam de sanguine Christi fuso versatam inter catholicos theologos quaestionem.

ἐνόμισεν αὐτοῦ τυραννίδα· ὥστε τὸ σωτήριον καὶ δεσποτικὸν αἷμα καὶ λύτρου χώραν A
ἂν ἐπέχοι, ἀνεκομίσατο γὰρ ἡμᾶς τῆς αἰχμαλωσίας· καὶ τοῦ λύτρου παραλλάσσει,
ὅτι μηδὲ προσηνέχθη τῷ τὴν ἡμετέραν φύσιν ἀπάτῃ δουλωσαμένῳ· καὶ ὅτι ἐν μὲν
τῷ λύτρῳ τὸ κέρδος ὁρᾶται μέγα, μὴ δὲ μιᾶς συνεπινοουμένης ζημίας· ἐν δὲ
τῷ κατέχοντι τοὺς αἰχμαλώτους, διπλῆ μᾶλλον δὲ παντελὴς ἡ ζημία· εἰ βούλει δὲ
καὶ διότι τῶν μὲν ἄλλων λύτρων συμβατήριοι προηγοῦνται λόγοι, ἐνταῦθα δὲ B
τοῦ λύτρου καταβαλλομένου, ἡ δικαία κρίσις ἐκ παλαιτάτου τῷ πολεμίῳ τὸ ἄσπον-
δον καταψηφιζομένη, ἔτι μᾶλλον τηνικαῦτα τὴν τοιαύτην ἐξ ὧν ἐκεῖνος ἔπραττεν
ἐπιβάλλει καταδίκην· καὶ δὴ καὶ ἐπὶ μὲν τῶν ἄλλων, σπονδαὶ πάντως ἢ ἐπὶ πο-
λὺν ἢ ἐπ' ὀλίγον συνίσανται χρόνον· ἐν δὲ τῷ παρόντι λύτρῳ, οὐδ' ἐπινοίᾳ λα-
βεῖν ἐστι ψιλῇ τοιοῦτόν τι προσεννοημένον, καὶ πόσα ἄλλα τοιαῦτα· ὥστε χώραν ὁ C
λόγος προτείνεσθαι ἀνάγκην οὐκ ἔχει, ὃν τρόπον ἐπὶ τοῦ κυρίως δύναται προ-
βάλλεσθαι λύτρου· ἐκ μεταφορᾶς γὰρ ἐνταῦθα, εἴ περ ἀλλαχοῦ, παρείληπται ἡ
φωνή.

δ. Καὶ δῆλον ὡς οὐ χρὴ βιάζεσθαι συνεφαρμόττειν τοῖς κατὰ μεταφορὰν
λεγομένοις, ὅσα πάντως παρέπεσθαι εἴωθε τῷ κατὰ τὴν ἀπ' ἀρχῆς θέσιν τῆς D
φωνῆς ὠνομασμένῳ· δεῖ γὰρ εἰς κοινὸν ἀναγαγεῖν τύπον, ἃ νῦν ἐπὶ τοῦ προτα-
θέντος ἐγυμνάσθη προβλήματος· ὡς ἂν πρὸς πολλὰ εἴη τῶν εἰς τὴν αὐτὴν ἀπο-
ρίαν συνάγεσθαι δυναμένων, ἐξ ἑτοίμου καὶ καθολικωτέρας ἐφόδου τὴν λύσιν ἐπά-
γειν, καὶ τὸ συνταράττον ἀποσκευάζεσθαι· οὐ τοῦτο δέ φημι ἄπαγε ὡς τοῖς τρο-
πικοῖς τῶν ὀνομάτων οὐ δεῖ κεχρῆσθαι· σύντροφος γὰρ ἡμῖν οὐ πολὺ τῶν κυρίων E
ἔλαττον ἡ χρῆσις αὐτῶν· καὶ εἴ τις ἀφέλοι ταύτας ἔκ τε τῆς ἀνὰ χεῖρα ὁμιλίας,
καὶ ἐξ αὐτῆς γε τῶν συγγραμμάτων τῆς ἑρμηνείας, καὶ μάλιστά γε τὰς πολλὴν
ἐχούσας τὴν ὁμοιότητα καὶ ἐγγύτητα πρὸς τὰς οὐδὲν τετραμμένον παρεχομένας,

pere iactabat, tyrannidem. Quare dominicus salutaris sanguis pretium revera redemptionis est, quia nos captivitate expedivit: sed idem a redemptionis pretio differt, tum quia illi, qui naturam nostram fraudulenter servitio oppressit, non est oblatus; tum quia pretii quidem praeclarum lucrum esse solet, nullo damno comite: attamen diabolo captivorum hero duplicatum potius summumque damnum evenit. Praeterea redemptionibus aliis pacifica verba praeeunt; heic dum pretium redemptionis persolvitur, iustum Dei iudicium, quam firmissime olim decreverat in hostem poenam, eam hoc potissimum tempore facinoribus eius inflixit. Denique in ceteris redemptionibus foedera quaedam vel ad longum vel ad breve tempus feriuntur; in hac, de qua agimus, nihil tale suspicari licet. Atque eiusmodi aliae plurimae differentiae sunt. Quare fieri non potest ut oratio necessitatem prae se ferat, quemadmodum eam obtendere potest, cum vox redimiae primario sensu intelligitur. Nam figurate hoc loco, si umquam alias, vox accipitur.

4. Profecto constat non esse adnitendum ut ad ordinem metaphoricorum trahamus ea, quae prorsus sectari solent id quod appellatum fuit secundum primam vocis positionem. (Nam me iam oportet ad generalem formam redigere id quod hactenus de proposito themate disputavi. Sic enim licebit et aliis multis, quae eandem perplexitatem creare possent, expedito et communiore ratione solutionem adhibere, atque obscuritatem avertere.) Cave autem putes, me verborum metaphoricorum usum interdicere. Est enim nobis horum innata familiaritas, non minus propemodum quam eorum quae proprio sensu efferuntur. Ac siquis eius generis verba ex hoc ipso, qui in manibus est, tractatu, vel a scripturarum enarratione submoveat; praesertim valde similia ac proxima illis, quorum nullus tropus est, is

A οὐκ ἐπὶ πολὺ ἔλαττον εἰς στενὸν κομιδῇ τὴν τῶν λόγων συγκλείσει χρείαν· ὡς
πολλὰ τῶν πραγμάτων μὴ δ' ἔχειν ὀνόματι δηλῶσαι, ἢ εἴ τις τὴν κυριότητα τῶν
ὀνομάτων τῆς ἡμετέρας χρήσεως ὑπερόριον ποιήσει· οὔκουν ἀχρηστίαν ἐστὶ καταγινώ-
σκειν τῶν ἀπὸ τῆς τροπῆς τὴν γένεσιν ἐχόντων ὀνομάτων· ἀλλ' ἐκεῖνο φαίην ἂν ὡς
εἰδέναι χρὴ λέξεως ἰδίωμα κυρίως τε λεγομένης καὶ κατὰ μετάθεσιν τινὰ τοῖς πράγ-
B μασιν ἐπιτιθεμένης· καὶ χρῆσθαι μὲν ταῖς φωναῖς ὡς ἐπιτρέπει τὸ ἔθος, μὴ
μέν τοι γε τὰ ὑπ' αὐτῶν σημαινόμενα εἰς τὴν αὐτὴν ἐξ ἀνάγκης συνάγειν τε καὶ
συνδιαπλέκειν φύσιν· μεγάλων γὰρ γένοιτ' ἂν τοῦτο σφαλμάτων αἰτία, καὶ ἀπορίαι
δόξουσι προκύπτειν, ἀπορίας μὲν τῇ ἀληθείᾳ λόγον οὐδένα προβεβλημέναι, τῇ
δὲ μὴ κατὰ λόγον χρήσει τῶν σημαινομένων, οὐ πρὸς ἑτέρους μᾶλλον ἢ καθ' ἑαυ-
C τῶν τῶν οὕτω χρωμένων ταῖς φωναῖς τὴν ἀπορίαν ἐπινοούντων.

ε. Αὐτίκα μάρτυρας καλοῦμεν τοὺς ὑπεραθλήσαντας χριστοῦ, καὶ τὰ αἵμα-
τα αὐτῶν προσαξαγεῖν φαμὲν τῷ θεῷ καλῶς γε καὶ δικαίως· ἀλλ' ἐκ μεταφο-
ρᾶς τῶν ὀνομάτων ἑκάτερον λέγεται· ἀπὸ γὰρ οὓς ἡ πολιτεία μάρτυρας καλεῖν
οἶδεν οἳ πάρεισιν ἐπὶ βεβαιώσει τῆς κατὰ τὸν βίον ἀληθείας, καὶ πίστιν δι' ὧν
D ἴσασιν ἐπάγουσι τοῖς προτεινομένοις, ἀπὸ τούτων καὶ τοὺς τῆς εὐσεβείας ἀγωνιστὰς
ὀνομάζομεν μάρτυρας· καὶ γὰρ ὡς ἀληθῶς οὗτοι τὴν ἐνυπόστατον θεολογοῦντες ἀλή-
θειαν, ἐνώπιον τυράννων καὶ βασιλέων ἐμαρτύρησαν· καὶ προσενεγκεῖν αὐτῶν τὰ αἵ-
ματα τῷ χριστῷ φαμὲν, μετενεγκόντες τὴν προσφορὰν ἀφ' ὧν τε Ἄβελ ὁ δίκαιος
τὰ τῶν ἀρνῶν ἐστεατωμένα, καὶ Ἀβραὰμ τὰ διχοτομήματα, καὶ τοὺς ἄρτους καὶ τὸν
E οἶνον ὁ Μελχισεδὲκ τῷ Ἀβραάμ· εἰ βούλει δὲ καὶ τὴν δεκάτην τῷ Μελχισεδὲκ
ὁ προσδεξιωθεὶς προσενήνοχε· καὶ δῆλον ὡς ἕκαστος τῶν προσενηνοχότων, ἕτερον
προσήνεγκε παρ' ἑαυτὸν, καὶ μηδὲν ἀνιαρὸν ὑποστάμενος, οὐδέ τι τῶν μελῶν πε-
ρικοπτόμενος· οἱ δὲ τοῦ χριστοῦ μάρτυρες οὔτε τι κεχωρισμένον προσήνεγκαν, οὐδ'

haud multo secius arctis admodum finibus sermonis usum concludet. Quin adeo multae res sunt, quas ne nomine quidem appellare possumus, nisi proprietas nominum procul usu quotidiano submoveatur. Ergo non licet inutilitatis accusare nomina illa, quae a metaphora originem ducunt: sed vis potius cuiusque vocabuli cognoscenda est, sive propriae usurpati, sive cum aliqua translatione rebus impositi. Atque verbis utendum est prout consuetudo fert: non autem illorum significantiae ad eandem naturam necessitate cogendae et convolvendae sunt. Hinc enim magni orientur errores, ac dubia passim emergent, quae quidem veram nullam perplexitatem exhibebunt; verumtamen ob absurdum significatuum usum, hi qui ita vocabula usurpant, non tam aliis quam sibi dubitationes creabunt.

5. Exempli gratia testes (martyres) vocitamus eos qui pro Christo certamen subierunt, eosque sanguinem suum obtulisse Deo dicimus. Praeclare id quidem et merito: sed tamen sine metaphora neutra locutio est. Nam quia politica consuetudo testes appellat eos qui ad confirmandam quotidianarum rerum veritatem adsunt, fidemque quatenus sciunt suppeditant iudicio certantibus, horum inquam exemplo religionis quoque athletis testium nomen imposuimus. Etenim hi revera lapsam caelo inter homines veritatem sacra oratione coram tyrannis ac regibus testati sunt. Hosque obtulisse Christo sanguinem dicimus, metaphora oblationis ex Abele iusto sumpta, qui arietum adipes: et ex Abrahamo, qui divisas carnes: nec non a Melchisedeco, qui Abrahamo panes et vinum obtulit; immo et ab hoc qui susceptarum rerum decimas Melchisedeco attribuit. Cernimus autem singulos hos rem a se ipsis diversam obtulisse, nihil molestum passos, nullisque suis membris amissis. Atqui Christi martyres nihil ab se alienum exhibuerunt, neque dum id sacri-

ἀπαθεῖς τὸ σῶμα προσφέροντες ἔμειναν· ἀλλ' οὐδὲ κληθέντες ὑπό τινος, μαρτυ- A
ρεῖν ἐφεστήκασιν, ἀλλ' αὐτοκλήτῳ γνώμῃ τὴν θαυμαστὴν ἐκείνην καὶ θεόλογον μαρ-
τυρίαν ἐμαρτύρησαν· εἴ τις οὖν μὴ διαστείλας τὰ τοῦ μάρτυρος σημαινόμενα, ἐπὶ
θατέρου τὰ τοῦ ἑτέρου συμβιβάζειν φιλονεικήσει, ἆρ' οὐκ ἐμπλήσει ἀποριῶν τὰ ὦτα
τῶν ἀπειρότερον ἀκουόντων; σφαλείη δὲ οὐδὲν ἔλαττον αὐτὸς ἀπορίαν οἰόμενος προ-
κομίζειν, ἣν οὐχ ἡ τῶν πραγμάτων δυσκολία παρέσχεν, ἀλλ' ἡ ἐκείνου τῶν ὀνο- B
μάτων οὐκ ἐν γνώσει μεταχείρισις· ἐρεῖ γὰρ κἀνταῦθα ῥᾷον, τῶν μαρτύρων προσ-
ενεγκάντων τὸ αἷμα, τίς ὁ προσδεξάμενος; εἰ μὲν γὰρ ὁ χριστὸς, καὶ πῶς ὁ
φιλάνθρωπος ἀνθρώπων αἵμασιν ἐπαγάλλεται; εἰ δ' ὁ πονηρὸς, καὶ πῶς ἠνέσ-
χοντο τῷ ἐχθρῷ τὸ οἰκεῖον αἷμα σπένδεσθαι; ποῦ δ' ὁ κριτὴς, ὃς τὴν ἴσην γνώ-
μην τοῖς κρινομένοις διένειμεν; οἱ δὲ κρινόμενοι, ὧν ὁ μάρτυς θατέρῳ τὴν ἐπὶ νί- C
κῃ ῥοπὴν παρασχεῖν ἐφέστηκε, τίνες;

ϛ. Καὶ πόσα ἄν τις τοιαῦτα λαβὼν ἀπὸ τῶν κατὰ τὴν πολιτείαν μαρτύ-
ρων ἐπὶ τοὺς θεολόγους διαβιβάσειε μάρτυρας, ᾧ φορυτὸς ἔρως ἀποριῶν, καὶ
μυθολογεῖν καὶ παίζειν κἀν τοῖς σπουδαίοις ἀνύβριστον; καὶ γὰρ οὐδὲν ἔργον πρὸς
τὸ πρῶτον σχῆμα τῶν ἀπορημάτων εἰπεῖν, ὡς οὐχὶ τῷ αἵματι τῶν ἀθλητῶν, τῇ D
δὲ γνώμῃ συναρεσκόμενος ὁ χριστὸς, καὶ τὴν σφαγὴν καὶ τὸ κενωθὲν αἷμα προσ-
εδέξατο· ὥσπερ οὐδὲ τὸ ἐπενεγκεῖν ὡς ἐσφάγησαν μὲν οἱ μάρτυρες ὑπὲρ χρι-
στοῦ, καὶ τὸ αἷμα ἐξέχεαν, τοῦτο κυρίως καὶ οὐ τροπικόν· τὸ δὲ προσήνεγκαν
καὶ προσέφερον καὶ τὰ τοιαῦτα, ῥημάτων ἐστὶν ἐξοικειουμένων τὴν τροπήν· οὔκουν
οὐδ' ἀναγκαῖον ἐπιζητεῖν τίνι προσήνεγκαν· ὥσπερ οὐδὲ ζητεῖν πῶς οἱ νεκρωθέντες E
τὸ σῶμα τῇ κενώσει τοῦ αἵματος δύναιντ' ἂν προσενεγκεῖν λέγεσθαι· πῶς δὲ
προσέφερον, οὐχ ἕτερον προσάγοντες, ὅπερ ἐστὶ τῶν κυρίως προσφερόντων; τὰ γὰρ
τοιαῦτα τοσοῦτον ἀπέχει τοῦ διαπορητικοῦ τύπου, ὡς ἄμεινον ὑπεριδεῖν, μή πο-

ficium facerent, incolumia corpora retinuerunt. Sed neque ab aliquo postulati testimonio dicendo adfuerunt, verum ipsi spontaneo consilio mirum illud theologicumque testimonium praebuerunt. Siquis igitur indistinctis vocabuli *testis* significatibus, alterutri id accommodabit quod alterius est, nonne aures imperitiorum quaestionibus onerabit? Neque minus ipse se fallet, dum se quaestionem in medium proferre iudicabit, quam reapse non rerum difficultas exhibet, sed ipsius imperita vocabulorum usurpatio. Dicet enim heic etiam, ut facile puto, si testes sanguinem offerunt, quis hunc recipit? Si Christus; quomodo dici potest clemens hic sanguinibus hominum delectari? Si diabolus recipit; curnam ii voluissent suum hosti sanguinem libare? Ubinam vero iudex, qui aequo iure cum disceptantibus agat? Disceptantes autem, quorum alterutri testis ad victoriam testimonium dat, quinam sunt?

6. Innumera eiusmodi a forensibus testibus sumpta ad sacros transferet testes, quicumque inepto studio quaestionum tenetur, aut quem in re seria fabulas venditare aut iocari non pudet. Atqui perfacilis solutio est, si ad primam dubitationum speciem dicamus, Christum quidem haud athletarum cruore sed mente delectatum, caedem eorum sanguinemque exhaustum recepisse. Neque facile minus dicas, caesos fuisse pro Christo testes et sanguinem effudisse; id enim proprie dicitur, non figurate. Verum dictiones *obtulerunt* et *offerebant* et aliae eiusmodi, in verbis translatis numerandae sunt. Neque igitur necessarium est exquirere cuinam obtulerint: sicuti nihil opus est quaerere, quonam ii pacto dici queant obtulisse, quorum corpora exhausto sanguine exanimata fuerunt. Quomodo enim offerrent, quum nihil a se distinctum adferrent, secus ac fit ab illis qui proprie offerunt? Haec, inquam, omnia tantopere absunt a forma dubitativa, ut negligere satius sit, ne for-

A τι ἄρα σοι δόξωμεν συμπλεκόμενοι τοῖς παίζουσιν, οὐκ ἔξωθεν τοῦ εἰκότος συνδιαβάλλεσθαι· ὥσπερ γὰρ ἐν τοῖς σπουδαίοις παίζειν ἀσύνετον, οὕτω πρὸς τὰ γελοιότερα σπουδάζειν καταγέλαστον· τὰ δὲ τῆς ἐμφανοῦς μὲν ἀτοπίας καὶ οἴκοθεν ἐχόντων τὸν ἔλεγχον ἀνακεχωρηκότα, ταραχὴν μὲν καὶ θόρυβον προτεινόμενα ταῖς τῶν πολλῶν ἀκοαῖς, καὶ οἷς οὐκ ἔστι κρίσις διαστέλλειν τῶν ἄνευ τροπῆς προαγο-
B μένων φωνῶν, ἃς ὁ τῆς τροπῆς νόμος ἐσχημάτισεν· ἐπεὶ ῥᾷον ἐστὶ τοῖς τὸ διάφορον αὐτῶν ἐπεσκεμμένοις, ἀποκρούεσθαι καὶ διαλύειν τῆς δοκούσης ἀπορίας τὸ περίεργον· δεῖ δ' οὖν λέγειν μὲν τὰς φωνὰς καὶ τιθέναι ἐφ' ὧν φέρειν εἰώθαμεν· εἰδέναι δὲ τὰ ἑκάτερα παρεπόμενα, καὶ φυλάττειν αὐτῶν ἀσύγχυτον καὶ τὸ σημαινόμενον καὶ τὸ ἰδίωμα· ὁρᾶν δέ ἐστι κἀντεῦθεν· ὁ μάρτυς ὁ πολιτικὸς ἕνα τῶν
C δικαζομένων συνιστῶν, τὸν ἕτερον συκοφάντην ἀπελέγχει, τοῦ κριτοῦ τὴν γνώμην ἴσην διανέμοντος τοῖς προσώποις· ἐν δὲ τῷ θεολογοῦντι μάρτυρι, ποῦ σχέσις; ἢ πόθεν ἔχει παῤῥησίαν ἡ τοιαύτη; πάλιν ὁ ἀθλητὴς τὸν ἀντίπαλον χερσὶ καὶ πυγμαῖς παίων, καὶ κατακρατῶν εἰς τέλος, τοῦ νικητικοῦ τυγχάνει στεφάνου· ἐνταῦθα δὲ βαλλόμενός τε καὶ τιτρωσκόμενος, καὶ πυρὶ θανατούμενος ἢ σιδήρῳ, ἢ δι'
D ὧν ἄλλων ἐπενόησεν ἡ δήμιος ὠμότης κατὰ τῆς ἀνθρωπίνης φύσεως τοὺς ἀνθρώπους ἐξαγαγεῖν τῆς ζωῆς, τὰ τῆς νίκης ἐστὶν ἀναδούμενος διαδήματα· καὶ ἐπὶ μυρίων ἄλλων ἡ διαφορά· πῶς οὖν οὐ παράλογον ἐν ἑκατέρῳ τῶν σημαινομένων τὰ αὐτὰ ζητεῖν ἐπιθεωρεῖν; καὶ ἃ πρόσεστι τῷ ἑτέρῳ, τὰ αὐτὰ θατέρῳ περιάπτειν ἐκβιάζεσθαι.

E ζ. Πολλὰ μὲν οὖν τῶν ἐπὶ διαφόρων πραγμάτων ταττομένων ὀνομάτων ἐμφανεστάτην ἔχει τὴν διαφοράν· ὡς μὴ δέ τινα τῶν εἰς ἄκρον ἀναισχυντίας ἢ ἀσθενείας ἡκόντων χωρὶς αἰσχύνης ἢ εὐλαβείας μετενεγκεῖν ἐπὶ θάτερον ἃ τῷ ἑτέρῳ διωμολόγηται· πολλὰ δὲ κρύφιον φέρει τὴν ἑτερότητα, ὡς ὁ μάρτυς, ὡς ὁ ἀθ-

te tibi videamur non immerito reprehendendi, quia cum ludentibus dimicemus. Nam sicuti in re seria ludere insanum est, sic in ridiculis serio agere dignissimum risu est. Siquae vero locutiones absunt quidem a manifesta absurditate, neque semet ipsae refutant, sed tamen perturbationem confusionemque multorum auribus creant, hominibus videlicet qui discernere nesciunt verba tropo carentia, ab iis quae troporum legibus figurantur; facilius, inquam, est si differentiae earum considerentur, propulsare ac dissolvere umbratilis controversiae subtilitatem. Deligendae igitur voces sunt, collocandaeque quo loco adhiberi solent. Scire etiam oportet utramque circumstantiam, ita ut distincti serventur significatus et proprietas. Hinc specimen esto. Forensis testis dum uni e disceptantibus favet, alterum iniquum coarguit: at iudex interim aequam sententiam hominibus reddit. Verum in sacro teste ubinam hic rerum status? vel undenam libera dicendi copia? Rursus athleta adversarium manibus pugnisque verberans, ac denique superans, victoriae coronam impetrat: heic autem qui percutitur ac vulneratur, flammaque aut ferro interficitur, vel aliis cruciatuum generibus, quae carnificum contra humanam naturam crudelitas ob enecandos homines excogitavit, hic inquam victoriae corona insignitur. Atque aliae praeterea innumerae differentiae sunt. Quid ni itaque sit absurdum, in utraque re significata easdem circumstantias exquirere: et quae uni congruunt, easdem ad alteram vi pertrahere?

7. Multa igitur ex iis nominibus, quae diversis rebus imponuntur, manifestissimam differentiam habent: quare nec ulli homines quamquam apprime impudentes vel ingenio imbecillo praediti, sine pudore aut metu transferre solent ad alteram quod harum unius proprium est. Multa tamen subobscuram diversitatem con-

λητὴς, ὡς τὸ λύτρον, ὡς τὸ τρόπαιον, ὡς τὰ τοῦ ᾅδου βασίλεια, ὡς μυρία A
ἄλλα· ἐφ' ὧν ἐστὶ ῥᾷον καὶ αὐτὸν πολλάκις ἀπάτης λαβεῖν τὴν ἀπορίαν παραδυόμενον, ἢ ἑτέροις τὴν ἀπάτην προάγειν ἐν τῷ λανθάνοντι· δεῖ δ' οὖν ἐκ τῶν ἐμφανεστάτην ἐχόντων τὴν παραλλαγὴν καὶ παντελῶς ἐπιπόλαιον τῶν προτεινομένων τὴν διάλυσιν, τὸν κανόνα λαβεῖν, καὶ ἀπευθύνειν τῇ κοινῇ μεθόδῳ καὶ ἃ πολλὴν τὴν ἐγγύτητα πρὸς ἄλληλα κεκτημένα, τὸ τῆς ἀπάτης σχῆμα πιθανώτερον προβάλ- B
λεται· καὶ οὕτως ἀπ' ἐκείνων τὴν κρίσιν ἀπλανῆ καὶ ἐπὶ τούτων συνδιασώζειν· αὐ-
Dan. VIIII. 26. τίκα τὸ πτερύγιον τοῦ ἱεροῦ· τὸ δὲ πτερύγιον οἷς μέλλει τῆς ἀττικῆς γλώττης, οἱ μὲν ἀετὸν, οἱ δὲ καὶ ἀέτωμα καλοῦσι, καὶ στέγασμα φασὶν εἶναι τοῦτο τῶν
Matth. IIII. 5. ἱερῶν οἴκων, τῷ σχήματι τὴν πτῆσιν τοῦ ζώου μιμούμενον· ὃ δὴ καὶ πτερὸν ἔνιοι καλοῦσιν· οἱ δὲ διαστέλλουσι τὸ πτερὸν καὶ τὸ πτερύγιον τοῦ ἀετοῦ τε καὶ τοῦ ἀετώ- C
ματος· φασὶ γὰρ εἶναι τὸ δηλούμενον ὑπ' αὐτῶν, τὸ πρὸ τῶν ἱερῶν ἐκ λίθου πρὸς ὕψος ἀνατεινόμενον μᾶλλον κατεσκευασμένον οἰκοδόμημα· πλὴν ἀλλὰ γὰρ εἴ τις προτείνας τὸ πτερύγιον, διερωτώη πότερον ἐξήπλωτο τῷ ἀέρι καὶ ὑπηρέτει κινούμενον τῷ ὄρνιθι τὴν πτῆσιν, ἢ συνέσταλτό τε καὶ συνεπτύσσετο, καὶ εἰς τὸ σχῆμα τῶν ἠρεμούντων τὸ πτηνὸν συνῆγεν, οἶμαι ἂν ἀντὶ τοῦ λύσιν αἰτεῖν τῆς ἀπορίας, D
γέλωτα παρασχεῖν· καί τοι γ' ἂν ἴσως καὶ ἐπινεωτερίσαιτο, ὡς ὁπότερον ἂν τις δοίη, ἀδύνατα λέγων φωραθήσεται· οὔτε γὰρ ἐκτεταμένον τὸ πτερύγιον ὄγκον σώματος καὶ βάρος ἐπιβαῖνον ἀνέχειν δύναται, οὔτε τὴν κατὰ συστολὴν θέσιν ἔχον· πολλῷ μᾶλλον οὐδὲ τὴν ἐπίβασιν ὅλως παραδέχοιτ' ἄν· ἆρα γὰρ οἱ τὰ τοιαῦτα προάγοντες ἀντὶ τοῦ συνάγειν εἰς ἀπορίαν ἑτέρους, οὐ πολὺ πρότερον ἑαυτοὺς E
εἰς χλεύην ἀνάγουσιν; ἐρεῖ γὰρ οἶμαι ῥᾳδίως καὶ τῶν ἐπιτυγχανόντων ἕκαστος, ὡς ὦ βέλτιστοι ταῦτά που τὰ δριμέα διαπορήματα ἐπὶ μὲν τοῦ ἑτέρου σημαινομένου ἀπορίαν ἐμποιήσειεν, ἐνταῦθα δὲ καὶ οὐδ' ἕτερον ἔνεστιν εἰπεῖν, καὶ οὐδε-

tinent, ut testis, ut athleta, ut redimiae, ut trophaeum, ut inferorum regnum, ut alia plurima: in quibus facilius est ipsum falli qui quaestionem ingredietur, quam aliis fucum facere in re latente. Oportet itaque ex iis quae manifestissimam transmutationem habent, atque omnino tritam contradictionis suae solutionem, normam sumere: atque ad communem methodum illa quoque exigere; quae quia valde invicem propinqua sunt, erroris speciem credibilioris suppeditant: atque ita ex his certum iudicium de aliis quoque facere. Exemplo sit πτερύγιον (pinnaculum) templi. Πτερύγιον atticae linguae studiosi, alii aquilam, alii fastigium (aquilae figura praeditum) atque tectum esse aiunt sacrorum aedificiorum, cuius figura volantem avem imitatur: quam aedificii partem nonnulli etiam pinnam appellant. Alii distinguunt pinnam et pinnaculum sive aquilae sive fastigii. Aiunt enim his significari partem illam aedificii lapideam, altiusque elatam, quae sacrarum aedium frons est. Siquis tamen pinnam seu pinnaculum inculcans, rogaret utrum id expanderetur in aera, commotumque avis volatui faveret? an potius contraheretur atque complicaretur, avisque quiescentis speciem exhiberet? credo equidem excitatum iri potius ab hoc risum, quam curatum ut quaestio solvatur. Fortasse etiam novo alio argumento utetur, nempe quod alterutrum quis concedat, impossibilia dicere deprehendetur. Nam neque extensa pinna gravitatem corporis pondusque impositum sustinere potest, neque item cum est complicata. Illud vero praecipuum, quod adscensum in aera non patitur. Nonne qui talia in medium ferunt, nedum aliis dubitationes haud creant, sed ipsos se multo citius ludibrio obiiciunt? Existimo enim quemvis facile sic dicturum: o boni, hae peracutae dubitationes cum aliis fortasse significatibus quaestionem conflabunt; heic tamen neutrum dici potest,

A μία φαίνεται πρόφασις ἀπορίας ἀνακύπτουσα· ἀπὸ γοῦν τῶν οὕτω περιφανεστάτην
τὴν διαφορὰν ἐχόντων, εὐχερέστερόν ἐστι καὶ οὐδὲν ἐργῶδες, καὶ ἐπὶ τῶν ἐγκεκρυμ-
μένην ταύτην φερόντων, τῷ κοινῷ χρωμένους κανόνι, τὰς ἀπορίας εἰς εὐπορίαν με-
ταβάλλειν.

η. Τρόπαιόν ἐστιν ὁ σταυρὸς τοῦ Χριστοῦ κατὰ τοῦ διαβόλου ἱστάμενον· καὶ τρο-
B παίων τὸ λαμπρότατον, ὅπου γε καὶ αὐτὸς ὁ τύπος αὐτοῦ τῷ ἀέρι χαρασσόμενος,
πᾶσαν αὐτῷ συμφυγαδεύει τὴν δύναμιν· καὶ οὐδήπου δεῖται βαθυτέρας περινοί-
ας, εἴτις εἰς ἀπορίαν διαπλάσαι τὸ ῥῆμα προέλοιτο· ἐκ γὰρ τῶν προειρημένων,
εὐφωρότατον ἔχει τὴν διάκρισιν· οἷον εἰ τρόπαιον ὁ σταυρὸς, τίς ὁ στήσας τὸ τρό-
παιον; εἰ μὲν ὁ νικήσας, τί μάτην τὸ ἰουδαίων ἔθνος εἰς χριστοκτονίαν διαβάλ-
C λεται; εἰ δ' αὐτοὶ τοῦτον ἐπήξαντο· οὐδὲ γὰρ ἀμφισβητήσιμον τοῦτο· πῶς ὁ Χρι-
στὸς κατὰ τοῦ διαβόλου τρόπαιον στῆσαι λέγεται; ὡσαύτως δὲ καὶ εἴ τις λαβὼν
τῷ λόγῳ τὰ τοῦ ᾅδου βασίλεια, δηλονότι τὸν βασιλέα συνεπάγεται· λέγει δέ
που καὶ Παῦλος ὁ τῆς ἀληθείας κῆρυξ, ὡς ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ Rom. V. 14.
μέχρι Μωϋσέως· οὐ μόνον ὧν ἦν τὸ ἁμάρτημα καθ' ὁμοιότητα τοῦ Ἀδὰμ, ἀλ-
D λὰ καὶ ἐπὶ τοὺς μὴ (a) κατ' ἐκείνην τὴν μίμησιν ἁμαρτήσαντας· εἰ δὲ βασιλεὺς, τῷ δὲ
βασιλεῖ νόμος τε τὸ ἀξίωμα καὶ ἡ τῶν ὑπηκόων ἐγχειρίζεται ψῆφος, ᾧ δὲ ταῦτα
περίεστι, πῶς ἂν εἴη λόγον ἔχον τῆς ὅτι δικαίως ἐβασίλευε τιμῆς, ἀντὶ τοῦ γέρας
προσλαμβάνειν, ὑπέχειν τὴν στέρησιν; καὶ γὰρ ἑκάτερον τῶν εἰρημένων, ἴσως μὲν καὶ
αὐτόθεν, τὴν ἀπορίαν τοῖς ἀκριβέστερον ἐρῶσιν οὐδὲν ἧττον ἢ τὴν λύσιν προβάλ-
E λεται· μάλιστα δὲ ἐκ τῶν προειρημένων, ῥᾳδίαν ἕλκουσι τὴν ἀπάντησιν· καὶ γὰρ
ἐπίδηλον τρόπαιον μὲν λέγεσθαι τὸν σταυρὸν, ἀπὸ τοῦ κατὰ τοὺς πολέμους τρο-
παίου τῆς φωνῆς μετενεχθείσης· ἐπεί γε λαμπρῶς καθεῖλεν ὁ Χριστὸς δι' αὐτοῦ
τὸν ἐχθρόν· οὐ διότι δὲ τὸν σταυρὸν ἔστησεν· οὐδὲ γὰρ αὐτὸς ἔστησεν, ἐπήξατο μὲν

nullaque ansa dubitandi hinc exsistit. Ex his igitur, quae tam exploratam differentiam habent, facilius est nulliusque laboris, eorum etiam quorum differentia abstrusior est, communi regula adhibita, perplexitatem perducere ad liquidum.

8. Trophaeum est contra diabolum Christi crux excitatum; et quidem splendidissimum, quandoquidem vel eius typus in aere impressus quamlibet cum illo potestatem fugat. Neque tamen altiore certandum est acumine, siquis forte de hoc vocabulo quaestionem aliquam confingendam susceperit: namque e superius dictis solutionem deprehendere perfacile est. Si crux, inquit aliquis, trophaeum est, quis id erexit? nam si ipse victor, cur iam temere iudaico populo Christi caedes imputatur? Quod si illud Iudaei statuerunt (quod reapse extra aleam contentionis est) quonam pacto Christus contra diabolum constituisse trophaeum dicitur? Item siquis de regno inferorum sermonem iniiciens, pergat porro dicere: si est inferorum regnum, sine dubio intelligitur quoque rex. Et quidem ait Paulus veritatis praeco, regnavisse mortem ab Adamo ad Mosem, non in eos solum qui in peccato versabantur secundum Adami similitudinem, verum in eos quoque, qui haud eius exemplo peccaverant. Quod si rex est, regi autem lege et subditorum suffragio dignitas attribuitur; cui haec dignitas suppetit, quomodo consentaneum sit, cum honoris loco perpeti iusti muneris abdicationem? Nam utraque locutio, et quidem ex eodem fortasse fonte, rem studiose pensantibus et dubitationem suppeditat et explanationem. Praecipue vero ex ante dictis prona responsio manat. Est enim satis exploratum, trophaei nomine dici crucem, a trophaeo bellico voce translata: siquidem Christus praeclare hostem vi propria superavit; non autem quod ipse crucem constituerit: hanc

(a) Deest in cod. μὴ.

γὰρ αὐτὸν τὸ θεομάχον ἔθνος, οὐχ ὡς τρόπαιον δὲ κατὰ τοῦ ἐχθροῦ, ἀλλ' ὡς A
τοῦ κοινοῦ σωτῆρος κολαστήριον· ὁ δὲ τὴν ἐκείνων κακουργίαν εἰς τὴν κατὰ τοῦ ἐχ-
θροῦ νίκην ἀντιστρέψας, οἷα δὴ τροπαίῳ τῷ σταυρῷ προσεχρήσατο· οὔτε γοῦν τὸ
τῶν ἰουδαίων ἄγος τὸ τρόπαιον ἔστησεν, οὐ μὴν ἀλλ' οὐδ' ὁ σωτὴρ τοῦ γένους
ἑαυτῷ τὸν σταυρὸν συνεπήξατο· ἀλλ' ἐκείνων ἐπὶ κολάσει τοῦ δεσπότου πηξαμένων,
αὐτὸς ἐπὶ σωτηρίᾳ τῆς ἡμετέρας φύσεως εἰς τρόπαιον μετετάξατο· καὶ ᾅδου δὲ B
βασίλεια λέγεται, καὶ βασιλεὺς ὁ θάνατος, οὐχ ὅτι θεσμοῖς καὶ γνώμῃ τῶν
ἀρχομένων τὴν κατ' αὐτῶν ἔσχε κυριότητα· ταῦτα γὰρ τῷ κυρίως σημαινομένῳ διὰ
τῆς τοῦ βασιλέως φωνῆς ἕπεται· ἀλλ' ἐπειδήπερ τῶν ἐπὶ γῆς ὁ βασιλεύων τὸ
κράτος ἀδέσποτον φέρει κατὰ τῶν ὑπὸ χεῖρα· τοῦτο δὲ ὁ θάνατος διὰ τῆς πα-
ραβάσεως ἥρπασεν· ταύτῃ δὲ καὶ βασιλεὺς εἶναι, καὶ τὰ τούτου βασίλεια λέγεσ- C
θαι μεταθεμένοις τὸ ὄνομα δύναται· καὶ ἦν μὲν αὐτῷ πρὸ τοῦ σταυροῦ καθ' ἡμῶν,
ἄμαχος ἡ τοιαύτη ἀρχή, πᾶσαν ἀναστάσεως ἐλπίδα περικόπτουσά τε καὶ νεκροποι-
οῦσα· τοῦ δὲ δεσποτικοῦ πάθους τῆς ἰσχύος αὐτὸν παντελῶς ἀφελομένου, εἰκότως
καὶ κατὰ λόγον φαμὲν ἐσκυλεῦσθαι τὰ τούτου βασίλεια.

θ. Ἔνεστιν οὖν οἶμαι, γνώμῃ τε χαιρούσῃ καὶ παῤῥησιαζομένῃ γλώσσῃ λέ- D
γειν, ὅπως τε θελητόν ἐστι καὶ ἀθέλητον ὁ θάνατος τοῦ υἱοῦ τῷ πατρί· καὶ ὅπως
ἑκάτερον αὐτοῦ περὶ τὸν πολέμιον ὁρᾶται λεγόμενον· καὶ ὡς μὲν ὑπὲρ ἡμῶν τὸν
σταυρὸν ὑπέστη, καὶ τὸ οἰκεῖον ὁ φιλάνθρωπος αἷμα ἐξέχεεν, οὐ προσήνεγκε δὲ
τοῦτο τινί· οὐ γὰρ αὐτῷ σκοπὸς ἦν προσενεγκεῖν, ἀλλ' ἐν τῷ πάθει τὸ ἀπολωλὸς
ἀνασώσασθαι· οὐ προσήνεγκεν οὖν, εἰ μή τινι κατὰ μεταφορὰν τὸ ὑπὲρ ἡμῶν πα- E
θεῖν αὐτὸν, φίλον ἐστὶν ὀνομάζειν προσενεγκεῖν· ἀκώλυτος γὰρ διὰ τὴν ὁμοιότητα
τῆς φωνῆς ἡ χρῆσις ἐν σχήματι λεγομένης τροπῆς· ὥσπερ κεκωλυμένον τῆς τὸ κύ-
ριον ἐχούσης προσηγορίας τὸ ἰδίωμα ἐπὶ ταύτης ἀπαιτεῖν· καὶ φανερὸν ὡς οὔτε

enim sacrilega gens defixit: neque uti trophaeum de hoste, verum ut communis servatoris supplicium. Sed tamen ille malitia eorum in victoriam de hoste versa, cruce tamquam trophaeo usus est. Neque igitur Iudaeorum impietas trophaeum statuit, neque rursus servator hominum crucem sibi defixit: sed quod illi lignum ad Domini supplicium defixerant, hic ad salutem naturae nostrae trophaei forma donavit. Item inferorum regnum dicitur, reginaque mors; non quod decretis suffragioque subditorum dominatum in eos impetraverit; haec enim regis vocabulo proprie dicto conveniunt; sed quia quam rex terrenus liberam potestatem in subditos suos exercet; eandem sibi mors peccati causa vindicavit: atque ob id et regina mors et inferorum regnum translatis appellationibus dici potest. Et sane mortis erat in nos ante crucem potentia invicta, omni spe resurrectionis praecisa et extincta: verum enimvero quum dominica passio vim illius omnino abstulerit, iure meritoque diregnum eius esse direptum.

9. Ergo licet, ut arbitror, alacri animo confidentique lingua dicere, voluntariam simul et involuntariam patri accidisse filii necem: et id utrumque de hoste quoque diabolo pronunciari posse videmus. Dicimus insuper cruci Christum pro nobis subiacuisse, suumque sanguinem clementiae instinctu profudisse: neque tamen cuiquam obtulisse: non enim ei propositum erat sanguinem offerre, sed passione sua quod perierat conservare. Non igitur obtulit: nisi forte cuipiam placet, passionem eius pro nobis, figurate oblationem appellare. Nihil enim vetat ob vocabuli similitudinem, quominus eo utamur ex forma praedicti tropi: at vetitum contra est, propriae strictaeve appellationis characterem in eadem locutione exquirere. Sine dubio itaque neque offerebat neque obtulit Dei agnus, qui mundi pec-

A προσήνεγκεν οὔτε προσέφερεν (1) ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου τὸ σωτήριον καὶ καθάρσιον αἷμα τοῦ γένους ἡμῶν· εἰ καὶ ὁ πατὴρ διὰ τὸ ἀπὸ τοῦ πάθους ἐκβεβηκὸς τερπομένῃ καὶ χαιρούσῃ γνώμῃ τὸ αἷμα τοῦ παιδὸς ὑποδέξασθαι λέγεται· ἀλλὰ ταῦτα μὲν εἰ καὶ τῆς ἐλπίδος ἦν ὠδῖνεν ἡ ἐξαίτησις ἴσως μὲν ἐντελέστερον, πλήν γε κατὰ τὸν ἐπίτομον προηνήνεκται τύπον· ἐπεὶ
B μηδ᾽ ἐπιλέλησμαι κατὰ τὰς σχολαζούσας μελέτας τοῖς ἱερωτάτοις ἡμῶν δόγμασι πολλάκις ἀκοῦσαι τὴν σὴν ἀρετὴν φυλοκρινούμενα τὰ τοιαῦτα· καὶ ῥᾷόν ἐστιν ἐκ τῶν παρόντων εἴ τι καὶ λήθη τῶν λογισμῶν ἀφείλετο, εἰς τὴν τῶν παραλελειμμένων συνάγεσθαι μνήμην.

C

QUAESTIO XLIII.

Τί δή ποτε τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ εἰς ὄνομα πατρὸς Matth.
καὶ υἱοῦ καὶ ἁγίου πνεύματος βαπτίζειν μυσταγωγήσαντος, οἱ ἀπόστολοι καὶ μα- XXVIII. 19.
θηταὶ αὐτοῦ οὐχ οὕτως, ἀλλ᾽ εἰς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ ἐβάπτιζον.

D

α. Τινὰς μὲν οὖν τῶν ἱερῶν ἀνδρῶν ἐστιν ἰδεῖν ἱσταμένους πρὸς τὸ ἄπορον, οὐ δι᾽ ὧν τὸ ζήτημα διαλύεται, ἀλλὰ δι᾽ ὧν συγγνώμη τοῖς μὴ δυναμένοις φυλάξαι τὰ προστεταγμένα λύει τὸ ἔγκλημα· ὁμολογοῦσι μὲν γὰρ τοὺς μαθητὰς, μὴ καθ᾽ ὃν ἐδιδάχθησαν τρόπον βαπτίζειν· βαπτίζειν δὲ ἐν τῷ ὀνό-
E ματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, οἰκονομίας τινὸς καὶ προνοίας λόγῳ χρωμένους· καὶ τῷ καιρῷ καὶ τῷ κατεπείγοντι ἔτι μᾶλλον τὴν γνώμην ἁρμόζειν, πρὸς τὸ συμφέρον καὶ εὐπαράδεκτον τοῖς τῷ κηρύγματι προσιοῦσι τὴν μυστικὴν ταύτην καὶ ἱερὰν πρᾶξιν μεθοδεύοντας· ὃ γὰρ τῶν ἄλλων μᾶλλον ἱερῶν τοῖς πλή-

catum abstulit, sanguinem suum salutarem nostrique generis purgatorem: quamquam pater, ob passionis utilitatem, lubenti laetoque animo filii sanguinem suscepisse dicitur. Iamvero etsi haec forte supra spem postulationis tuae paulo plenius disputata fuerunt, nihilominus eadem a summario dicendi genere non recedunt. Neque enim non recordor, tuam saepe virtutem per scholasticas de augustis nostris dogmatibus exercitationes, haec accurate digesta audivisse. Est autem facilius, siquid oblivio de cogitationibus nostris detrivit, ope eorum, quae coram sunt, praetermissorum memoriam recuperare.

Curnam quum dominus et servator noster Iesus Christus in nomine patris et filii et sancti spiritus baptizare docuisset, apostoli atque horum discipuli non sic, sed in nomine domini Iesu baptizabant.

1. Sacrorum interpretum nonnullos video ita in hac quaestione versantes, ut non tam illa argumenta proferant, quibus controversia solvitur, sed ea potius quibus veniam impetrent iis qui mandato obtemperare non potuerunt, eosdemque crimine absolvant. Quippe fatentur, discipulos non illo modo quo eruditi fuerant baptizavisse, sed in nomine domini nostri Iesu Christi baptismum impertivisse, secundum oeconomiam quandam ac providentiam hac formula utentes: temporique et in primis instanti necessitati sententiam accommodavisse, dum ex utilitate et placito neo-

(1) Hosti scilicet et mangoni generis humani; ut in praecedentibus Photius dixit. Nisi enim ita intelligatur, pugna quodammodo fiet cum iis quae dicuntur a Paulo in ep. ad Hebr.

θετι προϊςάμενον καὶ θόρυβον τοῖς λογισμοῖς αὐτῶν παρεχόμενον, τοῦτο δὴ τοῦτο A
προθεραπεύειν τε καὶ προκαταρτίζειν ποιεῖσθαι σπούδασμα· προΐςατο δὲ καὶ δυσπαράδεκτον ἐνομίζετο ὁμολογεῖν τε σωτῆρα τὸν χριςὸν καὶ μάλιςα υἱὸν θεοῦ καὶ θεόν, καὶ τοῖς ἐκείνου πειθαρχεῖν παραγγέλμασιν· ὃ τοίνυν ἑώρων μάλιςα διδασκαλίας δεόμενον, ἐκεῖνο τῶν ἄλλων προυτίθεντο, καὶ κατ' ἐκεῖνο μυςαγωγεῖν τῶν προσιόντων τὸ πλῆθος ἐδοκίμαζον· διὸ καὶ βαπτίζοντες, οὐκ εἰς πατέρα B
καὶ υἱὸν καὶ πνεῦμα ἅγιον ἐβάπτιζον, ἀλλὰ τὸν κύριον Ἰησοῦν ἐπικαλούμενοι, τῷ λουτρῷ τῆς παλιγγενεσίας τῶν μολυσμάτων τοὺς λελουμένους ἐκάθαιρον· ἱερουργοῦντες μὲν τῇ τοῦ διδασκάλου κλήσει καὶ ὀνομασίᾳ τὸ δῶρον· δι' αὐτοῦ δὲ εἰς υἱοθεσίαν τοὺς ἀξιουμένους τῆς καθάρσεως διδάσκοντες καταλέγεσθαι· υἱοὺς δὲ θεοῦ κατὰ χάριν ἐκεῖνον μόνον δύνασθαι ποιεῖν, ᾧ κατὰ φύσιν τε καὶ ἐξ ἀϊδίου τὸ τῆς C
υἱότητος καὶ θεότητος ἐνυπάρχειν ἀξίωμα· δι' οὗ καὶ τὸ ὁμογενὲς πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι συνθεωρεῖται καὶ συναναφαίνεται· οἱ τοίνυν τὴν υἱοθεσίαν διὰ τοῦ υἱοῦ πιςεύσαντες δέξασθαι, οὐδ' ὅτι θεός ἐςιν ὁ ταύτην δωρούμενος βραδεῖς ἂν ὀφθεῖεν συγκατατίθεσθαι· οὕτω μὲν οὖν ἐπῆλθέ τισι τὴν ἀπορίαν ἐπιλύεσθαι.

β. Ἐγὼ δὲ οὐκ εἰμὶ δυνατὸς συνορᾶν πῶς ἄν τις μᾶλλον δι' ἑτέρων ἢ διὰ D
τούτων ἀντὶ τοῦ λύειν, δεσμὸν ἐπιβάλλειν πειραθείη, οὐκ ἀσθενέςερον τοῦ προτέρου συμπλέκειν τὸ ἄπορον (1)· κατασκευὴ γὰρ μᾶλλον ἂν εἴη τοῦτο καὶ αἰτία τῆς τῶν μαθητῶν διαφωνίας πρὸς τὸν διδάσκαλον· ἡ γὰρ αἰτία τοῦ διαφωνεῖν, οὐμενουν οὐκ ἔςι τῆς διαφωνίας ἀναίρεσις, ἀλλὰ καὶ κρίσιν ταύτῃ συνάπτειν, καὶ τοῦ δεσποτικοῦ φρονήματος διὰ μελέτης τὸ οἰκεῖον ἀνθαιρεῖσθαι· τί δ' ἂν καὶ ἕτερον τῶν E
κατεπειγόντων μᾶλλον εἴη τῆς θεολογούσης ἐκφαντορίας καὶ τὸ τῆς τριάδος ὁμοφυὲς καὶ ὁμοδύναμον συνεπτυγμένοις ἀνακαλυπτούσης ὀνόμασι; καὶ τότε μυςαγωγουμένους

phytorum mysticum hunc sacrumque ritum administrabant. Nam quod prae ceteris cernebant in vulgi animis antestare, eorumque cogitationibus perturbationem iniicere, hoc apprime procurandum sibi studioseque praemuniendum putabant. Iamvero antestabat atque omnium difficillima videbatur haec adfirmatio, servatorem scilicet esse Christum, praecipueque Dei filium et Deum, eiusque mandatis esse obediendum. Quod itaque magis indigum magisterii videbant, id ceteris praevertebant, atque ex huius norma initiandam sacris multitudinem proselytorum existimabant. Quare baptismum haud in patris et filii et spiritus sancti nomine impertiebant, verum domino Iesu invocato, regenerationis lavacro lotos culpis purgabant: administrantes quidem cum Domini invocatione et appellatione sacrum munus, simulque docentes, qui digni hac purgatione fuissent, eos per illum adoptionem consequi: quippe filios Dei per gratiam eum tantummodo posse arrogare, cui naturaliter atque ab aeterno filii atque Dei dignitas inest: qua ex re naturae quoque unitas patris et filii ac spiritus sancti conspicitur atque patescit. Iam qui adoptionem se per filium consecutos credebant, eos par erat de eius quoque divinitate, qui id donum contulerat, haud gravate adsentiri. Sic itaque nonnullis visum est controversiam hanc dirimere.

2. Ego vero haud potis sum intelligere, quicquam aptius esse aliud, quod nedum nodum haud expediat, sed potius laqueum iniiciat, et quidem non infirmiorem, eo qui supra memoratus est, ad constringendam controversiae difficultatem. Immo vero demonstratio haec erit atque accusatio dissidentium a magistro discipulorum. Nam causa dissidendi, haud est equidem dissonantiae abrogatio, sed iudicium de re interpositum, et proprii arbitrii dominicae voluntati praemeditata praelatio. Quaenam autem gravior necessitas est, quam ut sacra scientia manifestetur, atque ut trinitatis natura una visque una coniunctis nominibus reveletur? Et qui-

(1) Nos itali dicimus *scusa peggiore della colpa*.

A μένοις οὐκ ἐν ἀρχῇ, οὐ τῶν μαθητῶν ἐν τῷ ἀτελεῖ διακειμένων ἔτι, οὐδὲ τῶν
ἑκουσίων καὶ σωτηρίων παθῶν ἐπιτελεῖσθαι μελλόντων, καὶ συσκιάζεσθαι τῷ και-
ρῷ τῆς ἀκριβείας τῆς ἐν κρίσει διδασκαλίας ἀπαιτούσης· ἀλλὰ μετὰ τὸν σταυρὸν,
μετὰ τὴν ταφὴν, μετὰ τὸ σκυλευθῆναι τὰ τοῦ ᾅδου βασίλεια, καὶ δεσμοῖς ἀλύ-
τοις παραδοθῆναι τὸν πολέμιον τοῦ γένους ἡμῶν, ἡνίκα τοῦ τάφου ἀνέστη καὶ τὴν
B κοινὴν ἀνάστασιν ἐνεκαίνισε, τότε δὴ τότε τὴν ἐξουσίαν ἁπάντων τῶν ἐπιγείων καὶ
τῶν οὐρανίων ὁ φύσει ταύτην ἔχων τῇ θεϊκῇ καὶ κατὰ τὸ ἀνθρώπινον ἀναδεξάμε-
νος, τότε τὸν βασιλικὸν τοῦτον καὶ σωτήριον νόμον, οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ'
ἐν πλαξὶ κρείττοσιν ἢ κατέχειν ὕλης ἐπιγείου, ταῖς τῶν ἀποστόλων διανοίαις ἐνε-
χάραξεν· οἱονεὶ προθέματά τινα δι' αὐτῶν καὶ προγράμματα ἀνὰ πᾶσαν ἁπλώ-
C σας τὴν οἰκουμένην, καθ᾽ ἃ καὶ μυεῖσθαι καὶ τελειοῦσθαι τοὺς προσιόντας ἔδει τὴν
εὐσέβειαν· πορευθέντες γάρ φησι μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐ-
τοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· διδάσκοντες
αὐτοὺς τηρεῖν (δηλονότι καὶ πρὸ τῶν ἄλλων τὸ νῦν εἰσφερόμενον) πάντα ὅσα ἐνε-
τειλάμην ὑμῖν.

D γ. Τούτου δὴ τοῦ ἱεροῦ καὶ σωτηρίου προστάγματος, τί ἂν εἴη κατεπεῖγον
μᾶλλον; τί δὲ κρίσεως ἀνθρωπίνης δεόμενον, τῆς δεσποτικῆς φωνῆς ἱερολογού-
σης τὸ δόγμα, καὶ σφραγῖδος πάσης ἀσφαλέστερον τὴν ψῆφον αὐτῷ περιτιθεμένης;
καί τοι γε εἰ καὶ ἄμφω τὸ κατεπεῖγον ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ διενέμοντο χρείᾳ, ὅ
τε σωτήριος φημὶ νόμος, καὶ τῶν μαθητῶν ἡ γνώμη, οὐδ' ἕτερον δὲ πρὸς ἕτερον
E διεφέρετο νόημα, οὐδ' οὕτως ἦν ἀνεκτὸν τῆς δεσποτικῆς μυσταγωγίας τὴν ὑπηρε-
τοῦσαν γλῶσσαν ἔμπροσθεν ποιεῖν· εἰ δὲ τῇ θέσει τῶν μαθητῶν ἡ τοῦ διδασ-
κάλου ἀναίρεσις ἕπεται, πῶς οὐκ εἰς τόλμαν ἥκει δι' ἧς ὑβρίζεται τῆς συγγνώ-
μης ἡ χάρις; τὴν μὲν δεσποτικὴν κρίσιν μὴ τῶν κατεπειγόντων εἶναι νομίζειν· τὴν

dem discipuli haud recenter initiati fuerant, neque imperfecta adhuc conditione erant, neque voluntaria servatoris passio iam non fuerat peracta, neque tegi usque ad tempus idoneum summa controversae doctrinae notitia iam postulabat: sed post crucem, post necem, post sepulturam, post inferorum regnum direptum, post generis nostri hostem insolubilibus vinculis traditum; postquam Christus sepulcro evaserat, communisque resurrectionis auspicium dederat; tum demum terrestrium omnium atque caelestium potestatem, is qui divina natura iam eam tenebat, humana quoque natura recipiens; tunc, inquam, regalem hanc salutaremque legem haud in tabulis lapideis, sed in aliis terrenae materiae vilitatem excedentibus, nempe in apostolorum mentibus scripsit: edicto veluti quodam atque programmate universo orbi proposito, cuius verbis initiari et consecrari oportebat quicumque ad religionem accederent: nam euntes, inquit, docete omnes gentes, baptizantes eas in nomine patris et filii et sancti spiritus: erudientes ut omnia (nempe in primis quod in praesenti mandaverat) quaecumque praecepi vobis observent.

3. Sane hoc sacro servatoris praecepto quidnam urgentius esse potest? quonam autem iudicio hominum opus est, quandoquidem vox dominica doctrinam hanc tradit, omnique sigillo tutiorem sententiam suam illi circumponit? Atqui si forte lex servatoris et discipulorum opinio formula aliqua necessaria ad par ac simile officium uteretur, neque illae duae sententiae inter se dissiderent, attamen ne tum quidem ferendum videretur, servilem linguam herili de re sacra doctrinae anteponi. Quod si reapse discipulorum decreto magistrale ipsum antiquatur, nonne haec gravis audacia est, quae veniae gratiam contumelia adficit? nempe si iudicium dominicum

δὲ τῶν δούλων ἐπίνοιαν τῶν κατεπειγόντων· καὶ παρορᾷν μὲν οὗ μὴ ἔστι χωρὶς A
ἀπονοίας ὁμολογεῖν τὴν παρόρασιν, στέργειν δὲ καὶ προτιθέναι, ἧς ἡ κλῆσις δίκη
τοῦ κρίναντος· ἀλλὰ γὰρ αὐτοί γε περιφανῶς οὕτω τοσαύτης καὶ τηλικαύτης ἐν-
τολῆς ἰσχὺν παρορῶντες καὶ παραβαίνοντες, εἰ ὡς ἀληθῶς ἦσαν τῆς παραβάσεως,
πῶς ἂν ἠδύναντο τοὺς τῶν ἱερῶν μαθημάτων ἀκροατὰς παραινεῖν ταῖς δεσποτικαῖς
ἐντολαῖς πειθαρχεῖν καὶ καταῤῥυθμίζεσθαι, καὶ τῆς οἰκείας πολιτείας κατὰ ταύ- B
τας ποιεῖσθαι τὴν ἐπιμέλειαν; ἴσον γάρ ἐστι διὰ τῆς τῶν ἐντολῶν ἀθετήσεως πει-
ρᾶσθαι φύλακας τῶν προσταγμάτων ποιεῖν, καὶ ἀθετεῖν αὐτοὺς ἀπαιτεῖν τὸ ἐν
παραβάσει ἀπαράβατον· οὗ τί ἂν ὁ ἐχθρὸς εὑρήσει μᾶλλον, δι' οὗ καὶ τὴν δι-
δασκαλίαν ἐπαρθήσεται νοθεύειν, καὶ τὴν ἐσχάτην ὕβριν προσάψασθαι τῷ κηρύγ-
ματι; C

δ. Ταῦτα τοίνυν καὶ πολλὰ τοιαῦθ' ἕτερα διὰ τῶν εὐσεβῶν καὶ ἀδεκάστων
προϊόντα λογισμῶν, καὶ τὴν νομισθεῖσαν λύσιν αἰτιώμενα, ἄλλην τινὰ θεωρίαν τοῦ
ζητήματος ἀνιχνεύειν ὑποτίθεται, δι' ἧς καὶ τὸ τῆς ἀπορίας δυσπρόσοδον ἐπὶ τὸ
λεῖον καὶ ὁμαλὸν τῆς καταλήψεως ἀνευρύνεται, καὶ ὁ τῶν διαβουλίων ὄχλος διασ-
κεδασθήσεται· ὅτι μὲν γὰρ τῶν ἱερῶν ἀποστόλων αἱ παναγεῖς καὶ τελεστικαὶ τῆς D
εὐσεβείας πράξεις ἱερουργοῦσαι τὸ βάπτισμα ὀνόματι Ἰησοῦ χριστοῦ λέγονται τοῦτο
τελεσιουργεῖν, οὐδεὶς τῶν ἀκοὴν ὑγιαίνουσαν ἐχόντων ἀντιλέγειν ὑποστήσεται· τίνα
δὲ διάνοιαν τὰ τοιαῦτα ῥήματα καὶ ὀνόματα ἀναπτύσσει καὶ διερμηνεύει, οὐκέτι παν-
Act. II. τός ἐστι συνιέναι· λέγει μὲν οὖν ὁ κορυφαῖος Πέτρος εἰς μετάνοιαν τοὺς Ἰουδαίους
38. X. ἐπαλείφων καὶ συγγνώμην εὐαγγελιζόμενος τῆς μιαιφονίας, βαπτισθήτω ἕκαστος E
48. ὑμῶν ἐν τῷ ὀνόματι Ἰησοῦ χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ πάλιν ἐκ θείας ἐπι-
πνοίας τὸν ἑκατόνταρχον βαπτίσασθαι προτραπεὶς, αὐτόν τε Κορνήλιον καὶ τοὺς μετ'
αὐτοῦ τῆς παλιγγενεσίας ἀξιοῖ, τὸ δῶρον αὐτοῖς τῆς ἀφέσεως ἐν τῷ ὀνόματι τοῦ

in rerum necessariarum numero nequaquam habeatur; servorum autem excogitationes in necessariis reputentur: sique negligatur id, cuius neglectum sine vesania fateri non possumus; ametur autem atque anteponatur id, cuius electio damnatio eligentis est. Iam vero discipuli si talis tantique praecepti vim neglexissent ac violavissent, quum se reapse contumaciae eius reos praestitissent, num sacrae doctrinae asseclas hortari poterant ut mandatis dominicis obedirent, ad eaque se conformarent, suamque vitam ex horum praescripto regerent? Nam qui per ipsam praeceptorum violationem, obedientes mandatis homines facere nititur, idem sibi licentiam aufert postulandi ab aliis ne quod iam peccatum fuerit peccent. Quo quidnam opportunius inveniet hostis, unde et magisterium adulterare ausit, et extremam ignominiam evangelio aspergere?

4 Hae atque aliae huiusmodi a piis profectae incorruptisque ingeniis contradictiones, quae iustam postulant solutionem, impellunt nos ad indagandam aliam quaestionis explanationem, qua dubii asperitas ad intelligentiae laevitatem atque planitiem dilatetur, et ambiguitatum molestia dispellatur. Profecto quod sancti religionisque suasores divorum apostolorum actus baptismum in Christi nomine administratum dicant, nemo sana audiendi vi praeditus, negare audebit. Verumtamen quinam horum verborum ac nominum sensus significatusque sit, haud aeque omnes intelligunt. Ait igitur princeps apostolorum Petrus dum Iudaeos ad paenitentiam hortatur, veniamque iis patratae caedis offert: baptizetur unusquisque vestrum in nomine Iesu Christi in remissionem peccatorum. Rursumque divino adflatu ad baptizandum centurionem instinctus, Cornelium ipsum et qui cum eo erant regeneratione dignatus est, donum eis remissionis in nomine Domini impertiens. Prae-

A κυρίου ἱερουργῶν· καὶ κατὰ τὴν Ἔφεσον δὲ ἦσαν μαθηταὶ οἱ μόνον τῷ τοῦ Ἰωάννου βαπτίσματι ἐβαπτίσαντο· οὓς καὶ ἀκούοντας τοῦ Παύλου διδάσκοντος, ἡ ἱστορία ἀναγράφει ἐπιθέντος αὐτοῖς τοῦ ἀποστόλου τὰς ἱλαστηρίους χεῖρας εἰς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ χριστοῦ, τὸ οὐράνιον τῆς υἱοθεσίας δῶρον δέξασθαι, καὶ τῆς ἐπιφοιτήσεως ἀπολαῦσαι τοῦ παναγίου πνεύματος· καὶ μυρία δὲ ἄλλα τοιαῦτα κα- Art. XVIIII. 5.
B τὰ τὸν ὅμοιον τῶν ῥημάτων τύπον τοῦ βαπτίσματος ἐξενηνεγμένα ἀταλαιπώρως ἐστὶ καταλαμβάνειν· πλὴν ὡς εἴρηται πολλάκις τὸ πρόχειρον τῆς ἑρμηνείας τῷ βάθει καταδυόμενον τῆς ἱερᾶς διανοίας, ἂν μὴ προσλάβῃ τὴν φιλολογοῦσαν βάσανον καὶ μελέτην, τῆς ἀσαφείας καὶ τῆς κατὰ τὴν ὑπόληψιν στάσεως οὐκ ἐθέλει ἀπαλλάττεσθαι· καὶ γὰρ ἡ κατὰ τὰς φωνὰς ἀδιάκριτος συγκατάθεσις, καὶ ἡ κατὰ τὴν
C ἀπήχησιν τῶν ῥημάτων παραδοχὴ, ἄλλα τε πολλὰ τῶν ἀτόπων ἐν πολλοῖς πολλάκις ἀπέτεκε· καὶ νῦν ἂν οὐκ εἰς δύο τελετὰς μόνας τὸ φρικτὸν τῆς παλιγγενεσίας διακόψειεν, ἀλλὰ καὶ μυρίας ἄλλας τῇ κατατομῇ προβαινούσας ἐπιδείξει, τὴν πρώτην προσθήκην ἀφορμὴν εὑροῦσα τῶν μετὰ ταῦτα· καὶ εἰς πλῆθος ἀπολεπτύνουσα τὸ ἑνιαῖον καὶ ἄτμητον τῆς εὐσεβείας, καὶ τὸ τῆς μυσταγωγίας
D μονοειδὲς καὶ μονότροπον· ἃς οὐκέτι παραγραφόμενον, οὐδὲ τὴν πρώτην ἐπεισελθοῦσαν, καὶ τὸ προνόμιον τῆς δεσποτικῆς ἐντολῆς τεθνύσασαν, μὴ οὐχὶ συμπαραγράφεσθαι.

ε. Ὅρα δὲ εἰς πόσα κατατέμνει καὶ καταμερίζει τὸ θεῖον καὶ οὐράνιον χάρισμα τῆς υἱοθεσίας ἡ τῶν ῥημάτων ὡς πολλάκις ἔφημεν ἀβασάνιστος προσοχὴ,
E καὶ τὸ μὴ βούλεσθαι πρὸς τὸ βάθος τῆς ἀληθείας καταδύεσθαι· ἡ μὲν γὰρ κατὰ τὴν ὑπόθεσιν τῶν πρὸς τὰς λέξεις κεχηνότων, ἐν τῷ ὀνόματι Ἰησοῦ χριστοῦ βαπτίζει· ἄλλη δὲ ἐν τῷ ὀνόματι τοῦ κυρίου μόνον· τίνι οὖν τῶν εἰρημένων ἐν τῇ τοῦ δώρου τελεσιουργίᾳ χρησόμεθα; οὐκ ἔχουσι γὰρ τὸ παραλλάττον οὐδὲ τὸ

terea Ephesi quidam erant discipuli, qui Iohannis tantum baptismo loti fuerant: atque hi post auditam Pauli praedicationem, quum iis piaculares ab apostolo manus in nomine domini Iesu Christi fuissent impositae, caeleste adoptionis donum exceperunt, et sanctissimi spiritus afflatum experti sunt. Saepenumero alias secundum hanc formulam baptismum administratum haud aegre invenies. Verumtamen, uti iam dictum est, saepe facilis interpretatio in sacrae mentis sinibus condita, nisi eruditum iudicium ac meditationem nanciscatur, neque obscuritate neque apparente repugnantia liberabitur. Namque inconsultus vocibus ipsis adsensus, ac verborum prout sonant admissio, et alias multas multoties absurditates peperit, et nunc etiam non in duos solos ritus verendum regenerationis mysterium divideret, sed alios multos e divisione pullulantes exhiberet: siquidem ex incremento primo originem alia traherent; ita ut in multitudinem diduceretur unica atque individua religio, et uniformis atque unimoda sacrorum institutio: quae rituum varietas minime auferri potest, nisi prima invecta diversitas, quae divini praecepti praerogativam pessumdedit, simul auferatur.

5. Cerne autem sodes quot in partes dividat atque dispertiat divinam caelestemque adoptionis gratiam inconsiderata ut diximus verborum observantia, apud eos qui nolunt ad penetrale veritatis permeare. Quippe secundum eorum institutum, qui verba plus aequo suspiciunt, alter quidem ritus in nomine Iesu Christi baptizat, alter tantummodo in nomine Domini. Quamnam igitur ex his formulis in sacri muneris ministratione usurpabimus? Neque enim alternis et pro libito his dic-

προκεκριμένον κεχρῆσθαι τοῖς βουλομένοις αἱ φωναί· καὶ ὁ μίαν τῶν εἰρημένων πα- A
ραγραφόμενος, ἔδωκεν ὁδὸν δι' ἧς ἕξουσι τὸ κράτος καὶ τῶν ἄλλων αἱ παραγρα-
φαί· καὶ οὕτω πάσας κατὰ πασῶν παρατάττεσθαι συνελάσουσιν οἶμαι κατὰ τὴν
δεσποτικὴν μυσταγωγίαν τελοῦντες τὸ βάπτισμα· καὶ εἰ δέδοται κατὰ τὰς ἐκ-
φωνήσεις τῆς μυστικῆς υἱοθεσίας τὸ μὲν ἀφελεῖν, τὸ δὲ προσθεῖναι, τί κωλύει
πάλιν τοὺς βουλομένους καὶ παρὰ τὰς εἰρημένας ἑτέρας ἐπινοεῖν τελετάς; πόσῳ B
δὲ μᾶλλον ἀντὶ τῶν οὐκ εἰρημένων ἦν ἡ τῆς ἀληθείας αὐτῆς ἀπεθέσπισε γλῶσ-
σα ταύτην κρατύνειν, καὶ κατὰ ταύτην ἐκτελεῖν τὴν παλιγγενεσίαν ὅσιόν τε καὶ αἰ-
τίας πάσης ὑπερανεστηκός;

ς. Καὶ οὔπω εἶπον τῶν ἐλέγχων τὸ ἄμαχον ὅτι δώσουσι κἂν μὴ θέλω-
σιν οἱ τὴν δεσποτικὴν μυσταγωγίαν ἀπ' ἀρχῆς λιπόντες, ἀπείρους τὰς τῆς μιᾶς C
υἱοθεσίας τελετάς, καὶ εἰς χλεύην τὸ χάρισμα περιστήσουσι· βαπτίσουσι δὲ καὶ
οὐκέτι τοῦ ἱερέως τὰς θεοπρεπεῖς μυσταγωγοῦντος κλήσεις, ἀλλ' αὐτοῦ γε τοῦ μυ-
ουμένου πρὸ τοῦ μυηθῆναι τὴν μυσταγωγὴν πρᾶξιν ἁρπάζοντος, καὶ τότε οὐχ ἑτέ-
ρους ἀλλ' ἑαυτὸν καθαίροντος τῷ λουτρῷ τῆς παλιγγενεσίας· καὶ γὰρ ἐν αὐταῖς
Act. VIIII. 10. sqq. ἐστι τῶν ἀποστόλων εὑρεῖν ταῖς ἁγιοπρεπέσι πράξεσιν, ὡς τῶν μαθητῶν εἷς ὑπάρ- D
χων ὁ Ἀνανίας, καὶ θείας ὄψεως προσταττούσης εἰς τὸν χορὸν τῶν ἀποστόλων συν-
αγαγεῖν τὸν διώκτην καὶ δεινὸν πολέμιον τῆς εὐσεβείας τὸν οὔπω Παῦλον γεγο-
νότα, ἡνίκα καὶ τὸ σωματικὸν σκότος τῶν ὄψεων τῇ τῆς χειρὸς ἀφῇ ὁ μυσταγω-
γὸς τοῦ μυουμένου περιεῖλε, τότε δὴ τότε ὁ Ἀνανίας πρὸς τὸν ἐκ σκότους εἰς
τὸ φῶς καὶ τὸν νοῦν καὶ τὰς ὄψεις μεταβεβλημένον, καὶ νῦν φησὶ τί μέλλεις; ἀνα- E
στάς, βάπτισαι καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ κυ-
ρίου· σὺ ἐπικαλεσάμενος, ἀλλ' οὐχὶ τινὸς ἑτέρου μυοῦντος οὐδὲ ἐπᾴδοντος τὰς
θεολόγους κλήσεις· τί λέγεις; ὁ μυούμενος πρὶν ἢ τυχεῖν τῆς μυήσεως ἐμυστα-
γώγει; ὁ τῆς παλιγγενεσίας δεόμενος, αὐτὸς ἐνήργει τὴν παλιγγενεσίαν; ὁ τοῦ

tionibus uti licet: et qui alterutram praedictarum abolet, is viam munit ad alias quoque abolitiones constabiliendas. Atque ita ritus cunctos inter se quasi proelio committent ii qui baptismum ex dominica institutione celebrant. Quod si in mysticae adoptionis formulis libera sit facultas hoc auferendi, illud adiiciendi; quis iam impediat, quominus alii alias, praeter dictas, excogitent initiationes? Quanto igitur iustius atque extra omnem controversiam est, eam stabiliter, prae arbitrariis, formulam retinere, quam ipsius veritatis lingua pronunciavit, atque huius verbis regenerationem peragere?

6. Nondum tamen invictam protuli opinionis huius refutationem; nempe quod qui dominicum initiationis ritum deserere coeperint, ii vel inviti innumerabiles unius adoptionis rationes procudent, gratiamque hanc ludibrio obiicient. Baptizabunt enim haud iam sacerdote divinas praeeunte invocationes; verum ipso neophyto, antequam initietur, mystagogicum actum sibi vindicante; ita ut haud alios sed ipse se lavacro regenerationis expiet. Etenim in sanctis ipsis apostolorum actibus, Ananias ex discipulis unus, caelesti viso iussus in apostolorum coetum adscribere persecutorem illum acremque religionis hostem, nondum Paulum effectum; postea quam corporeas tenebras manu imposita initiator initiato eripuit, tunc demum Ananias homini qui mentis simul et oculorum visum receperat, quid moraris ait? surge, baptizare, et tuas culpas elue, nomen Domini invocans: tu, inquam, ipse invocans, non alius initians neque divinas invocationes praecinens. Quid ais? tyro nondum initiatus, iam tamen mystagogus erat? regenerationis indigus, auctor fiebat

A ἱερέως χερσὶ καὶ χείλεσι τελειούμενος, αὐτὸς τὸ ἐκείνου ἁρπάζων ἀξίωμα ἑαυτῷ τὴν τελειότητα περιτίθησι; τὸ γὰρ τοῦ γράμματος ἐπιπόλαιον, ᾧ πεποιθότες τὴν δεσποτικὴν ἐντολὴν παραγράφονται, τοῦτο νομίζειν αὐτοὺς καὶ μὴ βουλομένους ἀπαιτεῖ· τρόπος οὖν οὗτος ἄλλος μυήσεως μηδενὶ τῶν προειρημένων συμφερόμενος· ὅταν δὲ ὁ κορυφαῖος τὰς καθολικὰς παραινέσεις γράφων τοῖς τῶν ἰουδαίων ἐν διασπο- I. Petr. III.21.
B ρᾷ, τῷ δρόμῳ τῆς γλώττης καὶ τῷ τάχει τῆς γραφῆς χερσὶν ἀμφοῖν καθυπάτευε (a), τὸ βάπτισμα συνειδήσεως ἀπεθέσπισεν ἀγαθῆς, οὐκ ἐκ τρίποδος χρώμενος μαντικοῦ, ἀλλ' ἐκ θεολήπτου ψυχῆς ἱερολογῶν· ἀλλ' ἆρα οὐχὶ σὺ πάλιν ἁρπάσαις τὴν λέξιν, καὶ μυσταγωγίας ἑτέρας εἰσήγησιν οὐκ ἀνακηρύξαις, καὶ λουτρὸν ἐγκαινίζειν ἁμαρτημάτων καθάρσιον, οὐκ ἐπ' ὀνόματι τοῦ κυρίου Ἰησοῦ τελε-
C μενον, οὐδὲ κατ' ἄλλον τινὰ τῶν εἰρημένων λόγον μυσταγωγούμενον, ἀλλὰ συνειδήσεως ἀγαθῆς εἰς Θεὸν ὑπάρχον ἐπερώτημα; ὁρᾷς ὅσοις ἀτόποις ἑαυτοὺς ἐκδιδόασιν, οἷς ἡ τῶν ὀνομάτων ἀβασάνιστος προφορὰ τῆς ἐν τοῖς πράγμασιν ἀληθείας προτετίμηται; ἀλλὰ τί φημι καὶ ἕτερόν τι τῶν εἰρημένων οὐδενὸς ἀνεπαχθέστερον, ἵνα μὴ λέγω πάντων βαρύτερον; ἡ τοῦ πνεύματος μεγαλόφωνος σαλπ- Rom. VI. 3.
D ιγξ Παῦλος ὁ μετάρσιος ἄνθρωπος μέγα καὶ περιφανὲς ἀπεσάλπισεν, ὡς εἰς τὸν θάνατον χριστοῦ ἡμεῖς ἐβαπτίσθημεν· ἀκούεις ἄνθρωπε, ἀλλὰ προεῖπεν αὐτὸς, ὅσοι εἰς χριστὸν ἐβαπτίσθημεν· οὐκοῦν ἅμα δύο μυσταγωγίαι κατὰ τὴν ὑπόθεσιν τῶν ἀδιακρίτως κεχρῆσθαι δογματιζόντων τοῖς ὀνόμασι.

ζ. Τί οὖν δεῖ λέγειν; ἡ γὰρ τῶν ἐλέγχων ἀδέκαστος συνεξέτασις, οὐκ ἐκεί-
E νους μόνους ἐλέγχειν ἔσχε τὸ ἀπαράγραπτον, οἳ διαφόρους μυσταγωγίας παρὰ τὴν δεσποτικὴν τερατολογοῦσι τοὺς μαθητὰς ἐπιδείξασθαι. ἀλλά γε δοκεῖ παρενείρειν ὅλως τῆς δεσποτικῆς ἱερολογίας προκειμένης ἑτέρας φωνὰς, αἳ μὴ κατὰ

regenerationis? qui sacerdotis manibus labiisque initiandus erat, ipse huius dignitatem invadens, consecrationem sibimet circumponebat? Nam litterae superficies, qua freti dominicum praeceptum abrogant, sic eos statuere, etsi praeter voluntatem, cogit. Alius igitur hic est initiationis ritus, nullique superiorum similis. Quid vero cum princeps apostolorum generales adhortationes dispersis Iudaeis scribens, linguae cursu scripturaeque celeritate, manibus scilicet ambabus gubernans, baptismum conscientiae bonae nunciavit, haud sane fatidico insistens tripodi, sed adflato divinitus animo loquens? nonne tu hac protinus dictione arrepta, consecrationis alterius inventionem praedicabis, novum nempe lavacrum peccata expians, neque id in domini Iesu nomine peragendum, neque alio quovis praedictorum modorum concelebrandum, sed quod conscientiae bonae in Deum interrogatio sit? hem quantis se absurditatibus implicant hi qui inconsultam verborum pronunciationem veritati rerum anteponunt! Cur porro iam memorem exemplum aliud haud minus molestum, ne dicam omnium gravissimum? Clarissima sancti spiritus tuba Paulus, ille mortalis adhuc in caelum sublatus, valide perspicueque personuit, nos in Christi morte fuisse baptizatos. Audin homo? Atqui idem Paulus antea dixerat, quotquot in Christo baptizati sumus. Ergo duae iam sunt initiandi formulae, secundum eorum opinionem qui sine iudicio ullo vocabulis utendum esse pronunciant.

7. Quid ergo dicendum est? Profecto harum convictionum aequa consideratio non solum coarguit eorum hominum indefinitam rationem, qui varias praeter dominicam initiandi formulas a discipulis traditas incredibiliter fingunt; sed eadem quoque videtur inserere dominico effato alias voces, quas indifferentiam er-

(a) Eleganter hoc utitur Photius ignoto nostris fortasse lexicographis consulari verbo; quia sermo est de ecclesiae supremo gubernatore Petro, quasi christianae reip. consule.

πάντα πρὸς αὐτὴν τὸ ἀπαράλλακτον διασώζουσιν (α) ἀποφαίνειν οὐκ ἀναίτιον· τὸ A
δὲ, οὐδὲν τοιοῦτόν ἐστιν· οὐ γὰρ ἀντινομοθετοῦσι πράττειν παρὰ τὸν ἐκείνης ὅρον
καὶ τὸ θέσπισμα· οὐδ' εἰς ἑαυτὰς περιϊστῶσι τὸ ταύτης προνόμιον· εἰς αὐτὴν δὲ
μόνην ἀναφέρουσι τὸν τῆς παλιγγενεσίας λόγον, καὶ ταύτην ἐν τῇ ποικιλίᾳ τῶν
ὀνομάτων διασημαίνουσί τε καὶ ἀπαγγέλλουσι· τί οὖν δεῖ λέγειν; τί δὲ ἄλλο
παρ' ὃ εἴρηται; καὶ παραδειγματικῶς εἰπεῖν ὅτι πάντα ὅσα τὴν παλιγγενεσίαν B
ἐπισημαίνονται, οἷον λαμπάδες εἰσὶ τινὲς φωταυγοῦσαι, καὶ πρὸς τὸ θεῖον καὶ
πηγαῖον ἐκεῖνο καὶ ἀκήρατον καὶ ἀέναον ἀναχεόμεναι· οὐ μὴν αὗταί γε εἰσὶ τὸ
καθάρσιον πῦρ, οὐδὲ κατὰ ταύτας τελεσιουργεῖται ἡ ἀναγέννησις· ἀλλ' ἓν μέν
ἐστιν ἐκεῖνο τὸ τὴν ὑπὲρ λόγον χάριν καὶ υἱοθεσίαν χαριζόμενον, ἐκεῖνα δὲ τοῦτο πα-
ραδηλοῦσι· τὰ μὲν σαφέστερον, τὰ δὲ αἰνιγματικώτερον καὶ τὴν αὐτὴν ἡμῖν καὶ μίαν C
μυσταγωγίαν μυστικῶς τε καὶ συνεπτυγμένως ὑποσημαίνονται· καὶ γὰρ τοῖς μὲν φι-
λοθεάμοσι καὶ νοῦν ὀνομάτων καὶ ῥημάτων κατανοεῖν χάριν παρὰ τοῦ πνεύματος εἰ-
ληφόσιν, ἕκαστον τῶν ἀνὰ μέρος εἰρημένων τὸ εἰς πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον
ἀπαγγέλλουσι βάπτισμα· τοῖς δὲ μέχρι τῆς πύλης τῶν ἀκοῶν τὸν ἦχον πα-
ραδεχομένοις τοῦ ῥήματος, τὸ δ' ἔνδον κωφὸν προϊεμένοις κριτήριον, μυρίοις ἂν D
εἴη περιπταίειν τοῖς παραπτώμασιν.

η. Οὐκ ἐπὶ μόνης δὲ τῆς παρούσης ὑποθέσεως ψιλαῖς ταῖς λέξεσι πολλοὶ
τῶν πραγμάτων ἀποστάντες προσκάθηνται· ἀλλὰ καὶ ἐπὶ μυρίων ἄλλων, δι' ὧν
τὰ αἱρετικὰ τῆς ἐκκλησίας παραφυέντα ζιζάνια, καρπὸν μὲν οὐδένα τρόφιμον γεωρ-
γεῖ, δηλητηριώδη δὲ βλαστάνει φάρμακα· ἀλλ' οὐχ οὕτως ἡ εὐσέβεια, πανταE
χοῦ δὲ μᾶλλον τοῦ πνεύματος ἢ τοῦ γράμματος γινομένη, καὶ τὸν καρπὸν τῆς εὐ-
σεβείας τρυγᾷ, καὶ τροφῆς ἀπολαύει, οὐδεμιᾶς ἐπιγινομένης αὐτῇ δρακοντείας

ga illud haud satis tueri, non absurde causari licet. Atqui revera negotium non ita se habet: non enim voces illae quicquam fieri statuunt, praeter dominicae locutionis terminos atque oraculum; neque sibi praerogativam huius vindicant; sed ipsae potius ad praedictam illam regenerationis formulam referuntur, atque eandem tota suorum varietate verborum significant ac designant. Quid igitur dicendum? quid, inquam, aliud praeter id quod iam dictum est? Nimirum generali notione dicendum est, omnia quae regenerationem significant nomina, vice fungi facularum quarumdam lucentium, quae in divinum illum et originalem et immortalem ac perennem ignem refunduntur. Neque sane ipsae ignis ille purgatorius sunt, neque per ipsas regeneratio fit: nam unus est qui inenarrabilem gratiam atque adoptionem confert ignis; illae autem faculae hunc ostendunt, aliae quidem clarius, aliae paulo obscurius; ita tamen ut unam eandemque initiationem mystice atque arcane nobis significent. Profecto considerandi studiosis, atque iis qui ad cognoscendum nominum verborumque sensum gratia spiritus adiuvantur, cuncta quae supra singillatim dicta fuere, baptismum in patre et filio et spiritu sancto praedicant. Verum ii, qui in aurium tantummodo limine vocabuli sonum excipiunt, caeco autem interiore iudicio utuntur, innumeris circumferri erroribus solent.

8. Neque in hoc solum, quod nunc versamus, proposito multi re omissa nudis vocibus haerent; verum etiam alias saepissime: quo fit ut haeretica exoriantur zizania, quae nullum utilem fructum adferunt, immo vero exitialia venena generant. Aliter se gerit pietas, quae sane ubique spiritum potius quam litteram consectatur; et religionis fructum percipit, eiusque alimonia fruitur, sine ulla serpentini semi-

(a) Num scribendum ὡς — διασώζειν ?

A ἐπισπορᾶς· ἀλλ' οὐδὲ ἴχνος οὐδὲν ὑποφαινούσης τοῦ παλαιοῦ ὄφεως· ἐπεὶ πῶς ἂν εἴη λέγειν ὡς τὸ εἰς χριστὸν βαπτίζειν, ἕτερος νόμος βαπτίσματος; πῶς δ' ἄλλος τὸ εἰς τὸν τοῦ χριστοῦ βαπτίζειν θάνατον; εἰ γὰρ τῆς μυσταγωγίας νόμος ἦν τούτων ἑκάτερον, ἀλλήλοις ἀντενομοθέτουν ἄν· καὶ δι' ὧν τις ἀνατρέπειν ἐπιχειρεῖ θάτερον, τὸ λοιπὸν συνανατρέπει· ὡσαύτως δὲ καὶ εἰ νόμων εἰσφορᾶς προνόμιον B εἶχον τὰ τοιαῦτα, οὐκ ἀλόγως ἂν καὶ ἡ δεσποτικὴ μυσταγωγία εἰς τὸ περιττόν τι καὶ ἄχρηστον παρεδύετο· κἀκείνη πάλιν τούτων ἁπάντων εἰσηγεῖτο μετὰ λαμπροτέρας τῆς ἰσχύος καὶ τοῦ ἀξιώματος τὴν ἀναίρεσιν· οὐκοῦν καὶ ἀπὸ τῆς ἄλληλα τῶν πολλάκις εἰρημένων ῥημάτων ἀποσκευάσασθαι· ἀλλὰ τί ποτε ἦν ὃ λέγει, ἢ ὅτι διὰ τοῦτο μὴ προηγούμενον ἔργον ἐθέμην τὸ βάπτισμα; ἵνα μὴ τῷ πλήθει τῶν I. Cor. I. 14.
C βαπτιζομένων, δόξαν ἐμαυτῷ περιάπτειν τοῖς βασκάνοις λέγειν, καὶ τὰ κάλλιστα τῷ φθόνῳ βάλλειν βίον ποιουμένοις, πρόφασιν ἐπὶ διαβολῇ παρέξω· καὶ τὴν σωτηρίαν τῶν ἀναγεννωμένων καπηλεύειν, ἐπαίνοις ἰδίοις τὸ δῶρον τοῦ πνεύματος ἐνυβρίζων· καὶ δι' ἄλλων δὲ μυρίων ἔστι συνιδεῖν, ὡς ἡ δόξα καὶ ὁ ἔπαινος καὶ ἡ τιμὴ σημαίνεται τῷ ὀνόματι.

D θ. Καὶ δὴ διὰ τούτων ἡ τοιαύτη θεωρία, καὶ ἐπ' αὐτὰ τὰ καθέκαστα τῶν ὀνομάτων διαβαίνει· ἃ δὴ τὸν διαφορισμὸν καὶ τὴν διαστολὴν ποιεῖται τῶν προσώπων· καὶ νῦν μὲν μίμησίν τινα καὶ ὁμοίωσιν τοῦ κατάρξαντος προσώπου πράξεώς τινος μεγαλοπρεποῦς ἀπαγγέλλει· νῦν δὲ φυλακὴν καὶ συντήρησιν τῶν παραγγελμάτων ὑπογράφει· ταύτῃ γὰρ καὶ εἰς τὸν Μωσῆν οἱ ἰσραηλῖται βαπτίσασθαι I. Cor. X. 2.
E λέγονται· οἷον ἐκεῖνον μιμούμενοι τὴν ὑγρὰν φύσιν πεζοπορούντες ποσὶν ἀβρόχοις διέβησαν· καὶ τῆς πράξεως ἡγεμόνα ποιησάμενοι, καὶ πρὸς αὐτὸν ὅλην τὴν ἐλπίδα ἀναθέμενοι, τῶν αἰγυπτίων τῆς ἐπιβουλῆς ὤφθησαν κρείττους· καὶ οἷς αὐτοὶ ῥείθροις οὐδὲ τοὺς πόδας ἐνετίζοντο, τούτοις ὑποβρυχίους γινομένους τοὺς

nis insitione; immo draconis veteris ne vestigio quidem usquam obvio. Nam cur dicere liceat, baptizare in Christo, aliam esse legem baptismi? Item cur alia lex sit, baptizare in Christi morte? Nam si utraque locutio lex initiandi est, profecto leges invicem repugnant. Porro quibus argumentis alterutram convellere machinaberis, iisdem reliquam simul evertes. Similiter si hae locutiones vim latae legis haberent, illa iam dominico ore pronunciata initiandi formula non immerito videretur inutilis ac supervacanea: vel potius haec ipsa praedictarum omnium pro sua luculentiore vi ac dignitate abrogationem inveheret. Quare formulae iam saepe memoratae invicem expungerent. Quid autem Pauli illud dictum? se nimirum haud praecipuam dedisse operam ut baptizaret: ne, inquit, multitudine baptizatorum gloriam mihimet me quaerere dicerent invidi: neve iis calumniandi ansam praeberem, qui optima quaeque livore suo insectari solent: atque ita salutem renatorum lucro haberem, dum laudibus propriis adversus spiritus donum iniurius fierem. Demum ex innumeris aliis locis cognoscere possumus, gloriam et laudem et honorem vocabulo *nomen* significari.

9. Quin adeo doctrina huiusmodi per singula nomina hoc pacto deducitur. Etenim nomina apprime quidem personarum discrimen distinctionemque efficiunt: et modo quidem imitationem quandam similitudinemque denotant personae alicuius, quae facinus illustre adgreditur; modo autem mandatorum curam atque observantiam significant. Sic enim et Israelitae in Mose baptizati dicuntur: quippe qui huius exemplo humidum elementum siccis pedibus permearunt: quem dum sequuntur ducem, dumque in eius respectu spem omnem collocant, Aegyptiorum laqueis evaserunt: et quibus ipsi fluctibus ne pedum quidem tenus humectati sunt,

διώκτας ἔβλεπον· καὶ διπλαῖς εὐφροσύναις ἐνετρύφων, τῆς τε τῶν ἐχθρῶν παρα- A
δόξου πανωλεθρίας, καὶ τῆς ἰδίας ὑπὲρ λόγον σωτηρίας· τοιαύτης τινὸς ἀκολουθίας ἔχεται, καὶ ἅπερ τῆς οἰκουμένης ὁ διδάσκαλος φησίν· ὅσοι εἰς χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν· διὰ μὲν γὰρ τοῦ εἰς χριστὸν ἐβαπτίσθημεν, τὸ κατὰ τὴν ἐκείνου μυσταγωγίαν καὶ τὴν παραδιδομένην τελετὴν ἀπαγγέλλει καὶ ἡμᾶς τὴν ἀναγέννησιν ἐπιτελεῖν· διὰ δὲ τοῦ εἰς τὸν θάνατον αὐ- B
τοῦ, οὐχ ὅτι τὸ λουτρὸν τῆς παλιγγενεσίας τῇ τοῦ δεσποτικοῦ θανάτου ἐπικλήσει τελεσιουργοῦμεν· μὴ γένοιτο· Εὐνομίῳ γὰρ τῷ ἀνομοίῳ τὸ τοιοῦτον ἐτολμήθη παρανόμημα (1)· ἀλλ' ὅτι οἱ βαπτιζόμενοι εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ὡς ἐν ἱεροῖς συμβόλοις καὶ κρυφιομύστοις αἰνίγμασι τὸν τοῦ σωτῆρος ἐκμιμοῦνται θάνατον, καὶ ὑπογράφουσι καὶ διατυποῦσιν ἅπερ ἑκὼν ἐκεῖνος C
ὑπέμεινε· τὴν μὲν τριήμερον ἐν τῷ ᾅδῃ διατριβὴν ἐξεικονίζοντες τῇ τριπλῇ καταδύσει· τῇ δὲ ἴσῃ πάλιν ἀναδύσει, τὴν τριήμερον ἀνάστασιν· δι' ἣν καὶ ἡ ἀποκατάστασις ἡμῖν τοῦ παλαιωθέντος Ἀδὰμ καὶ ὁ ἀνακαινισμὸς συνεξεικονίζεται· ἐπεὶ καὶ αὐτὸ τὸ εἰς χριστὸν βαπτίζεσθαι, καὶ τὸ εἰς τὸν θάνατον αὐτοῦ, καὶ εἰς ἓν σῶμα, καὶ εἰς τὸ ὄνομα τοῦ χριστοῦ, καὶ τὰ τοιαῦτα, τῷ μὲν σχήματι τῶν ὀνο- D
μάτων καὶ ῥημάτων οὐδὲν ἐπιδείκνυται μέγα παραλλάττοντα· ἐν δὲ τῇ σημασίᾳ τοῦ νοήματος, καὶ διακρίσει καὶ ἀπαγγελίᾳ τοῦ πράγματος, μεγίστην ὅσην τὴν διαφορὰν ἐμφανίζουσιν.

ι. Ὅτι μέν τοι τὸ ὄνομα καὶ τρόπον ἄλλον τὴν τοῦ κηρύγματος δύναμιν ἀπαγγέλλει(2), ὁ τοῦ Παύλου μυσταγωγὸς Ἀνανίας, ἡνίκα φόβῳ τοῦ παθεῖν ἅπερ E
ἦν εἰκὸς ὑπονοεῖν τὸν Σαῦλον ποιεῖν, σαφῶς παριστᾷ· πρὸς γὰρ τὸν χρηματι-

iisdem obrutos persecutores suos viderunt: duplicique gaudio elati sunt, nempe et hostium insperato exitio, et suae salutis miraculo. In hanc ferme sententiam conspirant etiam quae mundi doctor ait: quotquot in Christo baptizati fuimus, in eius morte sumus baptizati. Nam verbis *in Christo baptizati sumus*, utique docet, iuxta illius ritum mandatamque initiandi formulam, a nobis fieri regenerationem. Verbis autem *in eius morte*, haud sane ait nos lotionem regenerationis cum dominicae mortis invocatione peragere; quod absit: namque anomaeus Eunomius hoc crimen ausus fuit: sed ait baptizatos in nomine patris et filii et spiritus sancti, quasi sacris symbolis arcanisque mysteriis dominicum obitum imitari; atque oculis subiicere et deformare quae ille sponte perpessus est: scilicet triduanam apud inferos moram triplici mersione repraesentare: rursusque totidem emersionibus resurrectionem tertia die peractam; cuius beneficio redintegratio nobis veteris Adami renovatioque conficitur. Siquidem et locutiones in Christo baptizari, et in morte eius, et in uno corpore, et in nomine Christi, et aliae huiusmodi, quod quidem adtinet ad nominum verborumque figuram, haud magnopere discrepare inter se videntur; verumtamen sententiae vi, et ipsius rei definitione ac notatione, mirum quantum inter se differunt.

10. Quod autem alio etiam sensu nomen significet praedicationis vim, Pauli initiator Ananias manifeste docuit, quum ea se passurum timeret quae non temere ex Saulo expectanda erant. Divino enim recepto oraculo, ut persecutorem sacris

(1) Veterum auctorum testimonia, qui huius criminis Eunomium postulaverunt, profert Ursus cardinalis dissert. de baptismo in Christi nomine part. II. p. 64. sqq. Legatur etiam Harduinus in dissertatione item de baptismo in Ch. nom. thesaur. theolog. tom x. part. I. p. 104.

(2) Sic v. gr. apud Livium *nomen latinum* pro *latina rep. seu potentia*.

A ζοντα αὐτῷ μυσαγωγῆσαι τὸν διώκοντα, κύριε ἀκήκοα φησὶν ἀπὸ πολλῶν πε-
ρὶ τοῦ ἀνδρὸς τούτου ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου ἐν Ἱερουσαλήμ· εἶτα
καὶ ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ
ὄνομά σου· καίτοι τῶν πιστῶν οὐκ ἦν ἔργον οὐδὲ σπούδασμα οὐδενὶ ψιλὸν τὸ τοῦ
χριστοῦ ὄνομα ἀναβοᾷν· οὐδὲ χωρὶς τῆς δογματικῆς ὀρθότητος καὶ τῆς πίστεως
B ἣν ἐκεῖνος ἐμυσαγώγησε, τὴν κλῆσιν ἀπαγγελίαν διὰ τῶν χειλέων ποιεῖν· ἀλλά
γε νῦν ἐπικαλουμένους ἐκείνους τὸ ὄνομα λέγει τοῦ χριστοῦ, ὅσους ἡ εἰς αὐτὸν
ἐκόσμει πίστις, καὶ τῆς κατ᾽ αὐτὸν μυσαγωγίας εἶναι ὁρᾷν ἐραστὰς, καὶ τῆς εὐ-
σεβείας ἀγαν αὐτοῖς ἡ ἀκρίβεια· τί δὲ τοῦτο ἄλλο ἦν, ἢ τὸ φρονεῖν καὶ κηρύτ-
τειν υἱὸν μὲν τοῦ θεοῦ τὸν σωτῆρα εἶναι, καὶ τῷ πατρὶ ὁμοούσιον; ἐγὼ γάρ φησι Ioh. X. 30.
C καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ μὴν καὶ τὸ πανάγιον πνεῦμα ὡς ἐκ τοῦ πατρὸς ἐκ-
πορευόμενον (1), καὶ τῆς αὐτοῦ δόξης τε καὶ θεότητος οὐκ ἀλλοτριούμενον· τὸ γὰρ κα-
τὰ φύσιν μᾶλλον δὲ ὑπερφυεστάτῳ καὶ ἀῤῥήτῳ λόγῳ τῆς πατρικῆς οὐσίας προ-
ϊὸν, τοῦ προβαλλομένου τὴν δόξαν καὶ τὴν ἐξουσίαν καὶ δύναμιν ἐν ἑαυτῷ φέρειν
οἶδε, καὶ τὸν χαρακτῆρα τῆς ὑπὲρ λόγον οὐσίας ἀπαραχάρακτον συντηρεῖν· δῆ-
D λον δὲ ὅτι καὶ ὁ υἱὸς ἀπαύγασμα ὢν τοῦ πατρὸς, ἅπαντα φέρειν ἐν ἑαυτῷ ὅσα
γεννῶν ὁ πατὴρ ταῖς ἀκτῖσι τῆς θεότητος τὴν μορφὴν ὡράϊζε τοῦ γεννήματος, καὶ
τὸ συγγενὲς ἀνεκήρυττε· τῇ τοιαύτῃ τοίνυν θεολόγῳ μυσαγωγίᾳ τῶν πιστευόντων
ἐτελεῖτο τὰ πλήθη· καὶ δικαίως ἂν λέγοιντο τὸ ὄνομα τοῦ σωτῆρος ἐπικαλεῖσθαι,
διότι τοῦ δόγματος οὗ διδάσκαλος ἐχρημάτιζεν, αὐτοὶ διέσωζον τὴν ὀρθότητα.
E ια. Οὐδὲν δὲ ἧττον προϊὼν ὁ λόγος καὶ δι᾽ ἑτέρων παραστήσει τῆς τοιαύτης

imbueret: audivi, inquit, Domine a multis de viro hoc, quanta is mala sanctis tuis intulerit in urbe Hierosolymis. Tum addidit: et quidem huc etiam accepta a sacerdotibus potestate venit vinciendi omnes qui hoc nomen invocant. Atqui fidelium nemini negotium studiumque erat, ut nudum Christi nomen inclamaret, neque ut absque dogmatum rectitudine traditaque ab illo fide, hanc labiorum tenus invocationem, salutiferi nuncii loco haberet. Sed reapse nomen Christi invocantes dicit illos, quos fides in eum ornabat, et qui evangelicorum sacrorum studium prae se ferebant, quique ad pietatem summo studio enitebantur. Hoc autem quid aliud erat praeter quam credere ac praedicare servatorem nostrum Dei esse filium, patrique consubstantialem: (ego enim, inquit, et pater unum sumus) nec non sanctum spiritum a patre procedentem, atque ab eius gloria ac divinitate minime alienum. Nam qui naturaliter, immo vero supernaturali maxime et inenarrabili ratione a paterna substantia procedit, hunc oportet producentis gloriam et potestatem et vim secum deferre, atque inlibatum inenarrabilis subtantiae characterem retinere. Constat insuper, filium qui patris splendor est, omnia secum ferre quibus gignens pater per radios divinitatis formam geniti convenustavit coniunctamque naturam patefecit. Hac igitur theologica initiatione multitudo credentium imbuebatur. Iure autem servatoris nomen dicuntur invocavisse, quia doctrinae, cuius ipse antecessor erat, rationem veram hi retinebant.

11. Sed enim progrediens sermo aliis quoque argumentis sententiae huius pro-

(1) Dum spiritum *a patre* procedere ait, neque *a filio* addit, oblique saltem heic quoque errorem suum de filii a solo patre processione Photius prodit, quem alibi plurimis verbis inculcat, nempe ep. II, seu libello encyclico. Legenda vero sunt quae Montacutius copiose disputat contra illam Photii epistulam, nec non cl. A. Schottus ad amphiloch. quaest. XXXIII. Et quidem res satis ventilata fuit in florentino concilio, et a catholicis passim theologis; quos inter vide certe Allatium.

δόξης τὸ ἀκόλουθον· λέγει γὰρ ὁ χρηματίζων τῆς πολλῆς ἀγωνίας ϗ τοῦ δέους A
ἀνακαλούμενος τὸν μυσταγωγὸν τοῦ Παύλου, ὅτι περ ὃν τέθηπας ϗ δέδοικας ὡς
πολέμιον τοῦ σωτηρίου κηρύγματος, οὗτός μοι σκεῦος ἐστὶν ἐκλογῆς· εἶτα τοῦ βα-
στάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν τε ϗ βασιλέων υἱῶν τε Ἰσραήλ· ἀντὶ τοῦ,
οὐ μόνον αὐτὸς τῶν ἐχθρῶν τῆς φάλαγγος ἀποπηδήσει, ἀλλὰ ϗ προασπιστὴς
τῆς πολεμουμένης εὐσεβείας ἀναδειχθήσεται· ϗ γὰρ ὑπὸ τῶν δυσσεβούντων πο- B
λιορκούμενόν τε ϗ κατασειόμενον, αὐτὸς ἀναβαστάσει ϗ ὑποστηρίξει ϗ ἀκράδαντον
παραστήσει τὸ θεοσεβὲς κήρυγμα· τοῦτο γὰρ ἐνταῦθα ἡ τοῦ ὀνόματος ἀπαγγέλ-
λει δύναμις, τὴν ἀληθῆ πίστιν, τὸ τῆς εὐσεβείας φρόνημα, τῆς θεολογίας τὸ
κήρυγμα, τῆς τοῦ λόγου σαρκώσεως τὸ μυστήριον· ἐπεὶ τί χαλεπὸν ἦν, τίνων
Matth. VIII.29. δὲ στηριγμάτων δεόμενον, ἁπλῶς οὕτως καὶ μιᾷ φωνῇ προσαγορεύειν τὸν κύριον; C
καὶ αὐτῶν ἐνίοτε τῶν δαιμονίων ἀναβοωμένων καὶ μετὰ προσθήκης τινὸς τὸ δεσ-
ποτικὸν ὄνομα· ἀλλὰ δῆλον ὡς νῦν ὄνομα, τὸ διὰ Παύλου καταγγελλόμενον κή-
ρυγμα λέγει, καὶ τὸ πρὸς θεὸν ἀναφερόμενον σέβας, ὑπὲρ οὗ μυρίους καθ᾽ ἑκά-
στην θανάτους ὁ πρὶν διώκτης ἡδέως ἔφερε, διδάσκων, παραινῶν, μυσταγωγῶν,
κηρύσσων τὴν πίστιν, καθ᾽ ἣν αὐτῷ μυσταγωγίαν ὁ σωτὴρ ἀπεκάλυψεν· ἐγὼ γάρ D
φησιν ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν.

ιβ. Καὶ ὅρα συνεχὴς ἡ χρῆσις τοῦ ὀνόματος· διατί; ἵνα ἡ ἐπιμονὴ τῆς φω-
νῆς τὸ αὐτὸ πρᾶγμα πολλάκις σημαίνουσά τε καὶ κατάδηλον ποιουμένη, ὥσπερ διὰ
τῆς ἀκοῆς ἐντυπώσειε τοῖς λογισμοῖς τὸ τῆς εὐσεβείας μυστήριον, ϗ οἷα βασιλι-
κὸν ἐκσφράγισμα ταῖς διανοίαις τοῦτο φέροντες ϗ πρὸς αὐτὸ ἀφορῶντες, μὴ πρὸς E
πολλὰς εἴημεν ὁδοὺς διαφόροις φωναῖς σχηματιζομένους ἐκτρεπόμενοι· ὑπὲρ τοῦ
μυστηρίου τούτου ϗ τῆς περὶ τὴν πίστιν ἀκριβείας ὁ Παῦλος ἔπασχε τὰ ἀνήκεστα·
οὐ γὰρ περὶ ὀνόματος ψιλοῦ, οὐδὲ συλλαβῶν βραχείᾳ συνθέσει, τὸ φρικτὸν ϗ

babilitatem adstruet. Quippe Christi oraculum, ut a metu atque consternatione initiatorem Pauli revocet; quem exhorres, ait, ac veluti inimicum salutaris praedicationis extimescis, is est mihi vas electionis. Addit: ut portet nomen meum coram gentibus et regibus atque Israelis filiis. Nempe dicit non solum ab hostili exercitu eum transfugisse, verum etiam in prima acie vexatae fidei propugnatorem versari. Divinam, inquit, praedicationem ab impiis oppugnatam atque concussam sustinebit ipse atque firmabit immotamque statuet. Ita videlicet hoc loco vocabulum *nomen* sonat veram fidem, piam sententiam, divinae doctrinae praedicationem, verbi incarnati mysterium. Secus enim cur ardua fuisset, vel quibus adminiculis indiguisset simplex nec unius vocabuli fines excedens Domini appellatio? Certe et ipsi aliquando daemones cum aliquo etiam epitheto dominicum nomen pronunciaverunt. Sed prorsus exploratum est, nunc vocabulo *nomen*, praedicandam a Paulo doctrinam dici, devotumque Deo cultum, cuius gratia innumeras quotidie mortes is, qui antea persecutor fuerat, libenter perferebat, docendo, hortando, initiando, praedicando fidem, secundum quam servator sacra eum religione imbuerat. Ego enim, inquit, ostendam illi, quanta ipsum oporteat mei nominis causa pati.

12. Atque adeo vide sis perpetuum vocabuli *nomen* usum. Cur autem? nempe ut constantia vocabuli, quod eandem rem multoties denotat atque ostendit, vel ipso auditu menti insculpat religionis mysterium; atque ut id ceu regium signaculum pectore impressum ferentes, et ad hoc respicientes, haudquaquam in vias multiplices varietate vocabulorum patefactas divertamus. Huius causa mysterii atque accuratae fidei Paulus acerbissimas molestias pertulit: non enim nudo nomine tenus, neque intra brevem syllabarum compositionem, venerandum magnumque mysterium cir-

A μέγα τῆς πίστεως περιγράφοντος· διὸ καὶ ἀκούειν ἐστὶ τῶν ἱερῶν πάλιν ἐκδιδασ-
κόντων ῥημάτων· οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἱερουσαλὴμ τὸ ὄνομα τοῦτο; πῶς
γὰρ ἐπορθεῖτο λέξις πληγῇ ἀέρος βραχείᾳ περιγραφομένη, καὶ πρὸς μηδένα νοῦν
τό γε ἐπ᾽ αὐτῇ, μὴ δὲ δόξαν θεολόγων ἀναπλουμένη, μὴ δ᾽ ἀνθρώπων ψυ-
χαῖς ἐνιέναι δογμάτων ἀκρίβειαν δυναμένη, καὶ τὴν ὕπαρξιν χρονικωτέραν οὐκ ἔχου-
B σα τῆς γενέσεως; ἀλλὰ γὰρ δῆλον ὡς νῦν ὄνομα, οὐ τὸ σύνηθες καὶ πᾶσι
περιφερόμενον ἐννοεῖν δεῖ, ἀλλὰ τὸ τῆς εὐσεβείας ὅλης ἀπαγγέλλον τε καὶ δια-
σημαῖνον μυστήριον, καὶ τὴν τοῦ κηρύγματος διὰ πάσης ἡμῶν τῆς θεολογίας προ-
ϊοῦσαν ἀκρίβειαν· καὶ γὰρ τὸ τοιοῦτον ὄνομα, ἤτοι τῆς πίστεως ἡ τελείωσις, καὶ
ταῖς διανοίαις ἡμῶν ἐμβαθύνεται, καὶ θεμέλιον λαμβάνει ἑδραζόμενον τῇ τῶν πι-
C στευόντων φιλοθέῳ γνώμῃ καὶ τῇ στερρότητι τοῦ φρονήματος· τοῦτο τὸ ὄνομα ὁ πρὶν
μὲν Σαῦλος ἐπολιόρκει, ὁ δὲ μετὰ ταῦτα Παῦλος ἐνώπιον ἐθνῶν καὶ βασιλέων
ἐβάσταζεν, ἀπερίτρεπτον τοῦτο καὶ ἀκαταγώνιστον ἰδίοις ἐπιδεικνύμενος ἀγωνίσμασι,
καὶ πολλὰ τῶν ἐθνῶν ἀπὸ τῆς δυσσεβείας εἰς ταύτην μεθαρμόσας καὶ μυσταγω-
γήσας τὴν εὐσέβειαν· δεῖ τοίνυν ἐπειδὰν τὰ λόγια λέγῃ ὡς ἐβάπτιζον οἱ μαθη-
D ταὶ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ἢ κατ᾽ ἄλλην τινὰ συνθήκην παραπλησίου λό-
γου συμφερομένην, τῷ προκειμένῳ τῆς ἐκφωνήσεως τύπῳ ἀκολούθως τε καὶ θεο-
πρεπῶς ἐννοεῖν· καὶ τῶν μαθητῶν μηδὲν ἀνάξιον ὑπονοεῖν, ἀλλὰ κατὰ τὸ κήρυγ-
μα τοῦ σωτῆρος καὶ τὴν διδασκαλίαν, ὁμολογεῖν τοὺς ἀποστόλους τελεσιουργεῖν
τὴν ἀναγέννησιν, καὶ τοὺς ἄλλους πράττειν ὁμοίως μυσταγωγοῦντας, μηδὲν ἔξω-
E θεν τῆς δεσποτικῆς ἐντολῆς μήτε ἐννοοῦντας μή τε λέγοντας μήτε πράττοντας.

ιγ. Ἀλλὰ γὰρ ἴσως ἂν τισιν ἐπέλθοι λογοθετεῖν, ἵνα μὴ λέγω φιλονει-
κεῖν, ὡς εἴ γε εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐβά-
πτιζον οἱ μαθηταί, τί δή ποτε εἰς τὸ ὄνομα τοῦ χριστοῦ λέγονται βαπτίζειν ἢ

cumscribebat. Quare rursus audire expedit sacrorum magisterium verborum: nonne is est, qui vastabat Hierosolymis nomen hoc? Quonam autem pacto dictio, quae brevi aeris percussione finitur, vastitatem fecisset? dictio, inquam, quae nullum per se sensum continet, neque theologicam aliquam sententiam exprimit, neque in hominum animis definitum aliquod dogma imprimere potest; quae denique exsistentiam haud longaeviorem nativitate habet. Perspicuum est itaque, nunc in vocabulo *nomen* haud consuetam illam pervulgatamque significantiam esse intelligendam, sed mysterium potius quo religio universa innuitur ac denotatur, nempe exquisitam evangelii scientiam quae ex omni nostra theologica disciplina manat. Hoc nomen, seu potius fidei summa, et mentibus nostris insculpitur, et fundamentis utitur pia credentium mente constantiaque sententiae firmatis. Hoc Saulus nomen vastabat; atque idem postea Paulus coram gentibus regibusque portabat; insuperabile id atque invictum suis ipsis facinoribus exhibens, multasque gentes ab impietate ad veram religionem pertrahens, sacrisque imbuens. Igitur quotiescumque apud sacras litteras dicuntur discipuli baptizavisse in Christi nomine aut secundum aliam locutionis similis formulam, intelligendum id est digne ac convenienter prout fert propositus tesserae typus: neque indignum aliquid contra discipulos suspicandum; sed fatendum potius, iuxta doctrinam servatoris ac magisterium, apostolos sacram regenerationem perficere solitos, aliosque pariter ad id faciendum erudivisse; ita ut praeter dominicum praeceptum cogitarent, dicerent, facerentve nihil.

13. Sed fortasse aliquis ratiocinari pergens, ne dicam altercari, si in nomine, inquit, patris et filii et sancti spiritus baptizabant discipuli, curnam in nomine Christi aut aliis eiusmodi formulis baptizare dicuntur? Atqui huius rei notio in su-

εἰς τὰ ὅμοια; καὶ γὰρ τοῦτο μὲν διὰ τῶν εἰρημένων ἤδη ἀποχρώντως ἐπιδείκνυ- A
ται. ἀρκεῖ γὰρ ἀντὶ πολλῶν ἄλλων τὴν αἰτίαν ταύτην εἰς τὸ τῆς ἱερᾶς ἡμῶν γρα-
φῆς ἔθος ἀνάγειν, καὶ παραστῆσαι ταύτην οἰκειούμενον, μὴ δὲ μᾶλλον τοῦ φιλο-
σοφεῖν τὸ πολυπραγμονεῖν ἀνταλλάττεσθαι· καὶ γὰρ ἄλλα τε πολλὰ καθ' ἕκα-
στον εἶδος λόγου δι' ὧν χαρακτηρίζεται καθορᾶται ἰδιώματα· καὶ οὐδεὶς ἐπι-
γνοὺς τὸ ἰδίωμα, πρὸς ἑτέραν ἀποπλανᾶσθαι τὸν νοῦν ἀφίησι ζήτησιν· καὶ τοῦτο B
οὐ μόνον ἐπὶ τῶν θεοσόφων λόγων ἐστὶν ἀναθεωρεῖν, ἀλλὰ καὶ ἃ κοσμεῖν φιλο-
τιμεῖται γλῶσσα ἡ ἀττικίζουσα· πλὴν οὐδὲν κωλύει καὶ τὸ ἰδίωμα πλατύτερον
συνεκδιδάσκειν· καί τοι γε οὐδὲ τοῦτο παρεῖδεν ἔμπροσθεν ὁ λόγος, ὅτι μὴ ἐστέ-
ρηται τοῦ αἰτιολογεῖσθαι· καὶ γὰρ εἰς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ χριστοῦ; καὶ
εἰς τὰ παραπλήσια, ἂν ἐν τῷ διαφόρῳ τῶν φωνῶν ἀδιάφορος ἡ διάνοια καὶ μία, C
δικαίως ἂν ἀναφέροιτο ἡ παρ' αὐτοῦ μυσταγωγηθεῖσα τοῖς μαθηταῖς, καὶ διὰ τῶν
μαθητῶν τῷ κόσμῳ, πίστις, τοῦ ὀνόματος τοῦτο παραδηλοῦντος, διότι αὐτὸς ἀρ-
χηγὸς κατέστη τῆς εἰς τὸ θεῖον εὐσεβείας· καὶ διότι ἐν τῇ τοῦ Ἰησοῦ καὶ κυρίου
μνήμῃ διδασκόμεθα συγκεφαλαιοῦσθαι καὶ συνεμφαίνεσθαι τὸ μυστήριον ὅλον τῆς
τοῦ λόγου δι' ἡμᾶς οἰκονομίας· ἀναπλοῦσθαί τε δύναται τῶν εὐσεβούντων ἕκαστος, D
καὶ ἀπευθύνεσθαι δι' αὐτοῦ πρὸς τὸ τέλειον τῆς θεογνωσίας· οὐ τῇ βραχύτητι
τῆς λέξεως συναποθλίβων καὶ συστενοχωρῶν τὸν νοῦν τῶν δογμάτων· τοῦτο γὰρ ἂν
εἴη ψιλὴν τὴν φωνὴν προφέρειν· ἀλλ' ἐμπλατυνόμενος καὶ καταρτιζόμενος τῇ πί-
στει καὶ τῇ τελειότητι τῆς εὐσεβείας· εἰ βούλει δὲ, ἀχώριστός ἐστι καὶ ἀδιάστα-
τος ὁ υἱὸς τῷ πατρὶ καὶ τῷ πνεύματι· ὡς τῆς αὐτῆς ὑπερουσίου οὐσίας καὶ δυ- E
νάμεως καὶ ἐξουσίας ὑπάρχων· ὠράθη δὲ καὶ ἐψηλαφήθη σάρκα τὴν ἡμετέραν ἀνα-
1. Ioh. I. 1. λαβὼν ὁ υἱὸς, καὶ γέγονεν ἡμῖν ὄμμασί τε ληπτὸς, ἀφῇ τε ψηλαφητός· ὁ γὰρ
ἐθεασάμεθα φησὶ καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς· καὶ

pra dictis iam satis exposita est. Sufficit enim, complurium instar, si haec controversia mori sacrarum litterarum imputetur; et si is qui hanc sibi tractandam sumit, non tam curiose agere, quam veritati studere, velit. Nam et alia singula orationis genera pro sua quodque forma idiotismos habere compertum est: nemoque idiotismi guarus, in alias vestigationes pervagari mentem sinit: quae res non in divinis solum sermonibus usuvenit, verum in iis etiam quos attica lingua studiose exornat. Nihil tamen vetat quominus hunc idiotismum paulo fusius exponamus. Quamquam hanc partem ne in superiore quidem oratione negleximus, in qua rerum causas evolvere non omisimus. Nimirum in locutione *in nomine domini Iesu Christi* atque in aliis huiusmodi (quarum etsi dissimilis sonus, non absimilis tamen neque multiplex sententia est) iure meritoque intelligi fides potest qua Christus discipulos, atque hi vicissim mundum imbuerunt: nam haec a nomine denotari potest, quia Christus ipse pietatis erga Deum auctor est; et quia in Iesu dominique mentione docemur contineri summatim conspicique universum verbi pro nobis incarnati mysterium. Porro pius quisque hoc duce mysterio tendere dirigique potest ad perfectam Dei cognitionem; haud equidem contrahendo constringendoque dogmatum sensu, immo potius dilatando ac perficiendo per fidem ac pietatis consummationem. Quod si denique et hoc audire libet, indivisus et inseparabilis filius a patre spirituque est, quia scilicet eiusdem incomprehensibilis substantiae et virtutis ac potestatis particeps est. Sed tamen visus fuit atque palpatus postquam carnem nostram assumpsit filius, factus nimirum oculis nostris conspicabilis tactuque palpabilis: quod enim vidimus ait (Iohannes) et manus nostrae

(1) Haud scio an sibi quodammodo contradicat Photius p. 262. D.

A ἡ ζωὴ ἐφανερώθη· ἐξ ἑνὸς οὖν τοῦ μᾶλλον ἡμῖν διὰ φιλανθρωπίας ἄφατον πέλαγος ἐν γνώσει καθεστῶτος, καὶ τὰ ὑπὲρ λόγον μυσταγωγήσαντος τοῦ ὁμοουσίου, καὶ παντοκρατορικῆς τριάδος τὸ ὑπερούσιόν τε καὶ ἑνιαῖον ἐλλαμφθέντες, πρός τε τὴν ἄλλην τοῦ μυστηρίου θεωρίαν δι' αὐτοῦ χειραγωγηθέντες, εἰκότως ἄρα καὶ ἐπειδάν τινα πράττωμεν κατὰ τὸ παραδεδομένον δόγμα τελοῦντες, εἰς τὸν παραδεδωκότα
B ταῦτα δικαιοῦμεν ἀναφέρεσθαι.

ιδ. Ὅπως μέν τοι γε καὶ ὁ Παῦλος κατήγγελλε τὸ ὄνομα τοῦ Ἰησοῦ, καὶ κατὰ ποῖον σημαινόμενον τοῦ ὀνόματος, κἀντεῦθεν δῆλον· μᾶλλον δὲ τῶν ἐκείνου λόγων ἡ χάρις ὧν ἥψατο τῆς καρδίας, ἄδηλον οὐδενί· νῦν μὲν γὰρ τὸ φρικτὸν καὶ φιλάνθρωπον τῆς σαρκώσεως, καὶ μυσταγωγῶν καὶ κηρύττων ἐδείκνυτο· νῦν δὲ
C θεολογῶν τὴν τριάδα ἐπαῤῥησιάζετο, συνανακηρύττων καὶ τὴν ἄλλην τοῦ μυστηρίου δύναμιν θειότητα· ἀλλὰ γὰρ οὐδέν ἐστι οἷον αὐτοῦ ἀκούειν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης Hebr. I. 3.
καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, δηλονότι τοῦ πατρὸς ὁ υἱός, οὐχ ἁρπαγμὸν Philip. II. 6.
ἡγήσατο τὸ εἶναι ἴσα θεῷ· οὐδὲ γὰρ ἔσχε τὸν κλῆρον τῆς θεότητος ἐκ διαδοχῆς, οὐδὲ ἐπιθέμενος καὶ ἁρπάσας ἐξ ἑτέρου, περιέθετο τὸ κράτος ἑαυτῷ· ἀλλ' ἀπ'
D ἀρχῆς, ὡς τῆς αὐτῆς ὢν οὐσίας καὶ φύσεως, καὶ μὴ δὲ μίαν ταύτης ἀφαίρεσιν μηδαμῶς ὑποστῆναι πεφυκώς· διὰ τοῦτο μηδὲν ὅλως δυσχερὲς ὑφορώμενος, ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών· καὶ πάλιν εἷς θεὸς καὶ πατὴρ ἐξ οὗ τὰ I. Cor. VIII. 6.
πάντα· καὶ εἷς κύριος Ἰησοῦς χριστὸς δι' οὗ τὰ πάντα· καὶ ἓν πνεῦμα ἅγιον ἐν ᾧ τὰ πάντα· οὕτω δὴ οὕτω καὶ τὴν τοῦ λόγου οἰκονομίαν ἀνεκήρυττε· καὶ τῆς
E τριάδος θεολογίαν ἐκράτυνεν· ἔκ τε τοῦ μὴ ἀφελεῖν τὸ ἑνιαῖον ἀπὸ μὴ δὲ μιᾶς τῶν τριῶν ὑποστάσεων, ἀλλ' ὁμοτίμως εἰς αὐτὸ ταύτας ἀναφέρεσθαι· καὶ ἐκ τοῦ μὴ τὴν μὲν πάντων, τὴν δὲ τινῶν ἄρχειν καὶ προνοεῖν, ἀλλὰ τὰς τρεῖς πάντων

contrectaverunt de verbo vitae; et vita apparuit. Quum igitur ab uno, qui nominatim nobis ob suae charitatis infinitum pelagus cognoscendum se obtulit, quique ineffabilia nobis mysteria aperuit, a consubstantiali inquam filio, omnipotentis quoque trinitatis incomprehensibilitatem atque unitatem edocti fuerimus, atque ad reliquam myster i notitiam deducti, merito nos sane quotiescumque aliquid secundum traditum dogma facimus, merito inquam ad auctorem dogmatis rem factam referimus.

14. Quanam igitur ratione Paulus Iesu nomen nunciaret, et quanam nominis significantia, hactenus patefactum est: praesertim vero id neminem eorum latet, quorum cor sermonum illius gratia tetigit. Modo enim venerandam et clementissimam incarnationem docebat praedicandoque monstrabat: modo theologica oratione trinitatem animosius adserebat, ceteram quoque mysterii vim ac divinitatem simul depraedicans. Sed nihil melius ex eo audiri potest, quam – qui quum esset splendor gloriae et figura substantiae eius (nempe filius splendor et figura patris) non rapinam arbitratus est se esse aequalem Deo –. Non enim successione sortitus divinitatem erat, neque vi detractam alicui potentiam sibi circumposuerat: sed ab initio substantiae eiusdem naturaeque fuit, nullumque huius detrimentum pati poterat. Idcirco nihil molestum detrectans, exinanivit semet ipsum formam servi accipiens. Et rursus: unus Deus et pater, ex quo omnia: et unus Iesus Christus, per quem omnia: et unus spiritus sanctus, in quo omnia. Sic omnino Paulus incarnationem praedicabat, trinitatisque divinam notitiam confirmabat: dum scilicet unitatem nulli trium personarum detraheret, easdemque ad unum aequaliter referret; et dum haud aliam personam cunctis rebus, aliam vero nonnullis dominari et consulere diceret; sed tres

*

τῶν ὄντων καὶ τὴν δημιουργίαν ἔχειν ὁμοθυμαδὸν καὶ ὁμοτίμως, καὶ τὴν κυριότητα A
καὶ τὴν πρόνοιαν.

ιε. Ὁρᾷς ὅπως ὁ τῆς ἐκκλησίας διδάσκαλος ἐβάσταζε τὸ ὄνομα τοῦ χριστοῦ;
Rom. I. 1. ἔτι συνόρα· Παῦλος δοῦλος Ἰησοῦ χριστοῦ κλητὸς ἀπόστολος ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις, περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαβίδ· πάλιν κἀνταῦθα κηρύττεται ἡ B
τριάς· θεὸς καὶ υἱὸς τοῦ θεοῦ καὶ πνεῦμα ἅγιον, καὶ ἡ σάρκωσις συνανακηρυττομένη τοῦ λόγου· ἐπεὶ δὲ υἱὸν θεοῦ εἶπεν, ἐπάγει δι᾽ ὧν ἀφορίζεται ὁ υἱός· τοῦ γὰρ ἐπιγνωσθέντος φησὶ καὶ ἀφορισθέντος ἐξ ἄλλων τε πολλῶν ἰδιωμάτων ἃ μηδενὶ πρόσεισι, καὶ ὅτι ὃ μὴ δέ ποτε γέγονεν, αὐτουργὸς τῆς ἰδίας ἀναστάσεως γέγονεν· οὐχ ἥκιστα δὲ καὶ ἐξ ὧν τὸ πανάγιον πνεῦμα ἐπεσκίασέ τε τῷ τόκῳ τὸν C
ὁμοούσιον λόγον ἐκ σπέρματος Δαβὶδ συνεργὸν προελθεῖν, καὶ μάρτυς ἐν τῷ βαπτίσματι τῆς ἀψευδοῦς υἱότητος καὶ τῆς ὁμοουσίου θεότητος γεγονώς· εἰς κόρον ἂν οἶμαι λογισθείην τοῖς ἀκροαταῖς προσφέρεσθαι καὶ τὰ περιττὰ φιλότιμος, εἰ πάσας τὰς χρήσεις τοῦ θεσπεσίου Παύλου ἀναγράφοιμι, δι᾽ ὧν ἐθεολόγει τε
τὴν τριάδα, καὶ τῆς σαρκώσεως ἐκήρυττε τὸ μυστήριον, βαστάζων ἐνώπιον ἐθνῶν D
τε καὶ βασιλέων τὸ ὄνομα τοῦ κυρίου· διόπερ τοῖς εἰρημένοις ἀρκεσθησόμεθα, οὐδὲν ἔργον ὑπολείποντες, οὐδὲ τοῖς ἐθέλουσι κἀκείνοις, ἀναλέγεσθαι· κατὰ τὰ αὐτὰ δὲ δηλονότι καὶ τῶν ἄλλων μαθητῶν ὁ θεῖος ἐκήρυττε καὶ ἐδίδασκε χορός· ὡς δὲ ἐκήρυττον, οὕτως ἐβάπτιζον· ἐκήρυττον δὲ ὡς ἡ ἐνυπόστατος αὐτοὺς σοφία θεολογεῖν καὶ κηρύττειν ἐξεπαίδευεν· ὧν ἓν ἦν καὶ οὐδενὸς τῶν ἄλλων δογμάτων E
ἔλαττον, καὶ τὸ εἰς πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον τὸ λουτρὸν τῆς παλιγγενεσίας τελεσιουργεῖν· καὶ ταῖς αὐτῶν ἐπικλήσεσι τοὺς βαπτιζομένους ἄγειν εἰς ἀναγέννησιν· οὕτω τῶν ἀποστόλων ὁ θεόκριτος σύλλογος τὸ δῶρον ἐμυσταγώγει τῆς

personas omnium rerum creationem coniunctim aequaliterque curavisse, iisdemque moderari ac providere.

15. Viden ut ecclesiae doctor Christi nomen portaverit? Sed perge porro considerare. Paulus servus Iesu Christi vocatus apostolus segregatus in evangelium Dei, quod promiserat per prophetas suos in scripturis sanctis, de filio suo qui factus est ei ex genere David. Iterum heic praedicatur trinitas, Deus et filius Dei et spiritus sanctus; nec non et verbi incarnatio simul praedicatur. Iam ubi Dei filium dixit, adiicit etiam quanam ratione distinguatur filius. Nam quum cognitus distinctusque iam esset aliis multis proprietatibus, quae praeter ipsum nemini insunt; tum vero, quod numquam antea contigerat, ipse auctor resurrectionis suae fuit. Item spiritus sanctus foetum obumbrando dedit operam ut verbum consubstantiale ex Davidis genere nasceretur: atque in baptismate filiationi verae et consubstantiali divinitati testimonium dedit. Satietatem audientibus creem, nimiusque videar, si cunctas inclyti apostoli locutiones adscribere velim, quibus theologica oratione trinitatem nos docuit, et de incarnationis mysterio certiores fecit, nomen Domini coram gentibus regibusque portans. Quamobrem dictis contenti erimus; praesertim quia cetera, siquis volet, nullo negotio coacervare poterit. Atque hoc modo reliquus etiam discipulorum venerandus chorus praedicabat atque docebat. Iam sicuti hi praedicabant, ita etiam baptizabant. Praedicabant autem sicuti ipsos hypostatica sapientia ad theologice loquendum praedicandumque erudiverat. Iam in his unum, et quidem nulli secundum, dogma erat, ut lavacrum regenerationis in patre et filio et spiritu sancto perageretur, atque ut baptizandi homines cum harum personarum invocatione ad regenerationem perducerentur. Sic apostolorum divinitus delectus chorus ve-

A ἀξίοις· οὕτω Παῦλος ἐβάπτισεν οὓς ἐβάπτισεν· οὕτω βαστάζων ἐνώπιον ἐθνῶν
καὶ βασιλέων τὸ ὄνομα τοῦ σωτῆρος ἐπαῤῥησιάζετο· κατὰ ταύτην ἐβόα τὴν ἔννοι-
αν, παρακαλῶ οὖν ὑμᾶς ἀδελφοὶ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ἵνα τὸ αὐ-
τὸ λέγητε.

ιϛ. Βούλει δέ σοι καὶ τὸν κορυφαῖον παρέστεσθαι μάρτυρα; εἰ γὰρ καὶ μὴ
B δοκεῖ κατά γε τὴν τῶν ῥημάτων προφορὰν τῷ τῆς ἐκκλησίας ἔθει καὶ τῇ πρά-
ξει συμφθέγγεσθαι, ἀλλά γε φιλαλήθως αὐτοῦ καὶ ἐπιμελῶς ὁ σκοπὸς ἀνερευ-
νώμενος, οὐδὲν ἔλαττον εἰ μὴ καὶ μᾶλλον ταύτην ἐπικροτεῖ καὶ συνίστησι· καὶ γὰρ
ταῖς θαυματουργίαις οὐκ ἔλαττον τῆς θεοσεβοῦς διδασκαλίας τὴν Ἰουδαίαν πε-
ριερχόμενος, τὸν πρὸς τῇ ὡραίᾳ πύλῃ καθεζόμενον, οὗ αἱ βάσεις τῶν ποδῶν καὶ Act. III. 2. sqq.
C τὰ σφυρὰ διαλέλυτο· τοῦτον ἁρμολογῶν τῷ ῥήματι καὶ ὑγιᾶ παραδόξως ἀναδει-
κνὺς, ἐν τῷ ὀνόματι φησὶν Ἰησοῦ χριστοῦ ἔγειρε καὶ περιπάτει. ἀλλ' ὁ μὲν τύ-
πος τῆς φωνῆς τῇ ὑπὲρ λόγον ἐνεργείᾳ τῆς χάριτος, οὕτω συμπροήχθη· αὐτὸς
δὲ τοῦ ῥήματος τὴν δύναμιν ἀναπτύσσων, καὶ τί βούλεται αὐτῷ τὸ ὄνομα δηλοῦν
ἑρμηνεύων, τοὺς μὲν καταπληττομένους τῷ θαύματι ἐδίδασκεν ὡς ἐξουθενηθεὶς
D παρ' αὐτῶν, καὶ σταυρῷ καὶ θανάτῳ καταδικασθεὶς, αὐτός ἐστιν οὗ ἡ δύναμις
τὴν ἀνίατον ἰάσατο νόσον· ἐδίδασκε δὲ ὅτι καὶ τὸ ὄνομα νῦν αὐτῷ τῆς πίστεως
τὴν συγκεφαλαίωσιν καὶ τὴν ὁμολογίαν ἀπαγγέλλει· ὅρα γὰρ οἷα φησίν· ὁ θεὸς
Ἀβραὰμ καὶ Ἰσαὰκ ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν· καὶ ἐπιδηλότερον τὸ βού-
λημα ποιῶν, ἐπάγει· καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον ὃν θεωρεῖτε καὶ
E οἴδατε ἐστερέωσε τὸ ὄνομα αὐτοῦ· πρόσχες· ἀλλὰ καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδω-
κεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην· ἀρχόμενος τοῦ θαύματος τὸ ὄνομα τοῦ Ἰησοῦ χρι-
στοῦ αὐτουργεῖν τὴν ἴασιν ἀνακηρύττει· εἶτα μεταλαμβάνει τὸ ὄνομα πρὸς τὴν πί-
στιν, ὅπερ ἐστὶ τὸ μυστήριον τῆς εὐσεβείας· μετὰ τοῦτο πάλιν ὄνομα τὴν εἰς αὐ-

niae donum initiatis impertiebat. Sic Paulus baptizabat, quos quidem ipse baptismo tingebat. Sic coram gentibus regibusque servatoris nomen cum fiducia deferebat: atque hac mente instinctus clamabat: rogo vos fratres per dominum Iesum Christum, ut sermonis concordiam sectemini.

16. Vin tibi principis quoque apostolici testimonium exhibeam? qui quidem etsi verborum sono haud videtur cum ecclesiae more actuque congruere, si tamen scopum eius cum veritatis studio diligenterque scrutabimur, nihilo is secius, immo vehementius, sacram hanc consuetudinem confirmare ac stabilire videbitur. Is enim Iudaeam non minus prodigiis quam sacra doctrina peragrans, hominem illum ad speciosam portam sedentem, cuius pedum bases atque malleoli dissoluti erant, hunc inquam verbo instaurans, sanumque mirabiliter sistens; in nomine, inquit, Iesu Christi surge et ambula. Et dictionis quidem formula ineffabili virtute sic fuit prolata: ipse vero princeps vocabuli vim explicans, notionemque nomini subiectam interpretans, prodigio attonitos admonebat, quem ipsi aspernati fuerant, crucisque supplicio multaverant, hunc ipsum esse, cuius virtute insanabilis morbus curatus fuerat. Praeterea docuit, se vocabulo *nomen* fidei summam confessionemque designare. Audi enim quae dicat: Deus Abraham et Deus Isaac glorificavit filium suum Iesum. Atque ut magis animi sententiam declaret, addit: et in fide nominis eius hunc quem videtis et probe scitis confirmavit nomen eius. Audi adhuc: immo fides quae per eum est, integram huic sanitatem tribuit. Miraculum scilicet patraturus, a Iesu Christi nomine causam eius medicinae repetit: deinde nomen ad fidem transfert, quod est religionis mysterium. Tum rursus nomen dicit pro fide in Iesum,

τὸν καλεῖ πίστιν, ὥσπερ δεδιὼς μὴ λήθην λάβωσιν οἱ ἀκροαταὶ ὅτι τὸ ὄνομα A
αὐτῷ ἀντὶ τῆς πίστεως παρελήφθη· εἶτα ἐπάγει· καὶ ἡ πίστις ἡ δι᾽ αὐτοῦ, τουτ-
έστιν ἡ κηρυχθεῖσα παρ᾽ αὐτοῦ· ὁρᾷς ὅπως τὸ μὲν ὄνομα τὴν πίστιν νῦν τὴν εἰς
αὐτὸν ἀπαγγέλλει; ἡ δὲ πίστις τὴν ὑπ᾽ αὐτοῦ κηρυχθεῖσαν θεοσέβειαν; τὸ δὲ
κήρυγμα, τοῦ χωλοῦ τὰς βάσεις στερεοῖ; ὥστε εἰ μή τις ἄλλη τῶν μαρτυριῶν
προσῆν, ἤρκεσεν ἂν ἡ τοῦ κορυφαίου μόνη προκομιζομένη λαμπρῶς παραστῆναι τί B
σημαίνει τὰ ἱερὰ λόγια ἐν τῷ λέγειν βαπτίζεσθαι τοὺς προσιόντας ἐν τῷ ὀνό-
ματι Ἰησοῦ Χριστοῦ, καὶ τὰ ὅμοια· ταῦτα μὲν Πέτρος τὴν θεουργίαν ἐμφανίζων
ἔλεγεν· ὁ δὲ τῶν μαθητῶν ἠγαπημένος συνεδογμάτιζε, Λουκᾶς συνέγραφε, Παῦ-
λος ἐδίδασκεν· οἷς καὶ τῶν λοιπῶν ἀποστόλων ὁ χορὸς (οὐ γὰρ ἦν οὐδαμῶς οὐδ᾽
ἐπὶ νοῦν λαβεῖν αὐτοὺς περὶ τὰ καίρια φέρεσθαι) συνανεκήρυττεν· οὕτως ὄνομα C
Χριστοῦ ἡ πίστις ἡ εἰς Χριστόν· πίστις δὲ εἰς Χριστὸν ἡ δι᾽ αὐτοῦ παραδεδομένη τοῖς
αὐτόπταις τοῦ λόγου καὶ ὑπηρέταις θεολογία, καὶ τῆς οἰκονομίας τὸ μυστήριον.

ιζ. Σὺ δὲ εἴ τις ἔρως ἐπῆλθε πρὸς τὴν αὐτὴν ὑπόθεσιν εὐπορεῖν πλειόνων
ἐπιχειρημάτων, κἀντεῦθεν τῆς προθέσεως οὐκ ἀποτεύξῃ· πρῶτον μὲν γὰρ τῆς
ἀπ᾽ ἀρχῆς ἀπορίας εὐλογωτέρα λύσις οὐκ ἂν εἴη τις ἑτέρα παρὰ τὴν εἰρημένην σα- D
φῶς ἐμφανίζουσα τὴν τοῦ ζητήματος γνῶσιν· δεύτερον δὲ καὶ ἥν τινες ἐπενόησαν
λύσιν, τὸ ἀνεπιτίμητον οὐκ ἴσχει· καὶ γὰρ ἤδη μὲν οὐκ ὀλίγας ἔδωκε λαβάς·
δοίη δ᾽ ἂν σοι βουλομένῳ καὶ πλείους· εἰ γὰρ προσίστατο τοῖς κατ᾽ ἀρχὰς προσ-
ιοῦσι καὶ μόνον προφερόμενον τὸ ὄνομα τοῦ Χριστοῦ, πῶς ἦν τῶν κατεπειγόντων
βαπτίζοντας αὐτὸ προκομίζειν; οὐδὲ γὰρ θεραπείαν τινὰ τοῦ θορυβοῦντος παρεῖ- E
χεν ἂν τὸ παραλυποῦν προτεινόμενον· ἀλλ᾽ ἐπὶ πλέον ἐξετράχυνεν ἂν καὶ ἀνεφλέγ-
μαινεν αὐτῶν τὴν γνώμην· σιγώμενον γὰρ μᾶλλον τὸ ἀνιαρὸν, ἢ φθεγγόμενον,
τοὺς δυσχεραίνοντας αὐτὸ διαπραΰνει· καὶ τὸ ἔτι μᾶλλον ἀναφλέγον εἰς ὀργὴν,

quasi metuat, ne forte auditores obliti essent, nomen ab se fidei loco fuisse usurpatum. Mox pergit dicere: et fides per ipsum, id est ab eo praedicata. Viden ut nomen nunc fidem in Christum significet? fides autem, praedicatam ab eo religionem? quae quidem praedicatio bases claudicantis solidat. Quare etiamsi aliud testimonium extaret nullum, vel hoc a principe prolatum sufficeret, palam ut fieret quidnam sacrae litterae innuant, cum aiunt proselytos in Iesu Christi nomine aliisque huiusmodi formulis baptizari. Sic ergo Petrus aiebat quum divinam efficaciam monstraret: dilectus autem inter discipulos sic item decernebat: Lucas subscribebat: Paulus docebat: quibus paria reliquorum apostolorum coetus praedicabat: neque enim suspicari licet, mortiferis ipsos noxis se obstringere solitos. Constat igitur Christi nomen pro fide in Christum dici: fides vero in Christum nihil est nisi tradita spectatoribus verbi atque administris sacra doctrina et incarnationis mysterium.

17. Iam vero siqua te cupiditas tenet in eodem proposito argumentis pluribus abundandi, heic quoque scopum tuum adsequeris. Nam primo dubitationis eius, quam initio scripsimus, nulla est praeter praedictam probabilior solutio, quae manifeste quaestionis explanationem tradit. Deinde quae ab aliis excogitata fuit solutio, non caret reprehensione, eaque non paucas reapse vituperandi ansas dedit; et quidem tibi volenti plures praebebit. Nam si offendebat primos illos proselytos vel oretenus prolatum Christi nomen, cur iam necesse erat inter baptizandum id oggerere? Certe illud medelam perturbationis nullam fecisset, quod non sine ingrato sensu exhiberi poterat: quin adeo mentes efferavisset potius atque incendisset. Nam si molesta res est, silendo magis quam praedicando, eos qui abhorrent mitigare solemus. Tum ira gravius commota fuisset, si ii silentio pressi fuissent ac ne-

A σιωπῆσαι μὲν καὶ ὑπεριδεῖν ἃ τοῖς πολλοῖς τῶν ἰουδαίων ἐγνωρίζετο, πατέρα λέγω καὶ πνεῦμα, ἀντεπεισάγειν δὲ τὴν κλῆσιν τοῦ υἱοῦ, οἷς οὐδὲ τὴν φωνὴν ἄλυπον ἦν ταῖς ἀκοαῖς παραδέχεσθαι(1)· καὶ γὰρ μᾶλλον ἂν προαγόμενον, οὕτω προσίστατο· μετὰ μὲν γὰρ τῶν τιμωμένων συντατλομένου, πρὸς ἑκατέραν μοῖραν τήν τε παραλυποῦσαν καὶ τὴν εὐφραίνουσαν ὁ ἀκροατὴς ἐμερίζετο· καὶ πρὸς μίαν και-
B νοτομίαν τῆς προσθήκης(2) ἐταράσσετο· τῶν δὲ γνωρίμων καὶ τιμωμένων σιγῇ παραπεμπομένων, μόνου δὲ τοῦ πλήττοντος ἀντ' ἐκείνων κηρυσσομένου· πῶς οὐκ ἦν εὐλογώτερον ἀποπηδᾶν αὐτίκα, καὶ τὰ ὦτα φράττειν, διπλαῖς μᾶλλον δὲ πολλαπλαῖς βαλλομένους ταῖς καινοτομίαις, καὶ τὸ βέλος τῆς ἀνίας πικρότερον καὶ δριμύτερον ὑποδεχομένους; ἐξ ὧν μᾶλλον τὸ παντελῶς αὐτοὺς ἐκτραχύνεσθαι, καὶ
C τοῦ προσιέναι ὅλως τῷ κηρύγματι, εἰς τὸ ἀδύνατον κατεσκευάζειν.

ιη. Οὐκ ἠνείχοντο φησὶ τὸ ἰουδαίων ἔθνος θεὸν τὸν χριστὸν ὁμολογεῖν· διὰ τοῦτο ἄρα ἐν τῷ ὀνόματι αὐτοῦ τῶν ἀποστόλων ὁ χορὸς ἐβάπτιζε· καὶ ποῦ τοῦτο λόγον ἔχοι πραΰνειν διὰ τοῦ φλεγμαίνοντος, καὶ θεραπεύειν διὰ τοῦ τραύματος; πῶς δ' οὐχ ὁ ἐναντίος λόγος εἰς τὸ εὐλογώτερον ἂν εἴη καὶ συνετώτερον προτεινόμενος;
D οὐκ ἐβάπτιζον οἱ ἀπόστολοι εἰς τὸ ὄνομα τοῦ χριστοῦ· βαρέως γὰρ οἱ μυσταγωγούμενοι καὶ πρὸς αὐτὴν τὴν κλῆσιν ἐφέροντο· ἆρ' οὐκ εἰς ἀποτροπὴν μᾶλλον, ἐπῆγον τοῦ βαπτίσματος, εἰ οὕτω βαπτίζειν ἐπεχείρουν καὶ πρὸς τοὐναντίον ἢ ἐκήρυττον; ἀλλ' ἐβάπτιζον ὡς ἐβούλοντο, ἀλλ' οὐχ ὡς ὁ δεσπότης ἐδιδάξατο· καὶ κράτος ἔλαβεν ἡ γνώμη, καὶ ἔθει καὶ χρόνῳ τὸ τοῦ διδασκάλου δόγμα παραγράφεσθαι·
E τίς οὖν πάλιν ἢ πόθεν ἐπέστη ζῆλον καὶ ῥώμην, ὃς τοσαύτην ἴσχεν ἀναλαβεῖν δι' ὧν τὸ παράγγελμα τοῦ σωτῆρος λήθῃ δεδομένον ἀνεσώσατο; ἀλλ' εἰπεῖν οὐκ ἔχουσιν οὐδ' ἂν εἴπωσι· τίς γὰρ αὐτῷ καὶ προσέσχε, τῆς δεσποτικῆς μὲν ἤδη

glecti, qui multis Iudaeis comperti erant, pater nimirum et spiritus; obtrusa autem filii invocatio, cuius ne nomen quidem sine molestia auditu excipi poterat: quod sane ita prolatum vehementius offendebat. Contra si nomen hoc cum aliis iam in honore habitis collocabatur, bifariam auditor scindebatur, partim scilicet aegre ferens partim gestiens: sola autem additamenti novitate conturbabatur. At vero si cogniti iam et in honore habiti silentio praetermitterentur; unus autem, qui offendebat, praedicaretur; quid ni expectandum erat, ut protinus Iudaei aufugerent, aures occluderent, perculsi scilicet duplici immo multiplici novitate, teloque tristitiae acerbius asperiusque recepto: quo fiebat, ut ipsi magis irritarentur, et ab accessu ad evangelium omnino prohiberentur.

18. Aiunt adversarii: non ferebat iudaicus populus Christum deum confiteri: propterea que apostolorum coetus in nomine eius baptizabat. Atqui non est rationi consentaneum, ut re acerba mitigemus, atque ut vulnere medicinam faciamus. Quid ni potius contrarius sermo probabiliorem prudentioremque sententiam praebeat? non baptizabant apostoli in Christi nomine: aegre enim ferebant initiati hanc appellationem. Nonne enim fugam potius baptismi suasissent, si ita baptizare instituissent, ritu nimirum praedicationi propriae adversante? At enim, inquiunt, baptizabant apostoli pro suo libito, non uti docuerat dominus: praevaluitque sententia eorum, ita ut tempore et consuetudine dogma magistri antiquaretur. Verum enim vero quis demum tanto rursus inflammatus zelo fuit tantaque vi praeditus, ut servatoris praeceptum oblivioni iam traditum instauraret? Mehercule neminem huiusmodi neque nunc appellare queunt, neque umquam appellabunt. Quis enim huic

(1) De notitia filii apud Hebraeos dicendum nobis erit cum Theodori mopsuesteni commentarium ad Zachariam prophetam edemus. (2) Cod. τὴν προσθήκην.

παρεωραμένης ἐντολῆς; καὶ τότε οὐχ ὑπὸ τῶν τυχόντων ἀλλ' οἳ τῶν ἄλλων A
ἦσαν τῆς εἰς χριστὸν πίστεως κήρυκες καὶ διδάσκαλοι· τίς οὖν ἕτερος εἰς τὴν οἰκεί-
αν τάξιν τὸ δεσποτικὸν ἐπανήγαγε πρόσταγμα; καὶ μάλιστα τῆς τῶν μαθητῶν
ἐπινοίας, ὡς ὁ διαφιλονεικῶν λόγος βούλεται, εἰς τὴν οἰκουμένην ἐξαπλωθείσης ἤδη
καὶ συνήθους ἅπασι τοῖς μυσταγωγουμένοις καθισαμένης· καί τοι μή πω μὲν
πλατυνθείσης τῆς περὶ τοῦ βαπτίσματος καινοτομίας, οὐκ ἦν ἐργῶδες οὕτως τὸ B
δεσποτικὸν κρατύνεσθαι νομοθέτημα· ταύτης δὲ τὰ πέρατα τῆς οἰκουμένης κα-
ταλαβούσης, τίς ἂν εἴη ὁ τὴν κατασχοῦσαν μὲν μυσταγωγίαν ἐκβαλεῖν γεγενημέ-
νος δυνατός; τὴν δ' ἐξ ἀρχῆς δοθεῖσαν μὲν, σεσιγημένην δὲ παντελῶς, ἀνα-
καλέσασθαι; εἰ γὰρ οὐχ εὗρε χώραν διὰ τὸ δυσπαράδεκτον τῶν ἀκροατῶν ἡ
σωτήριος ἐντολή, ὁπότε μὴ δὲ μία τὶς ἑτέρα μύησις προκατέλαβε τὰς ἀκοὰς C
αὐτῶν, μὴ δὲ ταῖς ψυχαῖς ἐνεγράφη καὶ ἐνετυπώθη, ἐπειδὰν κατεσχέθησαν καὶ
ἐτελέσθησαν τῇ τῶν ἀποστόλων τελετῇ, πῶς ἂν εὕροι παρείσδυσιν, ἀντιπιπτούσης
αὐτῇ καὶ ἀντανισταμένης τῆς ἤδη τὸ κράτος ἄμαχον ἐχούσης; ὁρᾷς ὡς ἀδύνατον
πανταχόθεν ἐπιδείκνυται τοὺς αὐτόπτας τοῦ λόγου καὶ ὡς ἀληθῶς ὑπηρέτας, ὧν
ὁ βίος ἦν καὶ ὁ δρόμος θανάτῳ τὸ δεσποτικὸν βεβαιῶσαι φίλτρον, καὶ τῶν αὐ- D
τοῦ θεσπισμάτων (μὴ) συντηρῆσαι τὸ ἀπαράβατόν τε καὶ ἀπερίτρεπτον.

ιθ. Τί δ' ἂν εἴποις; τίς δ' ἄν σε μὴ λάβῃ φρίκη καὶ δέος ἐπειδὰν τῶν
ἀποστολικῶν θεσμῶν τὰς ἀπειλουμένας ψήφους ἀκούσῃς; ἃς οὐχ εἷς μόνον οὐδὲ
δεύτερος, οὐδὲ καθ' ἕνα πλείους, σύμπας δ' ὁ χορὸς τῶν μαθητῶν τὴν δεσποτι-
κὴν ἐντολὴν βεβαιῶν οὐ λύων, ἄπαγε, ἀπεψήφισατο· καὶ ποῦ λαβεῖν ἐστιν αὐτῶν τὸ E
φρικτὸν τῆς ἀρᾶς; αὐτῶν χρεὼν ἀκούειν τῶν οὐρανίῳ ψήφῳ κεκυρωμένων φωνῶν (1)·

homini auscultasset, postquam dominicum mandatum iam fuisset abolitum? idque adeo non a vulgaribus hominibus, sed ab iis qui credendi in Christum magistri ceteris praeconesque fuerant. Quis inquam alius in suum ordinem restituisset praeceptum dominicum? praesertim quum ille discipulorum cogitatus, ut adversariorum sermo adfirmat, iam toto orbe esset diffusus, atque apud omnes initiatos in more positus. Sane ante quam illa circa baptismum novitas vulgata esset, dominicam legem haud aegre firmare licuisset; verum illa novitate ad orbis terrarum terminos propagata, quisnam potuisset dominantem iam ritum expellere: illum autem, qui initio quidem traditus fuerat, sed deinde omnino suppressus, revocare? Nam si propter auditorum morosos animos dominico mandato non est locus inventus, quum nondum alia initiandi formula illorum aures occupavisset, nec mentibus inscripta fuisset atque impressa: num deinde apud iam imbutos apostolico ritu atque initiatos, aditus priori ritui sperandus erat, adversante altero atque obsistente, qui iam insuperabiles vires obtinuerat? Ut vides igitur demonstratum quaqua versus est, qui spectatores verbi fuissent verique administri, et quorum vitae curriculum eo tendebat, ut vel ipsa nece suam erga Dominum charitatem testarentur, hos inquam fieri non posse quin eiusdem mandata integra atque inviolata curaverint.

19. Quid porro dices vel quis te horror corripiet atque metus, cum decretorum apostolicorum districtam sententiam audies? quam non unus et alter, neque multi singillatim, sed universus discipulorum coetus scripsit, dominico praecepto haud antiquando, quod absit, sed stabiliendo intentus. Ubinam autem tam horrendae minae sunt? Apostolorum scilicet audiendae sunt caelesti suffragio latae le-

(1) Tum canones vulgo apostolicos tum constitutiones (etsi scriptum utrumque pervetustum est) mentiri nomen apostolorum, nemo iam dubitat. Quare Photii argumentum hinc petitum, etsi nullum non est, vires tamen apostolicas non habet.

A διαπρύσιον αὖται βοῶσιν (1)· εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος· ἐπίστησον ἄνθρωπε·
μᾶλλον δὲ οὐδὲ ἐπιστάσεως ἐνταῦθα δεῖ· περιφανῶς γὰρ ἡ δεσποτικὴ κυροῦται
παράδοσις· εἴτις οὖν κατὰ τὴν τοῦ κυρίου διάταξιν μὴ βαπτίσοι εἰς πατέρα καὶ
υἱὸν καὶ ἅγιον πνεῦμα, καθαιρείσθω· καὶ οὐδὲ μέχρι τούτου τὴν καταδίκην ἱστᾶ-
σιν· ἀλλὰ καὶ ἐὰν ὀνόματα ἀντ' ὀνομάτων παραλαβεῖν οἱ βαπτίζοντες ἐπιχειρή-
B σωσι, μηδὲν ὅλως τὸν ἀριθμὸν τῆς τριάδος ὑποτεμνόμενοι, οὐδ' οὕτως εὑρίσ-
κουσιν ἀποφυγὴν τοῦ μὴ οὐχὶ τὴν ἴσην δοῦναι δίκην· οὐδὲν γὰρ ἧττον οὐδ' οὗτοι
τὸ δεσποτικὸν προπηλακίζουσι δόγμα· οὐδ' ἂν τὰς μὲν κλήσεις φυλάττωσιν ὡς
παρέλαβον, τὸ σχῆμα δὲ τῆς ἐν τῷ βαπτίσματι καταδύσεως μὴ συνδυάσωσιν,
ἀλλὰ διὰ μιᾶς ἀντὶ τῶν τριῶν τὸν βαπτιζόμενον τελειώσωσι, μᾶλλον δὲ εἰπεῖν
C οἰκειότερον συντελέσωσιν· οὐδ' ἂν τὰ μὲν ἄλλα τῆς ἐντολῆς ἐκτελέσωσιν, εἰς δὲ
τὸν θάνατον τοῦ κυρίου βαπτίσωσιν, οὐμενοῦν τῆς αἰτίας οὐκ ἀπολύονται· τῷ δ'
αὐτῷ περιπίπτουσι καὶ κρίματι καὶ ἐγκλήματι· ἡ γὰρ ἐν τοῖς ὁμοίοις παράβασις
τὴν ὁμοίαν τιμωρίαν εἰσπράττεται· καὶ γὰρ ἐπίσης πρὸς τὴν ἀθέτησιν ἀποκλίνου-
σι τῆς σεβασμίας ἐντολῆς καὶ ὅσοι καθ' ἕτερόν τινα τρόπον βαπτίζειν ἐτόλμη-
D σαν, καὶ ὅσοις ἔδοξε τῇ ἐπικλήσει τοῦ χριστοῦ, ἢ τοῦ θανάτου αὐτοῦ, ἱερουργεῖσ-
θαι τὸ βάπτισμα.

κ. Ἀκούεις ὦ Παῦλε; ἀλλ' ἀνάσχου καὶ μετὰ στεφάνους πρὸς ἀγῶνας ἀπο-
δύεσθαι· πάλιν πορθεῖς τὴν ἐκκλησίαν, πάλιν ἐπιστολὰς παρὰ τῶν ἰουδαϊκῶν
ἀρχιερέων λαμβάνεις, μετὰ δὲ τὸν Παῦλον εἰς Σαῦλον ἐξέστης· καὶ πῶς ταῦτα
E διδάξας, πάλιν λέγεις εἰς τὸν θάνατον τοῦ χριστοῦ πάντας βαπτίζεσθαι; καὶ νῦν
μὲν μετὰ τῶν συναποστόλων καὶ συναγωνιστῶν ποινὰς τοὺς καθ' ἕν τι τούτων βα-
πτίζειν τολμῶντας ἀπαιτεῖς· νῦν δὲ καθ' ἑαυτὸν γενόμενος, οὐ μόνον λέγεις οὐδ'
ἐν γωνίᾳ, ἀλλὰ καὶ κηρύττεις· καὶ οὐχὶ κηρύττεις μέν, οὐ γράφεις δέ, ἀλλὰ καὶ

ges, quae clarissima voce clamant: siquis episcopus aut praesbyter (audi homo; quamquam singulari attentione non est opus, quoniam nihil aliud quam dominicam traditionem sanciri ab his patet) siquis, contra Domini mandatum, non baptizaverit in patre et filio et spiritu sancto, deponatur. Neque hactenus poenam statuunt: sed si etiam nomina nominibus commutare baptizantes ausi fuerint, licet trinitatis numerum non imminuerint, nihilominus quin parem poenam subeant fieri non potest: aeque enim dominico dogmati iniurii sunt. Et si forte appellationes secundum traditionem retineant, rationem tamen in baptismo legitimam non simul usurpent, verum unica pro tribus immersione baptizandum initient, immo ut aptius loquar perficiant; item si reliquas praecepti partes curent, in Christi autem morte baptizent, crimine non vacabunt; immo haud minore culpa noxaque semet irretient. Nam aeque ad venerandi mandati violationem incumbunt tum qui alio ritu quolibet praeter legitimum baptizant, tum qui cum Christi aut mortis eiusdem appellatione baptismum conficiunt.

20. Audin Paule? Igitur te compara post coronas ab subeundos agones: rursus ecclesiam vastas, rursus epistolas a iudaicis pontificibus refers: quum iam Paulus fueris, iterum in Saulum recidis. Nam cur qui talia docueris, nunc omnes iubes in Christi morte baptizari? Et modo cum apostolis laborumque sociis poenas ab iis reposcis qui cum qualibet ex his formis baptizare ausi fuerint; modo ipse singillatim non solum in angulo dicis, sed et praedicas: nec solum prae-

(1) Canon. apost. XLVIII. XLVIIII. Item const. apost. lib. VII. 25.

γράμματι τὸ κήρυγμα ῥωμαίοις μάλιστα γράφων, εἰς ἄμαχον ἐπαίρεις ἰσχὺν εἰς A
τὸν θάνατον τοῦ χριστοῦ τοὺς βαπτιζομένους βαπτίζεσθαι· ἀλλ' ὁ μὲν τῆς ἀλη-
θείας κῆρυξ τῶν εἰσαγόντων τοῦ βαπτίσματος τὴν καινοτομίαν, κἀκεῖνον αὐτὸν
ἐπιψηφίζεσθαι τῇ δόξῃ κατηγορούντων, ὧδέ ἂν αὐτοὺς ἐπιστομίσειε.

κα. Ναί φησιν ὁμολογῶ μὲν τοὺς βαπτισθέντας, εἰς τὸν θάνατον τοῦ χρι-
στοῦ βαπτίσασθαι· οὐχ ὁμολογῶ δὲ τὸ βάπτισμα τῇ τοῦ θανάτου αὐτοῦ ἐπι- B
κλήσει ἱερουργεῖσθαι· μὴ γένοιτο· ἀλλὰ τελεῖσθαι μὲν τοῦτο τὸ δῶρον τῆς ἀφέ-
σεως, ὡς αὐτὸς ὁ σωτὴρ παραδέδωκεν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ
τοῦ ἁγίου πνεύματος· σύμβολον δ' εἶναι τοῦτο τοῦ θανάτου αὐτοῦ, διὰ τῆς τριπλῆς
καταδύσεώς τε καὶ ἀναδύσεως τὴν τριήμερον αὐτοῦ ταφὴν καὶ ἀνάστασιν εἰκονίζον τε
Rom. VI. 3. καὶ διατυπούμενον· διὸ καὶ οὐχ ἁπλῶς εἶπον εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθη- C
μεν· ἀλλὰ προτάξας τὸ ὅσοι εἰς χριστὸν ἐβαπτίσθημεν, οὕτως ἐπήγαγον τὸ εἰς
τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν· τῇ κατὰ συνέχειαν παραθέσει τῶν διαφόρων
ἐννοιῶν τε καὶ ὀνομάτων, κατὰ μὴ δὲ μίαν μὲν ἱερουργεῖσθαι τὸ βάπτισμα δι-
δαξάμενος· ἢ γὰρ ἂν τἀναντία καὶ μάλιστα ἅμα φρονῶν τε καὶ λέγων ἑαλωκὼς
εἴην· ἀλλὰ διὰ μὲν τοῦ εἰπεῖν εἰς χριστὸν ἐβαπτίσθημεν, ὅτι κατὰ τὴν αὐτοῦ μυ- D
σταγωγίαν βαπτισθῆναι παρεδήλωσα· διὰ δὲ τοῦ εἰπεῖν εἰς τὸν θάνατον αὐτοῦ
ἐβαπτίσθημεν, ὅτι τύπον φέρει καὶ εἰκόνα τοῦ τὴν ἀθανασίαν ἡμῖν πηγάσαντος
θανάτου αὐτοῦ τὸ σωτήριον βάπτισμα· ἕτερον δὲ παντελῶς ἐστι λέγειν ταῦτα ὅπερ
καὶ ἡμεῖς τιθέμεθα, καὶ ἕτερον τὸ λέγειν ὅτι τῇ ἐπικλήσει τοῦ θανάτου αὐτοῦ,
ὃ καταδικάζομεν, τὸ τῆς παλιγγενεσίας ἱερουργεῖται μυστήριον· οὔκουν ἡμεῖς μετ- E
έστημεν, οὐδὲ πρὸς τὰς ἰουδαϊκὰς ἐπιστολὰς ὧν κατέγνωμεν ἐπεστράφημεν· ἅπαξ
τὰ οὐράνια δόγματα οὐκ ἐν λιθίναις πλαξὶν ἀλλ' ἐν στερροτάταις καὶ ἀθραύστοις
ἐγγραφέντες τῆς ψυχῆς πίναξιν· ἐκεῖνοι δὲ μεθιστᾶν ἐπιχειροῦσι τὸν Παῦλον εἰς

dicas, scribendo tamen abstinens, sed litteris, et quidem ad Romanos scriptis, praeconium commendans, summam tribuis auctoritatem baptismo in Christi morte collato. Sed enim veritatis praeco eos qui baptismi novitatem invehunt, seque ipsum sententiae eorum adstipulari calumniantur, sic fere refutabit.

21. Equidem ego aio baptizatos, baptismum in Christi morte recepisse: non tamen aio baptismum in eiusdem mortis invocatione conferri; quod absit: sed dico remissionis hoc donum fieri, prout ipse servator tradidit, in nomine patris et filii et spiritus sancti: id vero esse symbolum mortis eius, quia tribus immersionibus totidemque emersibus triduanam ipsius sepulturam resurrectionemque deformat atque exprimit. Idcirco haud simpliciter dixi in morte eius baptizati sumus; sed quum antea dixissem, quotquot in Christi baptizati sumus, deinde addidi, in morte eius baptizati fuimus: scilicet hac proxima differentium sententiarum ac nominum adiectione satis docens, secundum nullam ex his formis baptismum confici. Alioquin contraria maxime et sentire et dicere coarguerer. Sed revera cum dixi in Christo baptizati sumus, secundum eius initiandi ritum baptizatos nos declaravi: cum autem dixi in morte eius baptizati fuimus, nihil aliud significavi, nisi quod baptismus a servatore institutus typum prae se fert atque imaginem mortis eius, quae immortalitatis fontem nobis reseravit. Aliud autem omnino est sic loqui ut nos ediximus; aliud est adfirmare (quae damnata nobis sententia est) regenerationis mysterium cum invocatione mortis Christi confieri solitum. Haud nos igitur mentem immutavimus, neque ad iudaicas epistolas iam a nobis improbatas reversi sumus; qui videlicet caelestia dogmata non in lapideis, sed firmissimis et numquam frangendis animi tabulis inscripsimus. Illi potius Paulum transformare in Saulum nituntur, atque

A Σαῦλον· καὶ τὰ ἄλλα διασύρουσιν, κἂν ὁμολογεῖν ἐπαισχύνωνται, οἷς παρανο-
εῖν καὶ συκοφαντεῖν τοὺς ἐμοὺς ἐπῆλθε λόγους· ἐπεὶ τάς γε κοινὰς τῶν συναπο-
στόλων ψήφους καὶ αὐτὸς ὁμοίως στέργων καὶ κυρῶν τοὺς καθ' ἕτερόν τινα τρόπον
βαπτίζειν ἀποτολμῶντας καὶ μὴ κατὰ τὴν δεσποτικὴν μυσταγωγίαν, κἂν τῆς τριά-
3. A. Permultorum dierum elapsum est intervallum ex quo tuis caremus, mi bone, colloquiis: quare iam nobis angebatur animus de tantae intercapedinis causa cogitantibus. Nunc cum te videmus consueto vultus habitu immutato atque ad tristitiam inflexo, non modico metu quatimur, nequid forte praeter morem molestius hac te facie esse coegerit. B. Peregrinatio quaedam supplicandi causa ad fanum haud longe dissitum suscepta, a tua nos consuetudine abstraxit: mortis autem casus uni e familiaribus inopinato ingruens, maerorem nobis creavit, qui hunc vultus ut par erat statum effecit. A. Non est absurda doloris vestri causa, neque vanus luctus. Sed, oro, quaenam homini occasio mortis fuisse videtur? B. Catarrhus occupato gutture, subitoque obstructis spiritibus, suffocatum hominem enecavit. A. Non est naturae insolitum ut his casibus sit obnoxia, neque magnopere in his eventibus mirandum est. Est enim consentaneum ut a valetudinis apice defluat qui in hac vitae declivitate versatur, atque in multa incurrat incommodorum offendicula et adversitates, donec in planum, id est in sibi homogeneam terrenam naturam recidat. B. Ergo fortuitum hinc cognoscitur, non providentia gubernatum, quidquid corporibus molestiarum aliis aliter accidit; ex quo demum inter homines mortis ipsius necessitas sequitur. A. Quonam pacto id ais? B. Quia videlicet non una causa sed multae ac variae corporeorum morborum mortem videntur hominibus crea-

(a) Ita cod. pro στένωσιν. Est autem iotacismus.

ἐπάγειν τοῖς ἀνθρώποις τὸν θάνατον, ἀλλὰ πολλῶν καὶ ποικίλων· τοῦτο μὲν κα- A
τὰ τὴν διάφορον κρᾶσιν τῶν σωμάτων· τοῦτο δὲ καὶ παρὰ τὸ τῆς διαίτης ἡμαρ-
τημένον ὡς πρὸς τὴν τοῦ τρεφομένου σώματος ἰδιότητα· ἔπειτα καὶ κατ' ἔλλει-
ψιν πολλάκις τῆς προσηκούσης ἐπιμελείας καὶ θεραπείας ἢ καταφρονουμένης ἢ μὴ
εὐπορουμένης (οἱ μὲν γὰρ ἐκ πενίας ὑπ' ἀπορίᾳ τοῦ θεραπεύοντος γίνονται, οἱ δὲ
ἀμελέστεροι περὶ τὰ συντηρητικὰ τῆς εὐεξίας διάκεινται) ἀνάγκη νόσους ἐπισυμβαί- B
νειν, ἐξ ὧν ὁ θάνατος. A. Τῶν νόσων τοίνυν ἐπακολούθημα δίδως τὸν θάνατον;
B. Καὶ λίαν.

δ. A. Οὐκοῦν ἀνάγκη κατὰ σὲ, πάντα τὸν νοσοῦντα ἁπλῶς τελευτᾶν τὸν
βίον· νῦν δὲ ὁρῶμεν τινὰς μὲν καὶ σπανιάκις, ὅμως καὶ δίχα τοῦ νοσεῖν τῷ θα-
νάτῳ ὑπαγομένους· τινὰς δὲ καὶ μεγίστοις νοσήμασι καὶ ἐπὶ πολὺ προσομιλή- C
σαντας, ὡς καὶ παρὰ τῶν ἰατρευόντων ἀπεγνῶσθαι αὐτοῖς τὰ τῆς ὑγείας, ἀνε-
νηνοχότας τῆς ἀῤῥωστίας ἐπὶ μήκιστον ἔσθ' ὅτε τὴν ζωὴν παρατεῖναι· πόσους δ'
ἂν σοι ἐπιδείξαιμι τῶν πλουσίων ὁμοῦ καὶ τῶν ἐν ἀρχαῖς δυναστείαν ἐχόντων, πλεί-
στης μὲν ὅσης ἐντεῦθεν ἐπιμελείας ἰατρῶν καὶ τῶν ἀρίστων ἐν ταῖς νόσοις αὐτῶν τε-
τυχηκότας, οὐδέν τι μᾶλλον τὸ τεθνάναι διαφυγόντας; καὶ ἔμπαλιν πένητας καὶ D
πτωχοὺς πάντοθεν ἠπορημένους, νόσοις μὲν βαρυτάταις περιπεπτωκέναι, ἐπιμελείας
δὲ ἰατρικῆς οὐ μετασχόντας, οὐδὲ τῆς διὰ τῶν τροφῶν παραμυθίας εὐπορηκό-
τας, πλὴν γε ὅτι πρὸς ὑγείαν ἀναδραμόντας, καὶ τὰ τῆς κακώσεως οὐ χρονίως
ἀποβαλόντας; ὥστε μήτε τοῖς νοσήμασιν ἁπλῶς καὶ κατὰ πρώτην τάξιν ἀνατι-
θέναι ἡμᾶς τὴν τῆς ψυχῆς διάζευξιν ἐκ τοῦ σώματος, μήτε τὰ τῆς ζωῆς ἰα- E
τρικαῖς θεραπείαις καὶ ταῖς ἄλλαις σωματικαῖς ἐπιμελείαις λογίζεσθαι, ἀλλ' ἑκά-
τερον τῇ τοῦ κατ' ἀρχὰς συνδήσαντος βουλήσει καὶ ἐξουσίᾳ, καθὼς ἂν ἡ τῶν ἀκα-
ταλήπτων αὐτοῦ κριμάτων πρυτανεύοι σοφία· ὑγείαν μὲν γὰρ καὶ σώματος εὐρω-
στίαν ἢ οὖσαν συντηρῆσαι ἢ ἀπελθοῦσαν ἀνακαλέσασθαι τῇ ἰατρικῇ τις ἐπιστήμῃ
δοίη ἂν οὐκ ἀπεικότως, ὅτε μὴ φυσικῆς ἀνεπιτηδειότητος ἐμπόδιον προσῇ· ἔστι γὰρ

re; partim diversa temperie corporum; partim diaetae genere, quod a conditione nutriti corporis alienum sit; partim idoneae vel cautelae defectu vel medelae, sive cum illa negligitur, sive cum haec desideratur: alii enim ob egestatem medico carent: alii in conservanda valetudine socordiores sunt: quare morbos contingere necesse est, ex quibus mors consequitur. A. Ergo sequelam morborum mortem esse concedis? B. Maxime.

4. A. Atqui opus esset, te iudice, quemlibet nonnisi morbo affectum mori. Sed tamen nonnullos cernimus, etsi rarius, sine ullo morbo in mortem incidere. Alios autem maximis infirmitatibus diu conflictatos, ita ut a medicis quoque conclamarentur, nihilominus superata vi morbi diutissime postea vixisse. Quotnam porro tibi ostenderim vel divites vel etiam principes, qui exquisitissimam medicorum optimorum curam in morbis nacti, tamen mortem non vitaverunt? Contra vero pauperes ac mendici omni ope destituti, morbis correpti gravissimis, nullo medicinae officio adiuti, neque ciborum solatiis abundantes, incolumitatem recuperaverunt, satis cito aegritudine pulsa. Quare nec animae a corpore separatio morbis omnino aut praecipue tribuenda est: neque rursus vitae conservatio medicis curationibus aliive corporis cultui imputanda; sed utrumque id potestati eius atque arbitrio, qui principio animam cum corpore copulavit, prout arcanorum eius iudiciorum sapientia decreverit. Etenim valetudinem corporisque firmitatem vel praesentem retinere vel absentem revocare, id inquam arti medicae haud absurde concedi potest; nisi forte naturale impedimentum obstet. Est enim sollemne medicorum effatum: contra

A ἀκούειν τῶν ἰατρευόντων συνεχέστατα λεγόντων· φύσεως ἀντιπραττούσης, πάντα κε-
νά· ζωὴν δὲ ἀνθρώποις ἐπιμετρῆσαι, μόνου ἐκείνου, ἐστὶ περὶ οὗ φησὶν ὁ προ- Isai. XLII. 5.
φήτης, ποιῶν γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς· καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ'
αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν· ᾧτινι ἀκολούθως παρὰ τοῦ Δαβὶδ ἀνα-
τίθεται καὶ ἡ τοῦ δοθέντος κατ' ἐξουσίαν ἀφαίρεσις· ἀνταναλεῖς γάρ φησι τὸ πνεῦ- Psal. CIII. 29.
B μα αὐτῶν καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσι· μεθ' ἣν καὶ ἡ
τῆς καταλυθείσης τοῦ σκήνους οἰκίας ἀνοικοδομὴ καὶ ἀνόρθωσις· ἐξαποστελεῖς γὰρ
φησι τὸ πνεῦμά σου καὶ κτισθήσονται· καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς·
καὶ τοῦτο δὲ ἡμῖν παρασημαντέον ἐξ ἀναγκαίου, ὅτι νόσοι πολλάκις ἐπάγονται
καὶ παρὰ Θεοῦ, καὶ οὐ πάντως κατ' αἰτίας σωματικάς· ἢ ἐπιτιμῶντος τοῖς πται-
C ουσιν, ὡς τῷ Ἀσᾷ τῷ βασιλεῖ τῆς Ἰούδα ἐν γήρᾳ παθόντι τῶν ποδῶν τὴν III. Reg. XV. 23.
ἀσθένειαν· ὅτι καὶ παροξῦναι λέγεται τὸν κύριον ὡς μὴ ζητήσας αὐτὸν, ἀλλὰ II. Paralip.
ζητήσας τοὺς ἰατροὺς, ὡς γέγραπται· ἢ οἰκονομοῦντος τὴν ἐν τῷ μέλλοντι σω- XVI. 12.
τηρίαν διὰ τῆς ἐν τῷ παρόντι κακοπαθείας, καὶ λύοντος ἐντεῦθεν τὴν τῶν ἁμαρ-
τημάτων ἐνοχήν· καθὼς ἔφη κορινθίοις ὁ ἀπόστολος· διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ
D ἀσθενεῖς καὶ ἄρρωστοι καὶ κοιμῶνται ἱκανοί· εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκ- I. Cor. XI. 30.
ρινόμεθα· κρινόμενοι δὲ ὑπὸ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κα-
τακριθῶμεν· οὐκοῦν τὰ μὲν ἄλλα ποικίλως τε καὶ πολυτρόπως κατὰ διαφόρους
αἰτίας καὶ λόγους συμπίπτειν ἡμῖν λογιζόμεθα· θάνατον δὲ ἀνθρώποις ἐπάγεσ-
θαι μὴ ἄλλως ἡμῖν νομιστέον ἢ κατὰ τὸν τοῦ μεγάλου Βασιλείου λόγον τοῦ σοφω-
E τάτου, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἡ δικαία τοῦ
Θεοῦ κρίσις ἔπηξε, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προσκοπουμένου.

5. B. Ταυτησὶ τῆς νῦν παρενηνεγμένης ῥήσεως τοῦ μεγάλου Βασιλείου, πολὺς μὲν ὁ λόγος παρὰ τοῖς πλείοσιν· ὧν οἱ μὲν ὡς νόμον ἀπαράβατον τὸ εἰρημένον κατέχουσιν· οἱ δὲ ποικίλαις ἀντιθέσεσι τὰς πρὸς τοῦτο συγκαταθέσεις διασαλεύ-

naturam vanum esse nihil. Sed tamen vitam hominibus dimetiri, eius est unius, de quo propheta ait: faciens terram et hominem in ea; dans alitum populo qui est in ea, spiritum calcantibus eam. Post id consequenter subdit David, ab eodem qui dedit, pro sua potestate subductionem fieri: auferes spiritum eorum, et deficient, et in pulverem suum revertentur. Deinde memoratur etiam diruti aedificii instauratio atque excitatio: emittes spiritum tuum, et creabuntur, et renovabis faciem terrae. Insuper nobis necessario animadvertendum est, morbos saepe a Deo infligi haud plane ob causas corpori insitas, sed quia vel peccatoribus irascitur (sicuti Asae Iudae regi qui senex pedibus laboravit; isque dicitur iram Domini commovisse, quia non hunc sed medicos imploraverit, ut in sacris litteris fertur:) vel quia futuri aevi salutem praesente molestia nobis conciliat; ideoque noxarum purgat reatum: sicuti Corinthiis aiebat apostolus: idcirco inter vos multi debiles et infirmi sunt et dormiunt complures. Nam si nosmet ipsi iudicaremus, haud profecto iudicaremur: iudicati autem a Domino corripimur, ne cum mundo damnemur. Ergo ceteros sane casus varios atque multiplices a diversis causis rationibusque contingere nobis putemus; mortem autem adduci hominibus haud aliter credamus, nisi cum, ut sapientissimus Basilius ait, vitae termini expleti fuerint, quos initio iustum Dei iudicium cuique statuit, multo longe singulorum utilitates prospicientis.

5. B. De praedicta Basilii sententia multus apud permultos sermo est, quorum alii instar legis districtae habent, alii variis contradictionibus assensum huic opinio-

ειν πειρῶνται· ἐμοὶ δὲ πρὸς τοὺς δευτέρους μᾶλλον ῥέπει τὰ τῆς κρίσεως. Α. A
Ἄξιον μὲν προθέσθαι ἅς τινας φῂς ἀντιθέσεις προάγεσθαι παρὰ τῶν ταῖς πατρικαῖς μὴ ὑποκλινομένων φωναῖς· ἐγὼ δὲ τῶν οὕτως ἐχόντων, πρώτιστον τοῦτο τίθεμαι κατηγόρημα, τὸ μὴ πείθεσθαι αὐτοὺς τοῖς ἡγουμένοις ἡμῶν καὶ ὑπείκειν αὐτοῖς, ᾗ φησιν ὁ θεῖος ἀπόστολος(1)· καὶ τούτοις, οἷς δὴ μάλιστα διὰ βίου καθαρότητα καὶ δογμάτων ἀκρίβειαν ἡ καθολικὴ ἐκκλησία ἀποστολικὸν ἀπονέμει B τὸ σέβας· καὶ κατ' ἐξαίρετον τούτῳ δὴ τῷ μεγάλῳ καὶ ὄντως τὰ θεῖα σοφῷ. οὗ τινες οἱ μικροί τινες ἐπαινέται οὐδὲ ἐπὶ μικροῖς τισι τοῦτον θαυμάζοντες, ἀλλὰ Γρηγόριος μὲν ὁ θεολόγος καὶ ὁ πολὺς Ἀθανάσιος τῆς εὐσεβείας οἱ στῦλοι καὶ τῆς τριάδος ὑπέρμαχοι, οἱ τοὺς ἐπαίνους συνείροντες(2)· σοφίας δὲ γνῶσις τελεωτάτη τῶν ἐγκωμίων ἡ ἀφορμὴ καὶ ἡ πλοκὴ τῶν στεφάνων(3). Β. Ὡς ἔοικεν ἡ πυ- C θαγόρειος ἡμᾶς ἀνάγκη τὰ νῦν περιστοιχίζεται· ἐπὶ τὸ, αὐτὸς ἔφα ἐν ταῖς τῶν ἐπιλύσεων ἀπορίαις καταφεύγειν ἡμᾶς βιαζομένη· εἰ γὰρ λόγῳ τινὶ καὶ θεωρίᾳ οὐκ ἀνεπισκέπτῳ τῆς τῶν ἀληθῶν κατανοήσεως τὸ δογματιζόμενον ἐπηώρηται, ἀποδιδόσθω ὁ λόγος καὶ ἀναπτυσσέσθω ἡ θεωρία· ὡς ἂν ἑκούσιον καὶ ἀβίαστον λάβοι τὴν τοῦ διδασκομένου συγκατάθεσιν· εἰ δὲ ἁπλῶς ὑπάρχει ἀπόφανσις τὸ D λεγόμενον, δεσποτικώτερον τὸ μὴ ἀντιλέγειν ἀναγκάζουσα, καὶ αὐτὸ δὴ τοῦτο τὸ ἀντιλέγεσθαι ἐπισύρεται· Α. Εἰ μὲν τῶν ἀπὸ καρδίας καὶ οὐκ ἀπὸ στόματος κυρίου λαλούντων κατὰ τὸ γεγραμμένον ὁ λόγος, ἐξεταζέσθω ἡ εὔνοια, καὶ ἀπαιτείσθω ἡ πρὸς τὰ πρόδηλα συμφωνία τῶν λεγομένων· ἐπὶ δὲ τῶν πνεύματι θεοῦ λαλούντων μυστήρια οὐκ ἀσφαλὴς ἡ ἀντίρρησις· οὐδὲ τὸ τοῖς ἀνθρωπίνοις ἁπλῶς E

Hebr. XIII. 17.

Ps. xx. 3. vel sic.

ni labefactare student. Meum vero ad hos postremos iudicium mentis devolvitur. A. Operae pretium erit proferre in medium quas habere dicis contradictiones eorum, qui patris nostri vocibus non obaudiunt. Ego interim adversus huiusmodi homines hanc potissimam querelam commoveo, quod hi ducibus nostris non obsequuntur neque obediunt; quum hos tamen praecipue propter vitae puritatem et dogmatum ius exactum catholica ecclesia haud secus quam apostolos veneretur; atque hunc apprime magnum vereque rerum divinarum scientem; cuius neque exigui laudatores sunt, neque ob res exiguas hunc admirantes; sed theologus Gregorius et magnus Athanasius, religionis columina, propugnacula trinitatis, qui sententiam eius commendant. Porro exquisitae sapientiae argumentum est, laudum congeries et corollarum textus. B. Ut video, nunc pythagorica nos circumstat necessitas, qua cogimur in dubiorum solutionibus ad illud confugere *ipse dixit*. Atqui si dogma ambiguum est propter aliquam locutionem vel theoriam, quae veritatis studioso vestigatori non erit impervia, reddatur sane rei ratio et explicetur, ut voluntarius sit discentis assensus non coactus. Sin quod dicitur nuda est affirmatio, quae sibi contradici imperiosius vetat, haec ipsa provocat contradictionem. A. Si ex humano corde, non ore Domini, ut ait scriptura, verba fiunt, equidem licebit, bona venia impetrata, exposcere ut ea quae dicuntur, ab iis quae in confesso sunt, non abhorreant. Sed enim hominibus qui spiritu Dei commoti mysteria loquuntur, non est tutum contradicere: tum

(1) Haec et illa, quae sequitur, patrum atque ecclesiasticae traditionis commendatio catholicae methodo apprime favet, contra heterodoxorum solutiorem iudicii libertatem, quae fidei fundamenta paulatim subruit.

(2) Gregorii theologi laudes innumerae Basilio dictae notissimae sunt. Athanasium quoque Basilii praedicatorem videmus in epistulis ad Iohannem et Palladium atque Antiochum ed. Maurin. tom. II. p. 956. 957. Nequid dicam de loco alio epistulae secundae ad Castorem, quam Athanasio imperite suppositam scimus.

(3) Poetica sententia elegans et notabilis!

A ἀκολουθεῖν λογισμοῖς καὶ ταῖς ἑαυτῶν καταλήψεσι καταπιστεύειν ἡμᾶς, ἐστὶν ἀκίν-
δυνον· πίστει γὰρ καὶ οὐ πολυπραγμοσύνῃ τὰ θεῖα τῶν γραφῶν παραδεξάμεθα
λόγια· καὶ οὐ διὰ τὸ ὑπὲρ τὴν ἡμετέραν κατανόησιν εἶναι τῶν παραδεδομένων
τὴν δύναμιν, ἀθετεῖν ταῦτα ἀνεσχόμεθα· οὐκοῦν καὶ τὰς τῶν ἐκκρίτων διδασ-
κάλων φωνὰς, τῆς ὁμοίας παραδοχῆς ἀξιώσωμεν (1)· ἅς τινας ὁ ἐκκλησιάστης αἰ- Cap. XII. 11.
B νιττόμενος, λόγοι σοφῶν φησι ὡς τὰ βούκεντρα καὶ ὡς ἧλοι πεπυρωμένοι· οἳ
παρὰ τῶν συνταγμάτων ἐδόθησαν ἐκ ποιμένος ἑνός· ὁ γὰρ λαλήσας πάλαι ἐν
τοῖς προφήταις, ὁ αὐτὸς καὶ ἐν ἀποστόλοις τὴν χάριν ἐνήργησε, καὶ διὰ τῶν
ἁγίων πατέρων ἐδίδαξεν· αὐτὸς γὰρ ἔθετο ἐν τῇ ἐκκλησίᾳ, Παῦλος βοᾷ, πρῶ- I. Cor. XII. 28.
τον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους· εἰ οὖν τοῖς Πυθαγό-
C ρου μαθηταῖς τοσαύτη αἰδὼς τῆς ἐκείνου φιλοσοφίας, καθὼς ἐτόπαζον, ὑπῆν,
ὥστε τὴν ἐκείνου παράδοσιν παντὸς ἀποδεικτικοῦ λόγου ἰσχυροτέραν λογίζεσθαι,
τί ἂν ἡμεῖς πάθοιμεν μὴ τὸ ἴσον εἰς εὐπείθειαν τοῖς θεοφόροις πατράσι νέμοντες;
ϛ. B. Ἀλλ' οὐ Βασιλείῳ οὕτως νενόηται τὰ τῆς χρήσεως ὡς ὑμῖν δοκεῖ,
ἀλλ' ὅρων πλήρωσιν ἔφη τὸ εἰς γῆν ὑποστρέφειν τὸν ἄνθρωπον (2)· ἐν τούτῳ τέλος
D λαμβανόντων τῶν κατ' ἀρχὰς ἀπὸ θεοῦ ὁρισθέντων, τὸ γῆ εἶ καὶ εἰς γῆν ἀπελεύ- Gen. III. 19.
σῃ· οὐ γὰρ κατὰ χρόνου περαίωσιν τοῦτο λαμβάνειν χρή, ὡς καὶ χρονικοῦ ὁρισ-
μοῦ περιγράφοντος τὴν τοῦ ἀνθρώπου ζωήν· ἀλλ' ὥσπερ εἴρηται ἐν τοῖς εὐαγγε-
λίοις, τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἠσαΐου (3) τοῦ προφήτου· ἢ τὸ ἵνα πληρωθῇ Matth. II. 17. IIII.
τὸ ῥηθὲν ὑπὸ ἑτέρου προφήτου· οὕτω καὶ ἐνταῦθα νοητέον τὰ περὶ τοῦ πληρωθῆ- 14.
E ναι τοὺς ὅρους τῆς ζωῆς εἰρημένα. A. Δύο μέμψεων μιᾷ πάντως ὑποπεσεῖσθε,
ἢ τῷ μὴ νοῆσαι ὑγιῶς τὰ τῷ διδασκάλῳ δογματισθέντα· ἢ τῷ ἑκόντι παρα-

etiam humanis prorsus indulgere ratiociniis, nostrisque fidere perceptionibus, periculo non caret. Fide enim, non curiositate, divina scripturarum oracula accepimus: nec si forte horum vis intelligentiam nostram excedit, iis idcirco derogandum censemus. Ergo praecipuorum quoque magistrorum voces pari obsequio prosequamur: quas videlicet ecclesiastes innuens; sermones sapientium, inquit, ut stimuli, ut clavi ignei; qui omnes ex condicto ab uno pastore prodeunt. Nam qui olim locutus est prophetis, idem apostolis gratiam indidit, et deinde etiam per sanctos patres nos docuit. Ipse enim posuit in ecclesia, ut Paulus clamat, primum apostolos, deinde prophetas, tertio doctores. Igitur si Pythagorae discipulis tanta inerat erga eiusdem, quam ipsi existimabant, philosophiam reverentia, ut traditionem eius demonstrativa qualibet oratione potiorem ducerent; quid nobis fiet, si forte par obsequium divinitus afflatis patribus non tribuerimus?

6. B. Atqui Basilius non eo, quem vos putatis, sensu elocutus est; sed complementum terminorum dixit hominis reditum in pulverem. Tunc enim finis est rei, quam initio Deus his verbis definivit: pulvis es et in pulverem reverteris. Non enim heic temporis terminus intelligendus est, ita ut temporali quoque limite vitam hominis Deus circumscripserit; sed sicuti in evangeliis dicitur, tunc impletum est Isaiae prophetae effatum; vel, ut impleretur alterius prophetae dictum; ita heic etiam de completis vitae terminis intelligenda locutio est. A. In duorum errorum alterutrum sine dubio incurritis; nempe vel magistri doctrinam non

(1) Rursus praeclara sententia adversus eos qui sacra biblia humanae criticae regulis prorsus subiiciunt; et de priscis patribus sine debita reverentia iudicant.

(2) Hac prorsus responsione utitur Anastasius quaest. LXXXVIII. πρὸς τοὺς δὲ φέροντας τὸν μέγαν Βασίλειον προορισμὸν ζωῆς λέγοντα, ἐκεῖνο ἐροῦμεν, ὅτι προορισμὸν ὁ πατὴρ εἶπε τὴν θείαν ἀπόφασιν λέγουσαν ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ.

(3) Corrige Ἱερεμίου.

λογίσασθαι τὴν ἀλήθειαν· ἡ μὲν γὰρ τῷ ἀνθρώπῳ δοθεῖσα τὸ κατ' ἀρχὰς A
ἀπόφασις ἐκ Θεοῦ, τὸ εἰς γῆν ἀναλύειν αὐτὸν ἐξ ἧς ἐλήφθη, ἕνα ὅρον δοθῆναι
κατὰ παντὸς ὑπαγορεύει τοῦ γένους, καὶ οὐ πολλοὺς ἐκ τοῦ περὶ ἕκαστον θεω-
ρουμένους· ἡ δὲ τοῦ διδασκάλου φωνὴ, οὐ μόνον περὶ ἕκαστον ζωῆς ὅρους ἔφη πε-
πῆχθαι, ἀλλὰ καὶ τὸ περὶ ἕκαστον συμφέρον ἐκ τούτου προσκοπεῖσθαι ἐδίδαξε·
δῆλον δὲ ὡς ἡ μὲν ἐκ τῆς πρώτης καταδίκης ἐπαγωγὴ, μία καὶ ἡ αὐτὴ ἐπὶ B
πάντων ἀνθρώπων ἐστίν· ὁμοίως γὰρ πάντες εἰς γῆν ἀποστρεφόμεθα, εἰ καὶ οἱ
τρόποι τοῦ θανάτου διάφοροι· τὸ δὲ ἄλλον ἄλλου θᾶττον ἢ βραδύτερον ἀπο-
βιῶναι, τὴν πρὸς τὸ συμφέρον ἡμῖν τοῦτο οἰκονομοῦσαν τοῦ Θεοῦ πρόνοιαν δείκνυ-
σι· τῷ μὲν πρὸς τὸ μετανοίᾳ τὰ φθάσαντα διορθώσασθαι σφάλματα, πλείονα
ἐπιμετροῦντος ζωήν· τὸν δὲ, πρὸς τὸ μὴ ἐμπαγῆναι εἰς ὕλην τοῦ τῆς ἁμαρτίας C
Rom. XI. 33. βυθοῦ, τάχιον προαρπάζοντος· μᾶλλον δὲ κατὰ τὴν ἄρρητον τῆς σοφίας αὐτοῦ
καὶ τῆς ἀγαθότητος ἄβυσσον, ᾗ τινι μὴ δὲ ἀγγελικὸν ὅλως προσβλέψαι νοῦν
δυνατὸν, τὰ τοιαῦτα οἰκονομοῦντος, καὶ τῇ οἰκείᾳ προγνωστικῇ δυνάμει προθεω-
ροῦντος τὰς ἐκβάσεις τῶν ἐσομένων, καὶ καταλλήλως τούτοις τῇ δικαίᾳ ἑαυτοῦ
κρίσει τὰ τέλη τούτων προορίζοντος· καὶ ἵνα μήτις ἡμᾶς παραστοχάζεσθαι τῆς πα- D
τρικῆς ἐννοίας νομίσειεν, αὐτὸν Βασίλειον τὸν σοφώτατον δεξώμεθα τῶν οἰκείων λό-
γων ἐξηγητὴν ἐν τῷ περὶ εὐχαριστίας δευτέρῳ λόγῳ (1) λέγοντα οὑτωσί· " ἐννόησον
" γὰρ ὅτι ὁ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς, ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν
" τοῦ βίου διαγωγήν, καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου· τὸν μὲν γὰρ
" ἐπὶ πλεῖον παραμένειν τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε· τὸν δὲ θᾶττον E
" ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο, κατὰ τοὺς ἀρρήτους τῆς

recte intelligitis, vel ultro veritati illuditis. Nam Dei ab initio adversus hominem lata sententia, ut hic scilicet in eum, de quo sumptus est, pulverem resolvatur, unum generi hominum universo constitutum esse terminum monet, non plures qui ex singulorum exitu cognoscantur. At vero doctoris vox non solum singulorum vitae praestitutos limites ait, verum etiam quid cuique homini utile sit, hac ipsa re prospectum antea docet. Constat autem primae damnationis sententiam, unam eamdemque contra omnes homines esse. Aeque enim cuncti in pulverem revertimur, etsi genera mortis differunt. Quod vero alius alio citius moritur, id sollicitam utilitatum nostrarum providentiam Dei demonstrat: qui alii ob emendanda prioris temporis errata diuturniorem dimetitur vitam; alium, ne in coenosum peccatorum barathrum demergatur, citius abripit. Et quidem sic agit pro sua ineffabili sapientiae bonitatisque altitudine (in quam ne angelicae quidem menti introspicere licet;) suaque futuri praescia vi, qua rerum exitus prospicit: atque his congruenter, iusto suo iudicio fines praestituit. Ac nequis forte nos a patris sensu aberrare putet, sapientissimum ipsum Basilium sententiae suae narratorem audiamus in secunda de gratiis agendis oratione: " fac animo tuo reputes, a factore nostro atque animatore Deo, proprium cuique animae attributum esse vitae
" curriculum, atque aliis alios excedendi vita limites posuisse: et hunc diutius su-
" peresse in carne decrevit; illum celerius solvi vinculis corporis statuit; secundum

(1) Nempe in sermone qui vulgo inscribitur de martyre Iulitta cap. 5. Fateor me superius p. 287, urgente proelo, locum qui sequitur Basilii laudavisse ex oratione de morte, in qua reapse is extat; neque me tamen properantem vidisse, hanc inter illas numerari orationes, quas Simeon Metaphrastes ex variis Basilii scriptis ad verbum consarcinavit. Eadem me properantia fecit immemorem occursuri mox in hoc Photii scripto veri tituli basilianae orationis: neque item sivit pseudo-Athanasii satis auctoritatem considerare, quae Photio potius adversari videtur.

A „ σοφίας αὐτοῦ καὶ τῆς δικαιοσύνης λόγους· ὥσπερ οὖν οἱ ταῖς εἱρκταῖς ἐμπί-
„ πτοντες, οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτικῶν ἐναποκλείον-
„ ται, οἱ δὲ ταχυτέραν εὑρίσκουσι τῆς κακοπαθείας ἀπαλλαγὴν, οὕτω καὶ αἱ
„ ψυχαὶ, αἱ μὲν ἐπὶ πολὺ προκατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ' ἔλαττον,
„ κατὰ τὴν ἀναλογίαν τῆς ἀξίας ἑκάστου· σοφῶς καὶ βαθέως, καὶ ὡς οὐκ ἂν
B „ ἐφίκοιτο νοῦς ἀνθρώπων, τὰ περὶ ἕκαστον ἡμῶν τοῦ κτίσαντος ἡμᾶς προβλεπο-
„ μένου (1) „.

ζ. B. Οὐκοῦν καὶ τῶν ἀλόγων κατὰ σὲ ὅρους ἐροῦμεν τῆς ζωῆς. A. Πῶς τοῦτο φῂς; B. Ὅτι τοι γέγραπται, ὡς ὁ θάνατος τούτου, οὕτως καὶ ὁ θάνατος τούτου, καὶ πνεῦμα ἓν τοῖς πᾶσι· καὶ τί περιέσσευσεν ὁ ἄνθρωπος παρὰ τὸ κτῆ- *Eccles. III. 19.*
C νος; οὐδέν· ὅτι τὰ πάντα πορεύεται εἰς τόπον ἕνα· τὰ πάντα ἐγένετο ἐκ τοῦ χοὸς, καὶ τὰ πάντα ἐπιστρέφει εἰς τὸν χοῦν. A. Οὕτω μὲν γέγραπται ταῦτα· οὐχ οὕτω δὲ ἔχει κατὰ τὴν ἔννοιαν ὥσπερ ὑπέλαβες σύ· ἡ γὰρ τῶν ἑξῆς ἐπαγωγὴ, ἣν αὐτὸς παρεσιώπησας, τὴν ἀληθῆ τῶν γεγραμμένων ἐμφαίνει διάνοιαν· τῇδε γὰρ ἔχει· καὶ τίς οἶδεν εἰ τὸ πνεῦμα τοῦ ἀνθρώπου ἀναβαίνει αὐτὸ εἰς ἄνω; καὶ τὸ πνεῦμα
D τοῦ κτήνους καταβαίνει κάτω εἰς γῆν; τὸ μὲν γὰρ πνεῦμα τοῦ ἀνθρώπου κατὰ τὴν αὐτοῦ τοῦ ἐκκλησιαστοῦ φωνὴν ἐπιστρέφει πρὸς τὸν Θεὸν ὃς ἔδωκεν αὐτό, οὐσία ὑπάρχον ἄυλος ζῶσα νοερά· καὶ διὰ τοῦτο εἴρηται ἀναβαίνειν αὐτὸ εἰς ἄνω· τὸ δὲ τοῦ κτήνους πνεῦμα ὑλικὸν ὑπάρχει, ἐκ γῆς τὴν σύστασιν ὁμοίως τῷ σώματι εἰληφὸς, κινητικὴν τοῦτο δύναμιν ἔχον· καὶ διὰ τοῦτο εἰς γῆν ἀναλύεσθαι σὺν
E τῷ σώματι πέφυκεν· ὁ οὖν ἐκκλησιαστὴς οὐχὶ τὴν ἑαυτοῦ κεκριμένην γνώμην εἰσάγων ἐκεῖνα ἔφη τὰ ῥήματα, ἀλλὰ τὴν τῶν πολλῶν τῶν σωματικώτερον ζῆν αἱρουμένων, καὶ μηδὲν τῶν κατ' αἴσθησιν ὑψηλότερον ἐννοουμένων· καὶ τοῦτο δείκνυται ἐκ τῆς φράσεως τοῦ προκειμένου σαφέστερον· προειπὼν γὰρ ἐκεῖ· εἶπα ἐν καρ-

„ arcanes sapientiae suae iustitiaeque rationes. Sicuti ergo qui in carcerem coniiciuntur, partim tempore prolixiore custodum saevitia includuntur, partim ociorem inveniunt poenae depulsionem: sic et animae partim diutius in hac vita retinentur, partim brevius, pro cuiusque merito: nostro scilicet creatore sapienter atque longissime, et prae omni humanae mentis acumine, res nostras singulorum praevidente „.

7. B. Ergo etiam brutis, te iudice, vitae terminos definitos dicemus? A. Quid ita? B. Quia scriptum est: sicut mors huius, ita et mors illius; unusque omnibus spiritus. Et quid homo praestat beluae? nihil. Etenim omnia eumdem in locum abeunt. Omnia de pulvere orta sunt, atque omnia in pulverem revertuntur. A. Haec quidem ita sunt scripta: neque tamen eorum est, quem tu putas, sensus. Nam quae ibi sequuntur, quaeque tu reticuisti, veram scripturae sententiam produnt. Sunt autem haec: et quis novit utrum spiritus hominis sursus adscendat? et beluae spiritus feratur in terram deorsum? Scilicet hominis spiritus, secundum ipsius ecclesiastae effatum, ad Deum qui dedit ipsum revertitur; quum sit incorporea substantia intellectualis; ideoque dicitur sursum adscendere. Bruti autem spiritus materialis est, substantiam suam de terra haud secus quam corpus nactus, vimque habens movendi huius; ideoque ut in pulverem cum corpore resolvatur natura comparatum est. Ergo ecclesiastes non suam sententiam proferens verba illa elocutus est, sed potius hominum, vitam corporeae voluptati deditam instituentium, nihilque supra sensum cogitantium. Idque apertius praecedente dictione testatus est:

(1) Locus idoneus confirmandae sententiae de praedestinatione post praevisa merita.

δία μου περὶ λαλιᾶς υἱῶν τοῦ ἀνθρώπου, ὅτι διακρινεῖ αὐτοὺς ὁ Θεός· καὶ τοῦ A
δεῖξαι ὅτι αὐτοὶ κτήνη εἰσὶν, ἐπάγει, τίς ἡ λαλιὰ καθ' ἣν κριθήσονται, καὶ
δι' ἣν ἐν τῇ τῶν κτηνῶν μοίρᾳ ταχθήσονται· ὅτι συνάντημα φησὶν υἱῶν τοῦ ἀν-
θρώπου, καὶ συνάντημα κτήνους ἐν αὐτοῖς· ὡς ὁ θάνατος τούτου, οὕτως καὶ ὁ
θάνατος τούτου· καὶ αὕτη μὲν ἡ τῶν πολλῶν δόξα τε καὶ πληροφορία· ὁ δὲ
τὴν οἰκείαν γνώμην τιθεὶς διδάσκει, ὅτι ὀλίγων ἐστὶ τὴν τούτων ὑγιῶς διάκρισιν B
ποιεῖσθαι· ὥστε τὸ μὲν τοῦ κτήνους πνεῦμα εἰδέναι εἰς γῆν διαλύεσθαι, ἐξ ἧς καὶ
συνέστηκε· τὸ δὲ τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν ἐπιστρέφειν, ὃς ἔδωκεν αὐτὸ (a),
παρ' ἑαυτοῦ ζωὴν ἐνθεὶς τῷ ἐκ τῆς ὕλης ληφθέντι σώματι· ἣν τινα ψυχὴν νοε-
ρὰν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος κατὰ τὸν θεολόγον Γρηγόριον (1)· καὶ γὰρ τὸ
Ps. XXIII. 3. τίς παρὰ τῇ γραφῇ ὡς τὰ πολλὰ ἐπὶ τοῦ σπανίου εἴωθε τάττεσθαι· ὡς τὸ τίς C
XXXIII. 13. ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κυρίου; καὶ τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν; καὶ τίς
Matth. XXIIII. 45. ἄρα ὁ πιστὸς καὶ φρόνιμος οἰκονόμος; καὶ τὰ παραπλήσια.

η. B. Πῶς ἡμᾶς ἐστι δυνατὸν ὅρους τῆς ἑκάστου ζωῆς ἐννοεῖν; ὁπότε πᾶς
μὲν ὅρος τὸ ἐξ αὐτοῦ ὁριζόμενον ἔχει, μήτε ὑπερβάλλων τὴν αὐτοῦ περιγραφὴν, μή-
τε ἐλλείπων πρὸς ταύτην; ὡς ἐκ τῶν πρὸς τὸν Ἰὼβ ἐκ τοῦ Θεοῦ περὶ τῆς θαλάσ- D
Cap. XXXVIII. 10. σης εἰρημένων ἔξεστιν ἐννοεῖν· λέγει γὰρ ἐθέμην δὲ αὐτῇ ὅρια περιθεὶς κλεῖθρα καὶ
πύλας· εἶπα δὲ αὐτῇ μέχρι τούτου ἐλεύσῃ καὶ οὐχ ὑπερβήσῃ· ἡμεῖς δὲ εὑρίσκο-
μεν ἐν ταῖς γραφαῖς καὶ προσθήκην ζωῆς τοῖς εὐδοκίμοις γίνεσθαι ἐκ Θεοῦ, καὶ κο-
λόβωσιν χρόνων ἐπακολουθεῖν τοῖς βίον ἡμαρτημένον κατεγνωσμένοις· ἀδύνατον οὖν
εἴπερ ἐξ ἀρχῆς ὅρους τῆς ἑκάστου ζωῆς ἔπηξε Θεὸς, τούτους κατά τι γοῦν παρα- E
σαλευθῆναι, ἢ ὑπερβιώσει τῶν τῶν ἐναρέτων, ἢ ἐλαττώσει τῶν κατεγνωσμένων, ἐπεὶ
οὐκ ἂν ἦσαν ὅροι. A. Καὶ ποῦ σοι τῶν γραφῶν τὰ τοιαῦτα παρατετήρηται; B. Πρό-

dixi in corde meo de sermunculis filiorum hominis, fore ut diiudicet illos Deus. Atque ut ostendat eos instar esse brutorum, addit quinam sint sermunculi secundum quos iudicabuntur, et quorum causa in beluarum numero reputandi erunt: quia eventus est, inquit, filiorum hominis, et eventus iumenti in ipsis. Sicut mors huius, ita et mors illius. Et haec multorum opinio est ac persuasio. Qui autem propriam sententiam scribit, is ait paucorum esse sanum iudicium mente informare; ita ut noscant, iumenti spiritum pulveri, unde constat, esse reddendum; spiritum hominis ad Deum reversurum qui dederat, quique vitam ex semet ipso inspiraverat sumpto de terra corpori: quam animam intellectualem Deique imaginem ratio agnoscit, teste Gregorio theologo. Nam et vocabulum τίς de re infrequenti dici solet in scriptura. Veluti, quis ascendet in montem Domini? et quis est homo qui vult vitam? et quis fidelis prudensque vilicus? et similia.

8. B. At enim qui fieri potest ut singulorum hominum vitae certos terminos esse credamus, siquidem terminus res per se definita est, quae neque additamentum patitur neque defectum? quod ex dicto Dei ad Iobum de mari colligere licet. Ait enim: constitui mari fines, claustris appositis ianuisque; eique dixi, huc usque pertinges neque ultra progredieris. Nos autem in scripturis invenimus tum incrementa vitae a Deo bonis hominibus fieri, tum temporis detractionem his qui prave vitam instituunt. Impossibile est igitur, si a principio Deus singulorum vitae terminos posuit, hos ullo modo commoveri, sive bonorum maiore longaevitate, sive improborum breviore vita; alioqui termini iam non essent. A. Fare age

(a) Cod. αὐτῷ.

(1) Confer Billii editionem tom I. or. XII. p. 198.

A δῆλον ὡς Ἐζεκίας μὲν δι' εὐσέβειαν, ἐτῶν πεντεκαίδεκα προσθήκην ζωῆς ἐκομίσα- III. reg. XX. 6. Ps.
το· ἄνδρες δὲ αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν βοᾷ LIIII.
Δαβίδ· καὶ ὁ Σολομῶν, ἄκουε υἱὲ ἐμοὺς λόγους φησί, καὶ προστεθήσεταί σοι ἔτη 24 Prov.
ζωῆς· καὶ πάλιν ἀποτρέπων τὰς πρὸς τὴν κακίαν ὁδοὺς, μὴ γίνου σκληρὸς φη- IIII. 10. XI. 30.
σὶ, καὶ μὴ ἀσεβήσῃς πολὺ, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου· καὶ πάλιν· Eccles. VII. 18.
B ἀφαιροῦνται δὲ ἄωροι ψυχαὶ παρανόμων· καὶ τούτων πλεῖστα ἐν ταῖς γραφαῖς εὑρισκόμενα· εἰ οὖν ὕφεσιν καὶ ἐπίτασιν πρὸς τὸ τῆς πολιτείας διάφορον λαμβάνει τὰ τῆς ζωῆς, οὐδαμῶς ὅροι ταύτης τοῖς ἀνθρώποις πεπήγασι· τὸ γὰρ πάγιον ἀμετακίνητον διαμένειν ἀνάγκη· ἐπεὶ πῶς ἂν εἴη πάγιον;

θ. Α. Τὰ πρὸς ἐποχὴν τῆς ἁμαρτίας ἢ προτροπὴν ἀρετῆς ἐν ταῖς θείαις εἰρη-
C μένα γραφαῖς ἀναγκαίως ἡμῖν προσάγονται ὑπὸ Θεοῦ· ἵνα πᾶν στόμα φραγῇ ὡς Rom. III. 19.
ὁ μακάριος Παῦλος βοᾷ, καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ· καὶ οὐχ ὡς ἀγνοοῦντος αὐτοῦ τὸ ἐσόμενον, κατὰ τὸν μέγαν Γρηγόριον, ἀλλὰ νομοθετοῦντος τὸ αὐτεξούσιον (1) τὰ τοιαῦτα δίδοται νουθετήματα· αὐτὸς γὰρ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, ἐξ ἀπείρου καὶ οὐ προσφάτως, οὐδὲ ἐκ τεκμηρίων στοχαζό-
D μενος τὸ ἐσόμενον, ἀλλὰ δυνάμει θεοπρεπεῖ καὶ ἀρρήτῳ τῇ τῶν γενησομένων ἐπιβάλλων ἐκβάσει· καὶ ὑπ' ὄψιν ὡς εἰπεῖν τὰ μέλλοντα προορώμενος, προσφόρως τοῖς προεωραμένοις αὐτῷ καὶ τὰ τῆς ἑαυτοῦ κρίσεως ἐπ' αὐτοῖς προορίζει (2)· ἄνθρωποι μὲν γὰρ μετὰ τὰς τῶν πραγμάτων ἐκβάσεις, τὰς καταλλήλους κρίσεις ἐπάγουσι· Θεῷ δὲ τὸ μέλλον ὡς ἤδη ἑστὸς θεωρεῖται· καὶ κατὰ τοῦτο τὰ
E τῆς πρεπούσης ἀξίας μᾶλλον δὲ τῆς συμφερούσης ἑκάστῳ λήξεως προθεσπίζει ἀπαραβάτως, εἴ τε ἐν παρατάσει ζωῆς, εἴ τε ἐν ὀλιγότητι καὶ συστολῇ τῆς βιώσεως· ἐπειδὴ καὶ τὰ τῆς προγνώσεως οὐκ ἐσφαλμένα· κατά τι γοῦν ὅλως καὶ τὸ

in quibusnam scripturae locis haec deprehendisti? B. Constat Ezeciae pietatis ergo quindecim annis vitam fuisse prorogatam. Viri autem sanguinum et fallaciae non attingent aetatis suae dimidium, inquit David. Tum Salomon: audi, fili, sermones meos inquit, ut tibi augeantur vitae anni. Et rursus, ne deflectas ad vias pravas, neque contumax fias, neque magnopere pecces, ne tempore non tuo moriaris. Praeterea: abripiuntur intempestivae animae impiorum. Plura eiusmodi in sacris litteris sunt. Si ergo imminutionem et incrementum pro diverso morum genere vita humana recipit, nequaquam huic fines praefixi fuerunt. Nam quod fixum est, id immobile maneat necesse est: alioqui quomodo esset fixum?

9. A. Quae vel ad peccatum inhibendum vel ad excitandam virtutem in divinis scripturis dicta fuerunt, ea necessario nobis Deus infert, ut omne os obstruatur, totusque mundus subditus Deo fiat: non quod ipse futura ignoret, ut ait magnus Gregorius; sed quia liberum arbitrium esse vult, idcirco fiunt hae admonitiones. Ipse enim ante hominum nativitatem omnia sciens, ab aeterno non nuperrime, neque e signis futura divinans, sed virtute Deo digna et ineffabili, posterorum temporum eventus adsequitur. Quumque oculis ut ita dicam futura prospectet, convenientia his visis sua quoque iudicia praedestinat. Et homines quidem post rerum exitum idonea iudicia faciunt; Deus autem futurum praesentis instar spectat; atque ita quod cuiusque merito congruit, vel potius debitam cuique sortem, citra omnem transgressionem decernit: sive de vita extendenda agatur, sive de brevitate eiusdem et contractione; quandoquidem eius praesensio errori

(1) Sunt ipsa Nazianzeni verba orat. XLII p. 696.

(2) Locus iterum insignis pro sententia theologica de praedestinatione post praevisa merita.

βραχύτατον ἐν αὐτῷ θεωροῦνται· ἀλλ' ἐν ἀκριβεςάτῃ λίαν καταλήψει τῷ ὑπερου- A
σίῳ τῆς αὐτοῦ δυνάμεως ἐνυπάρχουσιν· ἀπειλεῖ τοίνυν τὰ φοβερὰ καὶ πάλιν ἐπαγ-
γέλλεται τὰ χρηςά· ἵνα διὰ μὲν τῶν, ἀπαγάγῃ τῆς ἁμαρτίας· διὰ δὲ τῶν,
τῇ ἀρετῇ προσαγάγηται τὸν ὑπακούοντα· αὐτεξούσιον ἔχοντος τοῦ ἀνθρώπου τὴν
ἐφ' ἑκάτερα ῥοπὴν καὶ ἀβίαςον· πανταχοῦ δεικνύντος τοῦ θεοῦ δι' ὑπερβάλλουσαν
ἀγαθότητα μηδὲν ἑαυτὸν ἐλλελοιπέναι τοῦ εἰς ἡμετέραν σωτηρίαν ἡκόντων· ἵνα τοῖς B
καταφρονήσασι τῶν ἐνταλμάτων καὶ τῇ δικαίᾳ αὐτοῦ ἀγανακτήσει ὑπαχθησομένοις,
τὸ ἀναπολόγητον προςῇ· καὶ ἵνα γνῶμεν ὅτι καίτοι ἐπιςάμενος τὸ τινῶν ἀπει-
θὲς, ὅμως πάντα τὰ πρὸς ἐπιμέλειαν αὐτῶν ἐργάζεται, τὴν οἰκείαν ἐπιδεικνὺς
Cap. III. φιλανθρωπίαν, ἄκουε τί φησι τῷ μακαρίῳ Ἰεζεκιὴλ τῷ προφήτῃ· υἱὲ ἀνθρώ-
4. που βάδιζε πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ τὸν παραπικραίνοντά με· καὶ λάλησον C
τοὺς λόγους μου πρὸς αὐτούς· διότι οὐ πρὸς λαὸν βαθύχειλον καὶ βραχύ-
γλωσσον (a) σὺ ἐξαποςέλλῃ, πρὸς τὸν οἶκον τοῦ Ἰσραήλ· οὐ πρὸς λαοὺς πολλοὺς
ἀλλοφώνους ἢ ἀλλογλώσσους, οὐδὲ ςιβαροὺς τῇ γλώσσῃ ὄντας, ὧν οὐκ ἀκούσῃ
τοὺς λόγους· καὶ εἰ πρὸς τοιούτους ἐξαπέςειλά σε, οὗτοι ἂν εἰσήκουσάν σου·
ὁ δὲ οἶκος τοῦ Ἰσραὴλ οὐ μὴ θελήσωσιν ὑπακοῦσαί σου, διότι οὐ βούλονται D
εἰσακούειν μου· σαφέςερον δὲ ταυτὸ τοῦτο καὶ διὰ τῶν ἐν τῷ δευτερονομίῳ γε-
γραμμένων ἀποδείκνυται· μετὰ γὰρ τὰς τοσαύτας παραγγελίας ἃς αὐτὸς ὁ θεὸς
πρὸς τὸν λαὸν διὰ τοῦ νομοθέτου πεποίηται τοῦ ἀπέχεσθαι μὲν πάσης εἰδωλο-
ποιΐας πλάνης, μόνῃ δὲ τῇ αὐτοῦ προσανέχειν λατρείᾳ, ὅρα οἷα πρὸς αὐτὸν ἐκεῖ-
Deuter. νον τὸν μέγαν ἔφη Μωσέα· ἰδοὺ σὺ κοιμᾶσαι μετὰ τῶν πατέρων σου· καὶ ὁ λαὸς E
XXXI. 16. οὗτος ἐκπορνεύσει ὀπίσω θεῶν ἀλλοτρίων τῆς γῆς εἰς ἣν αὐτὸς εἰσπορεύεται ἐκεῖ
εἰς αὐτήν· εἶτα καὶ τὰ τῆς ἑπομένης τοῖς ἀπειθοῦσιν ἀγανακτήσεως ὁριςικῶς ἐπι-
λέγει· καὶ ὀργισθήσομαι αὐτοῖς θυμῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ καταλείψω αὐ-

non est obnoxia. Res enim ipse perfecte ocissimeque in semet spectat: quiir hae potius accuratissime cognitae in eius virtute ineffabili continentur. Minatur itaque formidolosa, itemque iucunda pollicetur, ut illa a peccatis deterreant, haec docilibus virtutem suadeant: quandoquidem homo liber utrimque ab omni coactione est. Atque ita Deus usquequaque ostendit, nihil ab eius bonitate reliquum fieri, quod saluti nostri prosit: ut mandatorum deinde contemptoribus, ideoque iustae eius irae obnoxiis, excusatio nulla supersit. Atque ut nobis innotescat, Deum etsi quorumdam contumaciae praescium, nullum tamen praetermittere officium, quo suam erga nos clementiam significet, audi quid ipse beato Ezecieli prophetae dicat: “ perge fili ho-
„ minis ad Israelis quae me exasperat domum; meosque apud eam sermones elo-
„ quitor. Quia non ad populum profundi labii neque duri sermonis mitteris,
„ sed ad Israelis domum; neque ad alienae linguae diversique eloquii gravisque
„ loquelae gentes, quarum non possis audire sermones. Quamquam si ad has te
„ mitterem, exaudireris utique ab eis. Verumtamen audire te nolet Israelis do-
„ mus, quia mihi ipsi morem gerere renuit „. Clarius adhuc id demonstratur ex iis etiam quae in deuteronomio dicuntur. Etenim post tot mandata quae Deus ipse populo per legislatorem vulganda curaverat, abstinendi scilicet omni idolorum superstitione, unique sibi cultum adhibendi, videsis sia quemadmodum magno illi Mosi locutus sit: “ en tu cum maioribus tuis iam requiesces, populus autem hic
„ fornicabitur post deos alienos terrae eius quam ingredietur „. Deinde etiam persecuturam contumaces indignationem subdit: “ irascar eis vehementer in illa

(a) Corrige βαρύγλωσσον.

A τοὺς καὶ ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν· καὶ ἔσονται κατάβρωμα·
καὶ εὑρήσουσιν αὐτοὺς πολλὰ κακὰ καὶ θλίψεις· ἐκ τούτων σαφῶς διδασκόμενος,
ὅτι εἰ καὶ νομοθετεῖ καὶ ὑποτίθεται τὰ πρὸς ἀρετὴν ἐνάγοντα καὶ τὰ τὴν κα-
κίαν ἀπείργοντα, ἀλλὰ τὰ τῆς προγνώσεως αὐτῷ οὐκ ἐγκόπτεται· οὐδὲ τὸ κατ-
αλλήλως τοῖς προεγνωσμένοις τὰς τῆς οἰκείας αὐτοῦ σοφίας καὶ δικαιοσύνης κρί-
B σεις ὁρίζειν κωλύεται· ὥστε καὶ ἡμᾶς κατὰ τὸν ἀπόστολον λέγειν, ὅτι οὓς προέγνω Rom. VIII. 29.
καὶ προώρισεν.

ι. B. Ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ ἐστιν οὐδεμία, ὁ θεῖος Ἰω- I. Ioh. I. 5.
άννης φησί· φωτὸς δὲ ἴδιον τὸ ἀληθῶς ὂν φανεροῦν καὶ ἀπαλλάττειν τοῦ σκότους,
ὅπερ ἡ πλάνη ἐστίν· ἐπεὶ οὖν ἀληθείας ἀγαπᾷ κύριος, μᾶλλον δὲ αὐτός ἐστιν ἡ
C αὐτοαλήθεια, πῶς παρὰ τὸ ὂν φαίνεται λαλῶν; A. ποῦ τοῦτο δεικνύειν φερόμενον
ἔχεις; B. Τῷ Ἐζεκίᾳ διὰ τοῦ προφήτου εὑρίσκομεν τὸν Θεὸν εἰρηκέναι, τάξαι περὶ IIII.
τοῦ οἴκου σου, ἀποθανῇ γὰρ σὺ καὶ οὐ ζήσῃ· συναχθήσεται οὖν τῶν δύο τὸ reg. XX. 1. vel Is.
ἕτερον, ἢ μὴ πεπῆχθαι ὅρον τῆς χρονικῆς ταύτης ἑκάστῳ ζωῆς, ἢ τὸ ὂν μὴ ἐξει- XXXVIII. 1.
πεῖν τὸν Θεόν· τουτέστι μετὰ ἔτη πεντεκαίδεκα τὰ τῆς τελευτῆς αὐτῷ ἐπιστῆναι, καὶ
D οὐ τηνικαῦτα ὁπότε ἐλέχθη αὐτῷ ἀποθανῇ σὺ καὶ οὐ ζήσῃ. A. Καὶ τί ἄρα φή-
σομεν αἴτιον γεγονέναι τοῦ λῦσαι τὸν Θεὸν τὴν ἰδίαν ἀπόφασιν; B Τί ἄλλο γε
ἢ ὅπερ αὐτὸς εἶπε τῷ Ἐζεκίᾳ ὁ Θεός· ὅτι εἶδον τὰ δάκρυά σου καὶ ἤκουσα τῆς
φωνῆς σου, καὶ ἰδοὺ προστίθημί σοι ἔτη ιε. A. Ἄρα δὲ αὐτὸ τοῦτο οὐ προεγ-
νῶσθαι φῂς τῇ θείᾳ φύσει, τὸ ἐκεῖνον δακρῦσαι φημὶ, καὶ τὰ σὺν αὐτῷ πάντα
E ποιῆσαι, ὡς εἰς οἶκτον κινῆσαι τὸν Θεὸν τοῦ προαγαγεῖν μὲν τὴν ἔφοδον τοῦ θα-
νάτου, τῆς δὲ ζωῆς τὴν προσθήκην ποιῆσαι (1); B. Καὶ τί δὴ ἀπαντήσαι ἡμῖν τῶν
ἀτόπων εἰ φαίημεν μὴ τῇ προγνώσει τοῦ Θεοῦ τοῦτο ὑποπεσεῖν; A. Τί δή; αὐ-
τὸ μὲν οὖν τὸ μέγιστον εἰς ἀσέβειαν. B. Πῶς καὶ τίνα τρόπον; A. Ὅτι παρευρη-

„ die : deseram illos, meamque ab eis faciem avertam : fient esca aliena, multisque malis atque cladibus atterentur „. Sic nimirum aperte Deus docet, quamvis ipse leges condat, normamque virtutis tradat ac vitii declinationem, nihilominus eius praescientiam non interverti; neque porro eum impediri quominus congruenter praevisis, commoda sapientiae suae iustitiaeque decreta scribat. Ita ut nobis quoque cum apostolo dicendum sit " quos praescivit et praedestinavit „.

10. B. Deus lux est, nec tenebrae in eo sunt ullae, ut divus Iohannes ait. Est autem lucis officium, quae vere existunt perspicua facere, atque ab omni obscuritate, id est errore, vindicare. Si ergo amator veritatis Dominus, immo veritas ipsa est, quomodo praeter veritatem loqui videtur? A. Ubinam vero id relatum demonstrare potes? B. Ezeciae deprehendimus a Deo prophetae ore dictum: dispone domui tuae, quia morieris tu nec amplius vives. Alterutrum ergo colligitur, nempe vel terminos temporalis huius vitae cuique homini non esse praefixos, vel Deum falsa elocutum. Nam certe quindecim demum post annos Ezeciae mors adfuit, non eo tempore quo dictum ei fuerat, morieris tu nec amplius vives. A. Age vero quaenam Deo causa fuit decretum suum abolendi? B. Illa scilicet quam ipse Ezeciae significavit Deus: quia lacrymas tuas vidi, tuamque vocem exaudivi, en tibi annorum quindecim incrementum do. A. An tu hoc ipsum divinae naturae non praevisum ais, Ezeciae inquam lacrymas atque omnimodum conatum, quo nisus est clementiam Dei permovere, ut mortis incursus cohiberetur, sibique vita prorogaretur? B. Quid porro absurdum hinc sequitur, si forte id Dei praescientiam latuisse dicamus? A. Quid, inquam, nisi maximum impietatis crimen? B. Quid

(1) Notabunt haec theologi scientiae, ut aiunt, mediae propugnatores.

σόμεθα ἀποστεροῦντες τὸν Θεὸν ὅσον ἐπὶ τῇ ματαιότητι τῶν ἡμετέρων διαλογισ- A
μῶν, αὐτὸ τὸ ἐξαίρετον ἰδίωμα τῆς Θεότητος· ὅπερ αὐτὸς χαρακτηριστικὸν ἀπλα-
νέστατον τῆς ἰδίας ὑπερουσίου δυνάμεως διὰ τοῦ προφήτου σαφῶς ἐπηγόρευσε, τὴν
τῶν μελλόντων ἁπάντων γνῶσιν φημὶ καὶ τῶν ἐσομένων τὴν προαγόρευσιν.

ια. Β. Ἀλλ' οὐ κατ' ἔλλειψιν τῆς προγνωστικῆς δυνάμεως ἢ ἀσθένειαν φύ-
σεως, λέγομεν μὴ τῇ προγνώσει τοῦ Θεοῦ τὰ κατὰ τὸν Ἐζεκίαν ὑποληφθῆναι· B
ἀλλ' ὡς ἰδικῶς περὶ τὸ ἐκείνου μόνου συμβαίνοντα πρόσωπον, καὶ οὐ πρὸς κοι-
νὴν τῶν ἀνθρωπίνων οἰκονομίαν ὁρῶντα. Α. Καὶ τίς ἂν τῶν τὰ θεῖα πεπαιδευ-
μένων ἀνέξεταί σου τοιαῦτα λέγειν τολμῶντος, καὶ τὴν ὑπεράπειρον τῆς θείας προ-
νοίας περιγράφειν ἀγαθότητα; ἥτις οὐδὲ τῆς ἀλόγου φύσεως ἀμελέτητον ποιεῖται
Matth. X. 29. τὴν τημελοῦχον ἐπιστασίαν· ὡς ὁ κύριος ἐν τῷ εὐαγγελίῳ ἐδίδαξε, μήτε στρου- C
θίον ἓν εὐτελέστατον, ὡς ἔξω τῆς ἐποπτικῆς τῶν ὅλων ὑπάρχον προνοίας, ἄνευ
τοῦ ἐν οὐρανοῖς εἰπὼν πεσεῖσθαι ἐπὶ τῆς γῆς, ἤγουν τῇ παγίδι ἐμπίπτειν· τί δὲ
βούλεται διδάσκειν ἡμᾶς διὰ τοῦ ἠριθμῆσθαι λέγειν τὰς τρίχας τῆς κεφαλῆς; τί
Cap. XXVIII. 25. δὲ τὸ σταγόνας ὑετοῦ μηδὲ αὐτὰς ἔξω τῆς αὐτοῦ ἀριθμήσεως εἶναι κατὰ τὸν Ἰώβ;
οὐχὶ τὸ παντέφορον καὶ ἀκάματον καὶ ἀδιάδραστον τῆς συνεκτικῆς τῶν ὅλων θεί- D
ας δυνάμεως; καὶ γὰρ δίκαιον ὧν τὴν δημιουργίαν οὐκ ἀπηξίωσε, τούτων μη-
δὲ τὴν ἐποπτικὴν τὸν Θεὸν ἀρνήσασθαι πρόνοιαν· οὐ τῇ εὐτελείᾳ τῶν προνοουμέ-
νων τῆς ἀφράστου μεγαλειότητος, ὕφεσιν δόξης κομιζομένης· ἀλλ' ἐν τῷ συνέ-
χειν τὰ ὄντα ἕκαστον ἐν τῷ ἰδίῳ λόγῳ ὡς γέγονε, τῆς παντουργοῦ αὐτοῦ ἐξου-
σίας τε καὶ προνοίας, μειζόνως θαυμαζομένης· τοῦτο δὲ οὐκ ἄλλως ἢ διὰ τοῦ E
ἐπιβλέπειν αὐτὸν ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ πιστευθήσεται· οὐκοῦν λεγέτω πρὸς
Ἐζεκίαν, μᾶλλον δὲ καὶ πρὸς πᾶσαν τῶν ἀνθρώπων τὴν φύσιν, πρὸ τοῦ με
Cap. I. 5. πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε· τὸ πρὸς ἕνα λεχθὲν τὸν Ἱερεμίαν φημι, καὶ

ita? A. Quia sic accidet ut Deo detrahamus, nostrorum scaevitate ratiociniorum, eam quae praecipua est divinitatis praerogativam, et quod ipse verissimum supremae potentiae indicium per prophetam adfirmavit, omnium nempe quae eventura sunt cognitionem ac vaticinium.

11. B. Ego vero non quod praesaga vis deesset, nec infirmitate naturae, aio Dei mentem latuisse res Ezeciae, sed quia res hae personam unam tantummodo respiciebant, non generalem hominum gubernationem. A. Et quis demum patietur, si modo sacris doctrinis sit imbutus, haec te audentem dicere atque immensam divinae providentiae praestantiam limitibus circumscribentem? quae ne irrationabilis quidem animantis idoneam curam negligit: ut in evangelio Dominus docuit, cum vilissimum nullum passerculum, quasi procul generalis providentiae respectu sit, sine patris caelestis nutu humi decidere vel laqueo irretiri dixit. Quid porro nobis suadet, cum capitis capillos numeratos ait? quid cum pluviae guttae sub Dei percensionem venire apud Iobum dicuntur? nonne vis omnituens et indefatigabilis et inevitabilis divinae omnia conservantis potentiae denotatur? Et sane aequum est quae creare non est dedignatus, his ne vigilem quidem providentiam a Deo denegari. Nam summa Dei magnitudo haudquaquam vilitate curatarum rerum gloriam sibi deteri sentit, sed dum potius universa conservat, prout singula naturam primitus sortita sunt, potentia eius rerum omnium parens vel maxime fit mirabilis. Id vero haud aliunde adseritur quam quod cuncta opera sua contuetur. Igitur dicatur de Ezecia, immo vero de universa hominum natura, ante quam te crearem in utero, novi te. Quod uni quondam Hieremiae dictum fuit, neque impossibile existimatum, iam cunctis

A ἀδύνατον εἶναι μὴ νομισθὲν, καὶ ἐπὶ τῶν ὁμοειδῶν πάντων ὁμοίως λαμβάνεσθαι
συναναγκαζούσης τῆς ἀληθείας· τοίνυν προεγνώσθη τῷ δημιουργῷ ἡ τοῦ βασιλέως
ἐν πόνῳ καρδίας καὶ δάκρυσι πρὸς αὐτὸν ἀναβόησις· ἐξ ἀπείρου (a) τοιγαροῦν καὶ οὐ
προσφάτως ὁ ὅρος αὐτῷ τῆς προσθήκης τῶν τοσούτων ἐτῶν ἐχαρίσθη· τοῖς γὰρ
αἰτίοις καὶ τὰ ἐξ αὐτῶν συνθεωρεῖσθαι ἐπάναγκες· εἰ οὖν αἴτιον τοῦ προστεθῆναι χρό-
B νον ζωῆς τὸ δάκρυον γέγονε, τοῦτο δὲ τῷ Θεῷ προτεθεώρηται, ἀνάγκη συνεζεῦχ-
θαι αὐτῷ κατὰ τὴν πρόγνωσιν καὶ τὸ ἐξ αὐτοῦ προελθόν.

ιβ. B. Οὐκοῦν τὸ ἕτερον τῶν ἐν τῷ λόγῳ συναχθέντων ἀτόπων ἡμῖν ἀπαν-
τήσεται· τὸ μὴ λέξαι τὸν Θεὸν ὡς εἶχε φύσεως τὸ ὄν, ἀλλ' ἕτερον ἀνθ' ἑτέ-
ρου εἰπεῖν· δέος γὰρ φάναι τὸ ψεύσασθαι αὐτόν· A. Τὰ κατ' οἰκονομίαν τινὰ λε-
C γόμενα ἢ πραττόμενα, οὐ χρὴ ψεῦδος λέγεσθαι ἢ ὑπόκρισιν· ἀπεναντίας γὰρ
ἀλλήλων τὰ τούτων ἀποτελέσματα· τὸ μὲν γὰρ ψεῦδος, ἐκ τοῦ διαβόλου ἐστὶν
ὡς γέγραπται· ὁ δὲ οἰκονομῶν ἐν κρίσει τοὺς λόγους αὐτοῦ, πρὸς τὸ εὐαρεστῆσαι
τῷ Θεῷ τοῦτο ποιεῖ, ὅπερ ἐστὶ τῶν τοῦ διαβόλου ἔργων κατάλυσις· οὕτω γοῦν
καὶ Ῥαὰβ ἡ πόρνη οὐχ ὡς ψευσαμένη κατακρίνεται, καίτοι παρὰ τὸ ὂν εἰρη-
D κυῖα· ἀλλ' ὡς διὰ πίστεως δικαιωθεῖσα ἐπαινεῖται· τῇ τοῦ λόγου οἰκονομίᾳ τὴν Hebr. XI. 31.
περὶ τὴν εἰς Θεὸν πίστιν βέβαιον ἐπιδειξαμένη· καὶ ὁ Θεὸς δι' αὐτοῦ προστάσσει
τῷ Φαραὼ τὸν Ἰσραηλίτην ἀποστεῖλαι λαόν· οὐχ ὡς τῆς Αἰγύπτου μετοικήσοντα, Exod. V. 1.
ἀλλ' ὡς λατρείαν ἐν τῇ ἐρήμῳ ἐπιτελέσοντα, καὶ πρὸς διάστημα ὁδοῦ ἡμερῶν
τριῶν ἐκχωρήσαντα· καὶ τί μοι τὸν Σαμουὴλ παραφέρειν ἥκειν μὲν λέγοντα κυ- I. reg. XI. 8.
E ρίῳ θῦσαι, βασιλέως δὲ προχείρισιν μετερχόμενον; ἢ τὸν μέγαν ἀπόστολον ἰου- Act. XXI. 26.
δαϊκῶς ἁγνιζόμενον καὶ νομικῶς θυσίας προσάγοντα; καὶ τὴν μὲν περιτομὴν καὶ Gal. V. 6. VI. 15.
τὰ σὺν αὐτῇ τοῦ νομικοῦ γράμματος παρατηρήματα, ὡς ἕωλα μετὰ τὴν χάριν

eiusdem naturae consortibus aeque dictum credatur. Itaque praevisus creatori fuit regis cum angore cordis et lacrimis ad eum clamor. Ergo ab aeterno non nuperrime annorum illud additamentum definitum fuit. Etenim cum rerum causis, res ipsas esse exploratas necesse est. Si ergo lacrymae causa fuerunt prorogandi vitae temporis, haeque Deo praevisae erant, necesse est coaetaneam in Deo fuisse rei praescientiam eiusque effectum.

12. B. Ergo in alterum e supra dictis absurdis incurremus, nempe quod Deus rem ut se habet non eloquatur, sed aliam pro ea dicat. Nam quod Deus mentiatur, id mihi dicere religio est. A. Quae secundum prudentiam quandam vel dicuntur vel fiunt, ea neque mendacio neque simulationi vertenda sunt: invicem quippe adversantur horum effectus. Namque mendacium ex diabolo est, ut ait scriptura: qui autem prudenti consilio orationem suam conformat, id non sine Dei placito facit: quae res diabolicis studiis contraria est. Sic enim neque Rahab mendacii accusatur, quamquam rem veram non dixit, sed veluti per fidem iustificata laudatur, quia sermone prudenti constantem suam in Deum fidem testata est. Quin ipse Deus imperat Pharaoni ut israeliticum populum dimittat, non quasi demigraturum Aegypto, sed in deserto rem sibi sacram facturum, et tridui itinere secessurum. Cur iam Samuelem proferam, qui se venturum dixerat ad sacrum Deo peragendum, venit autem post gestam a rege rem? Cur magnum apostolum qui iudaico ritu semet sanctificavit, et sacrificia legitima obtulit: qui quum circumcisionem atque alias eiusmodi scripturae legalis observantias tamquam cassas post

(a) Cod. ἐκείνου; quod corrigendum fuit ex p. 297. v. 15.

Act. XVI. 3. ἐκβαλόντα, περιτέμνοντά γε μὴν τὸν Τιμόθεον· ὁπότε ὁ χριστὸς αὐτὸς ἡ ὄντως A
ἀλήθεια, τῆς οἰκονομικῆς οὐδαμῶς μεθόδου ἀπέσχετο ἔν τε λόγοις καὶ πράγμασι, ἀλλὰ ταύτῃ μάλιστα καθ' ὅλον τὸν τῆς οἰκονομικῆς αὐτοῦ ἀναστροφῆς χρόνον
Ps. CXI. 5. χρησάμενος δείκνυται· περὶ οὗ καὶ τῷ ψαλμῳδῷ τὸ, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει, σαφῶς προφητεύεται· οὐκοῦν καὶ τὸ εἰρημένον πρὸς Ἐζεκίαν οὐ ψεύδους ἀποίσεται γραφὴν, ἀλλὰ τῆς πρὸς θεοσέβειαν διδασκαλίας δέξεται ἔπαι- B
νον, τοὺς ὁρῶντας προτρεπομένας θεὸν εἰδέναι ζωῆς ταμίαν, καὶ τὴν ὑπ' αὐτῷ μόνῳ αἱρεῖσθαι (1) ὑπόκλισιν· δι' οὓς καὶ τὰ τῆς τοιαύτης ἐδραματουργήθη οἰκονομίας· ἄλλως δὲ καὶ τὸ ἀποθανῇ σὺ καὶ οὐ ζήσῃ ἀληθεύεται, εἰ πρὸς τὸ τοῦ ἐνσκήψαντος πάθους ἴσως ἀπεχθὲς ἀποβλέψαιμεν· τοῦτο γὰρ εἰκὸς ἦν ὅσον πρὸς τὸ ὁρώμενον ἐπάγειν πάντως τῷ κειμένῳ τὸν θάνατον· καὶ ἴσως τοῦτο αἰνιττόμε- C
νος ὁ θεὸς ἔφη τὰ τῆς τελευτῆς αὐτῷ ἐπιστῆναι· οὐκ ἀόριστον ἔχων τὸ κατὰ τὴν αὐτοῦ πρόγνωσιν ὀφειλόμενον ἐκείνῳ τοῦ βίου τέλος.

ιγ. B. Τί οὖν; τῷ κατὰ πρόγνωσιν λόγῳ τοὺς ὅρους τῆς ζωῆς δογματίζεις περὶ ἕκαστον πήγνυσθαι; A. Καὶ μάλα. B. Ἀλλ' οὐ ταυτὸν ὅρος καὶ πρόγνωσις. A. Οὐ ταυτὸν μὲν κατ' ἔννοιαν ἑκατέρα τούτων ἕξις καθέστηκεν, ἐκ δὲ τῆς D
προγνώσεως οἱ παριστάμενοι τῇ δικαίᾳ τοῦ θεοῦ κρίσει ὅροι τῆς ζωῆς ἡμῶν τίθενται. B. Εἶτα οὐκ ἐντεῦθεν πρὸς ἑτέραν ἀπαγόμεθα γραφικῶς εἰπεῖν ἀδολεσχίαν, τοῦ λέγειν τὰς τῶν μελλόντων προγνώσεις αἰτίας καὶ οἷον εἰπεῖν ἀναγκαστικὰς τῆς τούτων ἐκβάσεως γίνεσθαι; A. Οὐδαμῶς. B. Πῶς καὶ διατί; A. Ὅτι δὴ καὶ ἡμεῖς οὐ παρὰ τὸ ὁρᾶν τὰ ἐν ὄψει ἡμῶν γινόμενα, ἤδη καὶ τῆς τούτων πρά- E
Num. XXV. 7. ξεως καθιστάμεθα αἴτιοι· ἐπεὶ κατὰ σὲ ὁ Φινεὲς τὴν μαδιανῖτιν τῷ Ζαμβρὶ συνασχημονοῦσαν θεασάμενος, τῆς ἀσχήμονος αὐτῶν πράξεως αἴτιον λογισθήσεται, ὁ

gratiam eliminasset, nihilominus Timotheum circumcidit? Quin adeo Christus, id est ipsa veritas, prudentiae hoc genus neque verbis recusavit neque factis aequi; sed toto humanae vitae tempore ita se gessisse facile cognoscitur. Quare et psalmographus de eo diserte vaticinatur "sermones suos prudenter instruet". Igitur ne id quidem, quod Ezeciae dictum fuit, in mendacii culpam vocabitur, sed doctrinae potius religioni conducentis laudem feret: quae doctrina auditores admonet ut Deum noscant vitae arbitrum, atque ut huic uni venerabundis animis subesse velint. Praeterea verba, morieris tu et non vives, alioquin etiam vera sunt, si morbi ingruentis gravitatem respiciamus: is enim idoneus videbatur ad mortem aegroto sine dubio inferendam. Idque fortasse Deus innuens, mortem regi impendere dixit; non autem quod ei nutaret in sua praescientia destinatus Ezeciae vitae terminus.

13. B. Quid ergo? nam secundum praescientiae rationem terminos vitae singulis hominibus praestitui indicas? A. Omnino. B. Atqui res eadem non est terminus et praescientia. A. Profecto utriusque rei haud eandem naturam cogitare licet: sed tamen post praescientiam, ii qui iusto Dei probantur iudicio, vitae nostri termini constituuntur. B. Nonne hinc ergo ad aliam devolvimur, ut vere dicam, scurrilitatem; nempe ut dicamus futurorum praescientiam causam fieri ac propemodum necessitatem ipsius exitus? A. Nego enim vero. B. At quo iure? A. Quia nos quoque non quia videmus quae coram sunt, idcirco horum efficiendorum causa sumus. Alioqui in sententia tua Phinees, qui madianitidem feminam cum Zambri impudice versantem vidit, stupri eorum causa iudicandus esset; nempe is qui

(1) In codice sic: θεόν· εἰ δέ με ζωῆς ταμίαν, κ) τὴν ὑπ' αὐτῷ μόνῳ αἱρεῖσθε. Sed in margine quidam corrigit sic: εἶναι οὕτως ὀφείλει γράφεσθαι· θεὸν εἰδέναι etc.

A διὰ ταύτης μιᾷ πληγῇ ἀνελὼν ἀμφότερον· καὶ τί χρὴ τῷ οἰκείῳ ἡμῶν ἀσθενεῖ λογισμῷ τὰ περὶ τούτου ἐφοδεύειν τῷ λόγῳ; δέον περὶ τοῦ προκειμένου προβλήματος τοῖς εἰρημένοις τῷ μεγάλῳ Ἀθανασίῳ ἐν τῷ εἰς τὸν σταυρὸν καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν λόγῳ ἐντυγχάνοντας, ἐκεῖθεν λαβεῖν πλατύτερόν τι ὁμοῦ καὶ σοφώτερον τῶν νῦν ἀπορουμένων τὴν ἐπίλυσιν· ὃ γάρ ἐστιν ἐν τοῖς ἀνθρώποις ἐπὶ
B τῶν ἐν ὄψει κειμένων ἡ ὅρασις, τοῦτο Θεῷ τῶν μελλόντων ἡ πρόγνωσις· καὶ οὐ τινῶν ἀλλὰ πάντων· ὁ εἰδὼς γάρ φησι τὰ πάντα πρὶν γενέσεως αὐτῶν· μᾶλλον Eccli. XXIII. 29.
δὲ καὶ αὐτῷ τούτου τοῦ νῦν εἰς ζήτησιν ἡμῖν προκειμένου δόγματος, τουτέστι τοῦ χρῆναι ὅρους τῆς ἑκάστου τῶν ἀνθρώπων ἐκδέχεσθαι ζωῆς, ἀκριβέστατον ἐπιγνώμονα αὐτὸν τὸν ἔνθεον καὶ ἀληθῶς ἀποστολικὸν χάριτος μέτοχον ποιησώμεθα Ἀθα-
C νάσιον, ἀναπτύσσοντες αὐτοῦ τὸ περὶ τῆς ἑαυτοῦ φυγῆς συγγραμμάτιον ἀποστολικόν, ἐν ᾧ εὑρήσομεν αὐτὸν λέγοντα οὕτως (1).

ιδʹ. „Ἔστι δὲ ἡ πρόφασις (a) ἣν ὁ Ἰωάννης ἔγραψεν οὕτως· ἐζήτουν πιάσαι Ioh. VII. 30.
„ αὐτὸν (b) καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας (c), ὅτι οὔπω ἐληλύθει ἡ ὥρα
„ αὐτοῦ· εἶτα βραχέα ἐπαπὼν ἐπιφέρει· ὡς μὲν οὖν υἱὸς καὶ λόγος ὢν τοῦ πα-
D „ τρός, καιρὸν οὐκ εἶχεν· αὐτὸς γὰρ τῶν καιρῶν (d) δημιουργός· ἄνθρωπος δὲ γενό-
„ μενος καὶ τοῦτο λέγων, δείκνυσιν ἑκάστῳ τῶν ἀνθρώπων χρόνον εἶναι μεμετρη-
„ μένον· καὶ χρόνον οὐ τὸν κατὰ τύχην, ὥς τινες τῶν Ἑλλήνων νομίζοντες μυθο-
„ λογοῦσιν· ἀλλ' ὃν αὐτὸς ὁ (e) δημιουργὸς (f) ὡς ἠθέλησεν ὁ πατὴρ ὥρισεν ἑκάστῳ·
„ καὶ τοῦτο γέγραπται καὶ πᾶσι γέγονε φανερόν· εἰ γὰρ καὶ (g) κέκρυπται καὶ λανθάνει
E „ πάντας ἀνθρώπους, τὸ πῶς καὶ (h) πόσον ἑκάστῳ μεμέτρηται· ἀλλ' ὅμως πᾶς
„ ὁστισοῦν οἶδεν, ὅτι ὡς ἔαρος καὶ θέρους καὶ φθινοπώρου καὶ χειμῶνός ἐστι και-

ob id ipsum uno ictu utrumque interfecit. Sed enim quid opus est nostri ingenii infirmitate argumentum hoc diutius versare? quum liceat observantibus nobis quid hoc super problemate dixerit magnus Athanasius in sermone de cruce, passione ac resurrectione, illinc haurire pleniorem ac sapientiorem controversiae solutionem. Nam quanta apud homines rerum praesentium visio est, tanta apud Deum futurarum praescientia: neque rerum aliquot sed cunctarum: qui omnia, inquit scriptura, ante ipsorum creationem novit. Sed age huius, de quo nunc controversamur, dogmatis, nempe quod termini singulorum hominum vitae praefigi credendi sint, iustissimum iudicem eundem faciamus divinum vereque apostolicum gratia affluentem Athanasium, evoluto eius de fuga propria apostolico volumine, ubi sic loquentem offendimus.

14. „Est autem causa quam Iohannes descripsit haec: quaerebant eum com-
„ prehendere, nemo tamen ei manus iniecit, quia nondum venerat hora eius. Dein-
„ de paucis interpositis pergit dicere: ut filius quidem et verbum patris tempore
„ carebat: ipse enim est temporum conditor: verumtamen quum homo factus haec
„ dicat, satis demonstrat certum tempus singulis hominibus esse definitum. Idque
„ adeo scriptum est atque omnibus exploratum. Etsi enim obscurum est cunctas-
„ que homines latet quomodo et quantum cuique decretum fuerit; tamen quilibet
„ novit, sicuti veris et aestatis et autumni et hiemis esse tempora, ita prout in

(a) Ita etiam codex angl. apud Montf. (b) M. αὐτὸν πιάσαι. (c) M. τὴν χεῖρα. (d) M. interponit ὄντι. (e) Deest articulus apud M. (f) M. addit ὢν. (g) Καὶ vocula fortasse abest a M. (h) M. καὶ τό.

(1) Extat in editione Montfauconii tom. I. p. 327, cum varietatibus; quarum ex copia cognoscere licet quantopere editiones etiam optimae a mss. exemplaribus recesserint.

,, ρὸς, οὕτω (a) κατὰ τὸ γεγραμμένον καιρὸς τοῦ ἀποθανεῖν καὶ καιρὸς τοῦ ζῆν ἐστι. Καὶ A
,, μετ᾽ ὀλίγα πάλιν φησίν· ὥσπερ δὲ ταῦτα γέγραπται, καὶ (b) δείκνυσιν ὁ λόγος,
,, τοὺς ἁγίους εἰδέναι χρόνον ἑκάστῳ τῶν ἀνθρώπων ὄντα (c) μεμετρημένον, οὕτως (d)
,, μηδένα γινώσκειν τὸ τέλος τοῦ χρόνου, γνώρισμα τὸ λέγειν τὸν Δαβίδ· τὴν
Ps. CI. 24. ,, ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι· ὃ γὰρ οὐκ ἠπίστατο, τοῦτο μα-
,, θεῖν ἠξίου· καὶ αὖθις μικρὸν ὑποβάς· ὁ μὲν οὖν κύριος καί τοι θεὸς ὢν καὶ B
,, ὄντως (e) λόγος τοῦ πατρὸς, καὶ εἰδὼς τὸν μετρηθέντα (f) δι᾽ αὐτοῦ καιρὸν, καὶ γι-
,, νώσκων ὃν αὐτὸς ὥρισε καὶ τῷ ἰδίῳ σώματι χρόνον εἰς τὸ παθεῖν· ἐπειδὴ καὶ
,, δι᾽ ἡμᾶς ἄνθρωπος γέγονε, τὰς μὲν πρὸ τούτου χρόνον ἐλθεῖν ἡμέρας, καὶ αὐ-
,, τὸς ὡς ἡμεῖς ἐκρύπτετο ζητούμενος· διωκόμενος δὲ (g) ἔφευγε· καὶ τὰς ἐπιβουλὰς
Luc. IIII. 30. ,, ἐκκλίνων, οὕτως διήρχετο, καὶ διὰ μέσου αὐτῶν ἐπορεύετο· ὅτε δὲ καὶ τὸν C
,, ὁρισθέντα παρ᾽ αὐτοῦ καιρὸν ἤγαγε, καὶ αὐτὸς (h) ἐν ᾧ καὶ (i) παθεῖν σωματικῶς
Ioh. XVII. 1. ,, ὑπὲρ πάντων ἤθελεν, τοῦτο (k) μὲν προσφωνεῖ τῷ πατρὶ λέγων· πάτερ ἐλήλυθεν
,, ἡ ὥρα· δόξασόν σου τὸν υἱόν· οὐκέτι δὲ λοιπὸν τοὺς ζητοῦντας ἐκρύπτετο,
,, ἀλλ᾽ εἱστήκει θέλων κρατηθῆναι ὑπ᾽ αὐτῶν· καί τινα μεταξὺ εἰρηκὼς, προσεπ-
,, άγει· ὁ μὲν οὖν (l) οὕτως ἑαυτὸν προσήνεγκεν (m) ὑπὲρ πάντων ὥσπερ εἴρηκεν (n)· οἱ D
,, δὲ ἅγιοι καὶ τοῦτον τὸν τύπον παρὰ τοῦ σωτῆρος μαθόντες· παρ᾽ αὐτοῦ γὰρ καὶ
,, πρὸ τούτου καὶ ἀεὶ καὶ πάντοτε ἐδιδάσκοντο, πρὸς μὲν τοὺς διώκοντας ἀγω-
,, νιζόμενοι νομίμως ἔφευγον, καὶ ζητούμενοι παρ᾽ αὐτῶν ἐκρύπτοντο· ἀγνοοῦντες
,, δὲ ὡς ἄνθρωποι τοῦ ὁρισθέντος αὐτοῖς παρὰ τῆς προνοίας χρόνου τὸ τέλος,
,, οὐκ ἐβούλοντο παρέχειν (o) ἑαυτοὺς ἐκδότους ἁπλῶς τοῖς ἐπιβουλεύουσιν. E

15. B. Οὐκ ὀλίγως τῶν παρά σου λεχθέντων καὶ συναχθέντων διασαλεύει

,, scripturis fertur, tempus esse moriendi et tempus vivendi. Et post modicum
,, rursus ait: haec cum scripta sunt, tum etiam ratio demonstrat, sanctos ho-
,, mines scire tempus singulis esse determinatum, sed tamen neminem scire tem-
,, poris finem. Eius rei argumentum est, quod David aiebat: paucitatem dierum
,, meorum demonstra mihi. Quod enim ignorabat, hoc scire volebat. Rursusque
,, paulo infra: Dominus quidem utpote Deus verumque patris verbum, sciens de-
,, finitum ab eo tempus, nec non probe conscius quali tempore se quoque pati
,, decrevisset, postquam nostri causa homo factus est, diebus quidem tempus id
,, praecedentibus, aeque ut nos facimus, conquisitus latebat, persecutores fugiebat,
,, insidiasque declinans, sic praeteribat, ac per medium illorum ibat. Cum autem
,, tempus illud praestitutum adfuit, quo ipse pati corporaliter pro omnibus vole-
,, bat, de hoc alloquitur his verbis patrem: pater venit hora, glorifica filium tu-
,, um. Nec iam quaerentibus se subducebat, sed ab iis capi volens perstabat.
,, Tum aliquot interpositis, addit: is igitur ita se obtulit pro omnibus, sicuti di-
,, xerat. Sancti autem hoc quoque exemplum a servatore mutuati sunt. Ex ipso
,, enim et antea et semper et ubique didicerunt; nempe ut certantes legitime ad-
,, versus persecutores, fugerent; atque ab his conquisiti, latitarent. Nam quia tem-
,, poris sibi a providentia decreti, pro conditione humana, terminum nesciebant,
,, noluerunt temere in insidiatorum potestatem venire.

15. B. Copiose hactenus a te dictorum fundamenta haud mediocriter nutare

(a) M. οὕτως. (b) Καὶ deest apud M. (c) Tria hec verba desunt apud M. (d) Apud M. pro οὕτως male τοῦ δέ. (e) Ὄντως deest apud M. (f) Apud M. additur τοῖς πᾶσι. (g) M. τε. (h) M. ἤγαγεν αὐτός. (i) Καὶ habet etiam ms. angl. apud M. (k) M. τοῦτον. (l) M. addit κύριος. (m) Male apud M. προσῆγεν. (n) M. ὡς προείρηται. (o) M. hic ponit ἁπλῶς.

A τὴν βεβαίωσιν καὶ τὴν πρὸς αὐτὰ συγκατάθεσιν ἀποβάλλεται, ἐάν τις οὐ παρέργως ἀλλ' ἐπιμελῶς οὐ μόνον τὰ ἐν ταῖς θείαις γραφαῖς ἀνακρίνειν, ἀλλὰ καὶ κατὰ τὰς πολυανθρώπους φθοράς τε καὶ πανωλεθρίας ἀναθεωρεῖν οὐκ ἀρνήσοιτο· οἷον τὰς ἐν πολέμοις σφαγάς, τοὺς κατὰ τὰς ἁλώσεις τῶν πολεμίων φόνους, οὐ διακριδὸν ἡλικίαις ἢ γένεσιν ἐπαγομένους, ἀλλὰ κατὰ πάντων ὁμοίως τῶν τῇ

B πολεμίᾳ χειρὶ ὑπαντώντων χωροῦντας· τοὺς ἐν τοῖς λοιμικοῖς καταστήμασι πολυάνδρους θανάτους· τοὺς ἐκ τῶν σεισμῶν ἢ χασμάτων γῆς αἰφνιδίους συγχωσμούς, ἢ τοὺς ἐν ναυαγίοις καταποντισμούς· ἅτινας ὁ Βασίλειος κοινάς τινας ἐθνῶν ἢ πόλεων πληγὰς διορίζεται, τῆς κακοῦ κολαζούσας τὴν ἀμετρίαν, καὶ εἰς τὸν τῶν ὑπολειπομένων σωφρονισμὸν γινομένας· πῶς δ' ἂν συναρμοσθείη τοῖς ὑπὸ

C σοῦ δογματισθεῖσι τὰ κατὰ τῆς Δαβὶδ ἱστορίας; ὁπηνίκα τῇ τοῦ λαοῦ ἀριθμήσει ἡ τοῦ Θεοῦ ἐπηκολούθησεν ἀγανάκτησις· καὶ τριῶν ἀνιαρῶν ἀπειλουμένης ἀποφάσεως, ἐν ἐκλογῇ τῆς ἥττονος εἶναι δοκούσης τὸν ἐπιτιμώμενον συνεχωρήθη γενέσθαι· καὶ προεκρίθη λιμοῦ τριετοῦς, καὶ τριμηναίου πολεμίων διωγμοῦ, τριήμερος θάνατος ἐξ ἀοράτου χειρὸς ἐπαγόμενος· εἰ γὰρ προσπεπήγει τούτοις τοῦ θα- II. reg. XXIIII. 13.

D νάτου ὁ ὅρος κατ' ἐκείνην τὴν ἡμέραν λαβεῖν, καθ' ἣν ἑβδομήκοντα χιλιάδες ἀνδρῶν ἐν τριῶν ὡρῶν διαστήματι τὸν διὰ χειρὸς ἀγγέλου ἐδέξαντο θάνατον, πῶς τῇ γνώμῃ τοῦ βασιλέως ἐδίδοτο τὸ ἐν αἱρέσει ἰδιοποιήσασθαι τοῦτο ἁπλῶς, τὸ τοῦ θανάτου φημί, ἀλλὰ καὶ τῶν σὺν αὐτῷ ἀπειλουμένων τὸ ἕτερον; εἰ γὰρ πρὸς ἓν ἐκείνων ἀπεῖδε, πάντως τὰ τοῦ παγέντος ὅρου ἔμελλε μένειν ἀτέλεστα·

E πρὸς τούτοις θεωρητέον καὶ τὰ περὶ τοῦ χαλκοῦ ὄφεως τῷ Μωσεῖ διατεταγμένα· εἴ γε δυνατὸν μὴ ταῦτα πάντως τὸν σὸν ἀνατρέπειν λόγον· τοὺς γὰρ ὑπὸ τῶν ἑρπετῶν πληττομένους εἰ πρὸς ἐκεῖνο φησὶ ἀποβλέψαιεν τὸ ἐκ χαλκοῦ τεχνουργηθὲν ὁμοίωμα ὄφεως, διαδιδράσκειν τὸν ἐκ τοῦ ἰοβόλου δήγματος θάνατον· εἰ οὖν, Num. XXI. 8.

sentiet, assensumque his sustinebit, siquis non perfunctorie sed sedulo expendat, praeter eas, quas sacrae scripturae referunt, innumeras alias strages exitiosissimas; veluti in proeliis caedes, hostium in urbibus expugnandis occidiones sine ullo aetatum generisve discrimine perpetratas, cunctis prout hostili manui occurrunt trucidatis: praeterea in pestilentibus morbis acervata funera; subitas hominum et conglobatas in terrae motibus atque hiatibus infossiones: quas Basilius communes veluti populorum et urbium clades esse definit, quae vitiorum exuberantiam resecant, atque ob mortalium superstitum emendationem accidunt. Qui sane fieri potest ut sententiae tuae congruat historia Davidis, quo tempore populi censum subsecuta est divina indignatio? quumque trium calamitatum denunciatum esset decretum, permissa est puniendo regi electio eius quae levior esse videretur: praelatumque fuit triennali fami, et trimestri calamitoso bello, triduanum exitium invisibili manu infligendum. Etenim si praestitutus singulis fuerat terminus mortem illa die oppetendi, qua septuaginta hominum milia trium horarum intervallo manu angeli interfecta fuerunt, cur regis arbitrio concedebatur, ut rem pro libito sibi deligeret, mortis inquam tale genus, vel aliud ex his similiter denunciatum? Nam si ad unum ex his reliquis respexisset David, iam ille praefixus terminus frustra omnino fuisset. Consideremus insuper quae Mosi de colubro aeneo mandata fuerunt: si forte hactenus dicta ad refutandam orationem tuam nondum sufficiunt. Nam qui percussi a colubris fuerant, si ad illud, inquit scriptura, respexissent colubri aeneum opificium, necem venenato morsu allatam declinabant. Si ergo, ut tu ais, vitae

ὡς φὴς σὺ, ὅροι ζωῆς τοῖς ἀνθρώποις πεπήγασιν, οὓς παρεκβῆναι ἀδύνατον εἴ A
τι συστολῇ εἴ τε ὑπερβάσει· ἀμφοτέρως γὰρ ἡ τοῦ ὅρου λυθήσεται ἔννοια· οὐκ ἦν
εἰκὸς διαφυγεῖν τινὰς τὸ προωρισμένον, εἰ καὶ πρὸς τὸν χαλκοῦν ὄφιν ἀπεῖδον,
ἀλλὰ καὶ δίχα τῆς ἑρπυστικῆς πληγῆς, τῷ θανάτῳ τούτους ἀνάγκη προσομιλῆ-
σαι· καὶ τίς ἡ ἀπὸ τοῦ καινοῦ ἐκείνου θεάματος εὐεργεσία τοῖς πάντως τεθνηξο-
μένοις; εἰ δὲ καὶ μήπω ὁ τῆς ζωῆς αὐτοὺς κατειλήφει ὅρος, οὐδὲν ἧττον περιτ- B
τὸν τὸ διαταχθὲν εὑρίσκεται· οὐ γὰρ ἂν φαίημεν τῆς θείας βουλῆς καὶ διατάξεως
κατευμεγεθεῖν δύνασθαι ὄφεων δήγματα· εἰ οὖν πρὸ τοῦ τεταγμένου ὅρου ἀδύ-
νατον ἦν τούτους τελευτῆσαι τὸν βίον, εἰ καὶ ὑπὸ ὄφεων ἐπλήττοντο ὥσπερ εἴρηται,
περιττὸν καὶ οὐκ ἀναγκαῖον τὸ ἐπίταγμα τῆς τοῦ χαλκοῦ ὄφεως κατασκευῆς ἀπο-
δείκνυται· περιττὰ δὲ καὶ οὐκ ἀναγκαῖα λέγειν ἡμᾶς τὰ ὑπὸ Θεοῦ διατεταγ- C
μένα, ἀληθῶς περιττὸν, μᾶλλον δὲ καὶ ἀνόητον παντελῶς καὶ ὀλέθριον· ἀλλὰ
τούτοις μὲν ἡμᾶς περιπταίειν τοῖς προσκόμμασι, τῶν ἐπάναγκες ὑπάρχει, ὅρους
ζωῆς τοῖς ἀνθρώποις πεπηγέναι νομίζοντας· ἀοριστουμένην δὲ τὴν ἑκάστου λαμ-
βάνοντες τελευτὴν, λείαν καὶ οὐκ ἀνώμαλον ἕξομεν τὴν ὁδὸν τῆς τῶν θείων γρα-
Gen. XXV. 8. φῶν ἐξηγήσεώς τε καὶ παραδοχῆς· ἡδέως δ' ἂν σου πυθοίμην τίς ἡ πρέπουσα D
XXXV. 29. ἐκδοχὴ τοῦ περί τινων λέγεσθαι τῶν ἁγίων πλήρεις ἡμερῶν αὐτοὺς καταλύειν τὸν
Ps. LIIII. 24. βίον; καὶ πάλιν ἑτέρους μὴ ἡμισεύειν τὰς ἡμέρας αὐτῶν οἷς πρὸς τὸ φονικόν τε
καὶ δόλιον τὰ τῆς γνώμης ἀπονένευκε; πῶς δὲ καὶ ὁ Δαβὶδ αἰτεῖ παρὰ Θεοῦ
Ps. CI. 25. καὶ φησί, μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου; πάντα γὰρ οἶμαι ταῦτα ἀνα-
τρεπτικὰ τυγχάνειν τοῦ ὅρους ζωῆς τοῖς ἀνθρώποις πεπῆχθαι νομίζειν. E

ιϛ. Α. Οἶδεν ἡ ἐξ ἐπιπολῆς ἔντευξις τῶν γραφῶν μετεωρίζειν τὴν διάνοιαν
Prov. πρὸς ἐκδρομὴν ἀφιλοπόνου κατανοήσεως τῶν γεγραμμένων· ἡμεῖς δὲ ἀκούσαντες
XVIII. 15. τοῦ σοφοῦ Σολομῶντος εἰπόντος, ὦτα σοφῶν αἰτεῖ ἔννοιαν, τουτέστιν οὐχ ἁπλῶς

termini hominibus praefixi sunt, quos ultra citraque non licet consistere (utraque enim ratione destruitur termini notio) fieri non poterat ut aliqui vitarent fatum sibi praefinitum, etiamsi ad aeneum serpentem suspexissent: immo etiam absque serpentino morsu mortem hos adire necesse erat. Porro quaenam erat utilitas novi illius spectaculi apud homines prorsus morituros? Quod si nondum iis aderat vitae terminus, nihilo secius deprehenditur fuisse inutile consilium illud. Neque enim quisquam dicere audeat colubrorum morsu superari posse divinam voluntatem atque decretum. Si ergo ante statutum terminum impossibile erat hos vitam desinere, quantumlibet a colubris ut diximus percussi fuissent; vanum, non necessarium, coarguitur aenei serpentis simulacrum. Iamvero vana a nobis dici et non necessaria Dei decreta, revera vanum, immo insanum potius et capitale est. Atqui ut in haec offendicula incidamus apprime necesse est, si vitae terminos hominibus praestitutos autumemus. Sin autem indefinitum singulorum obitum arbitrabimur, facilem et minime obliquam insistemus viam ad divinas scripturas explicandas intelligendasque. Libenter denique a te audirem, quaenam sit commoda locutionis eius intelligentia, cum nonnulli sanctorum dicuntur pleni dierum vita excessisse? rursus cum illi dicuntur ad aetatis suae dimidium non pervenisse, quorum mens caede dolisque impiata fuit? Quomodo item David a Deo postulat, ne me abripias in dimidio dierum meorum? Haec inquam omnia profligare mihi videntur illorum opinionem, qui vitae humanae terminos praestitutos esse aiunt.

16. A. Solet superficiaria sacrorum librorum notitia mentem ita suspendere ut levi studio delibet scriptarum rerum intelligentiam. Nos vero Solomoni sapienti auscultantes, qui ait " aures sapientium postulant intellectum „ id est haud temere vocabuli

A τῷ ἤχῳ τῆς λέξεως ὑποσύρεται, ἀλλὰ τὸν ἐν βάθει τῶν λεγομένων νοῦν ἀνιχνεύ-
ει· πρὸ πάντων τῶν γραφικῶν ῥητῶν ἑρμηνείαν ἐποψόμεθα, ὡς μᾶλλον τοῖς πε-
ρὶ τὴν μελέτην αὐτῶν στρεφομένοις τὸ ἐπωφελὲς χαριζομένην· εἶθ' οὕτως τῶν προ-
βληθεισῶν ἐπαπορήτων μεταχειρισθήσεται ἡμῖν ἡ ζήτησις· πλήρεις οὖν ἡμερῶν ἐκεί-
νους φαμὲν, οὐ τοὺς πολυήμερον ζωὴν, οὐ βίον μακροχρόνιον διανύσαντες, ἀλ-
B λὰ τοὺς ἐν τελειότητι θεοσεβείας καταλλήλως τῇ αὐτῶν γενεᾷ διαλάμψαντας·
καὶ τὴν τῆς ἐπιβαλλούσης ἀρετῆς καρπῶν τὴν ἐπίδειξιν μὴ ἀτελῆ τε καὶ ἀνε-
μοφθόρον ποιησαμένους, ἀλλὰ πλήρη τε καὶ εὐανθῆ τὴν ἐκ τῆς σπορᾶς τοῦ θείου
λόγου σταχυοφορίαν προβαλλομένους· καθ' ἑτέραν γὰρ ἔννοιαν οὐκ ἂν δυνηθείη-
μεν τοὺς αὐτὸ τοῦτο μαρτυρηθέντας ἐντὸς τούτου γεγονότας ἰδεῖν· ἆρα γὰρ τὸν
C Ἀβραὰμ πλήρη φήσομεν ἡμερῶν, πρὸς ὃν εἴρηται σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς Gen. XV. 15.
πατέρας σου τραφεὶς ἐν γήρει καλῷ; ἢ τὸν τούτου παῖδα τὸν Ἰσαάκ; ἢ ἕτερόν
τινα τοιοῦτον; περὶ γὰρ τοῦ Ἰακὼβ τί δεῖ καὶ λέγειν, ὁπότ' ἂν αὐτὸς τὰς
ἑαυτοῦ ἡμέρας μικρὰς καὶ πονηρὰς ἀπεκάλεσεν; ἀλλ' ἡ τούτων βιοτὴ εἰ πρὸς τὴν Gen. XLVII. 9.
τῶν προτέρων μακροβίων ἀνθρώπων παρατεθείη ζωὴν, οὐδαμῶς τὸ πλῆρες ἔχειν
D λογισθήσεται, ἀλλὰ καὶ τοῦ ἡμίσου παμπληθὲς ἀπολελεῖφθαι· οὐκοῦν τὸ πλή-
ρη λέγεσθαι ἡμερῶν, εἰ καὶ κατὰ τὸ πρόχειρον ἐπὶ τοῦ ἐν γήρᾳ παριέναι τὸν
βίον εἰρῆσθαι νομίζεται, ἀλλ' ἐπὶ τῆς τῶν ἁγίων ζωῆς, τὸ ἀνελλιπὲς τῆς κατ'
ἀρετὴν τελειότητος, καὶ τὸ ἀπαρτισμένον τῆς ἐπιβαλλούσης κατὰ τὴν ἑαυτῶν γε-
νεὰν (1) δικαιοσύνης παρίστησι τὸ λεγόμενον· πρόδηλον γὰρ ὡς τοῖς πρὸ τοῦ νόμου,
E καὶ αὖθις μετὰ τὸν νόμον, οὐ ταυτὸν ἦν πέρας τῆς νίκης· οὐδὲ τοῖς ἴσοις ἀγω-
νίσμασιν ἐνίδρουν αὐτούς· καὶ διὰ τοῦτο ἡ γραφὴ οὐχ ἁπλῶς τὸν Νῶε τέλειον Gen. VI. 9.
δίκαιον ἀπεκάλεσεν, ἀλλ' ἐν τῇ γενεᾷ αὐτοῦ προσέθηκεν.

sonitu permoventur, sed profundum dictorum sensum scrutantur; nos inquam in primis de biblicarum locutionum interpretatione laboremus, quae utilitatem potissimam studiosis sui suppeditat: deinde obiectorum dubiorum adgrediemur disquisitionem. Plenos itaque dierum non illos dicimus, qui prolixam vitam spatiosumque aevum peregerunt, sed qui religione perfecta congruenter aetati suae splenduerunt; quique debitae virtutis fructus prae se tulerunt, neque hos futiles aut tempestate corruptos sed copiosos floridosque, nempe dignam satione divini verbi segetem. Nam si aliter verba intelligamus, ne illos quidem homines quibus haec dicta fuerunt, reapse tali re potitos comperiemus. Num quippe Abrahamum dierum plenum dicemus, cui dictum fuit, tu vero abibis ad patres tuos pulchra senectute nutritus? vel huius filium Isaacum? vel quemvis huiusmodi? Nam quid de Iacobo dicam, quum dies ipse suos paucos appellaverit atque malos? Sane horum vita, si cum longissimo superiorum hominum aevo comparetur, nequaquam plena videbitur, sed infra potius dimidium consistere. Itaque locutio *dierum plenus* etsi vulgari more de iis qui senes moriuntur dici putatur, tamen cum de sanctorum vita sermo est, significat absolutam sine defectu virtutem, perfectionemque debitae illorum temporibus iustitiae. Est enim exploratum, homines ante et post legem haud eandem cunctos habuisse victoriae metam, neque paribus insudavisse certaminibus: ideoque Noachum scriptura haud simpliciter iustum appellavit, sed addidit in generatione sua.

(1) Praeclara est haec photiana explicatio vocis γενεά, ita ut hoc loco, nec non in sequente Noachi exemplo, intelligatur temporum conditio, seu simpliciter cuiusque hominis aetas. De hoc graeco vocabulo locutum me memini ad fragm. Dionysii halic. ed. mediol. p. 18.

*

ιζ. Ὅτι δὲ ταύτης ἔχεται τῆς ἐννοίας τὸ προκείμενον, σαφέστερον ἡμῖν A
γνωρισθήσεται οὑτωσὶ τὴν τοῦ λόγου ποιουμένοις ἐξέτασιν· εἴρηται ὅτι ἄνδρες αἱ-
μάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν· πῶς οὖν ἐν ἑτέρῳ
ψαλμῷ λέγεται περί τινων τήν τε πρὸς ἀνθρώπους ἀδικίαν ἐπιδεικνυμένων, εὐ-
Ps. LXXII. 7. τραφῆ τε ὡς εἰπεῖν καὶ φιλότιμον; τοῦτο γὰρ δηλοῖ τὸ, ἐξελεύσεται ὡς ἐκ στέα-
τος ἡ ἀδικία αὐτῶν· ἔτι δὲ καὶ τὸν κολοφῶνα τῶν κακῶν τὴν πρὸς Θεὸν βλασ- B
Ibid. 10. φημίαν καὶ ἀσέβειαν ἀσπαζομένων, ὅτι αἱ ἡμέραι φησὶ πλήρεις εὑρεθήσονται ἐν
αὐτοῖς· εἰ γὰρ πλήρεις αἱ ἡμέραι, πῶς τὸ ἡμισεύεσθαι ταύτας προλέλεκται;
ἀλλ᾽ εὔδηλον ὡς τὸ μὲν πλῆρες τῶν ἡμερῶν ἐνταῦθα τὴν μακροημέρευσιν δηλοῖ,
διὰ τὴν μέχρι γήρως ἐπὶ τοῖς ἁμαρτάνουσιν ὑπεράγαθον τοῦ Θεοῦ μακροθυμίαν
καὶ ἀνοχήν· τὸ δὲ τὰς ἡμέρας μὴ ἡμισεύειν, τὴν τῶν ἀγαθῶν ἔργων ἀτελότητα C
δείκνυσιν· ὡς τῶν πονηρῶν ἀνδρῶν πάντη τῆς κατ᾽ ἀρετὴν πολιτείας ἐφυστερούντων·
καὶ μηδὲ πρὸς μέτρον τι ταύτης ἐξικέσθαι γνωριζομένων· ὁ γοῦν Δαβὶδ ὡς
οὐκ ἄμοιρος τῶν τῆς ἀρετῆς καὶ θεοσεβείας ὑπάρχων καρπῶν, τὸ πρὸ τῆς πλη-
ρώσεως τούτων καὶ οἷον εἰπεῖν πεπάνσεως καταλιπεῖν τὸν βίον ἀπεύχεται· εἰπών,
μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου· τουτέστι μὴ ἐν ἀτελεσφορήτῳ καὶ ἐλλείψει D
τῶν ἀγαθῶν ἔργων καταστάσει τὸν βίον ἐξέλθοιμι· οὕτως τὸ ἐναντιοφανὲς τῶν
Prov. XI. 30. gr. ψαλμικῶν ῥητῶν λυθήσεται προσενέξεως· ἀλλὰ καὶ τὸ ἀφαιροῦνται ἄωροι ψυχαὶ
παρανόμων πρὸς τὴν αὐτὴν ἔννοιαν βλέπει· οὐ γὰρ τὸ ὀλιγοχρόνιόν τε καὶ ἄνηβον
τῆς ἡλικίας τὸ ῥητὸν ἐν τούτοις παρίστησιν, ἀλλὰ τὴν στέρησιν τῆς τελείας καὶ
πρεσβυτικῆς ἐν τῷ ἀγαθῷ πήξεώς τε καὶ στάσεως· τοὺς γὰρ ἄωρον ὑπομείναν- E
τας τελευτὴν, οὐκ εἰκὸς ἦν ἐγκαλεῖσθαι παρανομίαν· ταῦτα μὲν οὖν οὕτως ἡμῖν
θεωρείσθω.

ιη. Καιρὸς δὲ λοιπὸν τῶν ἀνωτέρω ἀπορηθέντων ποιήσασθαι τὴν ἐπίλυσιν·

17. Quod autem is locutionis sensus sit, manifestius nobis innotescet hac super re sic disquirentibus. Dictum est viros sanguinarios atque dolosos dierum suorum dimidium non exaequaturos. Quomodo igitur in alio psalmo appellantur quidam, quorum adversus homines nota erat iniquitas lauta ut ita dicam et invidenda? Hoc enim significant verba " exibit tamquam ex adipe iniquitas eorum ". Adde illud columen improborum, quos Deo maledicere et sceleribus indulgere iuvat, verba inquam, pleni dies invenientur in eis. Nam si pleni sunt dies, cur antea dictum est, fore ut improbi in horum dimidio subsistant? Sed enim constat plenitudinem dierum hoc loco dici pro vitae longaevitate propter Dei eximiam patientiam tolerantiamque erga improbos homines usque ad senium. Verba autem dies suos non dimidiabunt, bonorum operum sterilitatem demonstrant, ceu si improbi a bonis actibus penitus derelicti sint, nullamque horum partem attigerint. Itaque David utpote virtutis pietatisque fructibus minime carens, ne ante horum perfectionem ac veluti maturitatem vita excedat, deprecatur dicens, ne me in dimidio dierum meorum abripias: id est ne in caritate defectuque bonorum operum vitam finiam. Atque ita psalmicorum dictorum repugnantia, qua dudum irretiri videbamur, dispellitur. Insuper verba, abripiuntur intempestivae impiorum animae, ad eandem sententiam spectant. Non enim ea brevem impuberemque aetatem nobis sistunt, sed perfectae potius provectaeque in bonis moribus stabilitatis firmitudinisque penuriam. Nam siqui forte acerbam mortem oppetunt, hos idcirco pravitatis arguere nefas est. Atque haec nobis hactenus considerata sunto.

18. Reliquum est ut ad superiores dubitationes respondeamus. Sed tamen antea

A ἐκεῖνο πρότερον κατὰ τὸ εὔλογόν τε ὁμοῦ καὶ ἀναγκαῖον ἐπιζητούντων ἡμῶν, τὸ
μὴν (a) τὸν λόγον ἡμῖν ἀσθενῆ νομισθῆναι· εἶτα τοῦ Θεοῦ κρίματα καὶ τὴν αὐ-
τῷ μόνῳ συνεγνωσμένην τῶν γινομένων αἰτίαν ἀγνοεῖν αὐτοὶ λέγοντες, καταφλυα-
ρεῖν τῶν ἀκαταλήπτων μὴ ἀνεξόμεθα, ἀλλ' αὐτῷ μόνῳ τῶν οἰκείων βουλῶν τε καὶ
κρίσεων τὴν γνῶσιν παραχωρῶμεν· ἐν γὰρ τῇ ἐξετάσει τῶν ὑπὲρ ἡμᾶς, λόγου
B ἀπόδοσις, ἡ σιωπή· καὶ ἡ ἐν τούτοις τῆς ἀγνοίας ὁμολογία, γνώσεως ἀληθε-
στάτης ἀπόδειξις· περὶ μὲν οὖν τῆς κατὰ Δαβὶδ ἱστορίας, τοῦτο φαμέν, ὅτι ἀνὴρ
προφήτης ὑπάρχων καὶ θεοφορούμενος, θείᾳ ἐνηχήσει τὴν ἐκλογὴν τῆς τοῦ θανά-
του πληγῆς ἐποιήσατο· καὶ ὁ τὴν σφαγὴν τοῦ λαοῦ ποιούμενος ἄγγελος, δύναμις
ὢν νοερά τε καὶ γνωστικωτάτη, καὶ τὴν πρωτουργὸν τῆς θεότητος ἔλλαμψιν δεχο-
C μένη, οὐ διεσφαλμένως οὐδὲ χύδην τε καὶ ὡς ἔτυχεν ἀδιακρίτως κατὰ τῶν
ἁπλῶς ἁπάντων ἐπήγαγεν ἐκείνην τὴν ἄϋλον μάχαιραν, ἀλλὰ τῇ θείᾳ βουλῇ τε
καὶ κρίσει κατ' ἐπιστήμην καὶ νόησιν ὑπερκόσμιον ὑπηρετουμένη, ἐκείνους τῷ θανά-
τῳ ὑπηγάγετο, οὓς Θεὸς τοῦτο παθεῖν διωρίσατο, κατὰ τὴν ἑαυτοῦ ἀκατανόητον
σοφίαν καὶ βούλησιν· εἰ γὰρ ἐπὶ τοῦ Γεδεὼν ἐν τῷ πόκῳ ἡ τῆς ἑωθινῆς δρόσου Iud. VI. 37.
D καταγωγὴ οὕτως ἀκριβῶς τὸ τοῦ ποιητοῦ προστάγματι ἐδούλευσεν, ὡς ἔμψυχός τις
καὶ λογική, καὶ διεσταλμένως ἐν ἀκριβείᾳ τὰ τῆς οἰκείας ἐνεργείας παρέστησατο,
ὡς μήτε τὴν γῆν σταγόνι μιᾷ ἐπιῤῥανθῆναι, μὴ δ' αὐτὴν τῷ πόκῳ προσεγγί-
ζουσαν, ἐπ' αὐτὸν δὲ μόνον ταύτην γενέσθαι· καὶ τὸ ἔμπαλιν τὸν πόκον παν-
τελῶς ἄικμον εἶναι πᾶσαν τὴν γῆν τῆς δρόσου διαλαβούσης· πῶς ἄν τις ἀμ-
E φιβάλαι τολμήσοι μὴ κατὰ φυρμόν τινα τὴν ἀγγελικὴν χεῖρα τῷ λαῷ ἐπαχ-
θῆναι; ἀλλὰ μόνους ἐκείνους διακριδὸν δέξασθαι τοῦ θανάτου τὸν ὅρον, οὓς Θεῷ
προτετύπωτο ἐν τούτῳ τηνικαῦτα γενέσθαι; ὅθεν ὡς τοῦ θείου ὁρισμοῦ πληρωθέν-
τος, ἀνέχεται τῆς ῥομφαίας ἡ ἐπαγωγή· ἀποκαλύπτεται δὲ τῷ Δαβὶδ ὁ αὐ-

prudenter simul necessarioque postulamus, ut ratio nostra infirma esse credatur: deinde ut nos qui Dei iudicia eique soli cognitam rerum causam ignorare fatemur, ne rebus incomprehensibilibus obganniamus, sed ipsi uni suorum consiliorum iudiciorumque scientiam concedamus. Nam cum de iis quae nostrae mentis acumen fugiunt disceptatur, responsi instar silentium est: ita ut inscitiae in his confessio, scientiae verissimae documentum sit. Iam vero quod attinet ad historiam Davidis haec dicere habemus. Quum vir propheta Deique spiritu afflatus esset, non sine Dei suggestione plagam illam mortis praeoptavit. Ille autem qui stragem populi edebat angelus, quia vis intellectualis erat ac scientissima, Deique primariae efficaciae lumine collustrata, certo ictu non autem passim neque fortuito aut indiscriminatim adversus omnes temere ensem illum incorporalem vibrabat, sed divino consilio atque iudicio per summam scientiam intellectumque subserviens, illos leto dabat, quos Deus id pati decreverat secundum suam incomprehensibilem sapientiam ac deliberationem. Si enim sub Gedeone matutini roris in vellus descensus tam accurate creatoris mandato obtemperavit, ut videretur animatum quid et intellectuale: idemque sedulo discrimine vim suam exprompsit, ita ut neque tellurem vel una gutta asperserit, ne illam quidem quae proxima erat velleri, sed hoc unum imbuerit: e contrario vellus omnino siccum reliquerit, dum tellurem universam ros occuparet: quis iam ambigere audebit num forte manus angelica per saturam quandam populo sit abusa: et non potius ii soli nominatim mortis fines attigerint, quos Deus iamdiu decreverat eo tempore mori? Reapse ut iam divino decreto exitum consecuto, inhibetur gladii coniectus, revelaturque Davidi caedis auctor angelus: tum

(a) Cod. μὴ, contrario sensu.

τουργὸς τῆς θραύσεως ἄγγελος· ἡ διὰ θυσίας δὲ ἐξιλέωσις, τέλεον καταπαύει A
τὴν τοῦ Θεοῦ ἀγανάκτησιν· οὐ γὰρ ἐν ἀγνοίᾳ τοῦ μέλλοντος τὰς πρὸς τὸν προ-
φήτην προτάσεις ὁ Θεὸς ἐποιήσατο, ἀλλ᾿ οἰκονομῶν τῆς τε ἐκείνου φιλοθεΐας τὴν
ἐπίδειξιν καὶ τῆς ἑαυτοῦ φιλανθρωπίας τὴν φανέρωσιν· οὐκ ἀναμείνας γοῦν περαιω-
θῆναι τὸν χρόνον τῶν διορισθεισῶν ἡμερῶν, ἀγαθότητι τὴν ἐγκοπὴν τῆς πληγῆς
ἐποιήσατο, μετὰ τὴν τελευτὴν ἐκείνων ὧν δηλαδὴ αὐτὸς τὸ τέλος ἀνεξιχνιάστῳ B
προώρισε κρίματι· εἰ γὰρ μὴ τοῦτο αὐτῷ προτετύπωτο, ἀλλ᾿ ἀορίστως καὶ κεχυ-
μένως ἐνήργητο ὁ θάνατος, οὐκ ἂν πρὸ πληρώσεως τοῦ τῶν ἡμερῶν ὁρισμοῦ ὁ
φόνος τοῦ λαοῦ ἀνεστέλλετο· ἀλλ᾿ εὔδηλον ὅτι καὶ ὁ μακάριος ἄγγελος τοῖς
θείοις ζυγοῖς ἀκολουθῶν, ἔργον τῆς ἑαυτοῦ ῥομφαίας ἐποιεῖτο ἐκείνους, ὧν οἱ ὅροι
τῆς ζωῆς ἐπληρώθησαν· καὶ Θεὸς τὸν λοιπὸν λαὸν μὴ βουλόμενος τῷ θανάτου C
ὑπαχθῆναι τῇ πείρᾳ, ὑπερφυῶς τὸν σφαγέα τῷ βασιλεῖ ἀπεκάλυψεν· εἰς τὴν
ἀναγκαίαν ἐκείνην καὶ χρηστὴν δικαιολογίαν αὐτὸν προκαλούμενος, πρὸς τὴν τοῦ
θανάτου ἀναστολὴν δυσωποῦσαν τὸν ἀποκαλύψαντα.

ιθ. Μὴ οὖν στραγγαλιαῖς βιαίων συλλογισμῶν τὰς εὐσεβεῖς περὶ Θεοῦ ἐννοί-
ας ἀποπεμπώμεθα, καὶ τὰς πατρικὰς διδασκαλίας τῶν ἡμῖν δοκούντων κατό- D
πιν τιθώμεθα· ἀλλὰ πανταχοῦ τὸν σκοπὸν κατανοῶμεν καθ᾿ ὃν οἰκονομεῖται τὰ
παρὰ Θεοῦ σοφῶς προστασσόμενα· ἐπεὶ καὶ περὶ (1) τοῦ χαλκοῦ ὄφεως, οὐχ ἁπλῶς
προσήκει τοῖς ἀνωτέρω συναχθεῖσι λόγοις ἡμᾶς παρασύρεσθαι· ἀλλ᾿ εἰδέναι ἀσ-
φαλῶς ὡς πρὸς τύπον μυστηρίου τοῦ κατὰ Χριστὸν προσετάχθη τοῦτο γίνεσθαι· καὶ
οὐχ ὡς ἄνευ τούτου οὐ δυναμένου τοῦ Θεοῦ τῆς ἐκ τῶν ἑρπετῶν βλάβης ἀνώτε- E
ρον δεῖξαι τὸν ἰσραηλίτην λαόν (2)· ὁ γὰρ τῶν οὕτως ὑπερφυῶς ἐπ᾿ αὐτοῖς καὶ πολυ-
τρόπως πραχθέντων τὰς θαυματουργοὺς δυνάμεις ἐπιδειξάμενος, ἃς κατ᾿ εἶδος
νῦν ἐπιλέγειν διὰ τὸ τοῖς πᾶσι γνώριμον εἶναι, περιττὸν καὶ οὐκ εὔκαιρον, οὐκ ἂν

victima piacularis ad extremum sistit Dei iram. Neque vero cum ignoratione futuri optiones illas Deus prophetae obtulerat, sed dedita opera et huius erga numen studium eliciebat, et suam simul benignitatem patefaciebat. Ergo non expectato definitorum dierum termino, bonitate sua commotus plagam suppressit, post illorum scilicet necem, quorum finem inscrutabili iudicio praedestinaverat. Si enim ea res a Deo praeformata non fuisset, sed indefinite passimque mors esset illata, profecto haud ante dierum definitum spatium populi strages fuisset cohibita. Sed patet angelum divinis iudiciis morigerantem gladio eos peremisse quorum vitae termini completi fuerant: Deumque populi partem reliquam morti subducere volentem, homicidam angelum regi mirabiliter ostendisse: quo viso eum provocavit ad praeclaram illam causae suae defensionem, qua revelantem Deum ad sistendam caedem orando flexit.

19. Caveamus igitur ne tortuosorum laqueis syllogismorum irretiti, pias de Deo sententias abiiciamus, patrumque doctrinas nostris placitis posthabeamus: sed ubique scopum intueamur, ad quem sapientia decreta collimant. Etenim ad aeneum quoque serpentem quod attinet, haud temere oportet coacervatis paulo ante argumentis nos transversos rapi: sed sine dubio sciendum est, signum illud ob denotandum Christi mysterium fuisse curatum; non autem quod absque hoc signo haud posset Deus colubrorum damna ab israelitico populo propulsare. Qui enim rerum tam sublimium atque variarum, quae huic acciderunt, prodigiosam facultatem iam ostenderat (quae quidem miracula singillatim recensere, quum sint notissima, su-

(1) Cod. παρά. (2) Sic plane loquitur Theodorus mopsuestenus comm. ad Ionam p. 61.

A περὶ τὸν ἐν τούτῳ ἀλεξίπονον τοῦ λαοῦ θεραπείαν κάμνειν λογισθείη· ἀλλὰ τῶν Numer. XIIII.
μὲν ἀπειθησάντων τὰ κῶλα πάντως πεσεῖν ἐν τῇ ἐρήμῳ κατὰ τὴν ἄῤῥητον αὐ- 29. Ioh.
τοῦ δικαιοσύνην διώρισεν· οὐχ ἑνὶ δὲ θανάτου εἴδει τοῦτο δώσομεν προελθεῖν· VI. 49.
οὐδὲ πάντας ὁμοῦ καὶ καθ' ἕνα καιρόν· ὥστε εἰ καὶ σώζεσθαι τινὰς ἐκ τῆς τῶν
ἑρπετῶν βλάβης ἐβούλετο, καὶ τὸ ἔμπαλιν ἑτέρους ὑπ' αὐτῶν διαφθείρεσθαι,
B ἀλλ' οὐ παρὰ τοῦτο περιττῶς καὶ εἰκαίως ἐροῦμεν τὰ περὶ τοῦ χαλκοῦ ὄφεως δια-
τετάχθαι· ἀλλ' ἡ μὲν σωτηρία τοῖς πληττομένοις μόνῳ τῷ βούλεσθαι θεὸν πε-
ριπεποίητο· τίς γὰρ ἀποθεωρουμένου χαλκοῦ ὠφέλεια, εἴτις αὐτὰ καθ' ἑαυτὰ
τὰ γενόμενα πρὸς φύσιν λογίσαιτο; τί δὲ ὁμοίωμα ἄψυχον ἀμβλῦναι ἂν δυνη-
θείη τὸν φύσεως θεσμῷ ἀπαραβάτως ἐπαγόμενον θάνατον; ὅμως γοῦν τῷδε τῷ
C τρόπῳ καὶ οὐχ ἑτέρῳ ᾠκονομήθη γενέσθαι τοῖς ὀδυνωμένοις τὴν ἴασιν, ἵνα εἰκό-
νος μυστικῆς τυπωθῇ ἀποτέλεσμα.

κ. Ὡσαύτως δὲ τῆς ὁμοίας τεύξεται θεωρίας ἥτε ἔπαρσις τῶν τοῦ νομοθέ- Exod. XVII.
του χειρῶν, καὶ τοῦ Ἀαρὼν τὸ θυμίαμα, ἀμφότερα εἰς χριστὸν ἀναγόμενα· τοῦ 11.
μὲν δηλοῦντος διὰ τῆς τοῦ ἀμαληκίτου λαοῦ καθαιρέσεως, τὴν διὰ τοῦ σταυ- Num. XVI. 17.
D ροῦ ἀσθένειαν τῶν ἀοράτως προσπολεμούντων τῷ λαῷ τοῦ θεοῦ, ἤτοι παντὶ τῶν
ἀνθρώπων τῷ γένει· τοῦ δὲ σαφῶς ὑπογράφοντος τὸ εἰς ὀσμὴν εὐωδίας προσ- Ephes. V. 2.
αχθὲν τῷ θεῷ καὶ πατρὶ ἑκούσιον πάθος τοῦ χριστοῦ· δι' οὗ καὶ ὀλοθρεύων
πέπαυται θάνατος· οὐ ἀοριστίας ἢ ἀπρονοησίας τῶν τεθνηξομένων ἐντεῦθεν συνα-
γομένης· τῇ γὰρ τοῦ κτίσαντος προγνώσει ταῦτα δὲ πάντα καὶ προτεώραται καὶ
E πρὸς τὸ ἁρμόδιον τέλος διώρισται· ἀλλ' ὡς ἐν σκιᾷ καὶ τύποις ἀμυδροῖς τοῦ
ὑπερφυοῦς καὶ φανοτάτου μυστηρίου τῆς χάριτος διὰ τῶν τοιούτων ἐκφαινομένου·
μὴ οὖν ἀόριστα λέγωμεν τὰ τῆς ἀνθρώπων ζωῆς τε καὶ τελευτῆς· οὐδὲ γὰρ
τὰ τῆς θείας γνώσεως χρονικῶς περιγράφεται, ἐν τῷ πλάττεσθαι μόνον λαμβα-

pervacaneum intempestivumque est) haud profecto laboraturus videbitur in exhibenda populo salubri cura. Interim vero incredulorum omnium corpora in desertis locis occumbere ineffabili sua iustitia decrevit. Non tamen uno mortis genere id evenisse concedemus, neque omnes simul periisse, neque uno tempore. Quare etiamsi aliquos evadere incolumes a colubrorum morsibus Deus voluit, contraque alios ab his perimi, non ideo tamen supervacuo frustraque serpentis aenei simulacrum propositum dicemus. Sed tamen salus certe vulneratis sola Dei voluntate reddebatur. Nam quae spectati aeris utilitas erat, siquis rem per se ipsam naturaliterque perpendat? Cur autem inanime simulacrum mortem inevitabili naturae decreto adventantem retardare valuisset? Sequitur ergo ut hoc potius quam alio modo data opera sit reconciliandae aegris saluti, quo mysticae imaginis efficacitas deformaretur.

20. Sub eandem cadit considerationem legislatoris quoque manuum sublatio, et Aaronis suffitus, quae utraque ad Christum referuntur. Namque Moses amalecitae populi excidio demonstravit invisibilium populi Dei sive totius humani generis hostium debilitatas a cruce vires: Aaron autem perspicue significavit spontaneam Christi passionem in odorem suavitatis Deo et patri oblatam, a qua mors perniciosa cohibita fuit. Tantum abest ut hinc indefinita vel inexplorata ratio moriturorum colligi possit. Etenim a creatoris vi praescia haec omnia tum praevisa fuerunt, tum ad congruum finem directa. Sic ergo quasi in umbra typisque exilibus, magnificum ac splendidissimum gratiae mysterium his signis patefactum est. Absit ergo ut indefinitam humanae vitae mortisque rationem dicamus: neque enim divina scientia tempore circumscribitur; neque in creando tantummodo rerum notitiam perci-

νούσης τῶν πραττομένων τὴν εἴδησιν, καὶ τηνικαῦτα τοῖς πράττουσιν ὁριζούσης A
τὰ προσήκοντα καὶ πρὸς τὸ συμφέρειν τούτοις κατάλληλα· τοῦτο γὰρ τῆς τῶν
ἀνθρώπων πτωχείας καθέστηκεν ἴδιον, καὶ οὐ τῆς θεϊκῆς ὑπερουσίου μεγαλειότητος·
ᾗ τινι προσμαρτυρεῖται καὶ τῶν κρυφίων τῆς καρδίας ἡ γνῶσις, καὶ πάντων ἡ εἴ-
Ps. CXXXVIII. 16. δησις πρὸ τῆς τούτων γενέσεως· καὶ τὸ ἀκατέργαστον δὲ ἡμῶν τοῖς θείοις ὀφθαλ-
μοῖς ὡς τετελεσμένον ὁρᾶσθαι φησὶν ὁ προφήτης· καὶ τὸ πάντα πληροῦν τὸν Θεὸν B
ἡ θεόπνευστος διδασκαλία παραδίδωσι· καὶ τὸ τῆς προνοίας αὐτοῦ ἐπὶ πάντα
τὰ ἔργα αὐτοῦ ἡπλωμένον τε καὶ ἕτοιμον, ὁμοίως ἐκ τῶν ἱερῶν λογίων ἐδιδάχ-
θημεν.

κα. Τὸ οὖν ἐν ταῖς τοιαύταις εὐσεβέσιν ἐννοίαις περὶ Θεοῦ ὁμαλόν τε καὶ
συνηρτημένον, ἀληθῶς λείαν καὶ ἀπρόσκοπον δείκνυσι τὴν διὰ τῶν ἱερῶν γραμ- C
μάτων φέρουσαν ὁδὸν πρὸς τὸ τῆς ἀληθείας καταγώγιον· καὶ οὐ τὸ οἴεσθαι ὡς
ἐκ ταυτομάτου τοῖς ἀνθρώποις ἐπιέναι τὸν θάνατον τοῖς ὡς ἔτυχε συμπτώμασι
ἐπισυμβαίνοντα· κἀντεῦθεν τῶν δύο τὸ ἕτερον περὶ τὴν κρείττονα φύσιν συνάγεσθαι
ἄτοπον· ἢ τὸ περὶ τὸν ἄνθρωπον ἀπρονόητον, καὶ τὴν περὶ τὸ τιμιώτατον τῆς
ὁρατῆς κτίσεως καταφρόνησιν· δι' ὃν λόγος, νόμος, προφῆται, αὐτὰ τὰ Χριστοῦ D
πάθη, πνεύματος ἁγίου διανομαὶ, αἰωνίων ἐπαγγελίαι ἀγαθῶν, καὶ ὅσα ἕτερα
τῆς τοῦ Θεοῦ ἀγαθότητος περὶ τὸ ἡμέτερον γένος δωρήματα· ἢ ἀσθένειαν αὐτῆς
κατηγορεῖν, ὡς μὴ ἀρκούσης τῇ ἐποπτικῇ καὶ προνοητικῇ δυνάμει πάσης τῆς καθ'
ἡμᾶς περιδράξασθαι φύσεως· μήτε μὴν δυναμένης συνάγειν τὰ ἔργα ἡμῶν καὶ
τοὺς λογισμοὺς, ὥς φησιν ὁ προφήτης, μηδ' ἰσχύειν ἐπιβλέπειν τοὺς κατοικοῦν- E
Cap. XL. 15. τας τὴν γῆν· πρὸς ὃν πάντα τὰ ἔθνη κατὰ τὸν Ἡσαΐαν ὡς σταγὼν ἀπὸ κά-
δου, καὶ ὡς ῥοπὴ ζυγοῦ, καὶ ὡσεὶ ἕλος ἐλογίσθησαν· ῥοπὴ δὲ ζυγοῦ πολλάκις
καὶ κόκκῳ κριθῆς, πλὴν ἀλλὰ καὶ δραχμῆς μιᾶς ἀποτελεῖται ὁλκῇ· εἰ οὖν οὕτως

pit; neque tum demum decernit quae creaturis agentibus commoda et cuiusque officio idonea futura sunt. Id enim humanae tenuitatis proprium est, non divinae supremae amplitudinis: cui quidem testis instar adest et arcanorum cordis notitia, et rerum omnium ante quam creentur scientia. Tum et imperfectum nostrum divinis oculis veluti iam absolutum conspicitur, ut ait propheta: et omnia plena esse Deo, divinitus inspirata doctrina tradit: et providentiam eius super omnia opera sua expansam veluti atque intentam sacris pariter oraculis edocemur.

21. Harum igitur religiosarum de Deo sententiarum aequabilitas et cohaerentia certam admodum et offendiculo omni carentem, sacris litteris ducibus, ostendit viam quae ad veritatis sedem perducit: quod secus fit ab illorum opinionibus, qui mortem fortuito insilire hominibus aiunt caecis casibus circumvectam. Hinc enim duorum absurdorum alterutrum in optima natura dominari colligeretur; nempe vel circa hominem improvidentiam ac praestantissimae visibilium omnium creaturae neglectum; cuius causa extant ratio, lex, prophetae, ipsa Christi passio, spiritus sancti donationes, aeternorum promissiones bonorum, et quaecumque alia sunt divinae bonitatis erga nostrum genus munera; aut eiusdem providentiae infirmitatem esse incusandam, ceu si speculabunda sua praesagaque vi naturae nostrae universae circumplectendae non sufficeret; neque actuum nostrorum et cogitatuum summae efficiendae, ut ait propheta; neque terrae incolis circumspiciendis. Quum tamen prae Deo gentes omnes, teste Isaia, ut stilla cadi, ut lancis scrupulus, ut canna palustris reputentur. Porro lancis scrupulus saepe vel hordei grano vel etiam una

A εὐτελῆ καὶ ὡς οὐδὲν πρὸς τὸ θεῖον τε καὶ ἀκατάληπτον μέγεθος ἅπαντα τὰ ἀνθρώπινα, τίς μόχθος αὐτῷ σταγόνος μιᾶς ποιήσασθαι κατανόησιν; ἤτοι τὰς ὁδοὺς ὁμοῦ καὶ τὰς κινήσεις, τάς τε κατὰ ψυχὴν, καὶ ὅσαι διὰ σώματος πάντων ἀνθρώπων ἀθρόως καὶ οὐκ ἀνὰ μέρος προορᾷν τε καὶ κρίνειν; τὸ ἑκάστῳ πρόσφορον τέλος ὁρίζοντος αὐτοῦ, τοῦ τὰ πάντα συνέχοντος, καὶ πρὸς τὸ εὔτακτον
B διακυβερνῶντος τὴν σύμπασαν κτίσιν; οὐχ ὅση ἐν ὁρατοῖς μόνον ὑπάρχει, ἀλλ' ἤδη πολλῷ πλέον τὴν ἀόρατόν τε καὶ ὑπερκόσμιον· ἢ οὐχὶ συνθήσῃ πάντως κατὰ μίαν καὶ τὴν αὐτὴν ἐπιβολὴν ἰδεῖν πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων τὸν πλάσαντα, καταμόνας τὰς καρδίας αὐτῶν ὁμοῦ καὶ κατ' αὐτὸν εἰς πάντα αὐτῶν συνιέναι τὰ ἔργα;

C κβ. Β. Συνθήσομεν ὄκνου δίχα παντός. Α. Ἀληθεύεσθαι δὲ δώσεις τὸ μὴ πεσεῖσθαι στρουθίον ἐπὶ τῆς γῆς ἄνευ τοῦ οὐρανίου πατρός; Β. Καὶ πῶς τοῦτο ἀμφίβολον; Α. Εἰ οὖν ἐν τοσούτῳ πλάτει τῆς οἰκουμένης, πλῆθος ἀπειροτάτων στρουθίων ἀγρευομένων, οὐδένα τῇ τῶν ὅλων συνεκτικῇ δυνάμει κάματον ἐμποιῆσαι πιστεύεται, πρὸς τὸ περικρατεῖσθαι τῇ ἐποπτικῇ αὐτῆς προμηθείᾳ, τίς ἡμῖν Matth. X. 29.
D ἀρκέσει λόγος πρὸς ἀποφυγὴν καταγνώσεως τῇ τῶν οἰκείων ἡμῶν ἐννοιῶν στενοχωρίᾳ λογιζομένων στενοχωρεῖσθαι τὸν Θεὸν περὶ μυρίων κατανόησιν ζωῆς ἢ θανάτου ἀνθρώπων, μᾶλλον δὲ καὶ ἑκατονταπλασίως μυρίων; ὥστε μὴ κατὰ τοὺς ἐν δικαιοσύνῃ καὶ σοφίᾳ αὐτῷ προτεθεωρημένους λόγους ἀπαντῆσαι τούτων ἑκάτερον, ἀλλὰ τύχης ἀλόγου καὶ εἰκαίας συμβάσεως τοὺς πολυάνδρους θανάτους λογίζεσ-
E θαι, καὶ μὴ ἐν δεδοκιμασμένῃ κρίσει ἐπάγεσθαι· κατὰ γὰρ τὴν τοῦ θεοφόρου Βασιλείου φωνὴν ἣν προήγαγες αὐτὸς πρὸς τὸν τῶν ὑπολειπομένων σωφρονισμὸν, τούτων δὴ γινομένων, ἀνάγκη τούτοις συνθεωρεῖσθαι καὶ τὸ τῆς θείας προνοίας εὐσθενές τε καὶ ἄμοχθον· οὐκοῦν μή τε τὴν ἐν πολέμοις πολυανδρούντων στρατο-

drachma trahitur. Si ergo tam vilia sunt ac prope nihilum humana omnia prae Dei incomprehensibili magnitudine, num ei laboriosum erit de una gutta cogitare? vel semitas pariter atque motus sive animi sive corporis omnium hominum non confertim sed singillatim praevidere ac discernere? quippe qui commodum cuique finem definit, omnia conservat, iustoque ordine creaturam universam gubernat; non eam tantummodo quae visibilis est, sed multo magis invisibilem et supermundialem. Nonne tu assentiris, uno eodemque actu cunctos homines a creatore cognosci, singillatim quidem corda eorum, et simul hoc ipso actu cuncta illorum opera intelligi?

22. B. Prorsus haud aegre assentior. A. Quod autem in terram passerculus sine caelesti patre non decidat, verene dici putas? B. Cuinam vero id ambiguum est? A. Si ergo in tanta orbis latitudine, innumerabilium qui capiuntur passerum multitudo nullum intelligenti Deo exhibere laborem creditur, quominus singuli provida eiusdem cura contineantur; quanam eloquentiae copia damnationem propulsabimus nobis impendentem, qui pro nostrarum mentium exiguitate, Deum ipsum coarctare putamus intellectum suum circa hominum puta decem milia vel etiam decies centena milia viventium aut contra moriturorum? ita ut horum singuli non secundum iusta ac sapientis Dei consilia exitum nanciscantur, sed irrationali fortunae caecoque casui numerosae caedes tribuantur, et non exacto potius iudicio fieri putentur. At enim si haec secundum divi Basilii quod tu protulisti effatum, ad superstitum eruditionem curantur, necesse est ut divinae simul providentiae vires summas nullique labori obnoxias agnoscamus. Igitur sive numerosorum exercituum in proeliis cla-

πλοίων φθοράν; μήτε ὁλκάδων αὐτάνδρους βυθισμοὺς, μήτε τὰ ἐκ σεισμῶν ἢ A χασμάτων γῆς ἢ ἑτέρων συμπτωμάτων γινόμενα θανάτου αἴτια πάθη λογιζόμενος, οἴου κατὰ προορισμὸν τοῦ δημιουργοῦ συγχωρεῖσθαι ταῦτα συμβαίνειν τοῖς πάσχουσιν· ἵνα μὴ τῆς καθόλου προνοίας καὶ τῆς προγνώσεως τοῦ Θεοῦ ἀσθενῆ εἰσάγῃς τὴν δύναμιν.

κγ. B. Ἀλλ' οὐ τὰ τῆς προνοίας ἀναιροῦμεν, οὐδὲ τὴν τόδε τὸ πᾶν πηδαλιουχοῦσαν δύναμιν τοῦ τὰ ἡμέτερα ἄγειν τε καὶ διευθύνειν ἐκβάλλομεν· B ἀλλ' ὅτι μὴ προώρισται Θεῷ τὰ περὶ τῆς ἀνθρώπων τελευτῆς δογματίζομεν· ἵνα μὴ ἐντεῦθεν συνάγωμεν τοῖς ἀνδροφόνοις ἢ ἄλλως πολεμοῦσιν οὐχ ὁσίως τὸ ἀνεύθυνον (1)· φανήσονται γὰρ ὡς πληρωταὶ μᾶλλον τῶν ὁρισθέντων παρὰ Θεοῦ, ἄξιοι τοῦ ἐπαινεῖσθαι καὶ οὐχὶ τοῦ κατακρίνεσθαι· πάντως γὰρ εἰ τῷ Ἄβελ ὁ τῆς ζωῆς C αὐτοῦ ὅρος πληρωθεὶς, εὐχέρωτον τῷ Κάϊν τοῦτον κατέστησεν, ἐκεῖνον τοῦ τῆς ἀδελφοκτονίας ἀφήσει ἐγκλήματος. A. Ἔδει μὲν ἡμᾶς μηδόλως πρὸς ἀπόκρισιν ἰδεῖν τῆς νῦν προτεθείσης ἀντιθέσεως, οὕτως ἐχούσης τὸ σαθρόν τε καὶ εὐανάτρεπτον· τίς γὰρ ἂν καὶ ἀγνοεῖν προσποιήσαιτο ὅτι οὐ πρὸς τὰς ἐκβάσεις τῶν πραττομένων οἱ τοιαῦτα πράττοντες κρίνονται, ἀλλὰ πρὸς τὰς διαθέσεις καθ' ἃς γίνονται τὰ γινόμενα; D ὅμως γοῦν καὶ τοῖς προφανέσι τρανότερον ἐπιφέρειν τῆς ἀληθείας τὴν ἔκφανσιν οὐκ ὀκνήσομεν· οἱ τοίνυν πρὸς τὸν φόνον τῶν πλησίον ὁρμῶντες ἐὰν ὡς ἐπιστάμενοι τὰ Θεῷ δεδογμένα, ἢ ὡς παρακοὴν τῆς ἄνωθεν ἐκδικοῦντες προστάξεως, ὥσπερ ἐπὶ τοῦ Ἀγαγ (a) ὁ Σαμουὴλ ὁρᾶται πεποιηκὼς, οὕτως τὰ τοῦ φόνου ἐπλήρουν, οὐκ ἂν ἴσως αὐτοῖς ἀπεικότως γίνεσθαι πρὸς ἐπαίνου τὸ ἐγχείρημα· E εἰ δὲ μισανθρωπίᾳ κρατούμενοι ἔσθ' ὅτε καὶ πλεονεξίας ἔρωτι θηριούμενοι καὶ θυ-

I. reg. XV. 33.

dem, sive navigiorum cum ipsis vectoribus submersiones, sive a terrae motibus vel hiatibus vel aliis eventibus illatas mortes consideres, cave existimes haec praeter creatoris determinationem patientibus usuvenire: alioqui universalis quoque providentiae ac praesensionis divinae vim laborare dices.

23. B. Minime vero providentiam auferimus, neque eam, quae universitatem hanc gubernat, vim a nostrorum negotiorum regimine ducatuque depellimus: mortem tantummodo hominum a Deo non esse praedestinatam censemus: ne hinc videlicet homicidis aut aliter bellum facientibus impunitatem nefariam conciliemus. Futurum est enim ut hi videantur ministri potius decretorum Dei, laude magis quam damnatione digni. Omnino si Abeli vitae terminus iam erat expletus, ea scilicet res Caini manibus hunc ultro obiecit, eademque a crimine parricidii illum absolvet. A. Equidem vix opus esset tam putidae tamque levi contradictioni nos occurrere. Quis enim se nescire simulaverit, eos qui talia perpetrant non ex rerum exitu, sed ex animi agentis studio, solere indicari? Sed tamen vel in re manifesta clariorem facere veritatis notitiam non gravabor. Ergo illi qui proximo suo caedem moliuntur, si forte divinorum placitorum gnari, aut mandatorum caelestium violatorum vindices (sicuti videmus contra Agagum a Samuele factitatum) si has, inquam, ob causas homicidae fierent, haud absurde fortasse facinus illis laudi verteretur. Sin potius odio victi, vel etiam divitiarum cupiditate efferati, iraeque indulgen-

(a) Ita cod. sine accentu, qui mos servatur in saracenicis aliquot nominibus etiam in ecloge chronici eusebiani (p. 34. 35.) quam in hoc volumine edidimus; quia Graeci nominum huiusmodi nesciebant tonos.

(1) Confer Anastasium sinaitam a nobis in hoc volumine editum, quem omnino heic spectat Photius.

A μῷ ὑπηρετούμενοι, ἢ ἄλλῃ τινὶ ἀπηγορευμένῃ γνώμῃ δουλεύοντες τὴν μιαιφονίαν
ἐργάσοιντο, πῶς οὐχὶ σὺν ἐκείνῳ ἐνδίκως μισηθήσονται καὶ κατακριθήσονται, ὅς
τις ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνος ὑπάρχων ἐδίδαξεν ἀνθρώπους τοῖς τῶν ὁμοειδῶν Ioh. VIII. 44.
καταμιαίνεσθαι αἵμασι; καὶ οὐ τὸ παρὰ θεοῦ συγχωρεῖσθαι αὐτοὺς, καθ᾽ οὓς
αὐτὸς οἶδε λόγους, ἐπ᾽ ἔργον ἄγειν τὸ ἀσεβῶς σπουδαζόμενον, ἤδη καὶ τὸ ἀμ-
B εμπτον αὐτοῖς ἐχαρίσατο· ἀλλ᾽ ἐκεῖνοι μὲν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρ-
ποὺς καὶ τῆς ἑαυτῶν ἀσεβείας πλησθήσονται κατὰ τὸ γεγραμμένον· θεὸς δὲ μό- Prov. I. 31.
νος τῶν ἑαυτοῦ κριμάτων εἰδείη ἂν τὴν εὐθύτητα, πάντως πρὸς τὸ ἐπωφελὲς καὶ
σωτήριον τῶν πασχόντων, τῶν ἐπ᾽ αὐτοῖς γινομένων λαμβανόντων τὴν ἔκβασιν·
καὶ ὁ Κάϊν τοιγαροῦν ὁ πρῶτος τῇ διαβολικῇ μαθητευθεὶς μιαιφονίᾳ, τὴν ἀδι-
C κίαν ὠδινήσας τοῦ φθόνου, καὶ συλλαβὼν τῆς ἀπανθρωπίας τὸν πόνον, τὴν ἀνο- Ps. VII. 16.
μίαν τοῦ φόνου ἀπέτεκε· καὶ διὰ τοῦτο τὴν ἐκ θείας ἐπιτιμήσεως ἀξίαν καταδίκην
ἐδέξατο· ὁ δὲ τὴν παρ᾽ αὐτὸν, τὸν Κάϊν φημὶ, πλείονα θυσίαν προσαγαγὼν,
μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ θεοῦ, ὡς ὁ ἱερὸς ἔφη ἀπόστολος, δι᾽ αὐ- Hebr. XI. 4.
τῆς ἀποθανὼν ἔτι λαλεῖται.

D

QUAESTIO CLII.

Τί ἐστι ἡ ἀσάφεια τῆς γραφῆς (1).

E Ἡ ἐν ταῖς θείαις γραφαῖς ἀσάφεια πολλὰς ἔχει τὰς αἰτίας· πρῶτον μὲν ὅτι πᾶσα γλῶσσα εἰς ἑτέραν μετατιθεμένη ἀπόλλυσι τὸν ἴδιον εἱρμόν· δεύτερον δὲ ὅτι αἱ συνώνυμοι τῶν λέξεων παρ᾽ ἑβραίοις, ἄγνοιαν εἰργάσαντο τοῖς ἑρμηνευταῖς· ὡς τὸ καλὸς περὶ τόνον καὶ σημασίαν, καὶ τὸ ὄρος καὶ τὰ ὅμοια· κα-

tes, vel alii cuilibet voluntati suae obsequentes, caedem patraverint; quid ni iure hos cum illo oderimus ac damnaverimus, qui quum ab initio homicida esset, homines edocuit similium sui sanguine imbui? Nec vero quia Deus sinit eos, ob cognitas sibi causas, scelestum facinus perpetrare, idcirco eisdem impunitatem largitur. Sed ipsi quidem viae suae fructus edunt, suaque impietate replebuntur, ut ait scriptura; solus autem Deus iudiciorum suorum aequitatem novit. Quod autem fit, id omne ad utilitatem salutemque patientium spectat. Primus ergo Cainus homicidium a diabolo edoctus, iniustam invidiam parturiens, quum concepisset crudelitatis dolorem, iniquitatem homicidii peperit: atque ob id a divina obiurgatione condignam damnationem retulit. Qui autem maiorem, quam Cainus, hostiam obtulit, testimonium perhibente muneribus eius Deo, ut ait sacer apostolus, ob illam defunctus adhuc loquitur.

Cur sacrae litterae obscurae sint.

Multis de causis sacrae litterae obscuritate laborant. I. Quia omnis lingua in aliam conversa, positionem suam amittit. II. Quia synonymae Hebraeorum voces non satis ab interpretibus intellectae fuerunt: veluti apud Graecos καλὸς, cuius pro

(1) Hanc quaestionem ex inedito Polychronio sumi tacite a Photio, dixi in prolegomenis. Iam scripturam photianam cum antiquissimo Polychronii codice collatam, inveni prorsus concordem.

λὸς γὰρ ὀξυτόνως σημαίνει τὸν ὡραῖον καὶ εὐπρεπῆ, σπουδαῖον τε εἰς ἀρετὴν καὶ A
ἐπιτήδειον· κάλος δὲ παροξυτόνως τὸ σχοινίον τοῦ πλοίου σημαίνει· πάλιν ὅρος
παροξυτόνως μέν ἐστιν ἢ ὁ λόγος τοῦδε τοῦ πράγματος ἢ ὁ λόφος καὶ ὑψηλὸς
τόπος· ὀξυτόνως δὲ ὀρὸς ἐστὶ τὸ ὑδατῶδες τοῦ γάλακτος· τρίτον· εἰσὶ λέξεις
ἑβραϊκαὶ, αἳ παρ' ἕλλησιν ὡς ἔχουσι φύσεως ἑρμηνευθῆναι οὐ δύνανται, ἀλλ'
Hierem. XXV- ἐπὶ χώρας εἰάθησαν, ὡς παρὰ Ἱερεμίᾳ τὸ ἀπόκλεισμα σιϲάχ· τέταρτον· καὶ στιγ- B
IIII.26. hebr. ששך. μὴ πολλάκις ποιεῖ ἀσάφειαν, ὡς τὸ χρηστοὶ (1) ἔσονται οἰκήτορες γῆς· εἰ μὴ ὑπο-
στιχθῇ τὸ χρηστοί. πέμπτον καὶ τόνου διαφορά· ὡς τὸ ἀρχὴ (2) σοφίας, ζήτησον σο-
φίαν· εἰ μὴ παροξύνωμεν τὸ ἄρχε καὶ ῥῆμα λάβοιμεν· ἕκτον· πολλά ἐστι παρ'
αὐτοῖς ἐν μιᾷ φωνῇ τὸ ἑνικὸν καὶ πληθυντικὸν δηλοῦντα, ὡς τὸ θεὸς καὶ θεοί· ἕβ-
Gen. δομον· πολλὰ μεταπίπτει τοῖς προσώποις· τὸ γὰρ πρὸς Ἀβραὰμ, νῦν ἔγνων C
XX.I.12. ὅτι φοβῇ σὺ τὸν θεὸν, ἀντὶ τοῦ ἔγνως εἴρηται· ὄγδοον, ὅτι καὶ τοῖς γένεσιν ἐναν-
ים ירח τίως χρῶνται· ἀρρενικῶς γὰρ τὸ σελήνη καὶ θάλασσα λέγουσιν· ἔνατον ὅτι πολ-
Ps.CIII. 8. λάκις ἐλλείπουσι τινὰ, ὡς τὸ ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία· λεί-
πει γὰρ τὸ ὡς, ἵνα ᾖ ἀναβαίνουσιν ὡς ὄρη· περὶ κυμάτων γὰρ ὁ λόγος· καὶ καταβαίνου-
σιν ὡς πεδία (3)· δέκατον δὲ ὅτι ἐν τῇ αἰχμαλωσίᾳ ἐμπρησθεισῶν τῶν βίβλων, εἶ- D
τα διαπεμπόντων ἀλλήλοις τῶν ἀπὸ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα τὰ λόγια τοῦ θεοῦ,
λοχῶντες ἀφήρουν τὰς βίβλους· οἱ δὲ πάλιν διὰ συμβόλων, ὧν οὐκ ἠδύναντο
ξένοι νοεῖν, ἔγραφον, ἐξ ὧν ἡ ἀσάφεια· ἕως ὕστερον ἐμπνευσθεὶς Ἔσδρας πασῶν ἐμ-
νημόνευσε καὶ γραφῇ παραδέδωκεν.

diversitate accentus significatio variat: item ὀρος, et similia. Nam καλὸς oxytonum significat formosum, decentem, virtutis studiosum, utilem. Κάλος paroxytonum rudentem navis significat. Rursus ὅρος paroxytonum vel est definitio alicuius rei, vel (ὅρος) collis celsusve locus: oxytonum autem ὀρὸς pars aquosa lactis est. III. Nonnulla sunt hebraica vocabula, quae pro sua natura quum Graeci interpretari non possent, intacta reliquerunt, cuiusmodi est apud Hieremiam carcer sinoch. IIII. Interpunctio item saepe parit obscuritatem, ut: boni, erunt incolae terrae; nisi scilicet interpungamus post *boni*. V. Accentus quoque varietatem facit: veluti ἀρχὴ σοφίας initium sapientiae, quaere sapientiam: si nimirum paroxytonum scribamus ἄρχε (loco τοῦ ἀρχὴ) verbumque esse intelligamus. VI. Complura apud Hebraeos unica terminatione singularem numerum pluralemque denotant, Deus et Dii. VII. Multa personas permutant; nam illud Abrahamo, nunc *cognovi* quod times Deum, pro *cognoscis*, dictum est. VIII. Generibus quoque praepostere utuntur Hebraei; lunam enim et mare masculino genere efferunt. VIIII. Saepe aliquid deest, ut ascendunt montes et descendunt campi. Desideratur nimirum particula *sicuti*, nempe *ascendunt sicuti montes* (nam de fluctibus sermo est) et *subsidunt sicuti campi*. X. Quum in captivitate cremati libri fuissent, ac deinde clam aliqua exemplaria mitterentur invicem ab Hierosolymorum et Babylonis incolis, insidiis structis nescio qui libros diripiebant. Hebraei autem rursus per symbola, quae alienigenae non intelligerent, scribebant. Hinc orta obscuritas: donec denuo inspiratus Esdras biblia universa in memoriam revocavit scriptisque tradidit.

(1) Scholion in margine apud Polychronium: χρηστὸς ὀξυτόνως ὁ χρειώδης· χρῆστος δὲ προπερισπωμένως τὸ κύριον ὄνομα.

(2) Scholion: τὸ γὰρ ἀρχὴ παροξύτονον μὲν ῥηματικόν ἐστι, δηλοῦν τὸ ὑποτάσσειν· ὀξυτονούμενον δὲ ὀνοματικὸν ὑπάρχει σημαῖνον τὴν ἀρχήν· λέγω δὲ τὴν πρωκάταρξιν.

(3) Notemus venustam loci psalmodici explicationem.

Τὸ αὐτὸ ἐκφαντικώτερον (1).

B Μία μὲν αἰτία τῆς ἀσαφείας ἐστὶ τῶν παλαιῶν γραμμάτων, τῶν ἀκρο-
ατῶν τὸ θηριῶδες· καὶ μαρτυρεῖ Παῦλος, τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει
τῆς παλαιᾶς διαθήκης λέγων μὴ ἀνακαλυπτόμενον ὅτι ἐν Χριστῷ καταργεῖται· II. Cor. III. 13.
δευτέρα δέ· ἐπεὶ Μωυσῆς ὁ νομοθέτης κάλυμμα ἔφερεν ἐπὶ τοῦ προσώπου, ἀνα-
λόγως καὶ τὰ νομοθετούμενα οἷα δὴ κάλυμμα τὴν ἀσάφειαν συνεπέφερε· καὶ οὐδέ-
C τερον μὲν αὐτῶν τὸ ἔγκλημα, τῶν δ' ἀκροατῶν ἡ ἀσθένεια τὴν αἰτίαν ἔχει· καὶ
γὰρ Μωϋσῆς τὸ κάλυμμα, διότι οὐκ ἠδύναντο φέρειν τὴν δόξαν τοῦ προσώπου
αὐτοῦ μὴ κεκαλυμμένου, περιετίθετο· καὶ ὁ νόμος δὲ ἀντὶ τοῦ προκαλύμματος δι'
αὐτὸ τοῦτο τὴν ἀσάφειαν περιεβέβλητο· ἐναπετίθετο γὰρ ἐν ἐκείνοις οἷα δὴ θησαυ-
ροῖς, τὰ τελειότερα καὶ ὑψηλότερα δογμάτων, ἃ τὸν Χριστὸν φημὶ καὶ τὴν αὐ-
D τοῦ διαθήκην προκατήγγελλεν· ἀλλ' ἐκείνοις μὲν τὸ ἀτελὲς καὶ ἠρρωστηκὸς τῆς
γνώμης πρὸς τὸ ἐκεῖθεν κέρδος ἐμποδὼν ἵστατο· ἡμῖν δὲ θησαυριζόμενον φυλάτ-
τετο, ἵνα Χριστοῦ παραγεγονότος, διὰ τῆς πρὸς αὐτὸν ἐπιστροφῆς ἀνακαλυφθῇ
τὸ θησαυριζόμενον· καὶ ὁρᾶτε εἰς ὅσην ἡμᾶς ἀξίαν ἡ τοῦ δεσπότου παρουσία συν-
ήγαγεν· εἰς γὰρ τὴν τοῦ Μωϋσέως τάξιν ἐγκατέστησεν· ἄλλως τε δὲ καὶ τῶν
E μελλόντων ἡ προφητεία, κἂν μηδαμόθεν ἄλλοθεν συνεφέλκηται τὸ δυσθεώρη-
τον, πλὴν οὐχ οὕτως ἐστὶ σαφὴς ὡς ἡ τῶν παρόντων διήγησις· λαβόντων δὲ
πέρας τῶν προφητευθέντων, καὶ τὸ ἀσαφὲς συμμεθίσταται πρὸς σαφήνειαν· καὶ Joh. II. 19.
γὰρ καὶ τὸ λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτὸν τοῦ σωτῆ-

De eodem argumento clarius.

υἱὸν, οὐκέτι μαθεῖν ὑφιστάμεθα.

neque intellectu neque sermone comprehendi queunt: non solum quod attinet ad naturae eius contemplationem, verum etiam propter incomprehensibilem reconditamque proprietatum obscuritatem: multo vero impossibilius est, ut earumdem causas mens terrestris explicare queat. Verumtamen splendoris illius radiis ad nos clementer inde manantibus, tamquam speculo, pura nostra cupiditate fideique illustratione, notitiam nanciscimur. Nam quod est quaqua versus incomprehensibile, id ne amabile quidem est, neque erga id amoris scintillam ullam concipere possumus: quippe quod neque igniculos cupiditatis emittit, neque sibi cuiusvis animum conciliandi vim habet. Est tamen haec res valde indiga superne flantis inspirationis, quae sublimiorem doctrinam tradat; postulatque puram mentem, atque a vulgi intelligentia abhorret. Iam vero quae caelestia nobis contueri naturae infirmitas non concedit, ea ut per familiares nobis res ad abstrusiorem contemplationem rapti intelligamus quodammodo, clemens Dei bonitas largitur; atque ad patris et filii et spiritus sancti non incongruam phantasiam subvehit; nostrum denique erga Deum amorem analogia quadam fovet ac satiat, qui ceteroqui inscitiae angustiis undique coarctatur. Idcirco igitur ne patris quidem et filii sanctum spiritum dicere dubitamus. Namque in humanis quoque rebus tum patri tum filio spiritum inesse et cernimus et confiteri solemus: quod autem spiritui filius sit vel pater, id neque dicere patimur neque mente percipimus. Sed tamen rerum, quae certae apud nos sunt, analogia ad theologice loquendum de ineffabilibus atque eminentibus divinis personis ducti, non immerito spiritum patris filiique dicere discimus; patrem vero vel filium spiritus, haud iam agnoscere sustinemus.

A

QUAESTIO CXC.

Τί δήποτε πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ὁμοουσίων τε καὶ ὁμοταγῶν
κατά γε δύναμιν καὶ βουλὴν καὶ κυριότητα πεφυκότων, ἐν τῇ συναριθμήσει πρώτην
B τάξιν ὁ πατὴρ ἐπέχει;

Ἄλλος μὲν οὖν ἄν τις ἴσως θεολογικωτέραις ἐποχούμενος ἐννοίαις, καὶ
τῆς ἄνωθεν αἴγλης τὰς ἀκτῖνας ὑποδέχεσθαι διὰ τῆς τῶν ἀρετῶν τελειότητος ἐπι-
C τηδειότερον ἑαυτὸν παρασκευάσας, εἰς ὑψηλοτέραν ἀνατεταμένην θεωρίαν τὴν αὐ-
τοῦ κατάληψιν ἐπιδείξῃ· καὶ λόγον τῶν ἠπορημένων ἀποδώσει, ἐφ' ὃν οὐ ῥᾴδιον
ἀναβαίνειν ὅσοις τῆς τῶν γηΐνων ἀναστροφῆς ἀπαλλαγῆναι μὴ γέγονεν· ἐμοὶ δὲ μη-
δὲν τῶν ὑψηλοτέρων ἐμαυτῷ συνειδότι, καὶ τῆς κατὰ τὴν παροικίαν ἀγωγῆς οὔπω
τοὺς λογισμοὺς μεταναστάντι, ἃ δὴ πάρεστιν ἔκ τε τῆς τῶν λογίων μελέτης καὶ
D τῆς ἐν αὐτοῖς γυμνασίας, τῆς ἄνωθεν ἡμῖν συνεφαπτομένης περιγεγονότα προνοίας,
τοῖς ὅσοι κοινὴν τὴν εὐσέβειαν, καὶ τὸν ἐπ' αὐτῇ ζῆλον κεκτημένοις, ἰσοστάσιον εἰς
κοινὴν ὠφέλειαν προθεῖναι τὸ πρόθυμον οὐ περιοφθήσεται· ὁμοφυὴ μὲν οὖν ἐστι
πατὴρ καὶ υἱὸς καὶ πνεῦμα, καὶ τὸ τῆς βουλῆς καὶ δυνάμεως καὶ βασιλείας ἐνο-
ρᾶν ἐστιν αὐτοῖς ἀπαράλλακτον· καὶ δὴ καὶ τῶν ἄλλων θεοπρεπῶν τε καὶ ὑπερ-
E φυῶν ὀνομάτων, δι' ὧν ἡ ὑπεράρχιος καὶ ὑπέρθεος θεαρχία κατονομάζεται· ἀλλ'
οὖν ὁ πατὴρ αἴτιος τῶν ἐξ αὐτοῦ πεφυκότων, τοῦ μὲν κατὰ τὴν γέννησιν, τοῦ δὲ
κατὰ τὴν ἐκπόρευσιν, εἰς αὐτὸν ὡς εἰς ἀρχὴν συμφυοῦς τε καὶ συνάρχου προαγωγῆς

Curnam, quum pater et filius et sanctus spiritus consubstantiales paresque vi voluntate et potentia sint, tamen in numerando primum locum pater obtineat?

1. Alius fortasse nescio quis abstrusioris theologiae cogitatibus nixus, quique virtutum perfectarum meritis ad excipiendos caelestis luminis radios aptiorem se reddiderit, is inquam mentis suae perceptionem sublimiore theoria subvectam explicabit, rerumque ineffabilium causas evolvet: quod quidem ii nequaquam adgredi possunt, qui se negotiorum terrestrium colluvie nondum expediverunt. Ego vero qui nihil excelsum in me esse scio, neque adhuc ab hac communi conversatione mentem abstraxi, siquid tamen e scripturarum meditatione et studio, caelesti favente ope, condidici, non gravabor apud eos qui mihi communi religione zeloque eiusdem coniuncti sunt, aequam symbolam in communem utilitatem conferre. Sunt igitur homogenei pater filius et spiritus, neque voluntatis aut virtutis aut potestatis differentiam ullam in ipsis videre est; neque denique reliquorum sublimium et eximiorum nominum, quibus excelsa et omnium domina divina dignitas titulatur. Sed tamen pater vis causalis est ex se dimanantium, unius quidem per generationem, alterius per processionem; qui sane ad eum tamquam ad initium congenitum

(1) Vitam suam saecularibus officiis ambitiosisque dignitatibus occupatam, quamquam olim solitudinis sacrae amore nequicquam tactus fuisset, narrat queritans dolensque Photius in curiosa epistula de vita sua et de episcopatu suscepto, ad oeconomum et syncellum ecclesiae antiochenae; quam ego epistulam in vaticano codice lego, graeceque editam ab Anthimo episcopo remnicensi scio, sed utrum quisquam latinam fecerit ignoro.

ἀναφερομένων· ἀλλ' αὕτη μὲν ἡ ἀπόδοσις τὸν πατέρα δείκνυσιν εὐλόγως τῶν ἐξ A
αὐτοῦ προτετάχθαι· οὐκέτι δὲ καὶ διότι τοῦ πνεύματος ὁ υἱός· κοινοτέρᾳ δὲ μεθόδῳ προεληλυθὼς ὁ λόγος ἀναφανείη ὁ τὴν συναρίθμησιν τῆς ὑπερχίου τριάδος εἰς τὴν τῆς ἐπιγνώσεως ἑκάστου καταῤῥυθμίζων τάξιν· πατὴρ μὲν γὰρ ἀνθρώποις κατ' ἀρχὰς εἰς γνῶσιν ἥκεν· ἔπειτα υἱός· καὶ διὰ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον· εἰ γὰρ καὶ ὑπ' ἀλλήλων τῶν θεαρχικῶν ὑποστάσεων τοῖς ἀνθρώποις ἡ B
γνῶσις ἑκάστου ἀπεκαλύφθη, πατρὸς μὲν οὐρανόθεν τὸν υἱὸν ἐπιδεικνύντος· τοῦ πνεύματος δὲ τῇ ἐπιφοιτήσει συμμαρτυροῦντος· υἱοῦ δὲ πάλιν τὸν πατέρα δοξάζοντός τε καὶ περιφανέστερον θεολογοῦντος· καὶ μὴν καὶ τὸ πνεῦμα τοῖς μαθηταῖς ἀποστέλλοντος· ἀλλὰ γὰρ καὶ τοῦ πνεύματος τὸν υἱὸν κυριολογοῦντος· οὐδεὶς γὰρ
I. Cor. XII. 3. δύναται εἰπεῖν κύριον Ἰησοῦν, εἰ (a) μὴ ἐν ἁγίῳ πνεύματι. C

β. Εἰ οὖν καὶ δι' ἀλλήλων ἡ ἑνὸς αὐτῶν ἑκάστου πρόεισιν ἐκφαντορία καὶ κατάληψις, ὡς ἂν καὶ διὰ τούτων εἰς τὸ τῆς συμφυΐας ἀπαράλλακτον τὸν νοῦν ἀνάγειν εὐοδούμενον ἔχωμεν· καὶ ὅτι περ οἷς καθαρῶς τε καὶ εἰλικρινῶς μίαν τῶν μακαρίων καὶ δημιουργῶν ὑποστάσεων εἰδέναι κεχάρισται, τούτοις καὶ τῶν λοιπῶν ἡ γνῶσις συνδιασώζεται· ὁ γὰρ εἰδὼς τὸν πατέρα οἶδε καὶ τὸν υἱόν· καὶ ὁ τὸν υἱὸν D
ἐπιγνοὺς κατὰ τὴν ὡς ἐν ἀνθρώποις τῆς γνώσεως τελειότητα, οὐδὲ τῆς ὁμοίας
I. Cor. II. 10. ἐπιγνώσεως τοῦ πατρὸς ἀπεστέρηται· ὡσαύτως δὲ καὶ τοῦ πνεύματος ὃ τὰ βάθη τοῦ θεοῦ διερευνᾷ καὶ ἀποκαλύπτει τοῖς ἀνθρώποις τὰ κρύφιά τε τῶν μαθημάτων καὶ τελειότερα, ὁ τούτου τὴν μάθησιν εἰλικρινῆ λαβὼν, οὐδὲ τῆς θεολογούσης τὸν πατέρα θεοσοφίας, οὐ μὴν οὐδὲ τῆς τὸν υἱὸν συμμυσταγωγούσης ἠλλοτρίωται· E
ἀλλ' οὖν εἰ καὶ οὕτω ταῦτα ἐναρμονίῳ συναφείᾳ διαπλέκεται καὶ ἀναπλοῦται, οὐκ ἄδηλον ὡς ἡ μὲν τοῦ πατρὸς φωνὴ χρόνῳ πρότερον ἀνθρώποις ἐπεγνώσθη, καὶ μάλ-

potentiaeque socium referuntur. Atqui haec ipsa relatio perbelle ostendit praeponendum esse procedentibus ab ipso patrem: non tamen eadem demonstrat praeponendum spiritui filium. Ergo ratio notior videbitur sermonis eius qui sanctissimae trinitatis numerationem eo ordine fecerit, quem singularum personarum notitia designat. Primo enim hominum notioni occurrit pater, deinde filius, et per filium spiritus sanctus. Et quidem a divinis mutuo personis revelata fuit hominibus singularum notitia; patre caelitus filium ostendente; spiritu autem eumdem per adventum suum contestante; filio rursus patrem honorificante, atque inlustriorem sacris suis sermonibus efficiente, spiritumque ad discipulos mittente; spiritu denique ipso filii auctoritatem proprietatemque firmante: nemo enim potest dicere dominum Iesum nisi in spiritu sancto.

2. Ergo tum vicissim tum etiam ex una personarum harum manat cuiuslibet earumdem manifestatio atque comprehensio; ita ut per has ad congenitam indifferentemque naturam mente pertingere feliciter possimus. Iam quibus pure atque perspicue unam ex his beatis creatricibusque personis cognoscere datum est, iisdem reliquarum quoque cognitio peracta est. Nam qui novit patrem, idem novit et filium: et qui filium pro possibili mortalibus cognitionis gradu novit, is ne pari quidem patris notitia caret. Similiter etiam spiritus, qui profunda Dei scrutatur atque hominibus sublimiora doctrinarum arcana revelat, huius inquam siquis perspicua notitia imbutus fuerit, idem ne patris quidem theologicam cognitionem desiderat, neque illius quae filii pariter notionem impertit. Sed enim quamquam hae doctrinae harmonica copula inter se cohaerent atque invicem illuminant, non tamen ignoramus,

(a) Particula εἰ desideratur in codice.

A λον ἤπερ ἡ τὸν υἱὸν δηλοῦσα συνήθης ἀκοαῖς ἐγεγόνει(1)· τὸ δέ γε ῥῆμα τοῦ πνεύ-
ματος, εἰ καὶ μᾶλλον ἢ τὴν τοῦ υἱοῦ κλῆσιν ἡ Μωσέως ἐδίδασκεν ἱστορία, πλὴν οὐκ
ἦν οὕτω δυνατὸν ὥσπερ ἡ τοῦ υἱοῦ προσηγορία τοῦ αὐθυπόστατον συνεισαγάγειν ἐπ'
ἄμφω τὴν ῥοπήν. τῆς φωνῆς ἀδιάφορον ἐχούσης ἐπί τε τῶν αὐθυποστάτων φέρεσ-
θαι, καὶ ἐπὶ τῶν μέρους τινὰ λόγον τῆς ὑποστάσεως ἀναπληρούντων(2)· καὶ τοσοῦτον
B ἐνέδει τὴν θεοπρεπῆ μάθησιν τοῦ πνεύματος ἡ κλῆσις παρέχειν, ὡς καὶ τῶν ἀνθρώ-
πων μερὶς οὐ βραχεῖα τοῖς μωσαϊκοῖς ἐγκαταγηράσασα νόμοις, οὐδαμῶς ἔσχεν
ἀνασχέσθαι τὴν τοῦ παναγίου πνεύματος ὑπόστασιν ὁμολογεῖν· ὥσπερ οὐδὲ τὴν τῶν
ἀγγέλων φύσιν· οὕτω τῶν μωσαϊκῶν γραμμάτων τὸ περὶ τὴν ὀνομασίαν τοῦ πνεύ-
ματος πρόχειρον, ἄχρηστον καὶ αὐτοῖς γε τοῖς ἰουδαίοις καθέστη· ὡς κατ' αὐτό γε
C τοῦτο μὴ μόνον αὐτοῦ προτάττεσθαι τὸν υἱὸν, ἀλλὰ καὶ ὅσα εἰς τὴν τοῦ υἱοῦ κλῆ-
σιν συνάγεσθαί τε καὶ ἀνάγεσθαι δύναται, ἀφορμὴν ὑπερεχούσης τάξεως εἰ καὶ
μὴ φύσεως εὑρίσκειν· διότι τῶν ἰουδαίων οὐδενὶ πρὸς ἀμφισβήτησιν περιέστη, ὁ
λόγος λέγω, καὶ ἡ δεξιὰ, καὶ ἡ δύναμις, καὶ τὰ ὅμοια· οὐδεὶς γὰρ τούτων
ἔξαρνος ὤφθη, οὐδ' ἐφαρμόζειν ἀπηναισχύντησε λέγεσθαι ταῦτα τοῦ πατρός· εἰ
D καὶ ὅπερ τούτοις ἐστὶ πρόβλημα καὶ συγκεφαλαίωσις τὸ πρόσωπον τοῦ υἱοῦ οὐχ' ὁμοί-
ως συνομολογεῖται πᾶσι· ταύτῃ ἄρα εἰκότως τὴν δευτέραν κατὰ τὴν ἀρίθμησιν ὁ
υἱὸς, ἀλλ' οὐχὶ τὸ πνεῦμα, ἐπέχει τάξιν.

γ. Οὐ μὴν ἀλλὰ καὶ διότι μετὰ τὴν χάριν ἣ τις τὸν υἱὸν ἐθεολόγησε δι-
αῤῥήδην ἡ τοῦ πνεύματος εἰλικρινὴς μάθησις προῆλθε· καὶ γὰρ ἡνίκα πυρίνων γλωσ-
E σῶν οὐρανόθεν ἐπιδημία πολυγλώσσους φωνὰς ἐδημιούργει τοῖς ἀποστόλοις τὸ

patris vocabulum priore tempore hominibus innotuisse, frequentiusque aures circumsonuisse, quam filii nomen. Iam et spiritus vocabulum etsi evidentius quam filii mosaica historia docuit, id tamen non tantis viribus pollebat, quantis filii appellatio, ad suadendam utriusque individuam subsistentiam. Vocabuli enim *spiritus* ambiguitas tum ad ea quae per se subsistunt trahitur, tum ad ea quae vice quodammodo substantiae funguntur. Atque adeo impar erat appellatio haec exhibendae dignae spiritus notitiae, ut pars hominum non exigua eorum qui mosaicae legi adhaerebant, nequaquam vellet spiritus sancti personam confiteri; sicuti ne angelorum quidem naturam. Ita quidquid in mosaicis litteris ad nomen spiritus pertinebat, Iudaeis ipsis in cassum erat. Quare ob id non solum filio non est praeponendus spiritus, verum etiam quaecumque in filii appellationem congeri possunt, quaeque eodem deducunt, prioris ordinis ius, si minus naturae, nanciscuntur. Quamobrem iudaeo nemini controversa fuerunt haec, verbum nempe, dextera, virtus, et similia. Nemo quippe qui haec negaverit compertus est, aut qui patri impudenter accommodaverit; quamvis filii persona, quae horum nominum scopus et summarium est, non aeque apud omnes in confesso fuerit. Idcirco itaque secundum in numerando ordinem filius obtinet, non spiritus.

3. Est etiam alia rei causa, quia videlicet post eam gratiam quae filii sacram notitiam nobis impertivit, tum demum spiritus perspicua doctrina palam innotuit. Etenim quum igneis linguis caelitus missis, multiplicis apostolos sermonis munere do-

(1) Confer s. Hippolyti dictum in scholiis ad Danielem p. 189. Item recole Photium quaest. XLIII. p. 271. Sed tamen divinum Verbum prophetis certe fuisse cognitum copiose adfirmat Eusebius hist. eccl. I. 2. 3. 4.

(2) Hinc magnus Lactantii error, teste Hieronymo epist. LXXXIIII. 7: *Lactantius in libris suis, et maxime in epistulis ad Demetrianum, spiritus sancti omnino negat substantiam; et errore iudaico dicit eum vel ad patrem referri vel filium, et sanctificationem utriusque personae sub eius nomine demonstrari.* Eundem errorem Lactantio obiicit Hieronymus etiam in commentario ep. ad Gal. lib. II. cap. IIII. 6.

πνεῦμα, καὶ παντὸς ἔθνους ῥήτορας αὐτοσχεδίους κατεσκεύαζε τοὺς ἀγραμμάτους, A
τότε δὴ τότε μᾶλλον γέγονεν ἀνθρώπων γένει τῆς αὐτοῦ θεότητος εἰς ἀκριβεστέραν
αἴσθησιν ἀνενεχθῆναι· οὐκοῦν ὡς μὲν τῆς τοῦ πατρὸς φωνῆς ἀνθρώποις προεγνωσμένης, τὸν δὲ υἱὸν τῆς χάριτος θεολογησάσης, τῆς δὲ τοῦ παναγίου πνεύματος
θεότητος τὸ ἀξίωμα μετὰ ταῦτα διὰ τῆς ἐν τοῖς ἀποστόλοις θεοπρεποῦς ἐνεργείας ἀνακαλυφθείσης, εἰκότως κἀν τῇ συναριθμήσει τὴν αὐτὴν συνδιασώζουσι τά- B
ξιν· ἡ δὲ γνῶσις οὕτω προελθεῖν διῳκονομήθη ὡς ἂν μὴ ἀθρόον ὁ τῇ τῶν εἰδώλων πλάνῃ προσανακείμενος ἄνθρωπος, τριάδα σαφῶς προσώπων ἀκούσας,
δυσανέλκυστος καὶ δυσανάγωγος τοῦ κατὰ τὴν εἰδωλολατρίαν ὀλισθήματος γένηται· εἰ γὰρ καὶ τῆς τριάδος κατὰ πρόοδον οὕτω καὶ δι' αἰνιγμάτων τε καὶ παραπετασμάτων κατ' ἀρχὰς μυσταγωγουμένης, μόλις μετέστη τῆς πολυθείας τὸ ἀν- C
θρώπινον, πῶς ἂν ἐμφανῶς τε καὶ ἀθρόον καταγγελλομένης, ἡ ἐκείνων δεισιδαιμονία πᾶσαν διδασκαλίαν καὶ παραίνεσιν εἰς μοναρχίαν χειραγωγοῦσα οὐχ ὑπερεῖδέ τε καὶ ἀπώσατο, καὶ τὴν συνέχουσαν ἀπώλειαν τῆς κηρυττομένης σωτηρίας οὐ
προέθετο; οὐκοῦν εἰκότως ἡ τοῦ πατρὸς ἀπεκαλύφθη πρῶτον γνῶσις, καὶ κατὰ
προκοπὴν ἡ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος· ἐκεῖθεν τε τῆς ἐν τῇ γνώσει τάξεως τὸ D
ἱερὸν ἡμῶν καὶ θεοπρεπὲς τῆς μυσταγωγίας, κἀπὶ τῆς συναριθμήσεως ἀκολούθως
τὸ αὐτὸ συνεφειλκύσατο προνόμιον.

δ. Ἄλλως τε δὲ πατέρα ἡμῶν ὀνομάζειν τὸν Θεὸν, οὔτε δύσφημον οὔτε
λυπηρὸν ἀκοῇ (1) ἀλλ' ἀνὰ χεῖρα τε καὶ τὴν παῤῥησίαν οὐκ αἰσχυνόμενον· υἱὸν δὲ
ἡμῶν ἀποφαίνειν τὸν υἱὸν ἢ τὸ παναγιον πνεῦμα οὔτε διανοίᾳ ἀνεκτὸν, ἀλλά γε E
μετὰ τῆς ἀσεβείας καὶ τὸ ἀλλόκοτον ἡ φωνὴ συνεφέλκεται· οὐκοῦν τὸ ὄνομα τοῦ
πατρὸς τῇ τε συνήθει χρήσει καὶ τῷ ἐμφύτῳ τῆς ἐπιβολῆς, ὁ ἀνθρώπινος νοῦς
οὐκ ὀργῶδες ἔχει παραδέχεσθαι· ἡ δὲ γνῶσις αὐτοῦ προκαταλαβοῦσα, καὶ τὴν

navit spiritus, atque apud omnes gentes extemporales oratores fecit qui nuper illitterati erant, tunc potissime accidit humano generi, ut divinitatis eiusdem spiritus accuratiorem notitiam adipisceretur. Ergo quia vocabulum patris hominibus primum innotuit; et quia gratia deinde sacram filii notitiam detulit; et quia postremo sancti spiritus divina dignitas per admirabilem erga apostolos operam semel revelavit: iure meritoque nomina haec eundem ordinem in numerando servant. Sic autem notitiam hanc patefieri consultum fuit, ne homo idolico errori deditus, audita subito et manifeste personarum trinitate, aegrius ac difficilius ab idolorum superstitione abstraheretur. Nam si, trinitate licet pedetemptim et per aenigmata atque transennas initio insinuata, vix tamen homines a polytheismo discedebant; si aperte, inquam, et subito trinitas nunciata fuisset, nonne illorum superstitio magisterium omne atque ad unius Dei cultum adhortationem respuisset floccique fecisset, et sua exitiosa sacra praedicatae saluti antetulisset? Recte igitur patris primum notitia vulgata fuit, deinde gradatim filii ac spiritus. Atque hinc pro eo notitiae ordine, quo sacram atque pretiosam religionis suscepimus institutionem, in recensendo quoque eandem servamus congruenter praerogativam.

4. Ceteroqui patris nomine appellare Deum, neque indecorum est neque auditu molestum; immo id vulgo fidenterque facimus. Filium vero nostrum dicere vel ipsum filium vel sanctum spiritum, ne mens quidem pati potest: immo absurditas impietate comite hanc appellationem subsequeretur. Patris ergo nomen sive quotidiana consuetudine sive naturali instinctu mens humana haud moleste admittit. Iam huius nominis praevia notio effecit ut sacrarum quoque scripturarum doctrina

(1) Res ethnicis quoque hominibus satis nota et frequentata, ut poetae docent.

A ἱερῶν λογίων τὴν διδασκαλίαν εἱρμῷ παρέστησε προϊοῦσαν ἐκ τῆς πρὸς τὴν φωνὴν συνηθείας, οὐ δυσχερῶς ἡμῖν ἐνίεται τὴν τῶν ὑπερφυῶν προεσκεμμένην μάθησιν· εἰ βούλει δὲ καὶ διότι πάλιν οὔτε λόγος ὁ ἔμφυτος, οὔτε μὴν ἡ διὰ τοῦ ἔθους χρῆσις, οὐμενοῦν οὐκ ἐθέλει τὸν πατέρα προελθεῖν τοῦ υἱοῦ ἀλλ' οὐδὲ τοῦ πνεύματος· ἀεὶ δὲ τὸ ἔμπαλιν οἶδε, καὶ τοὺς πειθομένους διδάσκειν οὐχ ὑπο-
B στέλλεται· ἐξ οὗ δὴ καὶ ἡ συναρίθμησις τὸν πατέρα, τοῦ υἱοῦ καὶ τοῦ πνεύματος προτάττειν παραλαβοῦσα, τὴν μάθησιν οὐκ ἐνύβρισε· διὰ τοῦτο δὲ ἄρα καὶ δεξιὰ μὲν λέγεται καὶ λόγος καὶ δύναμις καὶ σοφία τοῦ πατρὸς ὁ υἱὸς, καὶ τὰ παραπλήσια· ὁ δὲ πατὴρ καί τοι μηδὲν πρὸς αὐτὸν τὴν φύσιν φέρων παραλλάττουσαν, οὔτ' ἂν θεωρεῖσθαι οὔτε λέγεσθαι εἰς λόγον ἔλθοι τοῦ υἱοῦ· εἰς γὰρ
C τὸν υἱὸν οὐκ ἀναγόμενος ὡς εἰς ἀρχὴν καὶ αἰτίαν, οὐδ' ὅσα εἰς αὐτὸν ἐκεῖνος ἀναφερόμενος ἐξοικειοῦται, ἔνθεν ἄρα καὶ τὸν πατέρα θεολογοῦντες διὰ τοῦ υἱοῦ πράττειν ἢ καὶ διὰ τοῦ πνεύματος ὅσα πέφυκεν ἡ μακαρία φύσις καὶ ὑπέρθεος ἐνεργεῖν· οὐχὶ δὲ τὸ ἀνάπαλιν ἀναδεχόμεθα λέγειν· οὔτε γὰρ τὸν υἱὸν οὔτε τὸ πνεῦμα διὰ τοῦ πατρὸς ἐνεργεῖν μυσταγωγούμεθα δογματίζειν.

D ε. Χωρὶς δὲ τῶν εἰρημένων οὐκ ἰουδαίοις μόνον, ἀλλὰ καὶ ὅσοις ἡ τῶν εἰδώλων πλάνη λατρεία, ἡδύ τε καὶ ἐπίχαρι καλεῖν τὸν θεὸν ἑαυτῶν πατέρα· καὶ ἵνα τὸ τῶν ποιητῶν αὐτόνομον παραδράμω, ἀλλ' οὖν ἀκούειν ἐστὶ τὸν Ἀρίστωνος (1) τῆς ἐν ἕλλησι φιλοσοφίας μετὰ πολλῶν καὶ ἄλλων τὴν αὐτὴν σπουδὴν ἀναδεδειγμένων, πατέρα καὶ ποιητὴν τοῦδε τοῦ παντὸς τὸν θεὸν ὑμνολογοῦντα ὃν καὶ εὑ-
E ρεῖν ἔργον τε εἶναι, καὶ εὑρόντα εἰς πάντας ἐξειπεῖν ἀδύνατον ἐφιλοσόφει· καὶ τοῖς ἰουδαίοις δὲ πρόχειρός τε ἦν καὶ γλυκεῖα ἡ φωνὴ καὶ σεμνότητος ἀφορμή· διὸ καὶ τὰς ὀφρῦς ἀνασπῶντες, ἀνθ' ὧν ἐρυθριᾶν καὶ συστέλλεσθαι τοῦ θράσους ἔδει,

nexu quodam ex huius vocabuli consueto usu proveniens, haud aegre nobis inspiraret provisam iam supernaturalium rerum disciplinam. Rursus si mavis, quoniam neque naturalis ratio, neque loquendi consuetudo prorsus vult patrem a filio spiritave procedere, sed contrarium semper novit, atque ita fideles erudire non dubitat; hinc fit, ut cum patrem filio et spiritui in recensendo praeponere solet, sacram doctrinam nequaquam violet. Propterea filius dextera quoque dicitur et verbum et virtus et sapientia patris et similia: pater autem etiamsi naturam nullo modo ab eo differentem habet; tamen neque cogitatione neque sermone ad filii rationem trahi potest. Iam quia ad filium pater non trahitur, veluti ad principium aut causam vel ad quamlibet huius relativam proprietatem, hinc nos videlicet theologice dicimus patrem per filium operari vel etiam per spiritum quidquid beata natura agit: neque contrarium dicere patimur: neque filium aut spiritum per patrem operari in sacris nostris institutionibus docemus.

5. Verum his etiam praetermissis, non Iudaeis tantummodo sed idolici quoque erroris asseclis dulce ac iucundum fuit patrem sibi vindicare Deum. Atque ut poetarum licentiam omittam, audire licet Aristonis filium cum aliis multis ethnicae philosophiae aeque studiosis, qui Deum patrem factoremque huius universi concelebrat: quem quidem et aegre intelligi, et intellectum non vulgandum universis esse censebat. Interim Iudaeis haec appellatio familiaris erat et iucunda ac probitatis occasio. Quare et adducto supercilio (quum potius pudere eos deceret mentisque

(1) Plato epist. VI. et alibi. Nam Platonem Aristonis filium heic designari a Photio nemo non intelligit, praeter fortasse eius librarium qui reliquit in codice lacunam unius vocabuli post Ἀρίστωνος quasi ibi nomen operis ponendum esset ipsius Aristonis. Nisi forte ibi scribendum παῖδα opinabatur, quod rursus minime est necessarium.

Ioh. VIII. 41. ἡμεῖς ὥσπερ ἐπιγαυριῶντες τῷ ῥήματι ἔλεγον· ἕνα πατέρα ἔχομεν τὸν Θεόν· ὁρᾷς A
ὅπως ἡδύ τε καὶ ἐπαφρόδιτον τῇ ἀνθρωπίνῃ φύσει πατέρα καλεῖν ἑαυτῆς τὸν Θεόν;
περὶ δὲ τοῦ υἱοῦ ἢ τοῦ πνεύματος, τί ἄν τις τοιοῦτον λαβεῖν εὑρήσει, ἢ εἰπεῖν οὐκ
ἐρυθριάσῃ; καὶ διὰ τοῦτο ἄρα κατ' ἀρχὰς οὐκ ἦν ὁμοίως τὸν υἱὸν ὥσπερ τὸν πα-
τέρα καταγγέλλεσθαι ῥᾴδιον· ἀλλ' ἑτέραις ἰσοδυναμούσαις φωναῖς τοῖς οὐκ
ἀναξίοις ἡ περὶ αὐτοῦ μυσταγωγία παρεδίδοτο, βραχίονι λέγω καὶ δεξιᾷ καὶ σο- B
φίᾳ, καὶ τοῖς παραπλησίαν ὑποβαλλομένοις τὴν δύναμιν· ἡ δὲ τοῦ υἱοῦ προση-
γορία σιγῆς ὅροις ἐθαλαμεύετο· διατί; διότι τὸ μὲν υἱὸς αὐτόθεν τε καὶ αὐ-
τίκα διαφορὰν προσώπου συνεπιφέρεται· ὃ τοὺς ἀσθενεστέρους ἢ φιλοτιμουμένους τὸ
φιλόνεικον πρὸς τὸ πολύθεον ὑποσκελίζει καὶ ὑποσύρεται· ἡ δεξιὰ δὲ καὶ ὅσα
ἐφάμιλλα, μικροῦ τὴν ῥοπὴν ἐξισάζοντα, διαφοράν τε παραδηλοῦν ὑποστάσεων, C
καὶ πρὸς τὴν αὐτὴν καὶ μίαν συνάγεσθαι, οὐκέτι τοῖς πρὸς εἰδωλολατρείαν κε-
χηνόσιν ἀφορμὴ τῆς ἴσης βλάβης ἐγίνετο.

ϛ. Καὶ μέντοι καὶ τοῦ πνεύματος ἡ φωνὴ ἐπιμερίζεσθαι δυναμένη πρός τε
τὸ αὐθυπόστατον καὶ πρός γε τὸ ἐνυπόστατον, οὐχ ὥσπερ ἡ ὀνομασία τοῦ υἱοῦ
τοὺς μὴ βουλομένους αὐτὸν καθ' ὑπόστασιν αὐτοτελῆ παραδέχεσθαι συναναγκά- D
ζει καὶ μετάγει πρὸς συγκατάθεσιν, ἀλλ' ἔτι δεῖται τῆς διὰ τῶν λογικῶν κατα-
σκευῆς καὶ συνεπικρίσεως· διὰ τοῦτο ἄρα εἰ καὶ τὸ πνεῦμα ἧττον μὲν ἤπερ ὁ πατήρ,
μᾶλλον δὲ ἤπερ ὁ υἱὸς, κατ' ἀρχὰς ἐκηρύττετο, οὐ δίδωσιν αὐτῷ τοῦ κηρύγ-
ματος ἡ τάξις τὴν αὐτὴν ἐν τῇ συναριθμήσει κατάστασιν· ὁ μὲν γὰρ πατὴρ καὶ
υἱὸς κηρυττόμενοι, τὸ αὐθυπόστατον ἀνεπιμερίστως εἰσάγουσιν· ἡ δὲ τοῦ πνεύμα- E
τος φωνὴ δυναμένη μὲν ὁμοίως δηλοῦν τὸ αὐθυπόστατον, οὐχ ὁμοίως δὲ πρὸς
μόνην ὑπόστασιν ἀποδίδοσθαι (1), οὐ συνδιασώζει τοῦ προτάττεσθαι τὸ ἀξίωμα· ἔτι
δὲ εἰ διὰ τοῦ υἱοῦ τὸ πνεῦμα τοῖς μαθηταῖς ἀπεστέλλετο, τῆς ἀποστολῆς τὴν

tumorem ponere) nos, glorianti dictione aiebant, unum patrem habemus Deum. Viden ut dulce suaveque sit humanae naturae patrem sibi vocare Deum! Iam de filio et spiritu quis quicquam huiusmodi molietur impudenter dicere? Idcirco initio haud filium aeque facile fuit nunciare, ut patrem: sed aliis aequivalentibus vocibus sacra eiusdem notitia ad aures non indignorum efferebatur; vocabulis inquam brachii, dexterae, sapientiae, atque aliis consimilem vim habentibus: interim dum ipsum filii nomen intra silentii fines continebatur. Cur porro? quia filius et per se et actutum differentiae personam invehit: quae res infirmiores animos atque morosos in polytheismum praecipites pertraxisset. Vocabulum autem *dextera* et similia quaevis, quum in utramque partem ferme valeant, nempe et ad demonstrandam personarum distinctionem, et ad suadendam divinitatis unitatem, idololatriae studiosis nequaquam paris detrimenti causa fuissent.

6. Insuper spiritus quoque vocabulum quum pronunciari possit et de re per se subsistente et de re existente in substantia aliena, haud aeque ac filii appellatio nolentes impellit et cogit ad fatendam definitam per se personam, sed eget adhuc ratiocinii argumentis et consultationibus. Idcirco etsi spiritus rarius quam pater, frequentius vero quam filius, olim praedicatus fuit, non tamen hic ordo praedicationis eundem in numeratione quoque gradum conservat. Nam pater et filius statim ac praedicantur, individuam subsistentiam prae se ferunt: spiritus autem vocabulum quamquam individuam pariter subsistentiam denotare potest, non tamen ad personam tantummodo refertur; ideoque praecedendi dignitatem non servat. Praeterea si per

(1) Recole p. 335. n. 2.

A φύσιν οὐδὲν ἐλαττούσης, ἀλλὰ τὸ ἀπαράλλακτον συντηρούσης, ἡ κατὰ συναρίθμη-
σιν τάξις τῶν κατὰ τὰς ὑποστάσεις ἰδιωμάτων συνδιευκρινεῖν τε ϗ συνεπακηρύττειν
δύναιτ' ἂν τὸ ἀναλλοίωτον ϗ ἀσύγχυτον· ϗ μὴν ϗ διότι μάλιστα τὴν θεολο-
γίαν τοῦ πνεύματος παρὰ τοῦ υἱοῦ μεμαθήκαμεν· ἐκπορεύεσθαι γὰρ αὐτὸ τοῦ πα-
τρός, ϗ πρὸς ὁμοταγῆ τάξιν ἀνηνέχθαι τῷ τε πατρὶ ϗ τῷ υἱῷ· ϗ ὅτι τῶν
B τελειοτήτων αὐτὸ χρηματίζειν διδάσκαλον· ἃ γὰρ τοὺς μαθητὰς τῆς ἀνθρωπίνης
ἀσθενείας οὔπω τὰ τελεώτερα παραδεχομένης οὐκ ἐμυσταγώγησεν ὁ σωτήρ, τὸν
παράκλητον αὐτοῖς ἐκείνων γενέσθαι διδάσκαλον ἐπηγγείλατο· ταύτης οὖν τῆς
εἰλικρινοῦς περὶ τοῦ πνεύματος θεολογίας, ϗ πρὸς ἣν τὸ ἀνθρώπινον οὐκ ἀνήγε-
το, ὁ υἱὸς ἐπιδημήσας ὁρᾶται καθηγησάμενος.

C ζ. Διά τε οὖν τὸ προκαταλαβεῖν τὴν γνῶσιν τοῦ πατρὸς, ϗ ὅτι ἐξ αὐτοῦ
τὴν πρόοδον ὅ τε υἱὸς ϗ τὸ πνεῦμα ἔχει· ϗ τὰ μὲν, ἐξ αὐτοῦ προελθεῖν δύ-
ναται λέγεσθαι, ὁ δὲ οὐκέτι· ϗ τὸν μὲν, ἐν ἔθει χρηματίζειν τοῖς ἀνθρώποις
ἐξοικειοῦσθαι ϗ ἑαυτὸν ἐπιγράφεσθαι· τὰ δὲ οὐδεὶς ἐπινοεῖσθαι δύναται· ϗ ὁ
μὲν, γλυκύ τε καὶ ἐπίχαρι τῷ πλάσματι ἐπιγράφεσθαι· τὰ δέ, πάροδον οὐδε-
D μίαν ἐπιδέχεται· ϗ διά γε τὰ ἄλλα τῶν εἰρημένων, τοιαύτην αὐτῶν τὴν συναρίθ-
μησιν ὁμοουσίων ὄντων ϗ ὁμοφυῶν ἡ ἐκκλησία διασώζειν ὡς ἐπίπαν ἐδέξατο·
ἀλλὰ γὰρ αὕτη μὲν τέως κατὰ τὸν στοιχειώδη λόγον πατρὸς ϗ υἱοῦ ϗ ἁγίου
πνεύματος ἡ θεωρία τῆς συναριθμήσεως· ἡ δὲ τελειοτέρα ϗ ἀκριβεστέρα διάσκε-
ψις, ἰδιαζούσης πραγματείας λόγον ἀπαιτεῖ ϗ ἀπεκδέχεται.

filium spiritus ad discipulos missus fuit, natura eius mittendo non imminuta sed statum suum retinente, ordo quoque proprietates personales recensendi designare pariter ac praedicare poterit immutabilitatem ac distinctionem. Addesis, quod theologicam spiritus notitiam a filio didicimus; nempe illum a patre procedere, et in pari ordine collocatum esse cum patre filioque, et denique perfectionum esse magistrum. Nam quae, propter humanam infirmitatem nondum perfectiora capientem, discipulos servator non docuit, ea ipsis a paracleto demonstratum iri promisit. Ergo huius perspicuae circa spiritum theologiae, ad quam humanae vires non pertingebant, praesentem in orbe filium constat fuisse antesignanum.

7. Igitur et quia prior est patris notitia; et quia ex ipso filius spiritusque procedunt; et quia hi quidem ab illo manare dici queunt, iste ab his non item; et quia Dei patris nomen in hominum usu versatur, idque adeo usurpare gestimus; cetera duo ne mente quidem sibi quisquam vindicare potest; et quia Dei patris nomen dulce gratumque est creaturae sibi id inscribenti, illa vero aditum nullum patiuntur; et denique propter alia iam dicta, hunc ecclesia ordinem in recensendis consubstantialibus homogeneisque personis constanter admisit. Sed haec de numerando patre et filio sanctoque spiritu elementaria theoria hactenus: namque absolutior accuratiorque tractatus peculiare sibi opus postulat atque exigit.

QUAESTIO CXCI.

Διατί τοῦ γένους ἡ ἀνόρθωσις οὐ διά τινος τῶν ἀσωμάτων δυνάμεων ἢ δι' ἀνθρώπου ψιλοῦ, ἀλλὰ διὰ τῆς τοῦ λόγου κενώσεως γέγονεν (1).

α. Ζητοῦντας οἶδά τινας τῶν φιλολόγων, διατί μὴ τοῦ κοινοῦ πτώματος ἡ διόρθωσις δι' ἑνὸς τῶν ἀνθρώπων ἐγένετο· τὸ γὰρ ὁμοφυὲς ἀγωγὸν μᾶλλον καὶ πρὸς πειθὼ πλησιαίτερον· ἀλλὰ γὰρ οὐκ ἐργῶδες αὐτοῖς, εἰ καὶ μὴ πρότερον, νῦν γοῦν καθορᾶν ὡς καὶ ταῦτα μὲν τῇ τοῦ λόγου σαρκώσει περιείληπται· ἃ δὲ τὸ θαυμαστὸν ἐκεῖνο τῆς κενώσεως πλουτεῖ, οὐδὲν ἐστιν εὑρεῖν εἰ τῶν ἀνθρώπων τὸ γένος εἷς αὐτῶν ἐλευθερῶσαι τῆς κατὰ πάντων τυραννίδος ἐπεχείρησεν· ἀλλὰ πρῶτον μὲν ὁ τὴν τηλικαῦτα πρᾶξιν ὑπελθὼν ἀναδεχόμενος, καὶ τὴν πάντων σωτηρίαν σοφίας πλούτῳ καὶ ἀνυπερβλήτῳ φιλανθρωπίᾳ κατεργάσασθαι, οὐ τῶν δεομένων αὐτὸς τῆς ἀλλαχόθεν σωτηρίας καὶ ἀνορθώσεως χρηματίζειν ὠφείλει· ἀνθρωπίνη δὲ πᾶσα φύσις ὑπόχρεως μὲν τοῦ ἁμαρτήματος, πολλῆς δὲ δεομένη τῆς ὁμοίας προνοίας τε καὶ καθάρσεως· καὶ πῶς ἂν ὁ ἐν τῇ αὐτῇ τῆς θεραπείας χρείᾳ καθεστώς, ἑτέροις ἠδύνατο διακονομεῖν τὴν κάθαρσιν, καὶ χορηγὸς εἶναι τῆς ἰάσεως;

β. Δεύτερον δὲ θεοῦ καὶ θεῖον ἔργον καὶ καινὸν ὑπὸ τὸν ἥλιον, πῶς ἂν ἦν ἀνθρώπῳ διαπράξασθαι; εἰ δέ τινα θέσθαι φιλοτιμίαν λάβοι καὶ ὅπερ οὐχ οἷόν τε προελθεῖν, θᾶττον ἂν τὸ πτῶμα καὶ ῥᾳδίως ἢ πρὸς ἑαυτὸ ἐπανέστρεψεν, ἢ πρὸς τὸ χεῖρον ηὐξάνετο· τὸ μὲν, οὐ μέγα κακὸν ἡγουμένων τῶν τῆς εὐεργε-

Cur humani generis redemptio neque per aliquem ex incorporeis virtutibus genium, neque per simplicem hominem, sed per Verbi exinanitionem peracta fuerit.

1. Ab eruditis nonnullis quaeri scio curnam communis culpae emendatio ab aliquo homine curata non fuerit: quandoquidem homogenea natura placando persuadendoque aptior est. Atqui hi facile, si minus antea, certe nunc cognoscent totam hanc rationem incarnatione Verbi contineri: tum vero mirum illud quod exinanitionem abunde explet nusquam potuisse inveniri, si hominum quispiam ab humano genere universalem tyrannidem depellere voluisset. Iam primum is qui rem tantam peragendam, communemque salutem sapientiae suae divitiis eximiaque bonitate procurandam susciperet, haud ex eorum numero deligendus erat, qui aliunde servari ipsimet atque emendari deberent. Porro hominum universa natura peccato erat obnoxia, multamque curam desiderabat atque expiationem. Quomodo igitur fieri poterat, ut qui in eadem medicinae egestate versabatur, is aliis purgationem suppeditaret medelaeque auctorem se gereret?

2. Deinde divinum Dei opus atque sub sole novum num humanarum virium erat adgredi? Quod siquis aemulari quodammodo remque impossibilem tentare voluisset, is potius malum illud vel in caput proprium convertisset, vel certe deterius fecisset. Etenim illi qui beneficio eius uterentur, partim haud magnopere se

(1) Copiose versat hoc argumentum etiam Eusebius tricenn. Constantin. cap. XIII. sqq.

A σίας ἀπολελαυκότων ὁμοιοπαθῆ δι' ἀχαριστίας ἄνθρωποι ἄγαν· τὸ δὲ, τὴν τῷ Θεῷ πρέπουσαν τιμὴν ἀνάπτειν ὡρμημένων τῷ σεσωκότι· εἰ γὰρ Μωσέα καθ' οὗ πολλάκις ἐγόγγιζον, καὶ τὴν ἄνωθεν δι' αὐτοῦ κατιοῦσαν σωτηρίαν τῶν ἐν Αἰγύπτῳ κακῶν ἐποιοῦντο χείρονα, ὅμως Θεὸν ἀνειπεῖν μετὰ θάνατον ἐμελέτησαν, ὡς μυστικοὶ καὶ ἱεροὶ λόγοι διδάσκουσι (δι' ἣν αἰτίαν καὶ ὁ τάφος ὀφθαλμοῖς Deut. XXX-
B ἰουδαίων μέχρι νῦν ἀθέατός τε καὶ ἀνεπίγνωστος ἔμεινεν· ἀγχίστροφος γὰρ ὁ ἐχθρὸς IIII. 6.
κακουργῆσαι, καὶ διὰ τῶν ὅπλων τῶν τε δεξιῶν καὶ τῶν ἀριστερῶν ἐξαπατῆσαι τὸ ἀνθρώπινον) πῶς οὐκ ἂν τὸν μείζονος ἀπαλλάξαντος τυραννίδος, εἰ καὶ τῆς αὐτῆς φύσεως ᾔδεισαν, οὐ Θεὸν ἀνηγόρευσαν; ἵνα νῦν παραδράμω Παῦλον τοῖς ἑλληνισταῖς θεοποιούμενον· τοῦτο δὲ δῆλον ὡς οὐκ ἦν τοῦ πτώματος ἔγερσις, ἀλλὰ Act. XIIII.
C χαλεπωτέρα καὶ ἀδιόρθωτος ἔκπτωσις· καὶ γὰρ χρεωστεῖν οὐδ' ἄλογον ἂν ἴσως 10.
ἐδόκει, ὃν τρόπον τὰ δημιουργήματα τὸν δημιουργὸν διὰ σεβασμιότητός τε καὶ θειότητος ποιεῖται, οὕτω δὴ οὕτω καὶ τὸν σεσωκότα τοὺς σεσωσμένους, καὶ τοὺς συντριβέντας τὸν ἀναπλάσαντα· ταύτῃ τοι οὐδ' ἀγγέλων φύσις τὴν τοῦ γένους ἡμῶν σωτηρίαν ὑποδέχεται, ἀλλ' ὁ πλάσας αὐτὸς ὁρᾶται δημιουργὸς καὶ τῆς ἀναπλάσεως.

D γ. Ἄλλως τε οὐδὲ δούλων ἐστὶν οὐδὲ κτισμάτων, ὥσπερ οὐδὲ λύειν βασιλικὰς καὶ δεσποτικὰς ἐντολὰς, οὕτως οὐδ' ἄγειν ἐπὶ τὸ ἄμεινον· καὶ μὴν ἄνθρωπος ὁ Χριστὸς γεγονὼς μετὰ τῶν ἄλλων καλῶν, μᾶλλον δὲ καὶ πρὸ πολλῶν ἄλλων εὐεργεσιῶν, τοὺς πατρικοὺς νόμους καὶ οἱ τηνικαῦτα τοῖς ἰσραηλίταις μᾶλλον ἥρμοζον, ἐπὶ τὸ τελεώτερον μεταρρυθμίζει· ἐρρέθη γάρ φησι τοῖς ἀρχαί- Matth. V. 21.
E οις, οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν τάδε· οὐ μοιχεύσεις· ἐγὼ δὲ τάδε· ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ· ἐγὼ δὲ τάδε· καὶ τὰ μυρία ἐκεῖνα ἃ πρὸς τὴν ἀτέλειαν τῶν ἀκροατῶν ἐνενομοθέτητο πάλαι, ἐπὶ τὸ κρεῖττον ἐστὶ τῇ δεσποτικῇ ἐπι-

peccare putarent, si adversus paris naturae hominem ingrati existerent: partim vero eo proruerent, ut quod Deo obsequium debent, id servatori suo exhiberent. Nam si Israelitae Mosem, contra quem saepe tumultuati fuerant, ita ut caelestem quoque curatam his ab eo salutem peiore conditione quam aegyptiacas calamitates haberent; si Mosem inquam post obitum, Dei instar venerari moliebantur, ut a mysticis sacrisque litteris discimus; (quam ob causam sepulcrum eius Iudaeorum oculis ad hanc usque diem invisibile incognitumque fuit. Mire enim versutus est ad nocendum diabolus, armisque utitur tum dextris tum etiam sinistris ut humanum genus decipiat) nonne hominem qui maiorem tyrannidem avertisset, etiamsi eiusdem naturae esse scirent, Dei loco coluissent? Mitto nunc Pauli exemplum, cui ethnici apotheosim decernebant. Illud certe exploratum est, haud futuram a lapsu resurrectionem, sed graviorem desperatioremque ruinam. Profecto debitorem se profiteri haud fortasse absurdum videretur, ita ut quod erga creatorem propter eximiam dignitatem divinitatemque eius faciunt creaturae, idem prorsus erga servatorem servati, erga instauratorem confracti, facerent. Atque haec causa est quamobrem ne angelorum quidem natura salutem generis nostri reparandam susceperit; sed qui creator fuit, idem auctor quoque instaurationis conspicitur.

3. Alioqui neque servorum est neque creaturarum regia et dominica mandata vel abrogare vel etiam maiore perfectione donare. Atqui homo Christus effectus, hoc inter cetera beneficia, immo prae aliis multis insigne fecit, patrias nempe leges, quae temporum illorum Israelitis accommodatiores erant, meliorem ad conditionem promovit. Dictum quippe fuerat antiquis, non occides; ego vero dico vobis sic. Non moechaberis; ego vero sic. Oculum pro oculo; ego vero sic. Et alia plurima, quae quum olim pro audientium imperfectione perlata fuissent, meliora

κρίσει ὁρᾷν ἀνηγμένα· καὶ τοῦτο διά τε ἄλλα μυρία, καὶ διότι τῶν παλαιῶν νό- A
μων ἀμετακινήτων παντελῶς μενόντων, καὶ ἡ πολιτεία ἡ αὐτὴ λόγον εἶχεν ἀναγ-
καῖον τοῖς νόμοις συνδιασώζεσθαι· ἡ δὲ οὐδὲν τῶν ὑπερφυῶν καὶ ἅπερ ὕστερον
ὑπερέλαμψεν οὔτε δύναμιν ἐπλούτει παραδέξασθαι· ὥσπερ οὐδὲ πρότερον μυρίων
αὐτὴν παιδαγωγησάντων νομοθετῶν καὶ δημαγωγῶν καὶ προφητῶν καὶ πολλῶν
ἄλλων ἱερῶν διδαγμάτων, οὔτ᾽ ἂν εἰς τέλος προὔβαινε τὸ ἐγχείρημα· ἀλλὰ B
μάτην, εἴπερ ἐν τοῖς αὐτοῖς ὁ ἀνθρώπινος διέμενε βίος, ἡ τῆς σωτηρίας προϊ-
οῦσα σπουδὴ καὶ ἐπιχείρησις διηλέγχετο, τῆς μὲν ἀνθρωπίνης φιλοτιμίας οὐδὲν
ἐξανυούσης μέγα· ἅτε μήτε δυνατὸν τὴν δούλην κτίσιν μὴ δὲ τόλμης ἀνεύθυνον
τοῦ δημιουργοῦ καὶ δεσπότου νόμους μετακοσμεῖν ἐπιχειρεῖν· τῷ μέν τοι τὴν σω-
τηρίαν διὰ σπλάγχνα ἐλέους κατεργαζομένῳ τοῦ πλάσματος, ἥ τε τῶν δεσποτι- C
κῶν νόμων μετακόσμησις πρέπουσα τὴν δεσποτικὴν ἐξουσίαν κατὰ φύσιν ἔχοντι, καὶ
τῆς πολιτείας ῥᾳδία τε καὶ ἁρμόδιος ἡ πρὸς τὸ βέλτιον ἀνανέωσις.

δ. Ἔτι γε μὴν τῆς τοσαύτης καὶ τηλικαύτης ἀγάπης ἡ ἔνδειξις, ἣν διὰ
τὸ κενωθῆναι δι᾽ ἡμᾶς τὸν ἀκένωτον ἔγνωμεν, πόθεν ἂν εἰς γνῶσιν ἡμᾶς ἀφίκ-
το, ἢ τῆς περὶ ἡμᾶς αὐτοῦ προνοίας τὸ μέγεθος ἐγνωρίζομεν, εἰ δι᾽ ἑτέρου τινὸς D
ἐδικαίου τὴν κοινὴν τοῦ γένους σωτηρίαν ἡμᾶς δέξασθαι; οὐ μέν τοι γε οὐδ᾽ ἀγ-
Deut. xxxii. 8. γελικῆς φύσεως ἐνεργεῖν τὸ μέγα τοῦτο καὶ παγκόσμιον μυστήριον· οἳ κατὰ τὰ
ὅρια τῶν ἐθνῶν ἀνὰ ἕκαστος αὐτῶν τὴν ἐπιστασίαν ἐκληρώσαντο, ἀλλ᾽ οὐχὶ τοῦ
παντὸς γένους τὴν κυβέρνησιν (1) μή τι γε τὴν ἀνάπλασιν ἐπιστεύθησαν· οὐ μὴν ἀλλ᾽
οὐδὲ πολλῷ μᾶλλον ἀνθρώπου ψιλοῦ, εἰ καὶ ταῖς ἀρεταῖς πρὸς τοὺς ἄλλους E
φέρει τὸ διάφορον· ὁρᾷν γάρ ἐστιν αὐτῶν τοὺς ἐπιφανεστάτους πολλάκις ἑνὸς ἔθνους

dein a dominicis decretis facta esse videmus. Id autem quum ob alias permultas causas factitatum est, tum praecipue quia si priscae leges intactae prorsus mansissent, sacra quoque respublica necessario cum legibus conservanda fuisset; quae ceteroqui nulla vi pollebat ad recipienda supernaturalia quae postea effulserunt bona. Sicuti ne antea quidem, permultis licet erudientibus eam legumlatoribus, oratoribus, atque prophetis, aliisque pluribus sacris doctrinis, institutio tamen ad suum numquam apicem venit. Quamobrem si humana vita in iisdem ritibus permansisset, servatoris studium et sollicitudines in cassum fuisse coarguerentur: quia humanus conatus nihil grande conficere potest. Et quidem servili creaturae neque possibile est neque impune, creatoris ac domini leges in aliam formam pervertere: sed ei demum qui sua clementia commotus creaturae salutem procurandam suscepit, dominicarum quoque legum reformatio convenit, dominicam scilicet potestatem a suamet natura habenti: eidemque perfacilis est et congrua publicorum sacrorum ad meliorem statum translatio.

4. Talis insuper tantique amoris demonstratio, cuiusmodi in exinanitione eius qui exinaniri non potest vidimus, qui fieri poterat ut in notitiam nostram veniret, vel ut providentiae erga nos magnitudinem cognosceremus, si Deus operam dedisset, ut ab alio, praeter se, quolibet communem generis salutem impetraremus? Neque sane vel angelicae ipsi naturae concessum fuit, ut tam grande et universale mysterium sibi vindicaret. Nam etsi angeli fines gentium singuli singulos custodiendos sortiti sunt, minime tamen universi generis gubernatio vel instauratio concredita iisdem est. Multo vero minus simplici homini id facere licuit, quamvis virtutibus inter ceteros praefulgenti. Videmus enim vel ex his celeberrimos uni sae-

(1) Notanda est haec Photii doctrina.

A οὐδὲ μεγίστου καταπιστευθέντας παιδαγωγίαν καὶ κυβέρνησιν, καὶ οὐδὲ ταύτην
ἀμέμπτως μέχρι τέλους ἐξανύσαντας· Μωσέα τοῖς λογισμοῖς εἰ βούλει λάβε καὶ
τὸν μετ' ἐκεῖνον Ἰησοῦν, καὶ ὅσοι ἄλλοι τὴν ἐπιστασίαν τοῦ ἔθνους ἐνεχειρίσθησαν·
ναὶ δὲ πρὸς τούτοις καὶ τὸ μέγιστον τῶν ἀνὰ πάντα τὸν αἰῶνα θαυμαστῶν καὶ ὡς
ἀληθῶς ὑπερθαύμαστον, εἰς εὐτέλειαν ἂν καὶ οὐδὲν θαῦμα παρεχομένην πρᾶξιν
B ἐξέπιπτε· κτίσεως γὰρ κτίσει συνιούσης καὶ προσλαμβανούσης τὸ ὁμόδουλον, οὐ-
δὲν οὔτε τῶν ἀπορρήτων παρίσταται, οὔτε θαῦμα τῷ ἀκαταλήπτῳ καὶ τῷ πλού-
τῳ τῆς φιλανθρωπίας τὴν ἔκπληξιν παρεχόμενον· τί γὰρ ἄγγελον θαυμαστὸν, τί
δὲ τῶν ἀλήπτων, ἀνθρώπου φύσιν προσοικειώσασθαι; κτίσματα γὰρ ἄμφω καὶ
ὁμόδουλοι καὶ τροπῆς μετέχοντες· εἰ καὶ ὁ μὲν μᾶλλον, ὁ δὲ τετίμηται τὸ ἐπέ-
C λαττον· εἰ δὲ τρεπτὸν ἑκάτερος, ἄδηλον τέως τῆς ἑνώσεως γεγενημένης· εἰ μὴ πρὸς
τὴν ἐπικρατοῦσαν τροπὴν τὸ ἐπέλαττον αὐτῆς μετασχὸν λάβοι τὴν ῥοπὴν, ἢ εἴπερ
ἐπικρατήσοι τοῦ πλείονος τὸ ἐπέλαττον.

1. Ἀλλὰ γὰρ μικροῦ με παρῆλθεν ἡ αἰτία δι' ἣν μάλιστα εἴπερ ἄγγελος
ἢ ψιλὸς ἄνθρωπος ἀνασώσασθαι ἡμᾶς τοῦ πτώματος προεβέβλητο, οὐχὶ σωτη-
D ρίας μᾶλλον ἀπηλαύομεν, ἀλλὰ τοῦ καλλίστου καὶ τιμιωτάτου καὶ τῆς ἀνεκφρά-
στου δόξης τὸ γένος κατέπιπτε· πῶς δὲ καὶ διὰ ποίαν αἰτίαν; ὅτι περ οὐκ ἦν
ἡμῖν δυνατὸν οὐδὲ ἐγγὺς τυχεῖν οἷς νῦν τοῦ λόγου σαρκωθέντος ἐντρυφῶμεν καὶ
ἀπολαύομεν τῶν ὑπὲρ ἔννοιαν· ποῦ γὰρ ἢ πῶς ἂν τῷ ἡμετέρῳ γένει ἐκεχά-
ριστο, ἀνθρωπίνης φύσεως ἢ ἀγγελικῆς τὴν περὶ ἡμᾶς οἰκονομίαν ὑπερχομένης, ἐν
E δεξιᾷ τοῦ Θεοῦ καὶ πατρὸς ἱδρυνθῆναι καὶ πάσης ἀγγελικῆς καὶ ἀρχαγγέλων χο-
ροστασίας ὑπεράνω γενέσθαι; καὶ τιμῆς καὶ δόξης ἀπολαῦσαι τοσαύτης καὶ τη-
λικαύτης, ὡς καὶ αὐτῶν τῶν ἄνω δυνάμεων καὶ ἐγγυτάτω Θεοῦ ἑστηκότων ἐπιθυ-
μούντων μὲν εἰς τὴν ἡμετέραν δόξαν ἧς διὰ τοῦ φυράματος ἀπολαύομεν παρακύ- I. Petr. I. 12.

pe genti, et quidem non maximi numeri, regendae instituendaeque fuisse praepositos; atque hoc ipso munere non sine defectu aliquo fuisse defunctos. Mosem licet cogites, vel huius successorem Iosuam, vel alium quemlibet ex iis qui gentis ducatum capessiverunt. Praeter quam quod res quoque maxima, quotquot ex omni aevo mirae fuerunt, vereque plus quam mirabilis, satis vilis evasisset, nihilque habuisset quod merito suspiceremus. Nam si creatura cum creaturis versetur, et si quisquam conservo suo faveat, nihil inde ineffabile sequitur, nec quod sua incomprehensibili ditique clementia admirationem pariat. Cur enim mirum, vel cur incomprehensibile sit, ab angelo naturam hominis adsumi? Uterque enim conservus est, uterque mutationis capax: quamquam alter maiore, alter minore adficitur honore. Utrum vero uterque convertibilis sit, lateret sane usque ad coniunctionem patratam; nisi adversus praevalentem mutabilitatem pars inferior eidem obnoxia lancem inclinaret; vel nisi nobiliori parti praevaleret deterior.

5. Sed enim parum abfuit quin obliviscerer causae potissimae, cur si angelus aut simplex homo recuperare nos a lapsu molitus esset, nequaquam salute frui possemus: quippe quia pulcherrima et pretiosissima et ineffabili gloria humanum genus excideret. Quomodo id vel quam ob causam? quia scilicet ne accedere quidem nedum pertingere ad illa bona liceret, quibus nunc, Verbo incarnato, abundamus atque perfruimur supra quam cogitari potest. Quando enim aut quomodo nostro generi concessum fuisset, si humana natura aut angelica redemptionem nostram procurandam sumpsisset, in Dei patrisque dextera collocari, superque omnes angelorum atque archangelorum choros exaltari, talique et tanta gloria frui, ut ipsae supernae virtutes quae Deum proxime circumsistunt, desiderarent quidem in nostram

ψοι, μείζονα δὲ τὴν ἐπιτυχίαν τῆς ἐπιθυμίας εὑρισκόντων; ταύτης δέ γε τῆς A
μακαρίας καὶ ἀνεκφράστου καὶ ὑπὲρ ἔννοιαν λήξεως τοῦ ἀνθρωπίνου γένους τὴν στέ-
ρησιν ὑπομένοντος, ἅ τε δὴ μὴ δὲ τοῦ φυράματος ἡμῶν δι' ἀνθρωπίνης ἢ ἀγ-
γελικῆς ἑνώσεως τῆς δόξης ἐν ᾗ νῦν ἐκλάμπει τὴν ἀπόλαυσιν προσειληφότος, μὴ
δὲ πρὸς τὴν τοιαύτην ἡμῶν ἀναδραμόντων ἰσχὺν καὶ ῥώμην καὶ τῆς τιμῆς τὸ
ἐξαίρετον, τίνα ἂν παρῆκεν ὁ ἐχθρὸς καθ' ἡμῶν τόλμαν; τίνας δ' οὐκ ἀνεκί- B
νει μηχανάς, δι' ὧν πάλιν ἐλπίδας ἔτρεφεν ὑποχείριον λαβεῖν τὸ γένος, καὶ ὑπὸ
τὴν ἀρχαίαν αὐτοῦ καθελκύσαι τυραννίδα; κατὰ τίνων καὶ τὸ κράτος ἀναλαβεῖν
οὐκ ἐπήρθη; καὶ τὸ φρύαγμα τοῦ προτέρου μεῖζον οὐκ ἀνεπεδείκνυ; καὶ τὸν οὐρα-
νὸν αὐτὸν πολυπραγμονεῖν οὐχ ἡγεῖτο τόλμαν; διὰ γοῦν ταῦτα καὶ πολλὰ τοιαῦ-
τα, θεοσόφως ἄρα καὶ θεοπρεπῶς ὁ τοῦ θεοῦ λόγος καὶ υἱὸς καὶ θεὸς ἀληθινὸς, C
καὶ οὐχ ἕτερός τις, παρ' αὐτὸν τὴν ἡμετέραν προσειληφὼς σάρκα τὴν κοινὴν τοῦ
γένους σωτηρίαν εἰργάσατο.

QUAESTIO CXCII.

D

Act. X. 42. *Τί δήποτε κατὰ τὸν μέλλοντα αἰῶνα κριτὴς μόνος καθέζεται ὁ υἱός.*

Πᾶσα μὲν δημιουργία καὶ πᾶσα πρᾶξις, ἣν ἐνεργεῖν λέγεται μία τῶν
ὑποστάσεων τῶν θεαρχικῶν, κοινὸν ἔργον ἐστὶ καὶ τῶν ἄλλων, ὅσα γε εἰς τὴν ὁ- B
μοίαν πρόνοιαν ἥκει, καὶ τὸ τῆς ἐξουσίας καὶ ἀγαθότητος ἀπαράλλακτον καὶ
ἑνιαῖον τῆς βουλῆς· τῷ δέ γε υἱῷ τῆς μελλούσης κρίσεως ἀφορίζεται τὸ ἀξίω-
μα διὰ πολλὰς καὶ θεοπρεπεῖς ἐννοίας, οὐχ ὡς ἀπεστώτων τοῦ πατρὸς ἢ τοῦ
πνεύματος τῆς συνεργίας· τὸν δὲ υἱὸν κρίσιν ἀναδεξάμενον ταύτης ἔχειν τὴν ἡγε-

gloriam, qua in carne frueremur, prospicere; sed rem tamen voto suo superiorem esse sentirent? Age vero hac beata et ineffabili supra quam cogitari potest sorte humanum genus si fuisset exclusum; nempe si caro nostra, propter humanae angelicaeque naturae coniunctionem, gloriam illam qua nunc fulget non fuisset adepta, neque ad has vires atque robur honorisque culmen nos essemus evecti; curnam diabolus audaciam suam in nos non exprometet? quas machinas non moveret? quas adhuc spes non nutriret, fore ut iterum genus nostrum sibi subiiceret, veterique tyrannidi vindicaret? quem non potentiae suae viribus adtemptaret? nonne superbiam priore maiorem sumeret? sane nec ipsi caelo insidiari temerarium sibi crederet. Ob haec et alia huiuscemodi plurima, sapientissime enimvero et convenientissime Dei Verbum et filius et Deus verus, non alius quispiam, carne sibi circumposita communem generis salutem operatus est.

Cur in futuro saeculo solus iudex filius sedeat.

Creatio omnis atque actio, quam exserere dicitur divinarum personarum una, commune opus ceterarum est, quia videlicet ad eandem providentiam spectat, atque ex eodem potestatis, bonitatis atque consilii certo et unico fonte procedit. Ceterum filio futuri iudicii dignitas multas ob causas congruasque tribuitur, non tamen quia pater et spiritus a societate operis absint. Filius autem principatum huius

A μονίαν· πρῶτον μὲν διότι δημιουργὸς καὶ οἰκονόμος αὐτὸς λέγεται τῶν τε δημιουρ-
γημάτων ἃ κατ' ἀρχὰς ἐκ μὴ ὄντων ὑπέστη, καὶ τῆς μετὰ τὴν συντριβὴν τοῦ ἀν-
θρωπίνου γένους ἀνανεώσεώς τε καὶ ἀναπλάσεως· ἔδει δὲ ἄρα ὃς τὴν δημιουργίαν καὶ
πρόνοιαν τῆς ἀνθρώπων φύσεως καθ' ἑκατέραν πραγματείαν ἀνεδέξατο, τοῦτον αὐτοῖς
καὶ κριτὴν καθεστάναι· συνέχεται γὰρ καὶ συνδιαπλέκεται τῇ δημιουργίᾳ μὲν ἡ πρό-
B νοια· τῇ προνοίᾳ δὲ ἡ τῶν προνοουμένων κρίσις καὶ ἐξέτασις· διόπερ εὐλόγως
τε καὶ δικαίως ᾧ τὸ κτίζειν καὶ ἀνακαινίζειν πρᾶξις γέγονε, πρὸς τοῦτον καὶ τὴν
κρίσιν τοῦ πλάσματος ἀναφέρεσθαι· δεύτερον δὲ, εἰ νομοθέτου μάλιστα τὸ κρίνειν
τοὺς οἷς κατὰ χάριν ἐνομοθετήθη πολιτεύεσθαι, τοῦτο δέ ἐστι τὸ γένος τὸ ἀν-
θρώπινον, νομοθέτης δὲ μάλιστα τῆς καινῆς διαθήκης ὁ υἱός, εἰ καὶ τῆς πα-
C τρικῆς βουλῆς καὶ συνεργίας καὶ τοῦ παναγίου πνεύματος ἡ κοινωνία μὴ διασχί-
ζοιτο, εἰκότως ὁ υἱὸς κριτὴς τῶν νομοθετουμένων καθίσταται· εἰ δὲ καὶ διότι τὸ
ἀνθρώπινον φύραμα προσελάβετο, διὰ πείρας τε τῆς ἀνθρωπίνης φύσεως κατέ-
στη, καὶ διπλῆν τὴν περὶ τῶν κρινομένων ἐκτήσατο γνῶσιν· ὥς που καὶ ὁ θεῖος
Παῦλος βοᾷ τὸν περὶ ἡμᾶς ἔλεον αὐτοῦ καὶ τὸν ὑπὲρ ἡμῶν ἱλασμὸν ὁμολογῶν· Hebr. II, 18.
D ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι· οὐ-
δὲ τοῦτ' ἂν εἴη πόῤῥω θεωρίας θεοσεβοῦς· ἴσως δ' οὐκ ἀπεικὸς καὶ τοῦτο λογί-
σασθαι, ὡς ἐπειδήπερ ἐταπείνωσεν ἑαυτὸν ὁ υἱὸς εἰς ἄφραστόν τε καὶ ἀνεκδιήγητον
ταπείνωσιν, σαρκὸς παραπλησίως ἡμῖν μετασχὼν καὶ αἵματος, ἡ τοῦ παντὸς κρί-
σις αὐτῷ παρατίθεται, τῆς πολλῆς ἐκείνης ἀνυψοῦσα ταπεινώσεως, καὶ τὸ κα-
E τὰ τὴν θεότητα λαμπρῶς ἀξίωμα διαγγέλλουσα· καὶ τό γε τῶν εἰρημένων οὐ-
δενὸς ἔλαττον, ἐπειδήπερ κατὰ τὴν παγκόσμιον ἀνάστασιν οὐ ψυχαὶ γυμναὶ, συν-
ηνωμέναι δὲ τοῖς οἰκείοις σώμασι κοινωνοῦσι τῆς ἀναστάσεως, καὶ οὕτω τῷ τῆς
κρίσεως παρίστανται βήματι, καὶ ἐν τοιαύτῃ καταστάσει τοῦ συγκρίματος τὴν δίκην

operis tenet, primum quia creator administratorque dicitur creatarum rerum, quas initio e nihilo eduxit; item quia generis humani post lapsum renovandi instaurandique auctor extitit. Ergo oportebat, qui creatorem se providentemque humanae naturae utroque opere exhibuerat, hunc ei iudicem quoque dari. Etenim creationi comes atque implicita est providentia: providentiam consequitur iudicatio exploratioque earum rerum quibus providetur. Quare apte iusteque cui creatio renovatioque accepta fertur, ad eum iudicium quoque rei factae refertur. Deinde, si legislatoris officium est iudicare eos quibus secundum gratiam vivere mandatum fuit (genus intellige humanum); legislator autem novi foederis praecipuus filius est, etiamsi patris voluntas cum eo operatur, neque sancti spiritus societas deest, recte filius demandatarum rerum iudex constituitur. Insuper quia humana carne sibi circumdata, experimentum humanae naturae cepit, duplicique gestarum rerum notitia se imbuit. Sic fere divus Paulus clamat, misericordiam eius erga nos propitiationemque pro nobis commendans: quoniam in iis, quae ipse passus est, tentatus, opem ferre tentatis potest. Ne haec quidem inquam ratio a pia consideratione abhorret. Sed neque ea, quam addam, fortasse absurda cogitatu videbitur: nempe quia se filius ad tam ineffabilem inexplicabilemque humilitatem depressit, dum similem nostrae carnem sanguinemque adoptavit, idcirco universi orbis iudicium eidem traditur, quo ex illa humilitate tanta exaltetur, ac divinitatis eius dignitas depraedicetur. Praedictis denique causis haud sequiorem audi hanc: quandoquidem in universali resurrectione haud nudae animae sed corporibus suis copulatae resurgent, atque ita tribunali iudicaturo sistentur, atque hoc personae habitu sententiam iudicii refe-

ὑπέχουσιν, ἔδει πάντως αὐτῶν καὶ τὸν κριτὴν ἐς τοιαύτῃ μορφῇ προκαθέζεσθαι· A
ὡς ἂν καὶ τοῖς κρινομένοις εἴη δύνασθαι τὸν κρίνοντα ὁρᾷν· καὶ τὴν κρίσιν διὰ
τῶν ἐγνωσμένων αὐτοῖς ῥημάτων, καὶ προάγεσθαι, καὶ τὴν τῶν κριμάτων γνῶσιν
εἰς τὸ σαφέστατον ἀκοαῖς τε καὶ ταῖς διανοίαις ὑποδέχεσθαι· τὴν δέ γε μορφὴν
τὴν ἡμετέραν οὐδεμιᾷ τῶν ὑπερφυῶν ὑποστάσεων ἑτέρᾳ, ἀλλ' ἢ τῇ τοῦ υἱοῦ, πάντες
ἴσμεν ἐφαρμόττουσαν. B

QUAESTIO CCXXV.

Ὡς ἐν διαλέξει ἑλληνίζοντος καὶ χριστιανοῦ κεφάλαια, δι' ὧν κατασκευά-
ζεται ἡ τριάς. C

Ελ. Τοῦ χριστιανοῦ σε δόγματος προασπιστὴν εἰδὼς καὶ ὑπέρμαχον,
ἄλλως τε δὲ καὶ ἐπιεικείᾳ λαμπρυνόμενον, οὐκ ἂν εὐλαβηθείην λογισμοῖς ἐτά-
σεως ὑποβαλεῖν, εἴ γε καὶ αὐτὸς ἐπινεύοις, τοῦ παρ' ὑμῖν πρεσβευομένου λόγου D
τὴν διάνοιαν· ὁρῶ γὰρ ἐν αὐτῇ πολὺ μὲν τὸ ἀπίθανον· ἐπειδὰν δὲ τὸ πι-
θανὸν ὑποδύοιτο, οὐκ ἐλάττω δηλοῦσαν τὸν ἔλεγχον, καὶ καταστρέφουσαν ἃ κα-
τασκευάζειν προῄρητο. Χρ. Πῶς δὴ καὶ τίς σε λόγος ὧδε φρονεῖν καὶ λέγειν ἀνέ-
πεισεν; ὅτι μὲν γὰρ ἡ σὴ δόξα καὶ ἡμῖν καὶ τῇ ἀληθείᾳ οὐ μάχεται, οὐδὲν
δεῖ μαθεῖν· ὅτι δὲ τοῖς ἐν ἀχλύϊ δογμάτων κατεχομένοις ἡ τῆς εὐσεβείας οὐχ E
ὁρᾶται καθαρότης, οὐδὲ τοῦτο ἐργῶδες ἐννοεῖν· πλὴν ἀλλὰ λέγε, εἴ σε τῶν λό-
γων ἐπῆραν λέγειν, ὡς οἱ περὶ τῆς εὐσεβείας ἡμῶν λόγοι τὸ πιθανὸν μηχανώ-
μενοι, μᾶλλον πρὸς τὸ ἀπιθανόν τε καὶ ἀναπόδεικτον ἀποῤῥέουσιν. Ελ. Ἐρῶ τε

rent; prorsus oportuit illarum quoque iudicem in hac figura ius dicere; ita ut judicati homines iudicantem cernere possint; ut per cognita illis verba iudicium exerceatur, sententiaeque notitia ad praesentium aures mentesque clarissima deferatur. Porro figuram nostram nulli divinarum personarum, praeter quam filio, communem esse scimus.

Hominis ethnicarum partium studiosi cum christiano dialogus; seu capita quaedam quibus Trinitas adseritur.

Eth. Quum te christiani dogmatis protectorem noverim ac propugnatorem, nec non benignitate fulgentem, non verebor disquirendi gratia exponere, si quidem tu annuis, antiqui praecipuique apud vos sermonis sententiam: quam quidem ego valde incredibilem esse video; et si forte credibilis fiat, nihilo tamen minus contradicendi vim habere, atque id ipsum evertendi quod pridem nisa erat adstruere. Ch. Quaenam vero tibi ratio sic cogitare loquique suasit? Sane quod tua opinio neque nos neque veritatem oppugnet, nil opus est dicere: quod autem ii qui caliginosis dogmatibus obscurantur, religionis rectae lumen non videant, id quoque facile intelligitur. Fare age tamen quibusnam tu rationibus impulsus dicas, nostros de religione sermones, dum rem suadere student, eam potius incredibilem ac demonstratione carentem ostendere. Eth. Fabor igitur non novos neque nuperos sermones,

A τοίνυν οὐ νέους οὐ προσφάτους λόγους, ἀλλὰ παλαιοῖς ὑμῶν καὶ χριστιανοῖς πα-
τράσιν εἰρημένους· καὶ γὰρ οὗτοι υἱὸν καὶ πνεῦμα τῷ Θεῷ παρεισάγοντες (τοῦ-
το γάρ ἐστι τὸ ὑμέτερον τῶν χριστιανῶν καὶ δόγμα καὶ κήρυγμα) τοιαύτην τινὰ
πλοκὴν ἐν ἐρωτήσει διαπλέκουσιν· ὁ Θεὸς οὐκ ἂν ἐρεῖς ὡς ἄλογος· εἰ δὲ καὶ σὺ
φεύγεις τὸ βλάσφημον, λόγον ὡς ἔχει πάντως ἐρεῖς· εἰ δὲ μὴ δ' ἄπνους καὶ
B τῶν ἀναισθήτων τὴν φύσιν ὑποβαλλόμενος, ἔχει πάντως καὶ πνεῦμα· οὐκοῦν ἐν
τριάδι τὴν θεολογίαν ὁμολογεῖν δεῖ· τοιαῦτα δέ τινα καὶ ἄλλα σοφίσματα πα-
ραπλέκουσιν· οὐ τῶν ἐστερημένων ἐστὶ γονῆς ὁ Θεός· οὐκοῦν ἔστι τε γονῆς πατὴρ καὶ
γεγέννηκεν· ἀλλὰ καὶ χωρὶς οὐκ ἂν εἴη πνεύματος· τριὰς οὖν πάλιν ἐκ τούτων
ἂν εἴη ὁ Θεός· καὶ πολλὰ τοιαῦτα ἄλλα συναγείρειν τοῖς κατὰ τὴν ἰδέαν τῶν
C ὑπνούντων σχολάζουσιν, οὐκ ἂν εἴη χαλεπὸν ἀθροίζειν, καὶ θεραπεύειν ἑαυτοὺς
ἀλλ' οὐκ ἄλλους, τῇ πεπλανημένῃ περὶ ταῦτα θεωρίᾳ καὶ πειθοῖ τοὺς ἀνεξε-
τάστους παραδέχεσθαι τὸ ἀπίθανον. Χρ. τίς οὖν σε λόγος, μᾶλλον δὲ ποῖον
ἀπονοίας θράσος τοσαῦτα ληρῆσαι κατὰ τῆς εὐσεβείας παρεσκεύασεν; Ελ. οὐδὲν
εἴπας, ἀλλὰ τὰ σὰ τῆς ἐπιεικείας καὶ φιλανθρωπίας προπύλαια· καί μοι μη-
D δὲν ἀχθεσθῇς, καὶ οὐδὲν ὧν ἔδει μέν σε εἰδέναι ἐνὶ καιρῷ δὲ τὸ ἑπόμενον ἀπο-
κρύψομεν. Χρ. Λέγε προθύμως μηδὲν εὐλαβούμενος· τὰ γὰρ ἔνδον οὐδὲν εὑρή-
σεις τῶν προπυλαίων θρασύτερα· πλὴν εἰ μήπω καὶ αὐτὸς οὐδέπω τῆς ἐκ τῶν
λόγων ἀνάγκης συνεχόμενος, πρὸς ὕβριν τῆς εὐσεβείας τὴν γλῶτταν ὀξύνεις, καὶ
τὴν ὀφρὺν ἀνασπάσαις κατὰ τοὺς ἄφρονας. Ελ. Φαῦλον μὲν οἴκοθεν οὐδὲ ὑβρι-
E στικὸν οὐδὲν ἐρῶ· εἰ δὲ αἱ παρ' ὑμῶν ἀποδείξεις δοκοῦσαι ταῦτα φέρουσιν, οὐκ
ἐγὼ ταῦτα φέρω, ἀλλ' οἱ προκομίσαντες τῆς αἰτίας ἔνοχοι. Χρ. Λέγε τοίνυν, καὶ
τῆς ἀληθείας ἡ βάσανος οὐκ ἂν παρόψεται τὸ σφαλλόμενον. Ελ. Οὐκ ἄλλα γε
ἐρῶ, ἀλλὰ ταῦτα γε καὶ ἃ τοῦ λόγου καταρχόμενος ἔφην. Χρ. πῶς δή; Ελ. ἐρω-

sed a priscis admodum vestris patribus dictos. Isti enim dum filium atque spiritum Deo adiungunt (est enim hoc vestrum, o christiani, dogma et magisterium) has fere loquendi argutias interrogativa forma contexunt. Deum minime carere verbo mentis (λόγῳ) dices. Hanc tu si blasphemiam caves, profecto dices verbum mentis habere Deum. Item si Deus non est exanimis, neque insensibilium rerum natura praeditus, spiritum habeat necesse est. Ergo sermo de natura divina non absque trinitate celebrandus est. Alia quoque sophismata huiusmodi pergunt nectere. Non caret gignendi vi Deus; est ergo geniturae parens et genuit. Sed neque sine spiritu est; rursus igitur ex his conficitur in trinitate Deus. Multa huiusmodi alia hi qui ritu somniantium otiantur haud aegre colligent; sibique, non aliis, hoc fallaci ratiocinio blandientur; neminique hanc rem incredibilem, praeter quam inconsideratis, persuadebunt. Ch. Quae te nam ratio, immo vero quaenam audax insania ad hos effutiendos adversus religionem sermones impulit? Eth. Nihil dicis nisi benignitatis ac benivolentiae tuae primordia. Atqui si mihi non succenseres, nihil eorum quae te scire oporteret, quaeque simul consentanea sunt, reticerem. Ch. Loquere alacriter, nihil verens: neque enim asperiorem me deinceps quam initio invenies: ita tamen ut tu ipse, nisi sermonis necessitate coactus fueris, nequaquam ad convicium religioni faciendum linguam acuas, neque supercilium stultorum more contrahas. Eth. De penu mea nihil insanum contumeliosumque proferam. Quod si forte illae quae apud vos videntur demonstrationes, insanum aliquid prae se ferunt, non ego id adfero, sed illarum auctores culpam sustinent. Ch. Fare igitur; nam veritatis exploratio errorem sine dubio deprehendet. Eth. Non aliud dicam, praeter ea quae sermonis initio aiebam. Ch. Quaenam ea sunt?

τῶσιν οἱ χριστὸν εἰσάγοντες υἱὸν τοῦ Θεοῦ, πότερον ὁ Θεὸς ἔχει λόγον ἢ οὔ. Χρ. ἐρω- A
τῶσι μὲν, οὐκ οἶδα δὲ εἰ ὡς σὺ τὴν ἐρώτησιν μετασχηματίζεις· ἀλλὰ τέως ἔστω
τοῦτο νῦν, ἵνα μήπω πρὸ ἄλλης ἐξετάσεως ἄλλη βάσανος παραληφθεῖσα, τὴν
τοῦ σοῦ λόγου ἀκολουθίαν τε περικόψῃ, ϗ ἀσύνετον τὴν ὅλην ἀπεργάσηται διή-
γησιν· ἂν δέ γε ἐμὲ ἐρωτήσειας τί ἂν εἴποιμι, σὺ ἂν εἰδείης καὶ ἡ σὴ πρὸς
ἑτέραν δόξαν ἀπονεύουσα γνώμη. Ελ. ἐγὼ μὲν ὁσάκις ἂν ταῦτα προτεινομένην B
τὴν ἐρώτησιν ἀκούω, διαχέομαι μὲν τῷ μειδιάματι· διαπυνθάνομαι δὲ τὸν ἐρω-
τῶντα, πότερον ἡδέως ἀκούειν ἔχει μέρος τῆς ἀντιφάσεως· ἐμοὶ γὰρ ἑκάτερόν ἐστιν
εἰπεῖν οὐκ ἀηδές· ἄν τε γὰρ ὁ Θεὸς λόγον ἔχειν φαίην, ἀφεῖλον τὸν λόγον τοῦ
εἶναι Θεόν· οὐ γὰρ ἔχει λόγον ὁ λόγος, εἰ μὴ τοὺς ἕλληνας εἰς πολυμαθίαν
θεῶν παρακαλεῖν ἁμιλλᾶσθαι βούλεσθε· ἄν τε φῶ μὴ ἔχειν, ἐξ αὐτῆς βαλβί- C
δος ὑμῖν διέῤῥυη τὸ ἐρώτημα· ὑπὸ δὲ τὸν αὐτὸν ἀναχθείη ἂν ἔλεγχον καὶ τὸ
τοῦ πότερον, ἄγονος ὁ Θεὸς ἢ γεννητικός τε ϗ ἔμπνους, καὶ ὅσα ἄλλα τοιαῦτα
ὑμῖν ὡς ἐπὶ σκηνῆς δραματουργεῖται σοφίσματα· ταῦτα οὐχ ὕβρις ἐστὶν ἀλλ᾽ ἔλεγ-
χος, ϗ τὴν ἐπίνοιαν ἢ τὴν ἀλήθειαν ἐπεσκίαζε διασκεδάζει, ϗ ὑμῶν ἀφίησι πε-
ριορᾶσθαι τὸ κακούργημα. Χρ. εὖ γέ σοι πᾶς ὁ κατὰ τῆς εὐσεβείας ἰὸς πολ- D
λοῖς ἐνσαπεὶς χρόνοις ὀψὲ καὶ μόλις ἀπημέθη· ϗ ὄψει γε τοῦτον, εἰ βουληθείης
ἀνανήψας ἐφορᾶν, ὅσην εἶχεν ἰσχὺν καταλυμαίνεσθαι τὰ ἐντόσθια. Ελ. πῶς μήν;
Χρ. Οὐκ οἶμαί σε λαθεῖν, ὡς εἴρηται, προτείνεσθαι μὲν ταῦτα τοῖς εὐσεβέσιν,
οὐχ ὡς σὺ προέτεινας. Ελ. ἆρα γε, ϗ τίνα τρόπον ἄλλον; Χρ. οὐκοῦν οὐχ
ἅπερ ἐρωτῶσιν ἀλλ᾽ ἑτερά τινα. Ελ. ϗ πάλιν ἀφίεμαι δικαίας αἰτίας ϗ μεγάλης E
μέμψεως ἐκεῖνα ψέγων ἂν οὐδὲ σὺ τῆς προστασίας ὑπέρμαχος· τὸ γὰρ μεθεῖ-
ναί σε καθ᾽ ὧν τὴν αἰτίαν φέρω, ἑτέραν δὲ προκομίζειν, ὅσον ἔχει τοῖς προκομι-

Eth. Qui Christum suadent Dei esse filium, rogare solent utrum Deus verbum mentis habeat, nec ne? Ch. Rogant sane; haud scio tamen an eo modo quo tu interrogationem pervertis. Verum id interim ita esse sinamus, ne si una quaestione nondum instituta, aliam adgrediamur, sermonis tui ordinem pessum demus, atque universam obscuremus disputationem. Equidem si me rogares quid ipse dicerem, satis certum te facerem tuamque hanc quae in transversum rapitur mentem. Eth. Ego enimvero quotiescumque huiuscemodi interrogationem fieri audio, risu disrumpor. Poscimus autem ab interrogante, utram responsi partem audire malit: nam mihi quidem alterutram dicere non est iniucundum. Sive enim mentis verbum Deo inesse dicam, iam impedivi quominus verbum Deus sit: neque enim est verbum in verbo: nisi forte ethnicorum contentiones provocare vultis de multiplici natura deorum. Sin autem verbum inesse negavero, ilico concidit interrogatio. Sub eandem cadunt refutationem locutiones quoque iam dictae, utrum Deus sterilis sit an genitabilis? utrum ne spirans? et quaelibet alia tamquam in scenam producuntur a vobis sophismata. Hae inquam non contumeliae sunt sed refutationes: hae commentum veritati officiens dispellunt, vestramque malitiam perspicue revelant. Ch. Bene est quod universum contra religionem virus diuturno tempore putrefactum vix nunc tandem aliquando vomuisti. Et sane cognosces, si modo mente resipiscens considerare volueris, quam id corrumpendis tibi visceribus validum esset. Eth. Quid ita? Ch. Haud arbitror te ignorare, ut iam dixi, haec quidem a piis dici, non eo tamen quo tu ais modo. Eth. Quaeso igitur quonam alio? Ch. Veteres illi non ita profecto interrogant, sed alia ratione. Eth. Rursus ego iusta accusatione gravique reprehensione liberor, dum illa vitupero, quorum ne tu quidem patrocinium sumis. Nam quod tu ea praetermittis quae ego criminor, alia vero adfers, id quantum

A ζομένοις τὸ θαῤῥεῖν, τοσοῦτον τοῖς ὑφ᾽ ἡμῶν διαβαλλομένοις ἀπένειμας τὸ μὴ θαῤῥεῖν. Χρ. ἀλλὰ πῶς ἄν τις σε ἡδύτερον ἴδοι, ἢ καλὸν κἀγαθὸν ὀνομάσειε; πεσὼν γὰρ εἰς ἃ μὴ ἔδει, οὐκ εἴ τις χαίρεις ἀναστήσειεν, ἀλλὰ καὶ χάριν ὅτι μὴ κείμενον ἀφῆκεν ἀπαιτεῖς. Ελ. πῶς δὴ καὶ τίνα τρόπον; Χρ. ὅτι κατηγόρησας ἐκείνων ἃ μηδεὶς προτείνει· καὶ τῆς κατηγορίας ὁρῶν σεαυτὸν ὡς ἔοικεν ἐξωθούμε-
B νον, οὐ συγγνώμην οἷς ἥμαρτες αἰτεῖς, οὐδ᾽ ὅτι χάριν ὀφείλεις εἴ τις σε μεταστήσειε τῆς θράσους ἐννοεῖς, ἀλλ᾽ ὅτι καθ᾽ ἑτέρων ὡρμημένος διέβαλες ἕτερα, μέγα νομίζεις φρονεῖν· καί τοι τῆς ἀνοίας ταύτης τί ἂν εἴη χαλεπώτερον; Ελ. πρὸ τῶν ἐλέγχων οὐ δεῖ τὴν ὀφρῦν αἴρειν οὐδὲ φρονεῖν μέγα· ἐφ᾽ οἷς ἂν τοὺς ὑπέχοντας λόγον ἢ καὶ προβαλλομένους τίς ἐπιχλευάσειε; Χρ. καλῶς γε ἔφης·
C καί μοι τοῖς λογισμοῖς παρακολούθει· οὐ προτείνουσι τὴν ἐρώτησιν ὁ Θεὸς ἔχει λόγον. Ελ. καὶ πῶς ἄλλως; Χρ. ἆρα ἔστι τι θεῖον ὑπεριδρύμενον τῶν ὄντων δημιουργικόν τε καὶ ἐποπτικὸν ἢ οὔ; Ελ. οὐδὲν τοῦτο πρὸς τὸν ἐμὸν λόγον· οὐδὲ γὰρ ὅτι μὴ συνείρω τῇ θείᾳ φύσει τὰ προσόντα αὐτῇ, διὰ τοῦτο τοὺς σοφιστὰς συκοφαντεῖν δόξω. Χρ. οὐ τοῦτο λέγω· ἀλλὰ μικρὸν σεαυτὸν ὑπόθου τῇ ἀκροάσει·
D τοῦτο δὴ τὸ θεῖον (καὶ οὐκ ἐρῶ τοὺς ὕμνους) πότερον ΛΟΓΙΚΟΝ ἐρεῖς καὶ ΕΜΠΝΟΥΝ, ἢ ἄλογόν τε καὶ ἄπνουν; καί μοι θρασέως τε καὶ σπουδαίως ἀποκρίνου. Ελ. οὐχ ὁπότερον ἂν ἐρῶ βουλοίμην. Χρ. ἀλλ᾽ ὁ θάτερόν σε τῆς προτέρας ὕβρεως οὐκ ἀπάγει; ἄν τε γὰρ ἐρεῖς λογικὸν καὶ ἔμπνουν, οὔτε τὸν λόγον λόγον ἔχειν ἡμᾶς προσαναγκάσεις, οὔτε πνοὴν τὸ πνεῦμα· ἄν τε μὴν(a) ἐρεῖς
E ὅτι τὸ θεῖον ἐκεῖνο λόγου τε καὶ ζωαρχικῆς ἀμέτοχόν ἐστι πνοῆς, σεαυτὸν οὐκ ἄλλους εἰς τὴν ἐσχάτην ἀσέβειαν βυθίζεις· καὶ οὔτε σοι τὸ πολύθεον τῆς ἑλληνικῆς ἀθεότητος καθ᾽ ἡμῶν ἔχειν χώραν ἐναπορρίπτεις, οὔτε ὁ λόγος ἐκβάλ-

tibi adferenti auget virium, tantundem illis detrahit quos nos reprehendimus. Ch. Quis te iam benigno oculo aspiciat, aut hominem frugi appellet? Quum enim eo decideris quo non oportebat; siquis te adlevat, non laetaris: immo expostulas, quia non ubi iacebas, relictus sis. Eth. Qui fieri potest ut haec ita se habeant? Ch. Quia nimirum priscis patribus ea vitio vertisti, quae nemo umquam dixit. Nunc autem quum te sentias accusatione exclusum, peccati veniam non postulas; neque cogitas gratiam esse habendam siquis te ab hac temeritate revocet: immo quia dum unum impetis, aliud pro eo lacessis, idcirco tibi superbiendum esse putas: qua insania, quaenam gravior esse potest? Eth. Ante refutationem ne quaeso supercilium attollas neque magnos spiritus geras. Nam eos qui ratione nituntur, eamque prae se tendant, quis irridere ausit? Ch. Recte ais. Me igitur igitur ratiocinio tuo sequere. Aio nostros non interrogare utrum Deus verbum mentis habeat. Eth. Quid ergo aliud interrogant? Ch. Est ne Deus supra naturam omnem locatus, creator et inspector, nec ne? Eth. Nihil hoc ad rationem meam adtinet. Nam neque quia cum divina natura facultates eius non copulo, idcirco sophistas calumniari videbor. Ch. Non id aio. Sed fac animum ad audiendum diligentius adtendas. Hoc numen (mitto nunc laudationes eius) RATIONALE ne dicis et SPIRITALE, an irrationale et inanime? Audacter presseque responde. Eth. Utrum ex his dicam, nescio. Ch. Atqui alterutrum ex his a priore convicio nondum te abducit? Nam sive numen dicas rationale ac spiritale, iam nos non coges dicere in verbo verbum esse, neque in spiritu spiritum. Sin dicas numen illud ratione ac vitali spiritu esse expertem, te ipsum non alios in impietatis barathrum deiicis. Neque tibi superest ut ethnicae impietatis polytheismum nobis obiicias; neque iam verbum ne-

(a) Cod. μή.

λεῖται ἀλλ' οὐδὲ τὸ πνεῦμα τῆς θεότητος· ὁρᾷς ὅπως τὰ αὐτὰ μὴ ὡσαύτως A
προτεινόμενα πολὺν σάλον καὶ τάραχον τοῖς ἀπείρως ἔχουσι τῆς σοφῆς καὶ ἀδια-
βλήτου μεθόδου κατεπαιγίζουσι; τί δὴ σιγᾷς; εἰ μὲν γὰρ συνῆκας, οὐ δεῖ
τὴν σύνεσιν μαλακίζεσθαι· εἰ δὴ μὴ, πάλιν λέγειν τὰ δοκοῦντα ἐμποδὼν ἐστὶν
ὡς ὁρᾷς οὐδέν. Ελ. θαυμάζω πῶς ὁ αὐτὸς λόγος ἄλλως μὲν σχηματιζόμενος
πολλὰς γονὰς ἐδίδου λαβῆς· ὑπὸ δὲ σοῦ νυνὶ προαχθεὶς, ἀπηλλαγμένος πάν- B
των ἐκείνων ἐδείχθη περιφανῶς· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ δοκεῖ τὸ παρὰ
σοῦ κηρυττόμενον ἄγειν εἰς πειθώ. Χρ. οὐκ ἐπὶ τῆς εἰρημένης θέσεως ἐστὶν ὦ βέλ-
τιστε μόνης τοῦτο κατιδεῖν, ἀλλὰ καὶ ἐπ' ἄλλων πολλῶν τὸ σχῆμα τοῦ λόγου·
καὶ ἡ προσαγωγὴ κακουργουμένη μὲν, εἰς ἀπορίαν περιτρέπεται· κατευθὺ δὲ
προτεινομένη, τὸ οἰκεῖον διασώζει καὶ διαφυλάττει ἀξίωμα. Ελ. οἷον τί; Χρ. ἐῶ- C
μεν εἰ βούλει τὰ πόῤῥω· ἀλλ' ἐκεῖνο ῥητέον ὃ καὶ αὐτὸ μετὰ τῆς προειρημένης
ἀποδείξεως τῆς χλεύης γέγονε κοινωνόν. Ελ. τὸ ποῖον λέγεις. Χρ. οὐκ ἐρῶ, πά-
λιν ἄρα γε γόνιμος ὁ θεὸς ἢ οὔ· ἵνα μὴ τὸν γόνιμον ἀφελὼν τοῦ υἱοῦ συναφέ-
λῃς καὶ τὴν θεότητα· ἢ διδοὺς, πολυθείας ἡμῖν διαπλέξεις σειράν· ἀλλ' οὕτω
πως ἐροίμην ἄν· πότερον τὸ θεῖον (ἐῶ δὲ νῦν τοὺς ὕμνους οὓς ἡ μακαρία φύσις D
ἐκείνη βιάζεται λέγειν) ἀλλ' οὖν τὸ θεῖον πότερον ἐστὶ γεννητικὸν, ἢ τῆς δυνά-
μεως ἀφῄρηται ταύτης; τῆς δὲ διανοίας τοῦ ἁπλοῦ, ἀντὶ τοῦ ῥέπειν πρὸς τὴν ἐρη-
μίαν τῆς γεννήσεως, εἰς τὴν γέννησιν ἐπιστρεφομένης, ἔχομεν τὸν υἱὸν, οὔτε τῆς
θεότητος ἀλλοτριοῦντες, οὔτε γεννήσεως ἴδιον ἀνομολογοῦντες· ἐν ὅλῃ γὰρ ταῦ-
τα τῇ θεότητι, ἀλλ' οὐκ ἐφ' ἑκάστῃ τῶν ἐν αὐτῇ θεολογουμένων προσώπων. E

que item spiritus divinitate excluditur. Viden ut sententia eadem aliis verbis recitata, perturbationis nebulas et confusionis, his qui sollertis tutaeque methodi ignari sunt, offundat? Cur siles? Nam si rem intellexisti, non est intelligentia dissimulanda: si minus, nihil vetat, ut cernis, quin idem a me denuo dicatur. Eth. Miror quomodo idem sermo aliter figuratus multis generibus contradictionum patuerit; nunc autem a te prolatus, his omnibus manifeste careat. Neque id eatenus: nam quae tu dicis, persuadendi quoque vim habent. Ch. Non in praedicta solum, o bone, dictione cognoscere licet, sed etiam in aliis pluribus, hanc loquendi speciem. Propositio autem malitiose oblata, perplexitatem creat; recte exposita, suam incolumem dignitatem retinet. Eth. Ecquod habes rei exemplum? Ch. Omittamus, si vis, remota: illud dicamus, quod in supradicto sermone risui habitum fuit. Eth. Quale id est? Ch. Ego deinceps non interrogabo num Deus fecundus sit, nec ne; ne forte tu, cum gignendi vi, filium quoque eripias ac divinitatem: vel si concedas, polytheismo nos irretias. Sed propositionem sic conformabo: utrum ne numen (mitto nunc ceteros titulos, qui beatae illi naturae debentur) utrum ne, inquam, numen est generans, an hac facultate caret? Tunc enim simplicitatis cogitatione non ad generationis inopiam sed ad generationem reflexa, filium habemus: quem neque a divinitate submovemus, neque ad generandi proprietatem admittimus. Quippe illa propositio universam adficit divinitatem, non unamquamque divinitatis eiusdem personam.

A

QUAESTIO CCLX.

Πῶς εὐλογῆσαι τοὺς παῖδας ὁ Ἰακὼβ λέγεται ἐνίοις ἐπαρασάμενος. Gen. XLIX.

B

α. Οὔτε ἀραί εἰσιν οὔτε εὐλογίαι ἀλλὰ προῤῥήσεις οἱ τελευταῖοι τοῦ πατριάρχου λόγοι· συνάχθητε γάρ φησιν ἵνα ἀναγγείλω ὑμῖν τί ἀπαντήσεται ὑμῖν ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν· ἐμνήσθη δὲ καὶ τῶν παρ᾽ ἐνίων γεγενημένων, οὐκ ἐπειδὴ δίκας οἱ παῖδες εἰσεπράττοντο τῶν πατρικῶν ἁμαρτημάτων, ἀλλὰ σχημα-
C τίζων εἰς ἀρὰν καὶ εὐλογίαν τοὺς λόγους εἰς κοινὴν τῶν ἐντευξομένων ὠφέλειαν. Καὶ τῷ μὲν Ῥουβὶμ αὐθάδειαν ἐπιμέμφεται καὶ θρασύτητα καὶ τὴν εἰς πατρῴαν εὐνὴν παρανομίαν· οὐ δὴ ὀλίγους αὐτοῦ γεννῆσθαι τοὺς ἀπογόνους προλέγει· τοῦτο γὰρ δηλοῖ τὸ ὡς ὕδωρ μὴ ἐκζεσαις, ἀντὶ τοῦ μὴ ἐκθερμανθείης εἰς πολυγονίαν. Νεμεσᾷ δὲ καὶ τῷ Συμεὼν καὶ τῷ Λευὶ, τῶν Σικιμιτῶν τὸν ἄδικον ὄλε-
D θρον ὀδυρόμενος· καὶ εὔχεται μηδεμίαν κοινωνίαν εἰς τὴν παρανομίαν ἔχειν ἐκείνην· ἐπαρᾶται μέντοι οὐκ αὐτοῖς, ἀλλὰ τοῖς πονηροῖς αὐτῶν πάθεσι τῇ ὀργῇ τῇ μήνιδι· ἐπιθυμίαν δὲ τὴν ὀργὴν ἐκάλεσεν· ἐκ ταύτης γὰρ ἡ ὀργὴ τὴν ἐτυμολογίαν ἔχει· ὀρέγεται γὰρ ὁ ὀργιζόμενος ἀμύνασθαι τὸν ἐχθρόν· καὶ αὐτὴ δὲ ἡ τιμωρία πρόῤῥησις ἦν· διαμεριῶ γὰρ αὐτοὺς ἐν Ἰακὼβ, καὶ διασπερῶ αὐτοὺς
E ἐν Ἰσραήλ· ἀλλ᾽ ἡ τοῦ Λευὶ φυλὴ διὰ τὴν ἄκραν διεσπάρη τιμήν· ὥστε γὰρ ἑκάστῃ φυλῇ συνεῖναι λευΐτας καὶ ἱερέας καὶ τὴν παρ᾽ αὐτῶν ὠφέλειαν καρποῦσθαι, οὐκ ἔλαβον ἴδιον κλῆρον, ἀλλ᾽ ἐν ἑκάστῃ φυλῇ τινὲς αὐτοῖς ἀπενεμήθησαν πόλεις, Num. XXXV.
καὶ τῆς προαστείου γῆς ὡρισμένος πήχεων ἀριθμός· καὶ ἡ τοῦ Συμεὼν φυλὴ οὐκ 4.

Cur liberis suis benedixisse Iacobus dicatur, quum nonnullis certe maledixerit.

1. Neque dirae neque benedictiones, immo vero vaticinia sunt patriarchae sermones extremi. Adeste, inquit, ut certiores vos faciam quid cuique postremis temporibus eventurum sit. Tum facinorum quoque meminit, quae nonnulli patraverant: non quod patrum scelera vindicentur in filiis, sed quia diris ac benedictionibus orationem suam ob communem legentium utilitatem figurat. Iamvero Rubenio arrogantiam exprobrat et ferociam patrisque thalamum violatum: posterosque eius paucos futuros praedicit: id enim innuunt verba, instar aquae non ferveas, id est ad fecunditatem non incalescas. Irascitur quoque Simeoni atque Levino, Sicimitarum iniustam necem deplorans: deprecatur autem quominus ipsemet ullam sceleris eius societatem attingat: tum maledicit adfectibus eorum improbis iraeque vindici. Et quidem cupiditatis nomine excandescentiam appellat: illinc quippe ducitur vocabuli *excandescentia* ratio; ardet enim excandenscens inimicum ulciscendi cupiditate. Atque haec ipsa ultio vaticinium erat. Dividam quippe eos in Iacob, dispergam in Israel. Reapse tamen Levini tribus summi honoris gratia dispersa fuit: namque ut in singulis tribubus levitae essent ac sacerdotes, indidemque utilitatem perciperent, non est illis adsignata peculiaris possessio, sed in unaquaque tribu quaedam urbes attributae cum suburbani soli definito cubitorum numero. Tum ne Simeonis quidem

Jos. XIX. 9. εἶχε κλῆρον κεχωρισμένον, ἀλλὰ κατὰ τὴν τοῦ πατριάρχου πρόῤῥησιν μεταξὺ τῶν A
ἄλλων φυλῶν διεσπαρμένον.

β. Τοῦ δὲ Ἰούδα πολλοὺς ἐπαίνους διέξεισιν. “ Ἰούδα σὲ αἰνέσαισαν οἱ
„ ἀδελφοί σου· αἱ χεῖρες σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου· προσκυνήσουσί σοι οἱ
„ υἱοὶ τοῦ πατρός σου· σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ υἱέ μου ἀνέβης „.
ἀλλὰ τούτων οὐδὲν τῷ Ἰούδα ἁρμόττει, ἀλλὰ τῇ ἐκ τούτου βλαστησάσῃ φυλῇ· B
βασιλικὴ γὰρ ἦν αὕτη, πρώτου μὲν τοῦ Δαβὶδ βασιλεύσαντος, εἶτα τῶν ἐξ ἐ-
κείνου· καὶ πασῶν δὲ τῶν ἄλλων φυλῶν ἦν δυνατωτάτη· καὶ γὰρ ἡνίκα Δαβὶδ
I. paral. XXI. 5. ὁ βασιλεὺς ἀριθμηθῆναι προσέταξε τὸν λαὸν, τετρακοσίας χιλιάδας τοῦ Ἰούδα
Num. I. 27. εὗρε, τῶν δὲ ἄλλων φυλῶν ἐννακοσίας· καὶ μέν τοι κἀν τῇ ἐρήμῳ ἀριθμηθέντες,
πλείους ἐφθησαν τῶν ἄλλων φυλῶν· ἀλλὰ τὸ ἀκριβὲς τῆς προῤῥήσεως τὴν ἔκβα- C
σιν ἔλαβεν ἐπὶ τοῦ δεσπότου χριστοῦ, ὃς ἐκ βλαστοῦ Ἰούδα ἀνέτειλε κατὰ τὸν
Is. XI. 1. πατριάρχην Ἰακὼβ, καὶ κατὰ τὸν προφήτην Ἡσαΐαν· ἐξῆλθε ῥάβδος ἐκ τῆς ῥί-
ζης Ἰεσσαὶ· καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀνέβη· αὐτῷ δὲ καὶ τὸ ἀναπεσὼν ὡς λέων ἐκοι-
μήθη ἁρμόττει καὶ ὡς σκύμνος λέοντος· ὥσπερ γὰρ ὁ λέων καθεύδων ἐστὶ φοβερὸς,
οὕτως ὁ δεσποτικὸς θάνατος καὶ τῷ θανάτῳ καὶ τῷ διαβόλῳ γεγένηται· λέον- D
τα γὰρ αὐτὸν καὶ σκύμνον λέοντος κέκληκεν ὡς βασιλέα καὶ βασιλέως υἱὸν, καὶ
θεὸν καὶ θεοῦ υἱόν· καὶ κατὰ τὸ ἀνθρώπινον, ἐκ τοῦ Δαβὶδ γὰρ ἐβλάστησε· καὶ
ὡς θεὸς πρὸ τῶν αἰώνων ἐκ τοῦ πατρὸς ἐγεννήθη· καὶ τὸ τίς ἐγερεῖ αὐτὸν, τὴν
ἄφατον αὐτοῦ δείκνυσι δύναμιν· αὐτὸς γὰρ ἑαυτὸν ἀνέστησε κατὰ τὴν αὐτοῦ πρόῤῥη-
Joh. II. 19. σιν· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἑξῆς. E

γ. Προαγορεύει δὲ καὶ τῆς ἐπιφανείας αὐτοῦ τὸν καιρόν· οὐκ ἐκλείψει γὰρ
ἄρχων ἐξ Ἰούδα, καὶ ἑξῆς· σημεῖον γὰρ τοῦτο τῆς τοῦ κυρίου παρουσίας σαφέστατον·
ἐξέλιπον γὰρ τῶν Ἰουδαίων οὐχ οἱ βασιλεῖς μόνον ἀλλὰ καὶ οἱ ἀρχιερεῖς καὶ οἱ

tribus proprium agrum sortita est, sed ut patriarcha praedixerat, inter alias tribus dispersa.

2. Age vero Iudae plurimas laudes recitat. Iuda, laudent te fratres tui; manus tuae in cervicibus hostium tuorum; filii patris tui adorent te. Catulus leonis Iudas; ex germine fili mi ascendas. Atqui nihil horum Iudae congruit, sed ortae ex eo tribui, quae regalis evasit, Davide rege primo, deinde posteris eius. Haec omnium tribuum potentissima fuit: nam et cum rex David numerari populum iussit, quadringenta milia Iudaeorum reperit; ex aliis vero cunctim tribubus nongenta milia. Immo et in deserto quum census ageretur, plures Iudaei ceteris tribubus comperti sunt. Vaticinii tamen accurata ratio nacta est exitum in Christo domino, qui de Iudae germine emersit, prout Iacobus patriarcha et Isaias propheta adfirmaverant: exiit virga de radice Iessaei, flos de radice conscendit. Christo praeterea verba congruunt “ ut leo procumbens quievit, ut leonis catulus „. Nam sicuti leo cubans terribilis est, ita mors dominica morti ac diabolo terrori fuit. Leonem ipsum catulumque leonis appellat, nempe ut regem regisque filium, Deumque Dei filium. Etenim ut homo, Davide ortus est; ut Deus, ante saecula a patre genitus. Iam verba quis suscitabit eum, maximas eius vires demonstrant: ipse enim semet prout praedixerat exsuscitavit: solvite templum hoc; et reliqua.

3. Pergit tempus etiam praedicere, quo ille venturus erat: non deficiet princeps ex Iuda; et reliqua. Hoc enim indicium fuit Christi praesentis exploratissimum: namque apud Iudaeos defecerant non reges tantummodo sed etiam pontifi-

A προφῆται· τοῦ γὰρ σωτῆρος ἡμῶν μέλλοντος τίκτεσθαι, ἀλλόφυλοι αὐτῶν ἐκράτησαν βασιλεῖς, ἵνα ὁ αἰώνιος δειχθῇ βασιλεὺς ἡ τῶν ἐθνῶν προσδοκία· καὶ γὰρ καὶ τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ ὑπέσχετο ὁ Θεὸς ἐν τῷ σπέρματι αὐτῶν εὐλογήσειν πάντα τὰ ἔθνη τῆς γῆς· τοῦτο δὲ καὶ ἐνταῦθα παραδηλῶν ὁ Ἰακὼβ φησί· οὐκ ἐκλείψει ἄρχων, καὶ ἑξῆς· ἕως, καὶ αὐτὸς προσδοκία ἐθνῶν·
B καὶ Ἰουδαίων συστάντα λαόν· δεσμεύων πρὸς ἄμπελον τὴν ὄνον αὐτοῦ φησί· καὶ τῇ ἕλικι τῆς ἀμπέλου τὸν πῶλον τῆς ὄνου αὐτοῦ· ὅτι δὲ ἄμπελος ὁ Ἰσραὴλ ὠνομάζετο, πάντες μὲν οἱ προφῆται διδάσκουσι (1)· καὶ Δαβὶδ φησί· ἄμπελον ἐξ Αἰ- Ps. LXXIX. 9.
γύπτου μετῆρας· καὶ ὁ κύριος δὲ ἐν τοῖς εὐαγγελίοις· ἄνθρωπός τις ἐφύτευσεν Luc. XX. 9.
ἀμπελῶνα· πῶλον δὲ τὸν ἐξ ἐθνῶν ὀνομάζει λαόν, ὡς ἀδάμαστον ὄντα καὶ
C πωλοδάμνην οὐκ ἐσχηκότα (2)· τοῦτο γὰρ καὶ ὁ κύριος ἠνίξατο τοῖς ἀποστόλοις προ- Luc.
σταχὼς εἰς τὴν ἀπέναντι κώμην ἀπελθεῖν καὶ λῦσαι τὴν ὄνον τὴν δεδεμένην καὶ XIX. 30.
τὸν ταύτης πῶλον· ἐφ' ὃν φησὶ οὐδεὶς ἀνθρώπων ἐκάθισε· οὔτε γὰρ πατριάρχης, οὔτε νομοθέτης, οὔτε προφήτης (3), τῆς τῶν ἐθνῶν ἐφρόντισε σωτηρίας· οἱ δὲ θεῖοι ἀπόστολοι προσαχθέντες μαθητεῦσαι τὰ ἔθνη, ἔλυσαν μὲν τὴν ὄνον, τουτ-
D έστι τῶν ἀνθρώπων τὴν φύσιν τὴν δεδεμένην ταῖς τῆς ἁμαρτίας σειραῖς. ἔλυσαν δὲ καὶ τὸν πῶλον τὸν ἐκ ταύτης βεβλαστηκότα λαόν· καὶ ἐπιθέντες αὐτῷ τὰ ἱμάτια τὰ ἑαυτῶν, τουτέστι τὴν χάριν ἧς ἔτυχον (ὅσοι γὰρ εἰς χριστὸν ἐβαπτίσθη- Gal. III. 27.
σαν, χριστὸν ἐνεδύσαντο) εὐήνιον ἀπέφηναν τὸν ἀδάμαστον πῶλον, καὶ ἐπεκάθισαν αὐτῷ τὸν δεσπότην, καὶ προσέδησαν αὐτὸν τῇ ἀμπέλῳ, τουτέστιν ἑαυτοῖς· ἐξ
E Ἰουδαίων γὰρ οἱ ἀπόστολοι· οὐ μόνον δὲ τοῖς ἀποστόλοις συνήφθησαν οἱ πεπιστευκότες, ἀλλὰ καὶ τοῖς τῶν ἀποστόλων μαθηταῖς· καὶ τοῦτο προορῶν ὁ πατριάρχης ἔφη· δεσμεύων πρὸς ἄμπελον τὴν ὄνον αὐτοῦ, καὶ τῇ ἕλικι τῆς ἀμπέλου τὸν πῶλον τῆς ὄνου αὐτοῦ.

ces atque prophetae. Etenim servatoris nostri instante nativitate, alienigenae reges dominabantur, ut rex aeternus manifestaretur, gentium expectatio. Nam et Abrahamo et Isaaco et Iacobo promiserat Deus in semine eorum benedicturum se gentes terrae. Id ipsum hoc loco declarans Iacobus ait: non deficiet princeps; et reliqua, usque ad verba, et ipse erit expectatio gentium: populumque iudaicum constituet. Alligans, inquit viti asinam suam, vitis ramo pullum asinae suae. Quod quidem vitis nomine denotetur Israël, passim prophetae docent. Utique David ait: vineam ex Aegypto transtulisti. Tum Dominus in evangeliis: homo quidam vineam plantavit. Pullum dicit ethnicorum populum, utpote adhuc indocilem et domitore carentem. Hoc ipse Dominus innuit, cum mandavit discipulis ut in adversum castellum irent, vinctamque asinam solverent cum pullo eius, quem nemo adhuc, inquit, insederat. Nam neque patriarcha neque legislator neque propheta salutis ethnicorum curam gesserant. Divi autem apostoli erudire ethnicos iussi, solverunt asinam, id est hominum naturam peccatorum loris antea devinctam: solverunt et pullum, germinantem scilicet ex ea populum: impositisque ei vestimentis suis, id est, quam acceperant, gratia (nam quotquot in Christo baptizati sunt, Christum induerunt) docilem effecerunt eum, qui erat antea pullus indomitus; ipsique Dominum imposuerunt. Tum eumdem viti alligaverunt, id est sibimet ipsis: nam Iudaeis oriundi apostoli. Neque apostolis tantum, verum etiam horum discipulis devincti fideles sunt: id quod patriarcha praevidens ait, alligans viti asinam suam, ramoque vitis pullum asinae suae.

(1) Lege Euseb. in Luc. p. 166. sqq.
(2) Confer Apolinar. in Luc. p. 181.
(3) Excipe tamen certe Ionam ad ethnicos Ninivitas missum.

δ. Εἶτα καὶ τὸ πάθος προλέγει· πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵ- A
ματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ· χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου· καὶ
λευκοὶ οἱ ὀδόντες αὐτοῦ· καὶ τὸ μὲν σῶμα αὐτοῦ στολὴν ὀνομάζει· τὸ δὲ αἷμα,
οἶνον· ἐπειδὴ καὶ τὸν μυστικὸν οἶνον αἷμα κέκληκεν ὁ δεσπότης(1)· ἀκούομεν δὲ καὶ
Matth. XXVI. τοῦ εὐαγγελιστοῦ διδάσκοντος ὡς τοῦ στρατιώτου τῇ λόγχῃ νύξαντος αὐτοῦ τὴν πλευ-
28. ρὰν, ἐξῆλθεν αἷμα καὶ ὕδωρ· οὗτοι δὲ οἱ κρουνοὶ διὰ τοῦ σώματος κατεῤῥύη- B
Joh. XIX. 34. σαν· διὰ τοῦτο καί φησι· πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυ-
λῆς τὴν περιβολὴν αὐτοῦ· εἶτα δεικνὺς τὴν ἀπὸ τοῦ πάθους γενησομένην εὐφροσύ-
νην, χαροποιοί φησιν οἱ ὀφθαλμοὶ αὐτῶν ἀπὸ οἴνου· εὐφροσύνη γὰρ τῆς οἰκου-
μένης τὸ σωτήριον πάθος· ὅτι δὲ οὕτω τὸ πάθος ἐκάλεσε, μάρτυς αὐτὸς ὁ κύ-
Matth. XXVI. ριος λέγων· πάτερ εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ᾽ ἐμοῦ· οὕτω C
39. καὶ τοῖς υἱοῖς ἔφη Ζεβεδαίου, δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω πιεῖν;
Marc. X. 38. τὸ τοίνυν χαροποιὸν τῶν ὀφθαλμῶν, τὴν μετὰ τὸ πάθος εὐφροσύνην δηλοῖ· με-
τὰ γὰρ τὸ πάθος καὶ τὴν ἀνάστασιν, εἰς πᾶσαν ἀπεστάλησαν τὴν οἰκουμένην οἱ
μαθηταὶ τὴν σωτηρίαν προσφέροντες τοῖς πιστεύουσι· τῆς δέ γε διδασκαλίας τὸ
διειδὲς καὶ τὸ διαφανὲς λευκοτάτοις ὀδοῦσιν ἀπείκασε· λευκοὶ γάρ φησιν οἱ ὀδόν- D
τες αὐτοῦ ἢ γάλα· τοσαῦτα μὲν προείρηκεν ὁ πατριάρχης εὐλογῶν τὸν Ἰούδαν.

ε. Τοῦ δὲ Ζαβουλὼν προείρηκε τὴν παράλιον οἴκησιν· τοῦ δὲ Ἰσάχαρ τὴν
γεωργίαν· τοῦ δὲ Δὰν, κατὰ μέν τινας, τὰ ὑπὸ τοῦ Σαμψὼν γεγενημένα· ἐκ
ταύτης γὰρ ἦν τῆς φυλῆς· συνηρίθμηται δὲ καὶ τοῖς κριταῖς· καὶ διὰ τοῦτο φη-
σὶν ἔφη, Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαὸν ὡσεὶ καὶ μία (2) φυλὴ ἐν Ἰσραήλ· ἔνιοι δέ φα- E
Jos. XIX. 47. σι τὰ κατὰ τὴν Λάϊσσαν τὴν νῦν Πανεάδα καλουμένην προσαγορεῦσαι· ἐξαπίνης γὰρ

4. Exin passionem quoque praedicit: lavabit vino stolam suam, sanguine uvae pallium suum: hilares oculi eius a vino, candidi dentes. Corpus quidem eius stolae nomine indigitat, vini nomine sanguinem: nam consecratum quoque vinum sanguis est in servatoris sermone. Tum evangelistam docentem audimus, quod cum militis lancea latus eius effossum est, sanguis et aqua eruperit: quae scatebrae quum in corpus diffluerent, idcirco ait lavabit vino stolam suam, uvae sanguine pallium suum. Deinde ostendens exorturum passione gaudium, hilares, inquit, oculi eius a vino: nam laetitia orbis servatoris passio est. Quod autem hac figura passionem patriarcha designaverit, testis ipse Dominus dicens: pater, si fieri potest, transeat a me calix iste. Tum etiam Zebedaei filiis aiebat: potestis ne bibere calicem quem ego bibiturus sum? Ergo oculorum hilaritas consecutam e passione laetitiam denotat. Namque post passionem missi sunt in universum orbem discipuli salutem fidelibus allaturi. Iam ipsam doctrinae puritatem claritatemque candidissimis dentibus comparavit. Candidi, inquit, dentes eius prae lacte. Atque hactenus patriarcha Iudam commendavit.

5. Age vero Zabulonis maritimum incolatum praedixit; Isachari agricolandi studium; Danis denique, ut quidam autumant, quae Samsoni acciderunt. Ex hac enim is tribu fuit, idemque in iudicibus connumeratur. Quapropter dicitur: Dan iudicabit populum suum, instar unius tribus in Israel. Alii dicunt commemorari ea quae contigerunt Laissae nunc Paneadi dictae. Repente enim nonnulli ex

(1) Recole Photii quaestionem LXXIII.

(2) Ita habent LXX interpretes, quos sequitur Photius; neque ullam varietatem in reperi in holmesianis lectionibus, quae diu expectatae ad me denique his diebus ex Anglia venerunt. Textus tamen vulgatus habet *alia*, quia lectum fuit אחר pro אחד.

A τινὲς ἀπὸ ταύτης ὁρμώμενοι τῆς φυλῆς, ταύτῃ προσβαλόντες τῇ πόλει, εἷλόν τε κατὰ κράτος καὶ ᾤκισαν, καὶ τὴν οἰκείαν αὐτῇ προσηγορίαν ἐπέθεσαν. Δὰν γὰρ αὐτὴν ἐκάλεσαν· ἐγὼ δὲ οἶμαι τὸ θεῖον πνεῦμα ὥσπερ τὰ περὶ τοῦ σωτῆρος ἡμῶν, οὕτω καὶ περὶ τοῦ ἀντιχρίστου διὰ τοῦ πατριάρχου ἐκ ταύτης δηλοῦν (a) τῆς προῤῥήσεως· Δὰν γάρ φησι κρινεῖ τὸν ἑαυτοῦ λαὸν ὡσεὶ καὶ φυλὴ μία ἐν Ἰσραήλ·
B ὥσπερ γάρ φησι ἐκ τῆς τοῦ Ἰούδα φυλῆς ὁ σωτὴρ βλαστήσας διασώζει τὴν οἰκουμένην, οὕτως ἐκ τῆς τοῦ Δὰν φυλῆς ὄφις ὀλέθριος ἐξελεύσεται· τοῦτο γὰρ λέγει, καὶ γενηθήτω Δὰν ὄφις ἐφ' ὁδοῦ καθήμενος ἐπὶ τρίβου δάκνων πτέρναν ἵππου· καὶ πεσεῖται ὁ ἱππεὺς τὴν σωτηρίαν ἀναμένων κυρίου· ἐπειδὴ γὰρ ἀπάταις παντοδαπαῖς κεχρημένος πειρᾶται τοὺς φενακιζομένους ἀγρεύειν εἰς ὄλεθρον, ὄφει
C τινὶ αὐτὸν ἀπεικάζει παρά τινι τρίβῳ φωλεύοντι καὶ τοῖς παριοῦσι λυμαινομένῳ· ἵππον δὲ οἶμαι καλεῖν αὐτὸν τὸ σῶμα, ἐπιβάτην δὲ τὴν ψυχήν· τὸ δὲ εἰς τοὐπίσω πεσεῖν, τουτέστιν ὕπτιον κεῖσθαι τὸν θάνατον παραδηλοῖ· τοιοῦτο γὰρ τῶν τεθνεώτων τὸ σχῆμα (1)· διὰ δὲ τῆς πτέρνης τὴν ἀπάτην (2) ᾐνίξατο· ἐπειδὴ τοὺς μὲν ἐξαπατᾷ, τοῖς δὲ παγχαλέπους ἐπιφέρει κολάσεις· διὰ δὲ τοῦ ἵππου τὸ σῶ-
D μα ᾐνίξατο, οὗ δακνομένου καὶ διαφθειρομένου, θάνατος γίνεται, τοὺς τῆς ἐλπίδος τοῖς ὑπομένουσι κομίζων καρπούς· καρπὸς δὲ τῆς τοιαύτης ἐλπίδος ἡ σωτηρία.

ϛ. Προλέγει τῷ Γὰδ τὰς ἐσομένας αὐτῷ παρὰ τῶν λῃστρικῶν ἐφόδων ἐπιβουλάς· τοῦτο γὰρ λέγει πειρατήριον πειρατεύει αὐτόν· προαγορεύει δὲ καὶ τὴν ἐσο-
E μένην αὐτοῦ νίκην· καὶ αὐτὸς γάρ φησι πειρατεύσει αὐτὸν κατὰ πόδας· ὡσαύτως δὲ καὶ τῷ Ἀσὴρ τὴν σιτοφόρον χώραν· καὶ τῷ Νεφθαλεὶμ τὴν εἰς πλῆθος ἐπίδοσιν· τοῦτο γὰρ ἔφη στέλεχος ἀνειμένον ἐπιδιδοὺς ἐν τῷ γεννήματι κάλλος· εἶτα τοῦ

tribu oriundi urbem hanc adorti, vi captam ipsi incoluerunt, suumque ei nomen indiderunt, Dan scilicet vocitantes. Ego vero existimo divinum spiritum sicuti res servatoris nostri, ita res quoque antichristi hoc vaticinio patefacere. Dan scilicet, inquit, iudicabit populum suum, instar unius tribus in Israel. Sicuti de Iudae tribu servator pullulans mundum servabit, ita de Danis tribu exitiosus anguis exsiliet. Id enim verba innuunt, fiat Dan serpens in via, proiectus in semita, mordens equi calcaneum. Tum corruet eques, qui a Domino expectabit salutem. Quoniam antichristus omnimodis dolis utens illectos pertrahere nitetur in interitum, hunc colubro comparat iuxta semitam latitanti, viatoribusque exitium inferenti. Equum dici a patriarcha corpus censeo; equitem, animam. Quod autem retro decidit, id est supinus proiicitur, mors nimirum innuitur: hic est enim exanimatorum habitus. Calcaneo denique fraudem significat; quia videlicet antichristus alios decipiet, alios acerbissimis suppliciis cruciabit. Equo, ut dixi, corpus innuitur; quo laeso et corrupto, mors consequitur; quae tamen fortibus spei fructum adfert: huius vero spei fructus, salus.

6. Gado futuras a latronum incursionibus insidias ominatur. Id enim aiunt verba, direptio cum diripiet. Tum etiam victoriam spondet: ipse, inquit, mox diripiet illum. Asero similiter frugiferum agrum praedicit; Nephthalimo sobolis incrementum: sic enim intelliguntur verba, candex emissus, ex se gignens pulchritu-

(a) Cod. δηλῶν.

(1) Et sic mortuos pingunt Aegyptii in funebribus papyris.

(2) Spectat Photius et Evae anguem, et Iacobi ipsius nomen. Gen. III. 15. XXVIII. 36.

Ἰωσὴφ τὸν φθόνον, καὶ τὰς παντοδαπὰς ἐπιδείξας ἐπιβουλὰς, τὴν θείαν ὑμνεῖ A
κηδεμονίαν, δι' ἧς τοὺς πεπολεμηκότας ἐνίκησε· συνετρίβη γάρ φησι μετὰ κρά-
τους τὰ τόξα αὐτῶν, καὶ ἐξελύθη νεῦρα βραχιόνων χειρῶν αὐτῶν, διὰ χεῖρα δυ-
νάστου Ἰακώβ· ἐκεῖθεν ὁ κατισχύσας σε Ἰσραὴλ παρὰ θεοῦ τοῦ πατρός σου· καὶ
ἐβοήθησέ σοι ὁ θεὸς ὁ ἐμός· καὶ εὐλόγησέ σε εὐλογίαν οὐρανοῦ ἄνωθεν, καὶ εὐ-
λογίαν γῆς ἐχούσης πάντα· καὶ ἑξῆς· δι' ὧν ἁπάντων ὕμνησε τὸν οἰκεῖον θεόν· B
ὃς καὶ αὐτὸν κρείττονα τοῦ πεπολεμηκότος ἀπέφηνεν ἀδελφοῦ, καὶ τὸν υἱὸν ἄμα-
χον ἔδειξε παρὰ τοσούτων ἀδελφῶν ἐπιβουλευθέντα· ταύτης δέ φησι τῆς κηδε-
μονίας τετύχηκας, τῆς εἰς τοὺς γεγεννηκότας θεραπείας μισθὸν κομισάμενος· τοῦ-
το γὰρ λέγει ἕνεκεν εὐλογίας μαστῶν καὶ μήτρας, εὐλογίας πατρός σου καὶ μη-
τρός σου· γηροκόμος γὰρ τοῦ πατρὸς σπουδαῖος ἐγεγόνει· τὰ δὲ εἰς αὐτὸν γεγε- C
νημένα, κοινὰ αὐτοῦ τε καὶ τῆς μητρὸς εἶναι φησί· ταύτης γὰρ ἂν τῆς κηδεμονίας
κἀκείνη ἀπήλαυσεν εἰ μὴ θᾶττον ἐξῆλθε τοῦ βίου (a)· εἶτα ἐπεύχεται αὐτῷ περιφά-
νειαν, ὥστε γενέσθαι αὐτὸν παρὰ πᾶσιν ἐπίσημον· ὑπερισχύσας γάρ φησιν ὑπὲρ
εὐλογίας ὀρέων μονίμων καὶ ἐπιθυμίας θινῶν αἰωνίων· ἔσονται ἐπὶ κεφαλῆς Ἰωσὴφ,
καὶ ἐπὶ κορυφῆς ὧν ἡγήσατο ἀδελφῶν· τὸ δὲ θῖνας ὁ Ἀκύλας βουνοὺς ἡρμήνευ- D
σεν· ἐπειδὴ τοίνυν πόρρωθεν ὁρῶνται καὶ οἱ βουνοὶ καὶ τὰ ὄρη, τούτοις παρα-
πλησίως εὔχεται γνώριμον αὐτὸν γενέσθαι καὶ πάντων περιφανέστατον.

ζ. Τὸν δὲ Βενιαμὶν λύκον ἅρπαγα κέκληκε διὰ τὸ συμβεβηκὸς πάθος τῇ
τούτου φυλῇ· διὸ ἐπήγαγε, τὸ πρωϊνὸν ἔδεται καὶ εἰς τὸ ἑσπέρας διαδώσει τρο-
Iud. XX. XXI. φήν· ἐν γὰρ τῇ πρώτῃ καὶ δευτέρᾳ συμπλοκῇ νενικηκότες, ὕστερον ἄρδην ἀπώλον- E
το, πλὴν εὐαριθμήτων τινῶν ὀλίγων, οὓς οἱ νενικηκότες οἰκτείραντες, δοῦναι μὲν
αὐτοῖς γυναῖκας διὰ τὸν ὅρκον ὑπείδοντο, ἑτέρως δ' αὐτοῖς τὸν γάμον ἐμηχανή-
σαντο· εἰδέναι δὲ χρὴ ὥς τινες τήνδε τὴν πρόρρησιν εἰς τὸν θεσπέσιον Παῦλον

dinis germen. Deinde infensam Iosepho invidiam variasque pandens insidias, divinam celebrat providentiam, qua tectus adversarios suos superavit. Contriti sunt, inquit, arcus eorum; dilapsi sunt nervi brachiorum manuumque eorum; per manum potentis Iacob. Illinc qui te roborat Israel a Deo patris tui. Opitulatus est tibi Deus meus: benedixit tibi benedictione caeli desuper, terraeque benedictione omnia continentis; et reliqua. Quibus omnibus verbis Deum suum celebravit, qui se fratri adversario superiorem reddidit; filiumque pariter suum, contra quem tanta fratrum turba coniuraverat. Hanc, inquit, tutelam nactus es propter tuum erga parentes studium. Sic enim intelligas verba: propter benedictionem uberum et vulvae, benedictionem patris matrisque tuae. Is enim senis patris sollicitam curam gessit: quidquid autem patri fecit, id utrique parenti commune dicitur: namque et mater eandem curam fuisset experta, nisi citius vita excessisset. Deinde precatur ei praeclaram famam, atque ut apud omnes inclarescat: exsuperans, inquit, benedictiones montium immobilium, desideriumque clivorum aeternorum. Haec fient in capite Iosephi, in vertice quorum ipse dux est fratrum. Non θῖνας vocabulum Aquila sed βουνοὺς posuit. Sicuti ergo procul conspiciuntur seu colles seu montes, horum instar patriarcha optat conspicuum fieri Iosephum atque omnium illustrissimum.

7. Denique Beniaminum dixit lupum rapacem propter eam quae contigit huic tribui cladem. Idcirco adiecit: mane comedet, vespere cibum distribuet. Nam primo alteroque congressu superiores Beniamitae, ad extremum funditus deleti fuerunt, paucis admodum exceptis, quibus victores misericordia commoti feminas quidem in matrimonium ob sacramenti religionem non tradiderunt, aliter tamen eis nuptias con-

(a) Cod. prima manu τῶν βίων, secunda τὸν βίον; quod mihi utrumque emendandum videbatur.

A εἵλκυσαν (1)· λύκου γὰρ δίκην ἐλυμαίνετο τὴν ἐκκλησίαν κατὰ τοὺς οἴκους εἰσπορευόμενος, ὕστερον δὲ τὴν πνευματικὴν τροφὴν τῇ οἰκουμένῃ δίδωκε. Ταῦτα τοῦ Ἰακὼβ εἰρηκότος, καὶ τὴν οἰκείαν τελευτὴν μεμηνυκότος, ὁ συγγραφεὺς ἔφη· καὶ ἐξάρας τοὺς πόδας αὐτοῦ ἐπὶ τὴν κλίνην ἐξέλιπε, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ· τοῦτο δὲ καὶ πρὸς τὸν Ἀβραὰμ ὁ τῶν ὅλων ἔφη Θεός· σὺ δὲ ἀπελεύσῃ πρὸς Gen. XV. 15.
B τοὺς πατέρας σου ἐν εἰρήνῃ, τραφεὶς ἐν γήρει καλῷ· ἐντεῦθεν καὶ ὁ κύριος τὴν τῶν Marc. XII. 26.
Σαδδουκαίων ἀπιστίαν διήλεγξεν εἰρηκώς· ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ οὐκ ἀνέγνωτε, ἐγὼ ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ; οὐκ ἔστιν ὁ Θεὸς Θεὸς νεκρῶν ἀλλὰ ζώντων. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν (2).

C

QUAESTIO VI.

Τί δή ποτε Μωσῆς τῆς οὐρανῶν οὐ μέμνηται βασιλείας, καί τοι τοῦ σωτῆρος ἐν τοῖς εὐαγγελίοις λαμπρῶς εἰπόντος ἀπὸ καταβολῆς κόσμου τοῖς δικαίοις ταύτην ἑτοιμασθῆναι (3). Matth. XXV. 34.

D

α. Πολλὰ τῶν νοητῶν ὁ θεῖος Μωσῆς παρῆκε· καὶ ἡ βασιλεία δὲ τῶν οὐρανῶν κρείττονα καὶ τὴν ὕπαρξιν καὶ τὴν ἀπόλαυσιν ἢ κατ᾽ αἴσθησιν ἔχει· φησὶ γὰρ, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ I. Cor. II. 9.
E ἀνέβη· οὐδὲν οὖν θαυμαστὸν ἀσωμάτων δημιουργίαν δυνάμεων (4) μὴ ἐπεξελθόντα

ciliaverunt. Neque tamen nesciendum est, nonnullos hoc vaticinium ad divum Paulum traxisse: hic enim lupi ritu noxius ecclesiae fuit in domos irrumpens; postea vero spiritalem escam orbi distribuit. Postquam haec Iacobus dixisset, suumque obitum nunciavisset, pergit dicere historicus: collectis in lectulo pedibus, animam egit, et ad populum suum appositus est. Id ipsum Abrahamo quoque dixerat communis Deus: tu vero abibis ad patres tuos, bona senectute nutritus. Hinc etiam Dominus Sadducaeorum incredulitatem coarguebat dicens: quod autem mortui surrecturi sint, nonne legistis, ego Deus Abrahami et Isaaci et Iacobi? Non est Deus, mortuorum Deus, sed viventium. Ipsi gloria in saecula amen.

Cur Moses regni caelorum nullam mentionem fecerit, quamquam servator in evangeliis manifeste dicat, a constitutione mundi illud esse iustis paratum.

1. Multas Moses intellectuales res silentio pressit: regnum autem caelorum tum natura sua tum etiam gaudiorum praestantia sensus exsuperat. Id enim rei genus, ut ait scriptura, neque oculus vidit neque auris audivit neque in cor hominis ascendit. Nil ergo mirum est, si quum Dei aspectu dignus Moses incorporearum

(1) In his est Hieronymus ep. XXXVIII. 1, et quaest. in genes., nec non in opusculo quod eius nomen iactat de benedictionibus Iacob.

(2) Ex hac sollemni clausula ominor quaestionem hanc et alias quoque fortasse dictas a Photio fuisse ad populum in homiliis; quas deinde collectas ad Amphilochium miserit.

(3) Conspirat in hanc sententiam Hieronymus ep. CXXVIII. 5: *mihi in evangelio promittuntur regna caelorum, quae instrumentum vetus omnino non nominat.*

(4) Confer Photium in quaestione CII a Wolfio edita.

τὸν θεόπτην Μωσῆν διὰ τὴν παχύτητά τε καὶ ἀσθένειαν τῶν ἀκροατῶν, μὴ δὲ A
τῆς ὑπὲρ αἴσθησιν βασιλείας τῶν οὐρανῶν διήγησιν παραθέσθαι, κατ' αἴσθησιν μᾶλλον ἢ κατὰ θεωρίαν βιοῦντι λαῷ· τὸ γὰρ νομίζειν τινὰς τῷ κατὰ τὸν παράδεισον διηγήματι συμπεριλαβεῖν καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, ἥτις εἰς ταυτὸν ἔρχεται τῇ βασιλείᾳ τοῦ χριστοῦ, οὐκ ἂν ἀκριβὴς παραδέξοιτο λογισμός· ταπεινὸν γὰρ ἂν εἴη τοῦτο πολλῷ τῆς βασιλείας τῶν οὐρανῶν· ὄψει τε γὰρ ὁ παρά- B
δεισος καταληπτὸς ἐγεγόνει, καὶ πολίτας ἔσχε τοὺς πρωτογόνους· καὶ τὸ κάλλιστον μὲν τῶν περικοσμίων ἐστί, τῆς γῆς δ' ὅμως μέρος· καὶ φυτοῖς μὲν ὡραίοις κομᾷ, καὶ διαυγεστάτοις καταρδεύεται νάμασι, πλὴν οὐδὲν τούτων ὑψηλότερον ὄψεως, οὐδὲ τῶν ἀνθρωπίνων ἀνακεχώρηκε λογισμῶν, ὥσπερ ἡ βασιλεία τῶν οὐρανῶν· καὶ γῆς δὲ καὶ οὐρανοῦ οὐδ' ἔστιν εἰπεῖν ὅσον τὸ μέσον. C

Luc. XXIII. β. Εἰ δὲ διότι τοῦ γενναίου εἰπόντος λῃστοῦ, μνήσθητί μου κύριε ἐν τῇ βα-
42. σιλείᾳ σου, ὁ σωτὴρ αὐτῷ τὴν εἰς τὸν παράδεισον ὑπισχνεῖται, διὰ τοῦτο τὴν βασιλείαν τῶν οὐρανῶν τὴν τοῦ παραδείσου τίθεται λῆξιν (οὐ γὰρ ἄλλα μὲν αἰτεῖν τὸν λῃστήν, ἄλλα δὲ λαμβάνειν παρὰ τοῦ μεγαλοδώρου θεοῦ ἀκόλουθον εἶναι φαίη ἄν) ἐκεῖνο μᾶλλον σκοπείτω ὡς τί δή ποτε μὲν ἦν ἡ βασιλεία τῶν οὐρανῶν, D
ὅπερ ἐστὶν ἡ τοῦ χριστοῦ, οὐδαμῶς ὁ λῃστὴς συνεγνώκει· πόθεν γὰρ ἂν ἐξαιτεῖν προήχθη ἃ καὶ τοῦ λογίζεσθαι τὴν ἰσχὺν ἐνίκα, καὶ τὴν ἀνθρωπίνην διάνοιαν ὑπερβαίνει; οὐκοῦν τί ποτε μὲν ἦν ἡ βασιλεία τῶν οὐρανῶν ὁ λῃστὴς οὐδαμῶς συνεγνώκει, οὐδὲ πρὸς ὡρισμένον τι καὶ γνώριμον τὸν νοῦν ἀπευθύνων τὴν αἴτησιν ἐποιεῖτο· ἀλλὰ διὰ τοιαύτης αἰτήσεως ἀγαθῶν τινῶν μετασχεῖν καὶ μακαρίας ἀπο- E
λαύσεως ᾐτεῖτο· ἐπεὶ δὲ τῶν ἄλλων ἁπάντων καλῶν γνωριμώτερος αὐτῷ ὁ παράδεισος καθειστήκει (ἐκ γὰρ τῆς μωσαϊκῆς διδασκαλίας τῷ ἰουδαίων ἐπιγινωσκόμενος ἔθνει) οὐδὲ τὴν ἐκείνου διέφυγε γνῶσιν, διὰ τοῦτο τὸν παράδεισον ὁ δεσ-

virtutum creationem non narraverit propter audientium crassa ingenia et infirmitatem, idemmet ne caelorum quidem regnum apud populum sensibus magis quam intellectu utentem commemoraverit. Nam quod nonnulli arbitrantur Mosem in paradisi mentione regnum quoque caelorum conclusisse, quod est ipsum Christi regnum, hanc inquam opinionem accuratum ratiocinium non recipit. Ille enim valde regno caelorum inferior videbitur: siquidem paradisus sensibus erat comprehensibilis, incolasque primos parentes habuit: et mundanarum quidem rerum pulcherrima est, sed tamen terrae huius pars: et quamquam pulcris arboribus floret ac limpidissimis rigatur fluviis, nihilominus nihil visibili vi sublimius habet, neque humanum intellectum excedens, ut reapse est regnum caelorum. Quantopere demum terra caelo differat, verbis declarari non potest.

2. Quod si quia dicenti latroni bono, memento mei Domine in regno tuo, servator paradisum promisit, idcirco regnum caelorum idem esse putat aliquis quod paradisi sedes (neque enim consentaneum fuit aliud latronem petere, aliud a munifico Deo accipere); illud potius consideret, caelorum id est Christi regnum latroni incognitum fuisse. Qui autem fieri poterat, ut id sibi deposceret, quod ipsum ratiocinii acumen effugiebat, mentisque humanae vires excedebat? Igitur quidnam revera esset regnum caelorum latro omnino ignorabat; neque ad certum aliquid notumque sibi mentem intendens preces illas effudit; sed boni alicuius beataeque voluptatis compotem se fieri postulavit. Iam quia bonis ceteris notior ei paradisus erat (quum enim hic Mosis magisterio iudaicae genti exploratus esset, eius ne latronem quidem notitia latebat) idcirco paradisum illi Dominus spondet: neque aliud pro

A πότης αὐτῷ κατεγγυᾶται· καὶ οὐχ ἕτερα ἀνθ' ἑτέρων δωρεῖται, ἀλλ' ἃν τυχεῖν ὁ ἐξαιτούμενος ἐπεθύμει· ἐπεθύμει δὲ μνήμης τυχεῖν ἐν τῇ βασιλείᾳ χριστοῦ, ὅπερ ἐστὶν ἐν ἀγαθοῖς τε καὶ μακαρίοις γενέσθαι· καὶ λαμβάνει λοιπὸν τὴν ἐν παραδείσῳ διαγωγήν, ἣν οἱ τοῦ γένους ἡμῶν ἀρχηγέται μήπω τῆς ἐντολῆς ἐκπεσόντες διεκληροῦντο (1)· εἰ δέ τις τὸν παράδεισον αὐτῷ οἱονεί τινα προοιμιαζόμενα δῶ-
B ρα καὶ ἀρραβῶνα τῆς τῶν οὐρανῶν βασιλείας λέγοι δεδόσθαι, οὐκ ἀποτεύξεσθαι δὲ αὐτὸν οὐδὲ τῆς τῶν οὐρανῶν βασιλείας, τοῦτο δὴ τοῦτο οὐδὲν μὲν ὅλως μάχεται τῷ λόγῳ· μᾶλλον δὲ ἐν τῇ κοινῇ πάντων ἀναστάσει τε καὶ διακρίσει καὶ τῶν βεβιωμένων ἀνταποδόσει, εἰσόμεθα ἀκριβέστερον (2)· τὰ νῦν δὲ αὐτοῦ ἂν εἴη ἐξεπίστασθαι τοῦ κριτοῦ.

C γ. Ἀλλὰ γὰρ Μωσεῖ μὲν οὐκ ἦν ἀνάγκη οὐδὲ σκοπὸς ἀναπτύσσειν τὴν βασιλείαν τῶν οὐρανῶν· πολλὰ γὰρ ὥσπερ ἔφημεν τὴν κοσμογένειαν ἀναγράφων τῶν ὑπὲρ αἴσθησιν παρῆλθεν· εἰ δὲ τυπικῶς τις καὶ ἐν αἰνίγματι καὶ αὐτὴν τὴν τῶν οὐρανῶν βασιλείαν ὑποσημαίνειν ἐθέλοι λέγειν, ἐν τῷ εἰπεῖν ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, οὐδὲν πρὸς αὐτὸν διοισόμεθα (3)· οὐδὲ γὰρ οὐ-
D δὲ τοῦτό γε φαμὲν πόθεν ὡς ἠγνόει ταῦτά τε καὶ τὰ τοιαῦτα ὁ τηλικούτου καὶ τοσούτου θαύματος τῆς θεοπτίας ἠξιωμένος Μωσῆς· ἀλλ' ὅτι τοῖς πολλοῖς ἀνέκφορα διετήρει, καὶ τῆς μὲν συγκλύδου ἀκοῆς φειδὼ πολλὴν ἐποιεῖτο, τοῖς ὑψηλο-

alio largitur, sed id omnino quod petenti erat concupitum. Is vero cupiebat ut sui memoria haberetur in Christi regno, id est ut bonis atque beatis adnumeraretur. Reapse is deinde paradisi incolatu potitur, quem generis nostri auctores ante violatum praeceptum sortiti fuerant. Quod siquis paradisum latroni tamquam aliquod praeludium arrhabonemque regni caelorum datum dicat, neque eum praedicto regno cariturum; ista quidem opinio rationi minime repugnat: rem autem in communi omnium resurrectione ac iudicio actaeque vitae remuneratione, accuratius cognoscemus. Interim haec in iudicis mente latent.

3. Sed enim Mosi nulla necessitas scopusve aderat, cur caelorum regnum manifestaret. Porro multa, ut diximus, quae sensum excedebant, dum orbis initia scriberet, praetermisit. Iam siquis forte dicere velit, figurate nec sine aenigmate ipsum quoque regnum caelorum a Mose innui, dum ait " in principio fecit Deus „ caelum et terram „ huic nos nequaquam adversabimur. Neque enim ullo modo adfirmamus Mosem, qui tanto prodigio dignus fuit ut Deum ipsum conspexerit, rem talem tantique negotii ignoravisse: verum ea, quae multi ferre nondum poterant, reticebat, vulgique auribus ineruditis valde parcebat: interim dum semina aliquot in

(1) Paradisi intellectualis nomen a paradiso terrestri derivatum fuisse, nemo inficias it. Ceteroquin sanctarum ante Christum animarum quietas sedes a terrestri paradiso Adami distinguendas esse, satis docet scriptura cum ait Christum post obitum ad inferos descendisse. Quare et ad illa apud Lucam verba ad latronem recte monent sacri interpretes terrestrem paradisum non esse ibi intelligendum.

(2) De hac Graecorum quorumdam opinione iam alibi locuti sumus ad Apolin. frag. in Luc. p. 185. Et quidem contra Graecos suos copiose disputat Eustratius ab Allatio editus.

(3) Quaestionem hanc rursus tractat Photius in amphilochiana decima sexta, aliis quidem verbis, ceteroquin iisdem saepe argumentis utens; quam rem nunciatam Roma Neapolim ante hos annos fuisse video cl. Andresia prodrom. anecd. gr. p. 85. Sed tamen ad hunc locum Photius in decima sexta aliter iudicare videtur. Huic enim opinioni nonnullorum propositae sic contradicit: ἀλλὰ τοῦτο μὲν οὐκ ἂν ῥᾳδίως ἀγαπήσῃ ἡ ἀλήθεια, ἔτι τε λίαν ἐκβιβάζεται, καὶ ὅτι εἰπὼν οὐρανὸν ποιῆσαι, περὶ τῆς τῶν οὐρανῶν βασιλείας τοὺς Ἰουδαίους οὐδὲν ἧττον ὠφέλησεν ἢ εἰ παντελῶς ἀπεσιώπησε· καὶ πολλὰ ἄλλα πρὸς ταύτην τὴν ὑπόληψιν ὑπεναντιοῦται.

τέροις δὲ καὶ τελειοτέροις σπέρματα καταβάλλων, τῶν ὑψηλοτέρων τε καὶ θαυμα- A
σιωτέρων ἴσως διετέλει θεωρημάτων· καὶ γάρ φασι διὰ τοῦτο τὴν μὲν τοῦ αἰσθη-
τοῦ κόσμου δημιουργίαν εἰπὼν, λεπτουργεῖ τε καὶ ἐπεξέρχεται καὶ ἃ συμπληροῦσι
τοῦτον· τὴν δὲ γένεσιν ἀναγραψάμενος τοῦ οὐρανοῦ, ὅσα μὲν αὐτοῦ πρὸς τὸν πε-
ρίγειον κόσμον ἀφορᾷ, καὶ ταῦτα παραπλησίως διεξῆλθεν, ἡλίου καὶ σελήνης, καὶ
τῶν ἀστέρων κυριότητά τε διαλαβὼν καὶ φύσιν· τὰ δὲ τῆς περιγείου ἀπονεύοντα B
διακοσμήσεως, καὶ ὅσα τῆς ἀνωτέρω λήξεώς ἐστι, οὐχ ὁμοίως διείλαβεν· εἰ δὲ
τοῦτο, πολλῷ μᾶλλον οὐδ' ὅσα ὑπεραναβέβηκε τούτων· καταλιμπάνει δὲ τὴν
τούτων σαφῆ καὶ διευκρινημένην διήγησιν τῷ πλάστῃ καὶ δεσπότῃ πάντων Χριστῷ
τῷ Θεῷ ἡμῶν, ὃς ἐπιδημήσας ἡμῖν τοῖς ἐν γῇ, καὶ τὰ οὐράνια καὶ θεῖα παραδι-
δοὺς μαθήματά τε καὶ μυστήρια, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν ἐξηγήσατο· ἐπεὶ C
καὶ τὰ ἄλλα, νομοθεσίαι τε καὶ εὐαγγελίαι ἀραί τε καὶ εὐλογίαι, τὸ σωματικώτε-
ρον ἔχουσαι, πανταχοῦ τῷ Μωσεῖ παραλαμβάνονται· ὁ δὲ κοινὸς τοῦ γένους σω-
τὴρ ὅλον τὸν ἄνθρωπον ἀπαλλάξαι τῆς πλάνης προθέμενος, τὰ ἐπουράνια καὶ
θεῖα ἡμῖν τοῖς πειθομένοις ἐπηγγείλατο ἀγαθά· ὥσπερ καὶ τοῖς ἀπειθοῦσιν ὑπέ-
δειξεν, ὡς ὑποδέξεται αὐτοὺς οὐ τὰ πρόσκαιρά τε καὶ χρόνῳ καταμαραινόμενα D
λυπηρά, ἀλλ' ὅσα δι' αἰῶνος ἀπεράντου παρατεινομένην ἔχουσι τὴν πεῖραν τῶν
ἀλγεινῶν.

δ. Εἰ δὴ καὶ ἀγωνιστήριον ἦν ὁ παράδεισος, ἐν αὐτῷ γὰρ τὸ γυμνάσιον τῷ
πρωτοπλάστῳ προτέθειτο, πῶς ἂν εἴη τῷ αὐτῷ καὶ βραβεῖον καὶ στάδιον; οὐκοῦν ὁ
παράδεισος προοίμιον μὲν τῆς βασιλείας τῶν οὐρανῶν, οὐ βασιλεία δέ· καὶ μα- E
κάριον μὲν καὶ πολυέραστον ἐνδιαιτηθῆναι τῷ χωρίῳ, μακαριώτερον δὲ καὶ ἐρασμιώ-
τερον τὸ εἰς τὰς οὐρανίας ἐκεῖθεν παραπεμφθῆναι σκηνάς· καὶ τὸ ἀρχηγὸν δὲ φῶς,
ὅπερ ἀναχεόμενον πρὸ τῆς τοῦ ἡλίου δημιουργίας, τὴν ἡμέραν ἐποίει, βασιλείαν

sublimiores perfectioresque mentes immittebat, easque altioribus ac mirabilioribus contemplationibus fortasse initiabat. Propterea, aiunt, dum sensibilis mundi creationem scribit, singillatim omnia persequitur, quae ad eam rem pertinent: verumtamen cum caeli genesim narrat, quaecumque caelestia ad terrestrem mundum referuntur, ea pariter accurato sermone digerit, solis inquam et lunae stellarumque dominatum atque naturam. Quae autem a terrestri fabrica ornamentove recedunt, quaeque proprie ad supernam stationem pertinent, haec haud aeque disserit. Quod si in his ita se gessit, multo magis in illis quae praedictis excelsiora sunt. Horum, inquam, sublimiorum perspicuam accuratamque enarrationem creatori dominoque omnium Christo Deo nostro reliquit: qui nobiscum terrae incolis diversatus, et caelestes doctrinas ac divina mysteria impertiens, regnum quoque caelorum nos edocuit. Quamobrem aliae quoque leges et promissiones et minae ac benedictiones, quae corporeum quid sapiebant, ad Mosis partes semper pertinent: verum communis servator generis, qui sibi officium sumpsit omni errore hominem liberandi, caelestia nobis credentibus ac divina bona nunciavit: sicuti etiam non credentibus demonstravit, fore ut illos haud temporalis vel aliquando cessatura poena excipiat, sed quae sensum potius doloris in infinitum aevum extendat.

4. Quod si praeterea paradisus certaminum praemium est: illic enim primo homini propositum virtutis exercitium fuit; qui fieri potest ut idem homini locus palma esset et stadium? Sequitur ergo ut paradisus praeludium quidem regni caelorum fuerit, non tamen ipsum regnum. Et in eo quidem versari loco beatum ac desiderabile est; multo tamen beatius atque optabilius est ad caelestes sedes illinc emitti. Et quidem lux illa primigenia, cuius effusio, ante solem conditum, diem efficiebat, exemplo nobis est, ut

A οὐρανῶν ὑψηλοτέραν τε καὶ θειοτέραν καὶ ὡς ἀληθῶς οὐράνιον λῆξιν ἡμᾶς ἐννοεῖν, ἢ τὸν παράδεισον, ἀπευθύνει· ἐν ᾗ τοῖς ἀξιωθησομένοις ἐνδιαιτᾶσθαι τὴν χρείαν ἀποπληρώσει· καὶ εἴη ἂν εἰκότι λόγῳ ἀναλογίαν διασώζειν τὸ οὐράνιον σῶμα πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν, ἣν συνδιασώζει πρὸς αὐτὴν ἡ γῆ· ἐκείνη τε γὰρ πρὸς τὸ ὁρώμενον οὐράνιον κῦτος τάξιν ἐδάφους ἐπέχουσα φαίνεται· αὐτός τε πάλιν ἐδά-
B φους ἀναπληρώσει χώραν τοῖς ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ τὴν δίαιταν ἀξιωθεῖσι λαχεῖν· οὐδὲν οὖν ὅλως ἐστὶν ἀπορεῖν τοῦ λοιποῦ, πῶς τοῦ δεσπότου χριστοῦ κατὰ τὴν αὐτοῦ σωτήριον παρουσίαν οὐράνιον ἡμῖν καὶ διδάσκοντος καὶ ἐπαγγειλαμένου βασιλείαν, ὁ θεράπων αὐτοῦ Μωσῆς ἢ οὐδ᾽ ὅλως ἢ ὡς ἐν αἰνίγματι ταύτης ἐμνήσθη· οὐδὲ πότερον ταυτόν ἐστιν ἢ ἕτερον ὁ παράδεισος καὶ ἡ βασιλεία τῶν οὐρανῶν (*).

intelligamus regnum caelorum vere esse caeleste habitaculum, multoque excelsius diviniusque, quam paradisus: in quo quidem caelesti habitaculo, hi qui eo digni fuerint, voti omnis compotes fient. Prorsus videtur iusta ratione caeleste firmamentum eam analogiam erga regnum caelorum tueri, quam erga ipsum firmamentum tellus: haec enim caelesti, quem suspicimus, fornici vicem pavimenti praestare videtur. Rursus ipse caelestis fornex pavimenti instar erit iis qui caelorum regnum incolendi digni erunt. Ergo deinceps non erit ambigendum, curnam Christus, quo tempore inter homines salutariter versatus est, caeleste nobis promiserit nunciaveritque regnum; eius vero famulus Moses vel nullo modo vel certe non sine aenigmate regni eiusdem mentionem fecerit. Neque denique est dubitandum, utrum idem sit an quid diversum, paradisus et regnum caelorum.

(*) Hactenus amphilochianas Photii quaestiones libera ratione delectas edere mihi placuit: reliquas alii volumini destinavi.

Iuvat nunc Photii eiusdem responsa quinque canonica, de disciplina nempe ecclesiastica et de re morali, subtexere; quae ex alio vaticanae bibliothecae codice exscripsi, meaque interpretatione, non secus atque amphilochianas quaestiones, donavi. Responsorum canonicorum ab episcopis graecis editorum libros aliquot habes apud Leunclavium in iure graec. rom.; itemque apud Beveregium in pandectis: neque tamen ibidem photiana haec cursim mihi quaerenti occurrebant, quae nunc illis commode adiungo. Et sane ius graecum canonicum atque ethicum dignum est, quod nostri quoque theologi sacrive iuris consulti libenter ediscant, eoque saepius utantur, cum de re morali aut canonica deliberaturi vel scripturi sunt.

PHOTII A

RESPONSA CANONICA.

ΤΩΙ ΘΕΟΦΙΛΕΣΤΑΤΩΙ ΟΣΙΩΤΑΤΩΙ ΣΥΛΛΕΙΤΟΥΡΓΩΙ ΛΕΟΝΤΙ ΑΡΧΙΕΠΙΣΚΟΠΩΙ ΚΑΛΑΒΡΙΑΣ ΦΩΤΙΟΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΟΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ. B

Τὰ παρὰ τῆς ὑμῶν θεοφιλείας πρὸς ἡμᾶς ἀναπεμφθέντα κεφάλαια τοῖς θεοφιλεστάτοις ἡμῶν ἐπιδοθέντα μητροπολίταις (1) καὶ παρ᾽ αὐτῶν δοκιμασθέντα τε καὶ βασανισθέντα, τοιαύτης ἔτυχε κρίσεώς τε καὶ ἐπιλύσεως. C

ΚΕΦΑΛΑΙΟΝ Α.

(1) III. Reg. XX. 16. dicuntur λβ. (2) In hac et sequentibus dynastiis saepe desiderantur graeci accentus.

A	α. Ἀρχέλαος υἱὸς Ἡρώδου	ἔτ. θ	1. Archelaus Herodis filius	an. 9
	β. Ἡρώδης ὁ τετράρχης ἀδελφὸς Ἀρχελάου	ἔτ. κϛ	2. Herodes tetrarcha frater Archelai	an. 26.
	γ. Ἀγρίππας ὁ μέγας	ἔτ. δ	3. Agrippa magnus	an. 4.
	δ. Ἀγρίππας ὁ μικρὸς	ἔτ. κε	4. Agrippa minor	an. 25.

B Μέχρι τούτου ἡ τῆς Ἰουδαίας βασιλεία ἐκρατήθη· ὁμοῦ ἔτ. ϙε΄ ͵εφο.

Usque ad hunc perseveravit Iudaeae regnum annis LXXXXV, nempe usque ad mundi annum VMDLXX.

Κϛ. ΠΑΛΙΝ ΠΕΡΣΩΝ ΒΑΣΙΛΕΙΑ.

XXVI. PERSARUM DENUO REGNUM.

C Ἤγουν Μαγουσαίων, ἥτις ἤκμασεν μετὰ Χριστὸν, ἀπὸ ἔτους α Ἀλεξάνδρου τοῦ Μαμίᾳ, ͵εψλγ ἔτ. τοῦ κόσμου.

Magusaeorum dynastia, quae post Christum floruit, coepitque anno I Alexandri Mamaeae, mundi VMDCCXXXIII.

	α. Ἀρτάξαρις	ἔτ. ιε	1. Artaxaris	an. 15.
D	β. Μαγούσης	ἔτ. λα	2. Maguses	an. 31.
	γ. Ὁρμίσδας	ἔτος α	3. Ormisdas	an. 1.
	δ. Οὐαραράνης	ἔτ. γ	4. Vararanes	an. 3.
	ε. Οὐαραράνης	ἔτ. ζ	5. Vararanes	an. 7.
	ϛ. Οὐαραράνης	ἔτος α	6. Vararanes	an. 1.
E	ζ. Ναρσῆς	ἔτ. ιη	7. Narses	an. 18.
	η. Ὁρμισδάτης	ἔτ. ϛ	8. Ormisdates	an. 6.
	θ. Σαβὼρ	ἔτ. ζ	9. Sapores	an. 7.
	ι. Ἀρταξὴς	ἔτ. δ	10. Artaxes	an. 4.
	ια. Σαβὼρ υἱὸς αὐτοῦ	ἔτ. ε	11. Sapores filius eius	an. 5.
F	ιβ. Οὐαραράνης	ἔτ. ια	12. Vararanes	an. 11.
	ιγ. Ἰσδηγέρδης	ἔτ. κα	13. Isdegerdes	an. 21.
	ιδ. Οὐαραράνης ἄλλος	ἔτ. κ	14. Vararanes alius	an. 20.
	ιε. Ἰσδηγέρδης ἄλλος	ἔτ. ιζ	15. Isdegerdes alius	an. 17.
	ιϛ. Περώζης	ἔτ. κδ	16. Perozes	an. 24.
G	ιζ. Οὐάλας	ἔτ. δ	17. Valas	an. 4.
	ιη. Κωάδης	ἔτ. ια	18. Coades	an. 11.
	ιθ. Ζαμάσφης Περώζου παῖς	ἔτ. δ	19. Zamasphes Perozis filius	an. 4.
	κ. Κωάδης πάλιν	ἔτ. λ	20. Coades iterum	an. 30.
	α. Χοσδρόης υἱὸς Κωάδου	ἔτ. μη	21. Cosdroes Coadis filius	an. 48.
H	κβ. Ὁρμίσδας	ἔτ. ιε	22. Ormisdas	an. 15.
	κγ. Χοσδρόης ὁ μέγας	ἔτ. λθ	23. Cosdroes magnus	an. 39.
	κδ. Σιρόης σὺν Ἀρταξὶ υἱῷ αὐτοῦ	ἔτος α	24. Siroes cum Artaxe filio	an. 1.
	κε. Σάρβαρος	ἔτ. α	25. Sarbarus	an. 1.
	κϛ. Βοράνη θυγάτηρ Χοσδρόου	ἔτ. α	26. Borane filia Chosdrois	an. 1.

I Ἡ τῶν Περσῶν βασιλεία εἰς Σαρακηνοὺς μετενήνεκται· ͵ϛρλα ἔτ. τοῦ κόσμου· καὶ τρισκαιδεκάτῳ ἔτει Ἡρακλείου ἦρξεν ἡ δυναστεία τῶν Σαρακηνῶν.

Persarum regnum ad Saracenos translatum est anno mundi VIMCXXXI. Heraclii tertiodecimo anno coepit Saracenorum dynastia.

K ΚΖ. ΣΑΡΑΚΗΝΩΝ ΒΑΣΙΛΕΙΣ

XXVII. SARACENORUM REGES

Ὧν πρῶτος — Quorum primus

	Μουάμεθ	ἔτ. θ	Muamethus	an. 9.
	Ἀβουβάχαρος	ἔτ. γ	Abubacharus	an. 3.
L	Οὔμαρ	ἔτ. ιβ	Umarus	an. 12.
	Οὔθμαν	ἔτ. ι	Uthmanus	an. 10.
	ἀναρχία καὶ πόλεμος	ἔτ. δ	anarchia et bellum	an. 4.
	Μαβίας	ἔτ. ιθ	Mavias	an. 19.
	Ἤζιτ	ἔτ. γ	Hezitus	an. 3.
	Μαρουα	ἔτ. α	Marua	an. 1.
M	Ἀβδέμελεχ	ἔτ. κα	Abdemelechus	an. 21.

A	Ιουλιτ ετ. ι	Iulitus an. 10.
	Σουλεϊμαν ετ. γ	Sulimanus an. 3.
	Οὔμαρ ετ. β	Umarus an. 2.
	Ἴζιθ ετ. γ	Izithus an. 3.
	Ἴσαν ετ. ιθ	Isanus an. 19.
B	Οὔλιτ ετ. α	Ulitus an. 1.
	Ἰζιτελιψός ετ. α	Izitolipsus an. 1.
	Μαρουα ετ. ϛ	Marua an. 6.
	Ἀβουλαβας ετ. δ	Abulabas an. 4.
	Ἀβουγιάφαρ ετ. κα	Abugiapharus an. 21.
C	Μααδι υἱὸς αὐτοῦ ετ. ι	Maadius filius eius an. 10.
	Μουσι υἱὸς αὐτοῦ ετ. α	Musis filius eius an. 1.
	Ἀαρὼν ὁ ἀδελφὸς αὐτοῦ ετ. κ	Aaron frater eius an. 20.
	ἀναρχία καὶ πόλεμος εἰς τοὺς υἱοὺς αὐτῶν ετ. ζ	anarchia et bellum contra filios praedictorum an. 7.
D	μέχρι τῆς ἐνεστώσης ἐπινεμήσεως ετ. ια	usque ad praesentem distributionem an. 11.
	Κόψει ὁ Θεὸς νῦν τὰ ἔτη τῆς δυναστείας αὐτῶν, καὶ ὑψώσει κατ' αὐτῶν τὸ κέρας τῆς τῶν χριστιανῶν βασιλείας.	Utinam praecidat Deus dynastarum horum annos, atque extollat contra eos cornu regum christianorum !

E ## Χρονογραφεῖον συσταὲν ἐκ τῶν πονημάτων τοῦ ἁγίου Ἐπιφανίου ἀρχιεπισκόπου πόλεως Κωνσταντίας τῆς Κύπρου.
F

Chronicon breve ex operibus s. Epiphanii archiepiscopi urbis Constantiae Cypri.

	Ἀδάμ ετ. σλ. ἔζησεν τὰ ὅλα ἔτη ϡλ.	Adamus an. 230; vixit an. 930.
	Σὴθ ετ. σε ἔζησεν ετ. ϡιβ.	Sethus an. 205; vixit an. 912.
	Ἐνὼς ετ. ρϙ ἔζησεν ετ. ϡε.	Enosus an. 190; vixit an. 905.
G	Καϊνᾶν ετ. ρο. ἔζησεν ετ. ϡι.	Cainanus an. 170; vixit an. 910.
	Μαλελεὴλ ετ. ρξε. ἔζησεν ετ. ωϙε.	Malaleel an. 165; vixit an. 895.
	Ἰάρεθ ετ. ρξβ. ἔζησεν ετ. ϡξβ.	Iarethus an. 162; vixit an. 962.
	Ἐνώχ ετ. ρξε. μετετέθη ἐτῶν τξε.	Enochus an. 165; translatus fuit anno 365.
H	Μαθουσάλα ετ. ρξζ. ἔζησεν ϡξθ.	Mathusala an. 167; vixit an. 969.
	Λάμεχ ετ. ρπη. ἔζησεν ετ. ψλγ.	Lamechus an. 188; vixit an. 733.
	Νῶε ετ. φ. ἔζησεν δὲ ἅπαντα ετ. ϡν.	Noachus an. 500; vixit an. 950.
	Σὴμ ετ. ρ. ἔζησεν ετ. φ.	Semus an. 100; vixit an. 500.
	Ἀρφαξὰδ ετ. ρλε. ἔζησεν ετ. υμ.	Arphaxathus an. 135; vixit an. 440.
I	Καϊνᾶν ετ. ρλ. ἔζησεν ετ. τλ.	Cainanus an. 130; vixit an. 330.
	Σαλὰ ετ. ρλ. ἔζησεν ετ. σο.	Sala an. 130; vixit an. 270.
	Ἔβερ ἐξ οὗ Ἑβραῖοι ετ. ρλδ. ἔζησεν ετ. σο.	Eberus, unde Hebraei an. 134; vixit an. 270.
	Φάλεκ ετ. ρλδ. ἔζησεν ετ. σθ.	Phalecus an. 134; vixit an. 209.
K	Ῥαγαῦ ετ. ρλβ. ἔζησεν ετ. σζ.	Ragavus an. 132; vixit an. 207.
	Σερούχ ετ. ρλ. ἔζησεν ετ. σ.	Seruchus an. 130; vixit an. 200.
	Ναχώρ ετ. οθ. ἔζησεν ετ. ρκθ.	Nachorus an. 79; vixit an. 129.
	Θάραν ετ. ο. ἔζησεν.	Tharan; vixit an. 70.
	Ἀβραάμ ετ. ρ. ἔζησεν ετ. ροε.	Abrahamus an. 100; vixit 175.
L	Ὁμοῦ γίνονται ἀπὸ Ἀδὰμ ἕως Ἀβραὰμ ετ. γυιϛ.	Summa annorum ab Adamo ad Abrahamum IIIMCCCCXVI.
	Ἰσαάκ ετ. ξ. ἔζησεν ετ. ρπ.	Isaacus an. 60; vixit 180.
	Ἰακώβ ετ. πζ. ἔζησεν ετ. ρμζ.	Iacobus an. 87; vixit 147.
	Λευὶ ετ. με. ἔζησεν ετ. . . .	Levinus an. 45; vixit . . .

(1) Intellige ancoratum, et de ponderibus ac mensuris, unde sequentia partim excerpuntur.

A	Καάθ	ἔτ. ξα	Caathus	an. 61.
	Ἀμβραμ	ἔτ. ο	Ambramus	an. 70.
	Μωυσῆς	ἔτ. ρκ	Moyses	an. 120.
	Ἰησοῦς	ἔτ. λα	Iesus	an. 30.
	οἱ ἱερεῖς	ἔτ. ι	Sacerdotes	an. 10.
B	Ὁμοῦ γίνονται ἀπὸ Ἰσαὰκ ἕως τῶν ἱερέων ἔτ. υπδ.		Summa annorum ab Isaaco ad sacerdotes CCCCLXXXIIII.	

ΟΙ ΚΡΙΤΑΙ — IUDICES

C	Χουσαρσαθίμ	ἔτ. η	Chusarsathemus	an. 8.
	Γοθονιήλ	ἔτ. μ	Gothoniel	an. 40.
	Ἐγλων	ἔτ. ιη	Eglon	an. 18.
	Ἀώδ	ἔτ. π	Aodus	an. 80.
	Ἰαβεὶν καὶ Σίσαρα	ἔτ. κ	Iabinus et Sisara	an. 20.
D	Βαρὰκ καὶ Δεβόρρα	ἔτ. μ	Baracus et Debora	an. 40.
	Μαδιανῖται	ἔτ. ζ	Madianitae	an. 7.
	Γεδεών	ἔτ. μ	Gedeon	an. 40.
	Ἀβιμέλεχ	ἔτ. γ	Abimelechus	an. 3.
	Θωλά	ἔτ. κγ	Thola	an. 23.
E	Ἰαείρ	ἔτ. κβ	Iairus	an. 22.
	Οἱ Ἀμμανῖται	ἔτ. ιη	Ammanitae	an. 18.
	Ἰεφθάε	ἔτ. ς	Iephthe	an. 6.
	Ἐσσεβων	ἔτ. ζ	Essebon	an. 7.
	Αἰλὼν ὁ Ζαβουλίτης	ἔτ. ι	Ailon zabulites	an. 10.
F	Λαβδών	ἔτ. η	Labdon	an. 8.
	οἱ ἀλλόφυλοι	ἔτ. μ	alienigenae	an. 40.
	Σαμψών	ἔτ. κ	Sampson	an. 20.
	ἀναρχία	ἔτ. λ	anarchia	an. 30.
	Ἡλὶ ὁ ἱερεύς	ἔτ. κ	Heli sacerdos	an. 20.
G	Σαμουὴλ ἱερεὺς καὶ προφήτης	ἔτ. κ	Samuel sacerdos et propheta	an. 20.
	Ὁμοῦ γίνονται τῶν κριτῶν ἔτη υϟ.		Anni iudicum fiunt CCCCXC.	

ΒΑΣΙΛΕΙΣ — REGES

H	Σαοὺλ βασιλεύς	ἔτ. μ	Saul rex	an. 40.
	Δαβὶδ βασιλεύς	ἔτ. μ	David rex	an. 40.
	Σολομῶν βασιλεύς	ἔτ. μ	Solomon rex	an. 40.
	Ῥοβοὰμ βασιλεύς	ἔτ. ιζ	Roboamus rex	an. 17.
	Ἀβιά	ἔτ. γ	Abia	an. 3.
I	Ἀσά	ἔτ. μα	Asa	an. 41.
	Ἰωσαφάτ	ἔτ. κε	Iosaphatus	an. 25.
	Ἰωράμ	ἔτ. η	Ioramus	an. 8.
	Ὀχοζίας	ἔτ. α	Ochozias	an. 1.
	Ἀχαάβ	ἔτ. ις	Achaabus	an. 16.
K	Γοθολίας	ἔτ. ς	Gotholias	an. 6.
	Ἐζεκίας	ἔτ. κθ	Ezecias	an 29.
	Ἰωᾶς	ἔτ. μ	Ioasus	an. 40.
	Μανασσῆς	ἔτ. νε	Manasses	an. 55.
	Ἀμασίας	ἔτ. κθ	Amasias	an. 29.
L	Ἀμῶς	ἔτ. β	Amosus	an. 2.
	Ὀζίας	ἔτ. νβ	Ozias	an. 52.
	Ἰωσίας	ἔτ. λα	Iosias	an. 31.
	Ἰωάθαμ	ἔτ. ις	Ioathanus	an. 16.
	Ἄχαζ	ἔτ. ις	Achazus	an. 16.
	Ἰεχωνίας καὶ οἱ ἀδελφοὶ αὐτοῦ	ἔτ. ιθ	Iechonias et fratres eius	an. 19.
M	Ὁμοῦ γίνονται τῶν βασιλέων τῶν Ἑβραίων		Regum hebraeorum anni fiunt DVIII.	

A ετ. φπ. καὶ οὕτως ἐγένετο ἡ αἰχμαλωσία ἐπὶ Ναβουχοδονόσορ βασιλέως Χαλδαίων, καὶ αἰχμαλωσία ἐν Βαβυλῶνι ετ. ο

Hinc contigit captivitas sub Nabuchodonosoro rege Chaldaeorum, captivitas scilicet babylonica an. 70.

ΠΕΡΣΩΝ ΒΑΣΙΛΕΙΑ. — PERSARUM REGNUM.

B

Κύρος πέρσης	ετ. λα	Cyrus persa	an. 31.
Καμβύσης	ετ. η	Cambyses	an. 8.
οἱ μάγοι	μην. ζ	Magi	mens. 7.
Δαρεῖος	ετ. λς	Darius	an. 36.
C Ξέρξης	ετ. κ	Xerxes	an. 20.
Ἀρταβάνης	μην. ζ	Artabanes	mens. 7.
Ἀρταξέρξης ὁ μακρόχειρ	ετ. μα	Artaxerxes longimanus	an. 41.
Δαρεῖος ὁ νόθος	ετ. ιθ	Darius nothus	an. 19.
Ἀρταξέρξης ὁ τοῦ Κύρου	ετ. μ	Artaxerxes Cyri filius	an. 40.
D Ἀρταξέρξης ὁ Ὤχου	ετ. κε	Artaxerxes Ochi	an. 25.
Ἄρσης	ετ. δ	Arses	an. 4.
Δαρεῖος ὃν καθεῖλεν Ἀλέξανδρος	ετ. ς	Darius, quem deposuit Alexander,	an. 6.

Ὁμοῦ γίνονται ἀπὸ τῆς αἰχμαλωσίας ἕως Δαρείου, ὃν καθεῖλεν Ἀλέξανδρος, ετ. τα καὶ μῆνες β· τάσσονται δὲ ἔτη τ.

E

A captivitate usque ad Darium, quem Alexander deposuit, anni sunt CCCI cum mensibus II; sed scribuntur in ordine CCC.

ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΑ. — AEGYPTIORUM REGNUM.

Λοιπὸν βασιλεύει		Deinde regnat	
Ἀλέξανδρος ὁ μακεδών	ετ. ιβ	Alexander macedo	an. 12.
F Πτολεμαῖος ὁ Λάγου	ετ. μ	Ptolemaeus Lagi	an. 40.
Πτολεμαῖος ὁ φιλάδελφος	ετ. κζ	Ptolemaeus philadelphus	an. 27.
Πτολεμαῖος ὁ εὐεργέτης	ετ. κδ	Ptolemaeus evergetes	an. 24.
Πτολεμαῖος ὁ φιλοπάτωρ	ετ. κα	Ptolemaeus philopator	an. 21.
Πτολεμαῖος ὁ ἐπιφανής	ετ. κβ	Ptolemaeus epiphanes	an. 22.
G Πτολεμαῖος ὁ φιλομήτωρ	ετ. λδ	Ptolemaeus philometor	an. 34.
Πτολεμαῖος ὁ εὐεργέτης	ετ. κθ	Ptolemaeus evergetes	an. 29.
Πτολεμαῖος ὁ σωτήρ	ετ. ιε	Ptolemaeus soter	an. 15.
Πτολεμαῖος ὁ Ἀλεξάνδρου	ετ. ιβ	Ptolemaeus Alexandri	an. 12.
Πτολεμαῖος ὁ Φιλίππου	ετ. η	Ptolemaeus Philippi	an. 8.
H Πτολεμαῖος ὁ Διονύσου	ετ. λ	Ptolemaeus Dionysi	an. 30.
Κλεοπάτρα	ετ. κβ.	Cleopatra	an. 22.

Ὁμοῦ γίνονται τῶν Μακεδόνων ἀπὸ Ἀλεξάνδρου ἕως Κλεοπάτρας ετ. σηβ.

Regum macedonum ab Alexandro ad Cleopatram anni fiunt CCLXXXXII.

Ῥώμης λοιπὸν βασιλεύει Αὔγουστος καὶ φονεύει Κλεοπάτραν ἐν τῷ ιε' ἔτει τῆς βα-
I σιλείας αὐτοῦ· καὶ ἐβασίλευσεν Αὔγουστος μετὰ τὸ φονεῦσαι Κλεοπάτραν ετ. μβ (2). Ὁμοῦ τὰ πάντα ἔτη ἀπὸ Ἀδὰμ ἕως ὧδε ε φ. Καὶ εὐθέως ἦλθεν ὁ ἀεὶ παρών,
K ἡ σωτηρία τῶν ἁπάντων ἡ προσδοκία τῶν ἐθνῶν, ὁ κύριος ἡμῶν Ἰησοῦς χριστὸς ὁ υἱὸς τοῦ θεοῦ καὶ ὁμοούσιος, τῷ μβ ἔτει Αὐγούστου· καὶ ἐβασίλευσεν Αὔγουστος ἄλλα ἔτη ιε.

Deinde Romae regnat Augustus, qui Cleopatram interficit anno imperii sui quinto decimo. Regnavitque Augustus post Cleopatrae necem annis XLII. Summa annorum ab Adamo usque huc VMD. Mox adfuit qui semper est, salus omnium, expectatio gentium, dominus noster Iesus Christus filius Dei consubstantialis, anno Augusti imperantis XLII. Exin imperavit Augustus annis adhuc XV.

L ΒΑΣΙΛΕΙΣ ΕΛΛΗΝΩΝ ΟΙ ΕΒΑΣΙΛΕΥΣΑΝ ΡΩΜΗΣ. — REGES ETHNICI QUI ROMAE DOMINATI SUNT.

α. Αὔγουστος	ετ. νς μην. ς	1. Augustus	an. 56. mens. 6.
β. Τιβέριος ὁ παῖς αὐτοῦ	ετ. κγ	2. Tiberius filius eius	an. 23.

(1) Cod. λθ. (2) Cod. δ.

A γ. Γάϊος ἔτ. γ μην. δ	3. Gaius an. 3. mens. 4.
δ. Κλαύδιος ἔτ. ιγ μην. η ἡμερ. κη	4. Claudius an. 13. mens. 8. dieb. 28.
ε. Νέρων ἔτ. ιγ μην. ς ἡμ. κζ	5. Nero an. 13. mens. 6. dieb. 27.
Ἐν τῷ τρισκαιδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἀνεῖλεν μὲν Ἀγριππίλλαν τὴν ἰδίαν B μητέρα· ἔτι καὶ τὴν ἀδελφὴν τοῦ πατρὸς, καὶ Ὀκταυΐαν τὴν ἑαυτοῦ γαμετὴν, καὶ ἄλλους πολλοὺς τῷ γένει προσήκοντας· μετέπειτα δὲ καθολικὸν ἐκίνησε διωγμὸν κατὰ τῶν χριστιανῶν· καὶ οὕτως ἐπὶ τὰς C τῶν ἀποστόλων ἐπήρθη σφαγάς· καὶ σταυρώσας τὸν μακάριον Πέτρον, τῷ ἀποστόλῳ Παύλῳ ξίφει τὴν κεφαλὴν ἔτεμεν.	Anno imperii sui tertiodecimo occidit Agrippinam matrem suam, item amitam suam, et Octaviam uxorem, multosque alios adfines. Deinde generalem persecutionem in Christianos commovit: ita ut ad apostolorum caedem proruerit, crucifixeritque beatum Petrum, et apostolo Paulo caput gladio praeciderit.
ς. Γάλβας μην. ζ	6. Galba mens. 7.
ζ. Ὄθων μην. β	7. Otho mens. 2.
D η. Βιτέλλιος μην. γ	8. Vitellius mens. 3.
θ. Οὐεσπασιανός ἔτ. θ μην. ια ἡμ. κβ	9. Vespasianus an. 9. mens. 11. dieb. 22.
ι. Τίτος ὁ υἱὸς αὐτοῦ ἔτ. β μην. β ἡμ. β	10. Titus filius eius an. 2. mens. 2. dieb. 2.
ια. Δομετιανὸς ὁ ἀδελφὸς αὐτοῦ ἔτ. ιε μην. ε	11. Domitianus frater eius an. 15. mens. 5.
ιβ. Νέρουας ἔτ. α μην. δ	12. Nerva an. 1. mens. 4.
E ιγ. Τραϊανός ἔτ. ιθ μην. ς	13. Traianus an. 19. mens. 6.
ιδ. Ἀδριανός ἔτ. κα	14. Hadrianus an. 21.
ιε. Ἀντωνῖνος ὁ Οὖηρος ἔτ. κβ ἡμ. γ	15. Antoninus Verus an. 22. dieb. 3.
ις. Ὁ Μάρκος Αὐρίλιος ἔτ. ιθ	16. Marcus Aurelius an. 19.
ιζ. Κόμμοδος ὁ υἱὸς αὐτοῦ ἔτ. ιγ	17. Commodus filius eius an. 13.
F ιη. Ἐλβίος Περτίναξ μην. ς	18. Elvius Pertinax mens. 6.
ιθ. Ἰουλιανός μην. γ	19. Iulianus mens. 3.
κ. Σεπτίμιος ἔτ. ιη	20. Septimius an. 18.
κα. Ἀντωνῖνος ἔτ. ζ μην. ς	21. Antoninus an. 7. mens. 6.
κβ. Μακρῖνος ἔτ. α	22. Macrinus an. 1.
G Ἀντωνῖνος ἄλλος ἔτ. δ	Antoninus alius an. 4.
Ἀλέξανδρος ὁ Μαμαίας ἔτ. ιγ	Alexander Mamaeae an. 13.
Μάξιμος ἔτ. γ	Maximus an. 3.
Πομπηιανὸς καὶ Βασιλῖνος ἔτ. ς	Pompeianus et Basilinus [1] an. 6.
Φίλιππος καὶ Φίλιππος ἔτ. ζ	Philippi duo an. 7.
H Δέκιος ἔτ. β	Decius an. 2.
Γάλλος καὶ γυνὴ αὐτοῦ Σαλωνῖνα ἔτ. γ	Gallus et uxor eius Salonina an. 3.
Βαλλεριανὸς καὶ Γαλιηνὸς υἱὸς αὐτοῦ ἔτ. ιε	Valerianus et Galienus filius eius an. 15.
Κλαύδιος ἔτος α μην. θ	Claudius an. 1. mens 9.
Αὐρηλιανός ἔτ. ε μην. ς	Aurelianus an. 5. mens. 6.
I Πρόβος καὶ Τάκιτος ἔτ. ς μην. ς	Probus et Tacitus an. 6. mens. 6.
Κάρος ἔτ. α	Carus an. 1.
Καρῖνος υἱὸς αὐτοῦ ἔτ. β	Carinus filius eius an 2.
Νουμεριανὸς ἀδελφὸς αὐτοῦ ἔτ. α	Numerianus eius frater an. 1.
Κώνστας παῦπερ [2] ἔτ. θ	Constans pauper an. 9.
K Λικίνιος γαμβρὸς Κώνστα ἔτ. ιζ	Licinius gener Constantii an. 17.
Διοκλητιανὸς καὶ Μαξιμιανός ἔτ. κ	Diocletianus et Maximianus an. 20.
Μαξιμῖνος ἔτ. ιγ	Maximinus an. 13.
Ἕως ὧδε ἐβασίλευσεν Ῥώμη.	Huc usque imperium Romae fuit.

L

ΒΑΣΙΛΕΙΣ ΧΡΙΣΤΙΑΝΩΝ ΟΙ ΕΒΑΣΙΛΕΥΣΑΝ ΒΥΖΑΝΤΙΟΥ.	REGES CHRISTIANI IN URBE BYZANTIO.
Κωνσταντῖνος υἱὸς Κώνστα ἔτ. λα	Constantinus filius Constantii an. 31.
Κωνσταντῖνος ἔτ. κδ	Constantinus an. 24.

(1) Immo Pupienus et Balbinus. Sed cur scribantur anni sex? (2) Ita cod. pro χλωρός.

A	Κώνστας ἔτ. ιβ μην. α	Constans an. 12. mens. 1.
	Ἰουλιανὸς ὁ ἀνεψιὸς Κωνσταντίνου ἔτ. β	Iulianus patruelis Constantini an. 1.
	Ἰουβιανὸς μην. η ἡμ. ιε	Iovianus mens. 8. dieb. 15.
	Οὐάλης Κωνσταντινουπόλεως καὶ Οὐαλεντινιανὸς Ῥώμης ἔτ. ις	Valens Constantinopoli et Valentinianus Romae an. 16.
B	Θεοδόσιος Κωνσταντινουπόλεως καὶ Γρατιανὸς Ῥώμης ἔτ. ις μην. η	Theodosius Constp. et Gratianus Romae an. 16. mens. 8.
	Ἀρκάδιος ἔτ. ιγ. ιγ. μην. γ ἡμ. ιε	Arcadius an. 13. mens. 3. dieb. 15.
	Ὀνώριος Ῥώμης ἔτ. κη μη. ζ ἡμ. δ	Honorius Romae an. 28. mens 7. dieb. 4.
C	Θεοδόσιος ὁ μικρὸς Κωνσταντινουπόλεως ἔτ. μβ. μην. β	Theodosius minor Constp. an. 42. mens. 2.
	Μαρκιανὸς Κωνσταντινουπ. ἔτ. ς μην. ς	Marcianus Constp. an. 6. mens. 6.
	Οὐαλεντιανὸς Ῥώμης ἔτ. κθ	Valentinianus Romae an. 19.
	Λέων Κωνσταντινουπόλεως ἔτ. ις μην. ια	Leo Constp. an. 16. mens. 11.
	Ἀνθεμης Ῥώμης ἔτ. ς	Anthemius Romae an. 6.
D	Ὀλύβριος ἔτος α	Olybrius an. 1.
	Λέων ὁ μικρὸς ἔτ. α	Leo minor an. 1.
	Ζήνων ὁ πατὴρ αὐτοῦ ἔτ. ιζ μην. β	Zeno pater eius an. 17. mens. 1.
	Ἀναστάσιος ἔτ. κζ μην. δ	Anastasius an. 27. mens. 4.
	Ἰουστῖνος Εὐφημίας ἔτ. θ μην. β	Iustinus Euphemiae an. 9. mens. 2.
E	Ἰουστινιανὸς ἔτ. λη μην. ζ ἡμ. ιδ	Iustinianus an. 38. mens. 7. dieb. 14.
	Ἰουστῖνος ὁ Σοφίας ἔτ. ιβ μην. ι ἡμ. ιε	Iustinus Sophiae an. 12. mens. 10. dieb. 15.
	Τιβέριος ἔτ. δ	Tiberius an. 4.
	Μαυρίκιος ἔτ. ι μην. γ	Mauricius an. 10. mens. 3.
F	Φωκᾶς ἔτ. η	Phocas an. 8.
	Ἡράκλειος ἔτ. λ	Heraclius an. 30.
	εἰς τὸ η ἔτος τούτου ἐξῆλθεν τὸ ἔθνος τῶν Ἀγαρηνῶν.	Anno huius octavo apparuit gens Saracenorum.
	Κωνσταντῖνος υἱὸς Ἡρακλείου ἔτος α	Constantinus Heraclii an. 1.
G	Κωνσταντῖνος ὁ ἐν Σικελίᾳ ἔτ. κζ	Constantinus qui in Sicilia an. 27.
	Κωνσταντῖνος υἱὸς αὐτοῦ ἔτ. ιζ	Constantinus filius eius an. 17.
	ἐπὶ τούτου ἐγένετο ἡ ς σύνοδος ἐν Κωνσταντινουπόλει.	Sub hoc fuit sexta synodus in urbe Constp.
	Ἰουστινιανὸς υἱὸς αὐτοῦ ἔτ. ι	Iustinianus filius eius an. 10.
H	Λεόντιος ἔτ. γ	Leontius an. 3.
	Τιβέριος ὁ Ἀψίμαρος ἔτ. ζ	Tiberius Apsimarus an. 7.
	Ἰουστινιανὸς τὸ δεύτερον καὶ ὁ υἱὸς αὐτοῦ Τιβέριος ἔτ. ς μην. ς	Iustinianus iterum et filius eius Tiberius an. 6. et mens. 6.
	Φιλιππικὸς ὁ καὶ Βαρδάνης ἔτ. β	Philippicus qui et Bardanes an. 2.
I	Ἀρτέμιος ἔτ. γ μην. ς	Artemius an. 3. et mens. 6.
	Θεοδόσιος ἔτος α	Theodosius an. 1.
	Λέων ἔτ. κε	Leo an. 25.
	Κωνσταντῖνος υἱὸς αὐτοῦ ἔτ. λδ	Constantinus filius eius an. 34.
	Λέων υἱὸς αὐτοῦ ἔτ. ε	Leo filius eius an. 5.
K	Κωνσταντῖνος υἱὸς αὐτοῦ μετὰ Εἰρήνης ἔτ. ιθ	Constantinus filius eius cum Irene an. 19.
	Εἰρήνης μονοκρατορία ἔτ. ε	Irene sola imperat an. 5.
	Νικηφόρος ἔτ. θ	Nicephorus an. 9.
	Μιχαὴλ ἔτ. β	Michael an. 2.
L	Λέων ἔτ. ζ μην. ς	Leo an. 7. et mens. 6.
	Μιχαὴλ ἄλλος ἔτ. θ	Michael alius an. 9.
	Θεόφιλος υἱὸς αὐτοῦ ἔτ. ιβ. μην. γ	Theophilus filius eius an. 12. mens. 3.
	Θεοδώρα σὺν Μιχαὴλ ἔτ. ιγ	Theodora cum Michaele an. 13.
	Μιχαὴλ μόνος ἔτ. ιγ	Michael solus an. 13.
M	Βασίλειος.	Basilius

Integrum Eusebii chronicon (quod graece utinam aliquando emergat !) legebat , ut opinor , excerpebatque recentior quoque alius chronographus , cuius parva digestio temporum , ab orbe condito ad captam a Turcis Constantinopolim , extat in codice nobilissimae gentis Barberiniorum . En porro opusculi exordium , concessu amici praesidis a me descriptum , quo auctor evidenter compilat Eusebii (uti eum nunc habemus ab interprete armenio) praefationem primumque operis caput . Licebit itaque futuris Eusebii editoribus graecas aliquot pericopas ex hoc anonymo ad famigeratum illud chronicon iure postliminii revocare .

Ἡ περὶ τῶν χρόνων ἀκρίβεια πολλοῖς μὲν καὶ ἄλλοις ἐπεξειργάσθη , καὶ ὃ φίλον ἑκάστῳ , τέλος τῆς ἐπιστήμης γεγένηται · ἐγὼ δὲ περὶ πολλοῦ τὸν ἀληθῆ λόγον τιθέμενος , τὰ ἑκάστῳ πονηθέντα συναγαγοχὼς , καὶ τὴν ἐκ τῶν ἱερῶν βίβλων φερομένην ἑβραικὴν ἀρχαιολογίαν καὶ χρονογραφίαν μετὰ χεῖρας θέμενος , τὸ ἀκριβὲς ἀνιχνεῦσαι διὰ σπουδῆς προὐθέμην · ὡς ἂν εἰδείημεν ὁπόσοις πρόσθεν χρόνοις [1] τῆς σωτηρίου θεοφανείας Μωσῆς καὶ οἱ μετ᾽ αὐτὸν γενόμενοι προφῆται , τὰ κατ᾽ αὐτὸν σὺν θείῳ πνεύματι προεξεφώνησαν · καὶ ὡς ἂν ἔχοιμεν ἐκ προχείρου διαγινώσκειν , τίσιν ἑλλήνων ἢ βαρβάρων οἱ παρ᾽ ἑκάστῳ ἔθνει γενόμενοι σοφοὶ ἢ ποιηταὶ ἢ λογογράφοι , καὶ ὅσοι ἄλλοι γεγόνασι διαφανεῖς , συνήκμασαν · καὶ ποίοις τε χρόνοις ἀπεδείχθησαν πρῶται βασιλεῖαι , καὶ τῶν ἐπισημοτάτων πόλεων ἀνιδρύσεις . Ἀρκτέον οὖν ἀφ᾽ οὗ καὶ τὴν ἀρχὴν ἡ τῶν χρόνων σύστασις εἴληφε , καθ᾽ ὃν ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ γεγονὼς , ἐπὶ τοὺς ἑξῆς ἀπογόνους τὴν φύσιν προήγαγεν · Ἀλλὰ περὶ μὲν τούτων ἐν ἐπιτόμῳ λέξομεν ἐν τοῖς ἔμπροσθεν · νῦν δὲ πρῶτον περὶ τῶν βασιλειῶν . Πρώτην πασῶν ἀναγράφουσι τὴν χαλδαίων βασιλείαν ἄνδρες ἐν παιδεύσει γνώριμοι , Ἀλέξανδρος ὁ Πολυΐστωρ , Βηρωσσὸς καὶ Ἀβυδηνὸς καὶ Ἀπολλόδωρος , οἳ πρῶτον μὲν ἱστοροῦσιν ἀβασίλευτα ἔτη ͵αυν · φασὶ γὰρ Ἀδὰμ τὸν πρῶτον ἄνθρωπον ὁγέσασθαι τὸν τῆς ζωῆς αὐτοῦ χρόνον ἔτη ταιλ · μετὰ δὲ τοῦτον Σὴθ τὸν υἱὸν αὐτοῦ ἔτη ρκη · ὡς εἶναι ὅλα τὰ ἀβασίλευτα ἔτη ͵αυν , ἐν οἷς βασιλεὺς οὐδέπω ἐν τῇ γραφῇ ὠνομάσθη · ἐν δὲ τῷ ͵αυν πρῶτος ἐν τῷ βορείῳ κλίματι , τῷ καλουμένῳ κάτω χώρᾳ , ἀπόγονοι Σὴθ χαλδαῖοι ἤγειραν ἑαυτοῖς βασιλέα Ἄλωρον ἀπὸ Βαβυλῶνος χαλδαῖον , ὃν βασιλεῦσαι φασὶ σάρους δέκα · μετὰ δὲ τοῦτον βασιλεῦσαι ἑτέρους βασιλέας θ ἕως κατακλυσμοῦ · ὡς εἶναι βασιλεῖς τοὺς πάντας ι · ὧν τοὺς τῆς βασιλείας χρόνους ἐψηφίσαντο χαλδαῖοι τότε κατὰ τὸ ἐγχώριον καὶ πάτριον τῶν ψήφων καὶ χρόνων ὀνομασίας , διά τε σάρων καὶ νήρων καὶ σώσσων , ὡς οἱ παρ᾽ αὐτοῖς ἱστοριογράφοι μαρτυροῦσιν · οἳ καὶ ἐγένοντο σάροι ρκ · καὶ τὸν μὲν σάρον εἰρήκασιν εἶναι ἔτη ͵γχ · τὸν δὲ νῆρον ἔτη χ · τὸν δὲ σῶσσον ἔτη ξ · ἀριθμεῖσθαι δὲ ταῦτα ἀρχαιοτέρᾳ τινὶ μεθόδῳ . Ἀπὸ δὲ Ἀλώρου τοῦ πρώτου παρ᾽ αὐτοῖς βασιλεύσαντος , μέχρι Ξισούθρου τοῦ κατὰ τὸν κατακλυσμὸν βασιλεύσαντος , ἱστοροῦσι βασιλεῖς ι · βασιλεῦσαι δὲ αὐτοὺς σάρους ρκ , οὓς σάρους φασὶ ποιεῖν ἐτῶν μυριάδας μγ , καὶ χρόνους δύο χιλιάδας · ἦσαν δὲ οὗτοι . Ἄλωρος ἐβασίλευσε , ὡς εἴρηται , σάρους ι . Ἀλάπαρος σάρους γ . Ἀμήλων σάρους ιγ . Ἀμμένων σάρους ιβ . κ. τ. λ. *Exin aliquot interiectis ait auctor , diem apud illos vetustissimos homines habitum pro anno , horam pro mense . Addit sarorum , nerorum , sossorumque significatum (uti est apud Syncellum ed. paris. p. 32.) Deinde , multis interpositis , occurrit notabilis locus de romano ante troiana tempora [2] annis* CCCXXV *coepto regno [3] , quod deinceps reges plus triginta tenuerint annis mille usque ad consulatus initia .* Τὸ παλαιὸν πρὸ πέντε καὶ εἴκοσι καὶ τριακοσίων ἐτῶν τῶν τρωικῶν , βασιλέας φασὶ γενέσθαι Ῥώμης τὸν ἀριθμὸν πλέον ἢ λ · ἔτη δὲ αὐτοὺς κατάρξαι χίλια · μετὰ δὲ ταῦτα ὕπατοι προειστήκεισαν τῆς ῥωμαίων ἀρχῆς · ἔπειτα δήμαρχοι καὶ οἱ δικτάτορες , καὶ πάλιν ὕπατοι ἐπὶ χρόνον · καὶ οὗτοι υξ [4] · αὖθις δὲ Γάϊος καταλύσας τὴν τῶν ὑπάτων ἀρχὴν ἐμονάρχησε ῥωμαίων κ. τ. λ.

(1) *Superponitur in cod. glossa* ἔτεσι *annis ; prorsus ut ego retro interpretabar p. 8.*

(2) *Opinionem hanc suadet Antiochus syracusanus apud Dionysium halic. I. 73. Confer Euseb. chron. ed. Mediol. lib. I. cap. 45. p. 208.*

(3) *Nempe Mosis aetate . Legesis Euseb. chron. ed. Mediol. lib. II , ubi a Mosis ducatu ad Troiam captam excurrunt anni* CCCLXV ; *a Troia capta ad primos consules , anni ferme* DCLXXV . *Igitur romanum regnum , si forte ante consules millenarium fuit , a mosaicis usque temporibus repetendum est .*

(4) *Haec quoque annorum* CCCCLX *supputatio a primis consulibus ad Iulii principatum probe congruit cum Eusebii canone .*

ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟΧΕΩΣ

ΕΡΜΗΝΕΙΑ ΑΜΩΣ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Πρόδηλον μὲν οὖν ὅτι καὶ μακάριος Ἀμὼς ὁ προφήτης, ὃν ἑρμηνεύειν Θεοῦ χάριτι πρόκειται νῦν ἡμῖν, περὶ τῶν τῷ λαῷ συμβησομένων διὰ πάσης μικροῦ τῆς προφητείας λέγει, ἅτε παρὰ τῶν ἀσσυρίων πείσονται πρότερον αἱ δέκα φυλαὶ μηνύων, καὶ ἃ περὶ τὴν Ἱερουσαλὴμ καὶ τὴν Ἰούδα φυλὴν, εἴτ᾽ οὖν τοὺς λοιποὺς τοὺς τῆς βασιλείας ἐκείνης, ὑπὸ τῶν βαβυλωνίων γίνεσθαι ἤμελλεν· τούτου δὲ λόγος ἦν τοῖς προφήταις οὐχ ἁπλῶς, ἀλλ᾽ ἐπειδὴ πᾶσαν τὴν περὶ τὸν λαὸν ἐπιμέλειαν ὑπὲρ τῆς τοῦ δεσπότου χριστοῦ δείξεως ὁ Θεὸς ἐποιεῖτο, ἐπὶ κοινῇ τῇ πάντων ἀνθρώπων σωτηρίᾳ κατὰ τὸν οἰκεῖον γενησομένης καιρόν· τούτου γὰρ ἕνεκεν αὐτοὺς καὶ ἀφώρισε τῶν ἐθνῶν, καὶ περιτομῇ διέκρινε, καὶ οἰκείαν ἔχειν παρεσκεύασε χώραν, καὶ ἀφωρισμένως ἐν τῷ ὄρει τῷ Σιὼν διὰ τῆς νομικῆς διατάξεως, τὴν περὶ αὐτὸν προσέταξε ποιεῖσθαι θεραπείαν, ἵν᾽ ἐκ τοιούτων κατὰ τὰς προφητικὰς μηνύσεις, καὶ τὴν ἄνωθεν ἐπὶ τούτοις περὶ τὸν λαὸν γεγενημένην διάταξιν, φανεὶς ὁ δεσπότης χριστὸς, δῆλον ἅπασιν ἐργάσηται τοῖς ἀνθρώποις, ὅτι οὐχ ὕστερον ἐκαινοτόμησεν ὁ Θεὸς τὴν ἁπάντων ἀνθρώπων σωτηρίαν, ἀλλ᾽ ἄνωθεν καὶ πρὸ μακρῶν τῶν χρόνων τοῦτο προωρισμένον κατὰ τὸν μακάριον Παῦλον ἔχων παρ᾽ ἑαυτῷ, ἐξελέξατο μὲν τὸν Ἀβραὰμ, συνέστησε δὲ τὸ ἐξ ἐκείνου γένος, ἐπιμέλειαν δὲ αὐτοῦ καθ᾽ ὃν εἰρήκαμεν πεποίηται τρόπον, ἵν᾽ ἐξ αὐτῶν Hebr. I. c.

THEODORI ANTIOCHENI MOPSUESTIAE EPISCOPI

IN AMOSUM PROPHETAM COMMENTARIUS.

Perspicuum est, beatum quoque Amosum prophetam, ad quem interpretandum Deo favente nunc adgredimur, de futuris populi hebraei casibus per universam fere prophetiam loqui: ea scilicet innuere, quae primo ab Assyriis passurae erant decem tribus, mala; tum etiam illa quae Hierosolymis, Iudaeque tribui, ceterisque regni eius partibus a Babyloniis eventura erant. De his autem rebus non sine causa prophetae verba faciebant, sed quia Deus curam eximiam populi gerebat, propterea quod Christus dominus ad communem omnium hominum peragendam salutem suo tempore adventurus erat. Idcirco Hebraeos Deus ab ethnicis separavit, et circumcisione distinxit, et propriam habere voluit regionem, seorsimque in Sion monte ex legitima forma religiosum sibi ab eis cultum exhiberi mandavit. Sic enim futurum erat, ut secundum propheticas promissiones atque olim ordinatam congruenter his vaticiniis populi administrationem, Christus dominus in orbem veniens cunctos mortales certiores faceret, haud nuper demum de salute hominum procuranda Deum cogitavisse; sed quum antiquitus longisque ante temporibus id apud se, teste beato Paulo, habuisset decretum, segregavisse sibi Abrahamum, ex eoque gentem conflasse; curamque huius sicuti iam dictum est, gessisse; ut

ὕστερον ὁ δεσπότης χριστὸς τὸ κατὰ σάρκα ἐπὶ τῇ πάντων ἀνθρώπων φανεὶς σωτηρίᾳ, δῆλος ὑπάρχῃ κατὰ τὸν ἄνωθεν ὁρισμὸν ἐπὶ τὴν οἰκονομίαν παρεληλυθώς. ὑπὲρ δὴ τούτων καὶ μετοικισθῆναι τὸν λαὸν διὰ τῆς αἰχμαλωσίας παρεσκεύασεν ὅλον, καὶ ἐπανήγαγεν ἐξ αὐτῶν οὓς ἐβούλετο, ὧν περ οὖν ἡγεῖτο ἡ Ἰούδα φυλὴ μόνη, ἡ πᾶσα τὴν ἐπάνοδον δεξαμένη, ἐπειδήπερ ἐξ αὐτῆς ἤμελλεν ἀναφαίνεσθαι τὸ κατὰ σάρκα ὁ δεσπότης χριστός. τῶν λοιπῶν γάρ τοι φυλῶν ἀφ' ἑκάστης ἑπόμενοι ταύτῃ συνανῆλθον ὀλίγοι. ἵνα διὰ μὲν τῆς γεγενημένης αἰχμαλωσίας καὶ τῆς ἐπανόδου τοῦτον ἀποτελεσθείσης τὸν τρόπον, δῆλος γένηται τῆς περὶ τὸν λαὸν ἐπιμελείας ὁ σκοπὸς τοῦ θεοῦ, ὑπὲρ τοῦ φανησομένου γε ἐξ αὐτῶν ἐπὶ τῇ πάντων ἀνθρώπων σωτηρίᾳ πάντα ποιοῦντος. ὥστε δὲ μὴ εἰς ἀπόγνωσιν παντελῆ καταστάντας ἐπιμιγῆναι τοῖς ἔθνεσι τὴν αἰχμαλωσίαν ὑπομεμενηκότας ἐκείνην, χώραν δὲ μηκέτι μή τε τὴν ἐπάνοδον ἔχειν, μή τε τὸν ἀπὸ τῶν λοιπῶν ἐθνῶν χωρισμόν, ἄνωθεν διὰ τῶν προφητῶν καὶ τὴν αἰχμαλωσίαν ἐσομένην ἐμήνυε καὶ τὴν ἐπάνοδον ἐπ' ἐκείνῃ. ἵνα ταῖς ἐλπίσι κρατούμενοι ταύταις, καὶ μετὰ τὴν συμβᾶσαν αἰχμαλωσίαν τὴν ἐπάνοδον ἀναμένωσιν. ἥπερ οὖν καὶ γέγονε καθ' ὃν ἔφαμέν τε τρόπον καὶ ὑπὲρ ἧς εἰρήκαμεν αἰτίας. Διὰ τοῦτο πάλαι μὲν καὶ πρόπαλαι τῷ μακαρίῳ Δαβὶδ εἴρητο ταῦτα διὰ πολλῶν τῶν ψαλμῶν. ἐγγίζοντος δὲ τοῦ καιροῦ τῶν πραγμάτων, τοὺς προφήτας ἀνέδειξεν ἡ θεία χάρις. νῦν μὲν ἐφεστῶτα τῶν ἀσσυρίων μηνύοντα τὰ κακά. αὖθις δὲ ἐπ' ἐκείνους τὰ παρὰ βαβυλωνίων ἐσόμενα δηλοῦντας. ἐφ' ἅπασι τε λέγοντας τὴν ἐπάνοδον, ἕτερά τε ὁπόσα τῶν κατὰ τὸν καιρὸν ἐκεῖνον γεγονότων μηνύεσθαι προσῆκον ἦν. ἐπεὶ δὲ ἡ τῶν προτέρων ἔκβασις ἀκολούθως ταῖς προῤῥήσεσι γινομένη, πίστις ἦν τῶν μετὰ ταῦτα προειρημένων τὸ κατὰ τὴν πρόῤῥησιν ὡς εἰκὸς ἐσομένων. ἐντεῦθεν ἅπαντες

ex hoc postea genere Christus dominus secundum carnem pro communi apparens salute, manifeste videretur secundum vetera decreta ad redemptionis opus venisse. Propterea quoque populum universum in captivitatem abducendum curavit Deus, ex eaque revocandam partem populi quam ipse voluit, cuius deinde principatum sola tenuit Iudae tribus, quae universa reditu digna fuit, quoniam ex ipsa orturus erat cum carne Christus dominus: nam de reliquis tribubus pauci e singulis redierunt. Sic enim tum e captivitate tum e reditu hac ratione curato patefaciendus erat divinae circa populum providentiae scopus, haec omnia satagentis propter inde venturum universalis salutis auctorem Christum. Ergo ne Iudaei captivitatem illam perpessi, spe omni deposita, confunderentur gentibus; sibique patriam aut reditum ad illam haud iam superesse crederent; neve suae ab ethnicis secretionis obliviscerentur; olim ore prophetarum tum futuram captivitatem significavit Deus, tum ex eadem postliminium: ut hac spe retenti, ubi accidisset captivitas, reditum expectarent, qui reapse eo quem diximus modo ac suprascriptam ob causam contigit. Quamobrem olim et iamdiu haec a beato Davide compluribus in psalmis dicta fuerant: propinquante autem gerendarum rerum tempore prophetas misit divinus favor, nunc quidem impendentia ab Assyriis praecinentes mala, mox autem babylonicam superventuram Iudaeis calamitatem significantes: post haec omnia tamen spondentes reditum; nihilque eorum, quae per id tempus scire commodum erat, reticentes. Porro rerum superiorum exitus prognosticis consentaneus, fidem faciebat fore ut postea quoque praedicta, sine dubio ad vaticinii normam eva-

τά τε παρὰ τῶν ἀσσυρίων καὶ τὰ μετ' ἐκεῖνα παρὰ τῶν βαβυλωνίων γεγονότα φασίν. ἐπειδὴ κἂν εἰ διῃρημένας τὰς ἐφόδους ταύτας γεγενῆσθαι συνέβη, πρότερον μὲν ἀσσυρίων ἐπεληλυθότων, βαβυλωνίων δὲ ὕστερον, τῶν τε πραγμάτων καιρός τις γέγονεν ἐν μέσῳ, ἀλλὰ μία γε ἦν ἡ παντελὴς αἰχμαλωσία ἀρξαμένη μὲν ἀπὸ τῶν ἀσσυρίων περὶ τὰς δέκα φυλὰς, περαιωθεῖσα δὲ περὶ τὰς ὑπολοίπους, αἳ τῆς Ἰούδα βασιλείας ἐτύγχανον, ἐπὶ τῆς βαβυλωνίων πολιορκίας. τούτου μὲν οὖν ἕνεκεν οἵ τε λοιποὶ ταῦτα μηνύουσι, καὶ περὶ ταῦτα τὴν πᾶσαν εἶχον τοῦ λόγου σχολήν. πλὴν ὅσα βραχέα οὐ πολύ γε τούτων ἀπεσπασμένα προσετίθεσαν τοῖς λεγομένοις. Πεποίηκε δέ τι τοιοῦτο καὶ ὁ παρὼν προφήτης, τὴν μὲν προφητείαν ἅπασαν ἐν τοῖς περί τε τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν ἐσομένοις παρά τε ἀσσυρίων καὶ βαβυλωνίων πεποιημένος προδήλως. ἐν βραχέσι δὲ κατὰ τὸ προοίμιον ἐπιμνησθεὶς καὶ τῶν ὅσα περὶ τοὺς περιοίκους πολλὴν τοῖς ἰσραηλίταις ἐπάγοντας τὴν ἐπήρειαν, κατὰ τὸν αὐτὸν ἤμελλεν γίγνεσθαι καιρόν. ὡς ἂν δῆλον ποιήσειεν, ὅτι οὐκ ἀφειδίᾳ τινὶ καὶ ἀμελείᾳ καὶ μεταβολῇ γνώμης ταῖς τε τῶν ἀσσυρίων καὶ ταῖς τῶν βαβυλωνίων ἐκδέδωκε συμφοραῖς τὸν λαὸν, ἐπανορθώσασθαι δὲ αὐτῶν τὰς ἀσεβείας βουλόμενος. ὅς γε καὶ τῶν περιοίκων τοὺς ἡμαρτηκότας εἰς αὐτοὺς κατὰ τὸν αὐτὸν ἐτιμωρήσατο χρόνον. οὐκ ἄν ποτε δίκας ὑπὲρ τούτων εἰσπραξάμενος ἐκείνους, εἰ μὴ πλεῖστον τινὰ τούτων ἐποιεῖτο τὸν λόγον, ἀλλ' ἐν μὲν τῇ τῶν ἠδικηκότων τιμωρίᾳ τὴν περὶ τούτους ἐδείκνυ κηδεμονίαν. τὰ δὲ περὶ τούτους αὐτοὺς κακὰ δῆλος γέγονεν ἐπάγων οὐκ ἀφειδίᾳ τε καὶ ὑπεροψίᾳ καὶ μίσει, ἀλλ' ἐπιμελείᾳ τε καὶ σωφρονισμῷ καὶ διορθώσει καὶ τῇ ἐπὶ τὸ κρεῖττον ἐπαναγωγῇ. Ἡ μὲν οὖν ὑπόθεσις αὕτη τοῦ βιβλίου. οὕτω μὲν ἅπαντα τὰ περὶ τὸν λαὸν εἰρηκότος τοῦ προφήτου, ἐν ὀλίγοις δὲ μηνύοντος ἃ κατὰ τὸν

derent. Hinc fit ut prophetae cuncti et res assyriacas et subsecutas mox babylonicas loquantur: nam etsi hae diversae fuerunt incursiones, Assyriis primo deinde Babyloniis expeditionem facientibus; hisque eventibus aliquantum temporis spatium interpositum fuit, nihilominus una fuit universalis captivitas, orsa ab Assyriis contra decem tribus; absoluta vero contra reliquas, quae regnum Iudae constituebant, a Babyloniis urbis expugnatoribus. Idcirco ceteri etiam prophetae haec portendunt, atque in his omnis eorum sermo versatur; si paucas aliquot res excipias, neque a praedictis valde discrepantes, quas obiter appinxerunt. Sic facit etiam hic, quem in manibus habemus, propheta, qui suum omne vaticinium ad mala ab Assyriis Babyloniisque Israeli Iudaeque inferenda manifeste convertit: ita tamen ut breviter circa prohoemium quaedam etiam damna commemoret, quae a finitimis populis sub idem tempus passuri erant Israelitae. Sic autem Deus demonstrabat, haud se crudelitate aliqua vel incuria vel consilii volubilitate populum assyriaca ac babylonica calamitate implicuisse; sed quia hunc a sceleribus revocare studebat: quandoquidem etiam finitimos, qui huic populo iniurii fuerant, eodem tempore poenae subiecit: in quos haudquaquam animadvertisset, nisi populum suum plurimi faceret. Quare Deus in peccantium supplicio declarat suam erga electos curam, quibus plagas imponit haud saevitia vel contemptu vel odio exstimulatus, sed providentiae causa et erudiendi emendandique studio, atque ut ad frugem meliorem revocet. Hoc est igitur libri argumentum, quo omnia narrat quae ad populum spectant propheta, paucis etiam significans, quidnam adversi proximis urbi po-

καιρὸν καὶ μάλιστα παρὰ τῶν βαβυλωνίων περὶ τοὺς ἀστυγείτονας ἤμελλε γίγνεσθαι, ὑπὲρ ὧν εἰς αὐτοὺς πεπλημμελήκεσαν, δι' ἣν ἔφην αἰτίαν. ποιεῖται δὲ καὶ τὴν προφητείαν οὐκ ἐν Ἱερουσαλὴμ ἀλλ' ἐν τοῖς τῶν ἐθνῶν τόποις πλησίον τοῦ Ἰσραὴλ ἐν Βαιθὴλ τε τῷ ἱερῷ, ἔνθα δὴ τοῖς εἰδώλοις ἐπετέλουν οἱ τοῦ Ἰσραὴλ τὰς θυσίας. ἐν μὲν γὰρ τῇ Ἱερουσαλὴμ προφητεύων, οὐκ ἂν ἐγίνετο δῆλος, οὔτε τῷ Ἰσραὴλ οὔτε τοῖς λοιποῖς ἔθνεσιν, ἐφ' οἷς ἤμελλε λέγειν περὶ αὐτῶν. ἐπεὶ μὴ δὲ ἐπιβαίνειν τῆς Ἱερουσαλὴμ ἠνείχετο τίς ἐκείνων. ἐν δὲ τοῖς προῤῥηθεῖσι τόποις τήν τε προφητείαν ποιούμενος, ἀναγκαίως καὶ τῷ Ἰσραὴλ καταφανὴς ἦν καὶ τοῖς ἔθνεσιν οἵ γε πλησίον ἦσαν. καὶ πολλάκις ἐκ τῆς περὶ τὰ εἴδωλα θεραπείας ἐπεμίγνυντο ἀλλήλοις. ὡς ἂν ἅπαντες περὶ ὧν τοὺς λόγους ἐποιεῖτο, εἰδεῖεν τε τὰ περὶ αὐτῶν λεγόμενα, καὶ πρὸ τῶν πραγμάτων δεξάμενοι τὴν προφητείαν, ἐγγύθεν τε ἰδόντες τὴν ἔκβασιν, μείζονα τὴν πίστιν ἔχοιεν τῆς ἐνεργούσης ἐν τοῖς προφήταις χάριτος θείας. Τὸ μέν τοι γε παρά τινων λεγόμενον ὅτι Ὀζίαν τὸν βασιλέα οὐκ ἤλεγξαν οἱ προφῆται τοῖς τῆς ἱερωσύνης ἔργοις ἐπιχειροῦντα, καὶ διὰ ταύτην τὴν αἰτίαν ἐπαύθησαν ἅπαντες τοῦ προφητεύειν, σφόδρα μοι μυθῶδες εἶναι φαίνεται μᾶλλον (*). ἥ τε γὰρ τοῦ Ὠσηὲ βίβλος οὕτως ἔχει. λόγος κυρίου ὃς ἐγενήθη πρὸς Ὠσηὲ τὸν τοῦ Βεηρὶ ἐν ἡμέραις Ὀζίου, καὶ τὰ ἑξῆς. παρὰ Ἡσαΐᾳ τε τῷ προφήτῃ οὕτως φησίν. ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμὼς, ἣν εἶδε κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἱερουσαλὴμ ἐν βασιλείᾳ Ὀζίου, καὶ τὰ ἑξῆς. καὶ παρὰ τῷ παρόντι δὲ προφήτῃ οὕτω φησίν. λόγοι Ἀμὼς οἳ ἐγένοντο ἐν Καριαθαρὶμ ἐκ Θεκουὲ, οὓς εἶδεν ἐπὶ Ἱερουσαλὴμ ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα. πῶς οὖν οἷόν τε

II. paral. XXVI. 16.

pulis Babylonii apprime impositurі eadem occasione essent, propter illorum erga electos iniurias; cuius rei iam causam diximus. Edit autem vaticinium haud Hierosolymis sed in ethnicorum locis, circa fines Israelis prope Baethelis fanum, ubi hostias idolis Israelitae litabant. Nam si Hierosolymis vaticinatus esset, res neque Israeli innotuisset, neque populis reliquis, de quibus erat verba facturus; quorum nemo Hierosolyma ventitare solebat: praedictis contra in locis vaticinans, necessario tum Israeli tum finitimis ethnicis innotescebat, qui saepe ob idolorum cultum invicem frequentabant. Sic omnes, quorum causa sermones serebat, et ea quae de se dicebantur resciebant; cognitoque ante res gerendas vaticinio, moxque viso exitu, firmiorem fidem inspiranti prophetas divinae gratiae adhibituri erant. Age vero quod aiunt nonnulli, Oziam regem a prophetis reprehensum non fuisse cum sacerdotii munera obire ausus est; atque ob eam causam propheticum spiritum cunctis esse subtractum; valde id mihi fabulosum videtur. Nam et Oseae liber sic habet: verbum Domini quod factum est ad Oseam Beeri filium in diebus Oziae, et reliqua. Tum apud Isaiam prophetam sic dicitur: visio oblata Isaiae Amosi filio, quam contra Iudam urbemque Hierosolymorum vidit, sub Ozia rege, et reliqua. Et praesenti in libro denique sic: sermones Amosi, qui facti sunt in Cariatharim de Thecue, quos vidit super Hierosolymis in diebus Oziae Iudae regis. Qui igitur fieri potest, ut in Oziae diebus divinandi vis prophetis ere-

(*) Sine dubio Mopsuestenus reprehendit in primis familiarem suum Chrysostomum, qui hanc sententiam scribit in comm. ad Isai. cap. VI. Consonat item Hieronymus epist. XVIII. I. Procopius denique gazaeus, quamquam aetate Mopsuesteno posterior, hanc sententiam adhuc retinet in commentario ad praedictum Isaiae locum. Porro sacrorum bibliorum textus ait a sacerdotibus obiurgatum fuisse Oziam, de prophetis silet.

ἣν ἐν ταῖς ἡμέραις Ὀζίου πεπαῦσθαι τῆς προφητείας τοὺς προφήτας κατ᾽ ἐκείνων λόγον, ὁπότε καὶ Ὡσηὲ καὶ Ἡσαΐας καὶ Ἀμὼς ἐν ταῖς ἐπιγραφαῖς τῶν οἰκείων βίβλων δηλοῦνται ἐν ἡμέραις Ὀζίου πεποιημένοι τὴν προφητείαν; πρὸς τῷ κἀκεῖνο δῆλον εἶναι ὅτι οὔτε κατὰ τὴν πνευματικὴν ἀποκάλυψιν ἐλέγξαι κελευόμενοι τὸν Ὀζίαν, ἀνεβάλλοντο ἄν ποτε οἱ προφῆται, ταῖς θείαις ἀποκαλύψεσι πειθόμενοι μᾶλλον, ἢ τὸν πλημμελοῦντα αἰδούμενοι βασιλέα· μὴ τετυχηκόσι τε πρὸς τοῦτο ἀποκαλύψεως, οὐδεὶς ἂν μέμψαιτο δικαίως, οὐκ ἐπικεχειρηκόσι πράγματι μὴ ἐξ ἀποκαλύψεως θείας αὐτοῖς δειχθέντι, οἵ γε διὰ πάντων εἰώθεισαν ταῖς πνευματικαῖς ἀποκαλύψεσιν ἑπόμενοι κατ᾽ ἐκείνας μὲν καὶ λέγειν τὶ καὶ μὴ λέγειν· παρ᾽ ἐκείνας δὲ μή τε λέγειν μή τε σιγᾷν οὐκ ἄν ποτέ τι, οὔ τε μή τε εἰπεῖν ἑλόμενοι παρ᾽ ἐκείνας. τοῦτο μὲν οὖν παρὰ πολλοῖς οὐκ οἶδ᾽ ὅπως φερόμενον, καὶ σφόδρα μοι δόξαν ἐναντίως ἔχειν ταῖς τῶν βίβλων γραφαῖς, σιωπῇ παραδραμεῖν οὐ καλῶς ἔχειν ἡγησάμην. τοῦ δὲ βιβλίου τῆς προφητείας παντὸς περί τε τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν ἠσχολημένου, καὶ τὰ τούτοις τε κἀκείνοις συμβάντα πρότερον μὲν ὑπὸ τῶν ἀσσυρίων, ὑπὸ βαβυλωνίων ὕστερον, ἐν ὀλίγοις δὲ κατὰ τὸ προοίμιον μνήμην ἔχοντος τῶν εἰς τοὺς περιοίκους συμβησομένων κακῶν, τῶν μὲν περὶ τὸν λαὸν αἰτίαν εἶναι φαμὲν ἣν καὶ πρότερον εἰρήκαμεν, ὑπὲρ ἧς δὲ πᾶσαν ἔνειμεν αὐτῷ τὴν οἰκείαν κηδεμονίαν ὁ θεὸς διὰ τὸν ἐξ αὐτῶν ἀναδείκνυσθαι μέλλοντα τὸ κατὰ σάρκα δεσπότην χριστὸν, ἐπὶ τῇ πάντων φανουμένον σωτηρίᾳ. προτεθεῖσθαι δὲ τῶν λοιπῶν τὰ περὶ τοὺς περιοίκους ἐσόμενα, εἰς ἔλεγχον τοῦ μὴ δὲ τὰ κατὰ τὸν λαὸν ἀφειδίᾳ τὸν θεὸν πεποιῆσθαι. ὅπου γε καὶ ὑπὲρ τῆς εἰς αὐτοὺς παρανομίας δίκας εἰσπράττεται ἑτέρους. ἀρκτέον δὲ τοῦ βιβλίου λοιπὸν ἔχοντος οὕτως.

pta fuerit, quemadmodum istorum interpretum opinio fert; siquidem et Oseas et Isaias et Amosus in suorum librorum titulis, se in diebus Oziae prophetavisse declarant? Tum vero exploratum est, si divina forte revelatione prophetae iussi fuissent Oziam castigare, nequaquam id fuisse recusaturos, divino potius lumini obtemperantes, quam peccatorem regem reverentes: sin autem de obiurgando rege haud divinitus fuerunt admoniti, nemo eos merito vituperet, qui rem non attigerint, quam eis divina revelatio non demonstraverit. Est enim prophetarum perpetuus mos spiritalibus revelationibus obsequendi, sive ex earum instinctu loquendum sit sive tacendum: ita ut praeter illas neque dicant quicquam neque reticeant, atque ab iis ne latum quidem unguem discedere soleant. Hanc igitur opinionem, quae nescio cur multorum mentes pervasit, quaeque mihi sacris litteris magnopere adversari videtur, silentio praeterire haud aequum existimavi. Iam universi huius vaticinii liber circa Israelem et Iudam vertitur, nempe circa utriusque adversitates, quae primo ab Assyriis deinde a Babyloniis contigerunt. Breviter etiam mentionem initio complectitur malorum quae finitimos correptura erant. Et quidem cur hebraeo populo haec evenerint, causam diximus in praecedentibus, Deo curam suam illi impendente, propter eum, qui inde exorturus erat secundum carnem, Christum dominum, communis salutis parentem. Praeponuntur autem reliquis res finitimis populis eventurae, ut palam fiat nihil Deum contra suum populum fecisse saevitia commotum; quandoquidem de iis, qui hunc adflixerant, poenas repoposcit. Sed iam initium faciendum libri est, qui ita se habet.

CAP. I.

„ Λόγοι Ἀμὼς, οἳ ἐγένοντο ἐν Καριαθαρὶμ ἐκ Θεκουὲ, οὓς εἶδεν ἐπὶ Ἱερουσα-
„ λὴμ ἐν ἡμέραις Ὀζίου τοῦ βασιλέως Ἰούδα, καὶ ἐν ἡμέραις Ἱεροβοὰμ τοῦ Ἰωὰς βα-
„ σιλέως Ἰσραὴλ, πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ „.

Τοῦτο μὲν οὖν καθὰ κἂν τοῖς λοιποῖς εἰρήκαμεν προφήταις προγραφῆς τινὸς τάξιν ἐπέχει δηλούσης τί ποτε βούλεται ἡ βίβλος, παρ' ὅτου τε καὶ περὶ τίνων εἴρηται καὶ πότε. θαυμαστὸν δὲ οὐδὲν, εἰ λόγοι εἶπεν οὓς εἶδεν ἐπὶ Ἱερουσαλήμ. καίτοι γε μέλλων κἀκεῖνα λέγειν ὁπόσα περὶ τὸν Ἰσραὴλ, τοῦτ' ἔστι τὰς δέκα γέγονε φυλὰς, καὶ μὴν καὶ περὶ τοὺς περιοίκους οὐχ ἧττον. ἀλλ' ὡς ἂν κυριώτατον μὲν ἁπάντων ἡγούμενος εἶναι τὰ κατὰ τὴν Ἱερουσαλὴμ, εἴτ' οὖν τὸν περὶ αὐτὸν λαὸν, ἦν δὲ οὗτος ἡ τοῦ Ἰούδα φυλὴ, καθὼς ἐν τοῖς πρόσθεν εἰρήκαμεν. τῶν λοιπῶν δὲ ἐξ ἀκολουθίας λεγομένων τε καὶ γιγνομένων δι' ἐκεῖνον. οὕτως ἀπὸ τοῦ κυριωτάτου τῆς προφητείας ἐδήλωσε τὴν αἰτίαν. ἀρχόμενος μέν τοι τῆς προφητείας οὕτω φησίν. „ Κύριος ἐκ Σιὼν ἐφθέγξατο, καὶ ἐξ Ἱερουσαλὴμ ἔδωκε φωνὴν αὐτοῦ. καὶ ἐπένθησαν αἱ νομαὶ τῶν ποιμένων. καὶ ἐξηράνθη ἡ κορυφὴ τοῦ Καρμήλου. „ Θαυμασιώτατα ἐντεῦθεν ἤρξατο τοῦ λόγου. ἐπειδὴ γὰρ οὐκ ἐν τῇ Ἱερουσαλὴμ, ἀλλ' ἐν ἐκείνοις ἐφθέγγετο τοῖς τόποις οἳ τῶν τε ἐθνῶν καὶ τῆς βασιλείας τοῦ Ἰσραὴλ ἐτύγχανον ὄντες, πλησίον εἰκότως προτέθεικε τὸ ἐκ Σιὼν ἐφθέγξατο, καὶ ἐξ Ἱερουσαλὴμ ἔδωκε φωνὴν αὐτοῦ. ὡς ἂν μὴ τοῖς περὶ τὸν τόπον ἐκεῖνον θρησκευομένοις δαίμοσιν ἐπιγράφειν μέλλοιεν οἱ ἀκούοντες τῶν λεγομένων τὴν αἰτίαν. εἰδεῖεν δὲ ἅπαντες ὅτι γνώμῃ θεοῦ ταῦτα φθέγγεται, ὃς τῶν ἁπάντων ποιητής τε καὶ κύριος ὢν, ἐν τῷ Σιὼν ὄρει τὴν καθήκουσαν αὐτῷ θρησκείαν κατὰ τὴν νομικὴν διάταξιν πληροῦσθαι προσέταξε. τῷ τε προφήτῃ νῦν εἰπεῖν ταῦτα διδοὺς, καὶ κατὰ καιρὸν τῶν μηνυομένων τὴν ἔκβασιν εἰς ἔργον ἐκ-

„ Sermones Amosi, qui facti sunt in Cariatharim de Thecue, quos vidit super Hie-
„ rosolymis, in diebus Oziae Iudae regis, et in diebus Hieroboami Ioaso geniti, re-
„ gis Israelis, ante terrae motum biennio „.

Verba haec, sicuti in ceteris prophetis diximus, tituli cuiusdam vice funguntur, qui libri scopum et continentiam et auctorem aetatemque declarat. Neque est mirandum quod dixerit, sermones quos vidit super Hierosolymis, etsi casus quoque narraturus erat Israeli, id est decem tribubus, nec non finitimis populis, eventuros: sic enim egit, quia potissimas omnium res urbis Hierosolymorum existimabat, nempe eius populi, qui ex Iudae tribu constabat, sicuti iam in superioribus diximus: quum interim ceterorum ratio in praedicti gratiam haberetur. Sic ergo a principali re, vaticinii sui causam ostendit, quod ita exorditur. „ Dominus de Sion locutus est, ex Hierosolymis vocem suam emisit. Luxerunt pascua pastorum; exaruit Carmeli cacumen „. Mire admodum his verbis loqui coepit: nam quia non Hierosolymis, sed in illis loquebatur locis, quos ethnici regnumque Israelis occupabant, statim prudenter addidit, de Sion locutus est, ex Hierosolymis vocem suam emisit: ne forte auditores rerum a se dicendarum cultis per ea loca daemonibus causam imputarent: immo potius universi agnoscerent, se Dei voluntate verba illa facere; qui quum omnium factor dominusque sit, congruam sibi religionem in Sion monte exhiberi legitimis ritibus iusserat: idemque prophetam ad haec dicenda nunc excitaverat, suoque tempore vaticinia in rem conlaturus erat. Iam verba „ luxerunt pascua pasto-

φέρων· τὸ δὲ ἐπένθησαν αἱ νομαὶ τῶν ποιμένων, καὶ ἐξηράνθη ἡ κορυφὴ τοῦ Καρμήλυ, ἵνα εἴπῃ ὅτι ἐκ τῆς ἀποφάσεως τῆς ἐκείνυ πάντες τε οἱ περίοικοι σὺν τοῖς ἡγυμένοις μεταστήσονται εἰς πένθος. καὶ μὴν καὶ τοῦ Ἰσραὴλ σὺν ἐκείνοις, οὓς κορυφὴν ὠνόμασεν τοῦ Καρμήλου, ὡς περὶ ἐκεῖνον οἰκοῦντας τὸν τόπον, καὶ εἰς οὐδὲν δέον τῇ ὑπεροχῇ κεχρημένους. εἶτα μερίζων τὸν λόγον ἀναμέρος περὶ ἑκάστυ τῶν περιοίκων λέγει. „ Καὶ εἶπεν κύριος, ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Δαμασκοῦ καὶ ἐπὶ ταῖς „ τέσσαρσιν (1) οὐκ ἀποστραφήσομαι αὐτήν. ἀνθ' ὧν ἔπριζον ἐν πρίοσι σιδηροῖς τὰς „ ἐν γαστρὶ ἐχούσας τῶν γαλααδιτῶν. καὶ ἀποστελῶ πῦρ εἰς τὸν οἶκον Ἀζαὴλ, „ καὶ καταφάγεται θεμέλια υἱοῦ Ἀδέρ. καὶ συντρίψω μοχλοὺς Δαμασκοῦ, καὶ „ ἐξολοθρεύσω κατοικοῦντας ἐκ πεδίου, ὧν καὶ κατακόψω φυλὴν ἐξ ἀνδρῶν Χαῤ„ ῥάν. καὶ αἰχμαλωτευθήσεται λαὸς Συρίας ἐπίκλητος, λέγει κύριος „. Τὸ ἐπὶ ταῖς τρισὶ καὶ τέσσαρσι λέγει ἀντὶ τοῦ ταῖς ἄγαν πολλαῖς. ἐπειδὴ γὰρ ὁ μετὰ τὸν ἕνα κ̀ δύο ἀριθμὸς πληθυντικὸς καλεῖται (2), τρισὶ μὲν λέγει ταῖς πολλαῖς, τέσσαρσι δὲ τὴν ἐπίτασιν τοῦ πλήθυς. βούλεται δὲ εἰπεῖν ὅτι πολλὰς ἀσεβείας τῆς Δαμασκοῦ παρεῖδεν. ἐπιμένοντας δὲ καὶ ἐπὶ πλεῖστον ἐκτείνοντας τὴν ἀσέβειαν, μὴ ἀποστρέφεσθαι καὶ μισεῖν οὐκέτι δυνατόν. εἶτα καταλιπὼν τὰς λοιπὰς αὐτῶν παρανομίας, τὴν εἰς τοὺς ἰσραηλίτας παρ' αὐτῶν γεγενημένην λέγει. ὡς ἂν δείξειεν ὅτι κἂν πολλὰ ἠσεβήκασιν, ἀλλ' ὑπὲρ τούτων μάλιστα αὐτοὺς τιμωρήσεται, ὧν πολλὴν ποιεῖσθαι ἐσπούδακε τὴν κηδεμονίαν. τὸ οὖν τῶν γαλααδιτῶν ἐκ μέρους βούλεται τῶν ἰσραηλιτῶν εἰπεῖν. ἐπειδὴ τοῦ Ἰσραὴλ μέρος ἦν ἡ Γαλαάδ. ἐπειδὴ τοίνυν φησὶ τοσαύτην ἐξέτειναν κατ' αὐτῶν τὴν παρανομίαν, ὡς κ̀ τὰς ἐγκύους αὐτῶν σιδηροῖς πρίο-

rum, exaruit Carmeli cacumen „ significant fore ut cum praedictis finitimi omnes non sine suis ducibus ad luctum vertantur: et quidem etiam Israelem cum illis, quos Carmeli cacumen appellavit, quia circa locum illum incolebant, ac praeter omne officium superbia exultabant. Deinde subdiviso particulatim sermone, de singulis finitimis pergit dicere. „ Ait Dominus, super tribus sceleribus Damasci et super quatuor „ non aversabor eam; quia serris ferreis praegnantes galaaditidas dissecuerunt. Ignem „ immittam in Azaelis domum, qui fundamenta filii Aderi consumet. Damasci vectes „ confringam, disperdam incolas agri, quorum etiam tribum succidam de viris Char„ ran: captivus abducetur populus Syriae nominatus, ait Dominus „. Dicit autem super tribus et quatuor, nempe pro multis. Nam quia numerus post unum et duo pluralis dicitur, verbo *tribus* multos denotat, verbo autem *quatuor* multitudinem exaggerat. Significat autem se multa Damasci scelera neglexisse: verumtamen cum eius cives in impietate perstarent eamque cumularent, iam fieri non posse quin eos a se repelleret atque persequeretur. Exin ceteris eorum sceleribus omissis, illud commemorat quod adversus Israelitas commiserant: nempe ut ostendat, etiamsi hostes multa peccaverint, tamen eos potissime se puniturum populi sui causa, de quo magnopere sollicitus erat. Igitur galaaditidas feminas dicens, partem pro toto appellat: pars enim Israelis Galaad. Causa puniendi fuit, quod tantum adversus Israelem sce-

(1) Obscurus videbatur hic locus Hieronymo epist. LIII. 8.

(2) Quia Graeci scilicet, praeter singularem et pluralivum, duali quoque utuntur numero.

σι διατέμνειν. ἔοικε δὲ τοῦτο λέγειν εἰς ἀπόδειξιν τῆς ὠμότητος αὐτῶν, δι᾽ ἣν οὐδὲ τῶν ἐγκύων ἐφείδοντο, ἤτοι πρίοσιν ὄντως αὐτὰς ἢ ξίφεσιν ἀνατέμνοντες πολέμου νόμῳ. ὅπερ οὖν εἶπεν ἐν πρίοσι σιδηροῖς, εἰς μείζονα ἔμφασιν τοῦ γινομένου. ὑπὲρ δὴ τούτων φησὶν αὐτοῖς ἐπάξω τοὺς ἀφανίζοντας ὡς ϗ τὰ βασίλεια αὐτῶν καθαιρεθῆναι. τοῦτο γὰρ λέγει θεμέλια υἱοῦ Ἀδέρ. πᾶσαν τε τῆς μητροπόλεως αὐτῶν τὴν ἰσχὺν ἀφαιρεθῆναι. ὅπερ δηλοῖ τὸ συντρίψω μοχλοὺς Δαμασκοῦ. ϗ δὴ ϗ πάντας τοὺς ἐξ αὐτῶν ἀφανιῶ, ὥστε ϗ τοὺς ἐκ τῆς Χαρρὰν παροικοῦντας αὐτοῖς ἀφανίσαι, πολλὴν αὐτοῖς ἐκ τῆς οἰκείας δυνάμεως ὑποπτευομένην παρέχειν βοήθειαν. ϗ συντόμως εἰπεῖν ἅπαντας τοὺς τῆς βασιλείας ἐκείνης, οἷς ἐπίκλην ὄνομα Συρία, αἰχμαλωσίᾳ παντελεῖ παραδώσω.

„ Τάδε λέγει κύριος, ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Γάζης ϗ ἐπὶ ταῖς τέσσαρσιν οὐκ „ ἀποστραφήσομαι αὐτούς. ἕνεκεν τοῦ αἰχμαλωτεῦσαι αὐτοὺς αἰχμαλωσίαν Σολομῶν τοῦ συγκλεῖσαι εἰς τὴν Ἰδουμαίαν „. Τὸ αὐτὸ λέγει κἀνταῦθα, ὅτι πολλὰς ἀσεβείας ἐργασαμένων ϗ ἐπιμενόντων τῇ μοχθηρίᾳ τῆς γνώμης, οὐκ ἀνέξομαι ἔτι. μάλιστα δὲ αὐτοὺς τιμωρήσομαι, ὑπὲρ ὧν τοῦ Σολομῶντος αἰχμαλώτους λαβόντος τοὺς τῆς Ἰδουμαίας, ϗ ὑπὸ τὴν τῶν Ἰσραηλιτῶν πεποιηκότος ἐξουσίαν, ὡς ϗ ἐπὶ πλεῖστον αὐτοὺς ἐπὶ τούτου διαμεῖναι τοῦ σχήματος, ἐπεληλυθότες οὗτοι ἀφεῖλον τε τὴν αἰχμαλωσίαν ἐκείνην πολέμου νόμῳ, ϗ συνηνάγκασαν ἐπὶ τὴν Ἰδουμαίαν ἀπελθεῖν πάλιν. ϗ γὰρ κἀνταῦθα πλημμέλειαν αὐτῶν λέγει ἣν περὶ τοὺς Ἰσραηλίτας εἰργάσαντο. τί οὖν; „ Καὶ „ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη Γάζης, καὶ καταφάγεται τὰ θεμέλια αὐτῆς, καὶ „ ἐξολοθρεύσω κατοικοῦντας ἐξ Ἀζώτου, ϗ ἐξαρθήσεται φυλὴ ἐξ Ἀσκάλωνος, καὶ

lus expromserant, ut ipsas huius praegnantes serris ferreis dissecuerint. Videtur autem hoc dicere ut hostium crudelitatem demonstret, qui ne gravidis quidem feminis pepercissent, sive eas reapse serris sive gladiis more belli conciderint: ita ut locutio *serris ferreis* ad praegravandam facinoris emphasim adhibeatur. Quamobrem, inquit, immittam eis hostes, a quibus cuncti ceu igne absumentur; et quidem regia quoque ipsorum sedes delebitur; hoc enim innuit dictio *fundamenta Ader*: atque omne metropoleos eorum robur subtraham; id quod significat dictio *vectes Damasci confringam*. Ita demum eos omnes funditus destruam, ut finitimos quoque Charran incolas simul deleam, quorum scilicet vires Damasco videbantur validum praesidium exhibere. Ut breviter dicam, cunctos regni eius incolas, qui Syriae vocabulo indigitantur, servitio addicendos curabo.

„ Haec ait Dominus: super tribus Gazae sceleribus et super quatuor, non aver- „ sabor eos; propterea quod ipsi mancipaverint captivitatem Solomonis, ut eam „ concluderent in Idumaeam „. Id ipsum heic quoque dicit; nempe quod illos sceleribus cumulandis deditos, atque in animi pravitate obfirmatos, iam non feret: immo potissimum puniet, quia quum Solomon in captivitatem Idumaeos redegisset, atque Israelis ditioni adiecisset, ita ut Idumaei diu in hac conditione permanserint; illi supervenientes, captivitatem illam iure belli dissolverint, hosque iterum in Idumaeam secedere iusserint. Nimirum hinc etiam propheta arguit hostium scelus adversus Israelitas. Quid ergo? „ Immittam in moenia Gazae flammam, quae illam a funda- „ mentis consumet: delebo Azoti cives: Ascalonis populum destruam: Accaroni ma-

„ ἐπάξω τὴν χεῖρά μυ ἐπὶ Ἀκκαρῶν, ϗ ἀπολοῦνται οἱ κατάλοιποι τῶν ἀλλοφύλων „ λέγει κύριος „. Τὴν αὐτὴν ἐπάξω ϗ τούτοις τιμωρίαν φησί· πῦρ γὰρ κἀνταῦθα τὸν πόλεμον λέγει ὡς ἂν οὕτως αὐτοὺς ἐπινεμόμενον· ὃς περιελεῖ μὲν τῆς Γάζης τὰ τείχη, ἐκ βάθρων δὲ ἅπασαν ἀνασπάσει τὴν πόλιν, ἀφανιεῖ τε τοὺς κατοικοῦντας αὐτὴν μετὰ τῶν τήν τε Ἄζωτον ϗ τὴν Ἀσκάλωνα οἰκούντων· οὐκ ἀφέξομαι δὲ οὐδὲ τῶν ἐν Ἀκκάροις· μνημονεύεται γὰρ τῆς Γάζης ὡς ἐξαρχούσης τῶν ἐν τοῖς ἀλλοφύλοις σατραπειῶν· κατὰ κοινοῦ λέγει τὴν τιμωρίαν ἅπασιν ἐπελεύσεσθαι τοῖς ἀλλοφύλοις. ὅθεν ἐπάγει· „ καὶ ἀπολοῦνται οἱ κατάλοιποι τῶν ἀλλοφύλων λέγει κύριος „. ἵνα εἴπῃ ὅτι συντόμως ἅπαντας ἀφανιῶ τοὺς ἀλλοφύλους· ὥσπερ ἐν τοῖς ἀνωτέροις αἰχμαλωτευθήσεσθαι ἔφη πάντα τὸν λαὸν τὸν ἐπίκλητον Συρίας κ. τ. λ.

et reliqua.

ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟΧΕΩΣ

ΕΡΜΗΝΕΙΑ ΖΑΧΑΡΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Κατὰ τὸν αὐτὸν καιρὸν Ἀγγαίῳ προφήτῃ δῆλος ἐστὶ· καὶ ὁ μακάριος προφητεύων Ζαχαρίας· ἐν ἔτει γὰρ δευτέρῳ Δαρείυ, καθὼς ἐξ αὐτῆς ἐστι μαθεῖν τῆς θείας γραφῆς, ἐκεῖνός τε κατὰ ἀποκάλυψιν θείαν ἄρξασθαι λέγει τῆς προφητείας· ϗ μὴν καὶ οὗτος ὁμοίως· ὡς μετὰ τὴν ἐπάνοδον τοῦ ἰσραηλιτικοῦ λαοῦ ἀπὸ τῆς Βαβυλῶνος εἰς τὴν Ἰυδαίαν ἐπαναχθέντος ἀμφοτέρυς προδήλως φαίνεσθαι ποιουμένυς τὴν προφητείαν· Κύρυ γὰρ τοῦ πρώτυ περσῶν τε καὶ μήδων κατὰ ταυτὸν βασιλεύσαντος

„ nus adferam: reliquiae alienigenarum peribunt, dicit Dominus „. Easdem his quoque poenas, inquit, imponam. Nam et hoc loco ignem pro bello dicit, quod scilicet hostes ceu flamma vorabit, Gazae moenibus exitium inferet, cunctamque urbem a fundamentis subruet, eiusque incolas perdet, cum Azoti Ascalonisque civibus. Neque ipsi Accaroni, inquit, parcam. Memorata scilicet Gaza, quae satrapiarum exterarum princeps erat, generaliter praedicit eventuram cunctis alienigenis cladem. Quamobrem subdit: „ alienigenarum reliquiae peribunt, ait Dominus „: quo dicto breviter significat fore ut omnes exteri pereant; sicuti in superioribus gentem universam, Syriae nomine nuncupatam, in servitutem redactum iri praedixit *etc.*

THEODORI ANTIOCHENI MOPSUESTIAE EPISCOPI

IN ZACHARIAM PROPHETAM COMMENTARIUS.

Sub idem tempus, quo beatus Aggaeus in prophetis versabatur, beatum etiam Zachariam vaticinium suum cecinisse compertum est. Namque anno Darii secundo, ut ex ipsis cognoscere licet divinis litteris, ait ille se post acceptam revelationem initium facere prophetandi; et iste similiter. Quare post reditum israelitici populi, qui Babylone in Iudaeam se recepit, prorsus constat utrumque prophetiam edere. Quum enim Cyrus, qui primus Persis simul et Medis imperitavit, reverti in patriam Iudaeis con-

ἐπανελθεῖν εἰς τὴν οἰκείαν ἐπιτρέψαντος χώραν, ἀνελήλυθεν μὲν πλῆθος εἴς τε τὴν Ἰουδαίαν οὐκ ὀλίγον ἡγουμένου τοῦ Ζοροβάβελ. οἱ δὲ τοὺς θεμελίους κατεβάλοντο τοῦ ναοῦ, καὶ τὸ θυσιαστήριον ἀνήγειραν ἐν αὐτῷ. ᾧ δὲ τὸ ἔργον ἀχθῆναι πρὸς πέρας ἐκωλύετο, νῦν μὲν διὰ τὴν τῶν ἐνοχλούντων αὐτοῖς κακίαν, αὖθις δὲ διὰ τὴν αὐτῶν ἐκείνων ῥαθυμίαν, Ἀγγαῖος μὲν ὁ μακάριος προφήτης κατὰ θείαν ἀποκάλυψιν ἐμέμψατό τε αὐτοῖς περὶ τῆς ῥαθυμίας. καὶ μοχθηρίᾳ γνώμης ἀμελοῦντας ἐλέγξας τοῦ ἔργου, ἀφ᾽ ὧν περὶ μὲν τοὺς ἑαυτῶν ἐσπούδαζον οἴκους, ὅπως ἂν αὐτοὺς μὴ ποιοῖεν μόνον, ἀλλὰ καὶ μετὰ πολλῆς ἐργάζοιντο τῆς εὐπρεπείας, τοῦ δὲ οἴκου κατημέλουν τοῦ θείου, διήγειρεν ἅπαντας ἐπὶ τὸ ἔργον, ὡς αὐτὴ δείκνυσιν ἡ τοῦ προφήτου βίβλος. Ζαχαρίας δὲ ὁ μακάριος κατὰ ἀποκάλυψιν θείαν καὶ αὐτὸς ὁμοίως βεβαιοῖ μὲν ταῖς οἰκείαις προῤῥήσεσι τὴν ἐπάνοδον τοῦ λαοῦ. πιστοῦται δὲ τὸ καὶ τὴν Ἱερουσαλὴμ ἐπὶ τῆς οἰκείας ἔσεσθαι πάλιν εὐπρεπείας. βασιλέως τε ἐν αὐτῇ τοῦ κατὰ θείαν γεγενημένου ψῆφον, καὶ τῆς ἐκεῖθεν ἠξιωμένου ῥοπῆς, διέποντός τε τὰ κατ᾽ αὐτὴν καὶ προμαχοῦντος ἁπάντων εἰς τοὺς κατὰ τῶν ἀλλοτρίων πολέμους. τῆς ἱερωσύνης τε πάλιν μετὰ τῆς παλαιᾶς φαιδρότητος τὸν οἰκεῖον ἀπολαβούσης κόσμον. ὡς ἂν διὰ τούτων καὶ τοὺς ἀνεληλυθότας ἤδη πείσειεν βεβαίαν αὐτοῖς ἐσομένην ἡγεῖσθαι τὴν ἐπὶ τῶν τόπων οἴκησιν. περὶ ἧς εἰκὸς ἦν αὐτοὺς καὶ ἐπανεληλυθότας ἀμφίβολον ἔτι τὴν γνώμην ἔχειν, εἰ μενοῦσιν βεβαίως, εἴτε διὰ τὴν γεγενημένην βαρύτητα τῆς αἰχμαλωσίας, ἣν οὐκ ἄν ποτε ἤλπισαν ὑπομένειν, εἴτε καὶ διὰ τὸ τῆς ἐπανόδου παράδοξον. καὶ δὴ καὶ ἑτέρους τῶν ἐπὶ τῆς αἰχμαλωσίας ὄντων ἔτι διδάξειεν εἰς τὴν Ἰουδαίαν ἐπανελευσομένους. ὃ δὴ μάλιστα καὶ τοῖς ἀνελθοῦσι τοῦ βεβαίου τῆς ἐπανόδου πίστις ἐγίνετο. φαίνεται δὲ πολλάς τινας καὶ διαφόρους ἀποκαλύψεις βλέπων, ὧν ἑκάστης τὴν

cessisset, non exigua vis populi in urbem Hierosolyma atque in Iudaeam regressa est, duce Zorobabele. Atque hi reduces fundamenta templi iecerunt, in eoque altare excitaverunt. Sed enim postquam opus impediri coeptum est partim molestorum hostium malitia, partim ipsa Iudaeorum desidia, tunc beatus Aggaeus propheta divina instinctus revelatione segnitiem illorum obiurgabat, atque operis neglectum vecordiae eorumdem imputabat, qui privatos quidem lares non solum sedulo exstruebant, verum omni quoque elegantia exornabant; Dei vero habitaculum negligebant: et sic omnes ut instarent operi perurgebat; quam rem ipse prophetae liber demonstrat. Iam beatus pariter Zacharias divina accepta revelatione, suis item praedictionibus confirmat populi reditum; fidemque insuper facit, fore ut rursus urbs Hierosolyma suum decus recuperet, rege ibi divina sententia electo, caelestique gratia instructo, ita ut et urbem gubernet, et exterorum hostium bellis resistat: denique ait sacerdotium denuo cum vetere hilaritate dignitatem suam recepturum. Atque ita reducibus quoque firmam fore in patria stationem suadebat: namque adhuc dubitare eos verisimile erat, utrum domi essent mansuri nec ne, sive propter acerbam captivitatem quam numquam se perpessuros putavissent, sive propter ipsius reditus mirum prodigium. Denique etiam reliquos, qui adhuc in captivitate versabantur, redituros spondebat; quae res in primis stabile fore postliminium, his qui iam redierant, testimonii loco erat. Videtur autem complures diversasque revelationes vidisse, quarum singillatim vim enarrat. Significat

δύναμιν ἐξηγεῖται· μηνύει δὲ καὶ τῶν περὶ τὸν Γὼγ τὴν ἔφοδον, τήν τε ἀπώλειαν αὐτῶν ἐσομένην παντελῶς· καὶ ὅτι παραδόξως καὶ παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα κρατήσουσιν αὐτῶν ἰουδαῖοι ὑπὸ τῷ Ζοροβάβελ βασιλευόμενοί τε καὶ στρατηγούμενοι. μέμνηται δὲ καὶ τῶν μετ' ἐκεῖνο προσεσομένων αὐτοῖς λυπηρῶν, ἃ κατὰ τοὺς τῶν μακκαβαίων αὐτοῖς ἐγένετο χρόνους ὑπὸ τῶν διαδόχων τῆς μακεδονικῆς βασιλείας. Θαυμάζειν δὲ οὐ προσῆκεν εἴ τινα καὶ γεγονότα ἤδη ὡς ἐσόμενα δι' ἀποκαλύψεως δηλοῖ. ὡς ὅταν λέγῃ, ὅτι τέσσαρα κέρατα διασκορπίσαντα τὸν Ἰσραὴλ εἶδε συντριβόμενα. ταῦτα γὰρ εὔδηλον, ὅτι οὐκ ἔσεσθαι ἤμελλεν, ἀλλ' ἐγεγόνει. εἰ μὲν γὰρ τὸν ἀσσύριον καὶ βαβυλώνιον καὶ μῆδον καὶ πέρσην σημαίνει διὰ τῶν τεσσάρων κεράτων, ὡς ὁ ἐνίων βούλεται λόγος, πρόδηλον μὲν ὅτι καὶ ἀσσύριοι καὶ βαβυλώνιοι δεδώκεσαν ἤδη δίκας κατὰ τὸν καιρὸν ἐκεῖνον. μήδους δὲ Κύρος καθεῖλε. μεθ' ὃν τέταρτος γέγονε Δαρεῖος. παρὰ περσῶν δὲ οὐδὲ γέγονέ τι χαλεπὸν τοῖς ἰσραηλίταις. τοὐναντίον μὲν οὖν εὖ ὑπὸ τῆς βασιλείας ἔπαθον ἐκείνης. πρότερον μὲν αὐτοὺς Κύρου τοῦ πρώτου βασιλεύσαντος ἀφέντος τῆς αἰχμαλωσίας. μετ' ἐκεῖνο δὲ Δαρείου τοῖς λοιποῖς τῶν ἰουδαίων τοῦ ἀνελθεῖν εἰς τὰ οἰκεῖα παρασχόντος τὴν ἄδειαν. εἰ δὲ καὶ ἕτερα τὶς βούλοιτο σημαίνεσθαι τὰ τέσσαρα κέρατα κακῶς διατεθεικότα τοὺς ἰσραηλίτας ἐπὶ τοῦ τῆς αἰχμαλωσίας καιροῦ, πρόδηλον ὅτι κἀκεῖνα πέρας εἰλήφει. ἀλλ' ἔοικεν ὁ προφήτης τῶν τοιούτων διὰ τοῦτο μνημονεύειν, ὡς ἂν καὶ τῆς θείας χάριτος διὰ τοῦτο νῦν αὐτῷ τοῦτο δεικνυούσης, ἵν' ἐκ τῆς ἀποκαλύψεως τῆς θείας αὐτός τε βεβαίαν ἔχῃ τῶν γεγονότων τὴν πίστιν, καὶ τοὺς ἀκούοντας δὲ ἀκριβῶς πεπεῖσθαι διδάσκῃ, ὅτι μένει μὲν ἡ τῶν λελυπηκότων αὐτοὺς τιμωρία. μένει δὲ καὶ αὐτοῖς βέβαια τὰ τῆς δοθείσης εὐεργεσίας. εἴρηται δὲ ταῦτα ἡμῖν οὐχ ἁπλῶς, ἀλλ' ἵνα μὴ ἐπὶ τῆς κατὰ μέρος ἑρμηνείας ὁρῶντες τινὰ μηνυόμενα, ὡς ἂν ἐσόμενα, ἃ γέγονεν ἤδη,

etiam bellicam Gogi incursionem, eiusque futuram internecionem; quippe cuius vires Iudaei praeter omnem spem debellaturi erant, rege Zorobabele ac duce. Mala quoque his superventura memorat, quae Maccabaeorum aetate a macedonici imperii successoribus contigerunt. Neque est mirandum siqua iam praeterita, tamen instar rei futurae, in revelatione ostenduntur: veluti cum quatuor cornua, quae Israelem disperserant, confracta vidit propheta: namque haec non futura, sed iam peracta erant. Sive enim Assyrios, Babylonios, Medos, Persasque his quatuor cornibus innuit, ut nonnullorum opinio fert, satis constat Assyrios ac Babylonios ante id tempus poenas luisse. Medos item imperio a Cyro spoliatos scimus: post quem reliquus est quartus Darius. Porro a Persis nihil molestum Israelitis accidit; immo omnia secus ab istorum regno experti sunt; Cyro primum imperii auctore captivitatem solvente; deinde Dario Iudaeis reliquis ut in patriam redirent largiente. Quod siquis aliud quid his quatuor cornibus, quae Israelitis captivitatis tempore nocuerunt, significari arbitratur, constat id quoque iam finem fecisse. Sed enim videtur propheta idcirco horum meminisse (divina scilicet gratia ob id ipsum haec eadem ei demonstrante) ut a caelesti revelatione certum ipse rerum peractarum testimonium acciperet; suosque auditores omnino certiores faceret de decreta inimicis eorum poena, et de beneficii impetrati constantia. Atque haec ego non temere praefatus sum, sed ut dum in cursu interpretationis quaedam forte

θαυμάζωμεν ἢ διαπορῶμεν περὶ τοῦ σχήματος τοῦ λεγομένου. τὰ μὲν δὴ τῆς ὑποθέσεως ἐν τούτοις. κατὰ μέρος δὲ προσεκτέον λοιπὸν, καθὼς ἂν ἡ θεία χάρις διδῷ.

CAP. I. „ Ἐν τῷ ὀγδόῳ μηνὶ ἔτους δευτέρου ἐπὶ Δαρείου ἐγένετο λόγος κυρίου πρὸς Ζα-
„ χαρίαν τὸν τοῦ Βαραχίου υἱὸν Ἐδδὼ (1) τὸν προφήτην, λέγων. „. Τὸν μὲν χρόνον ἐδήλωσεν ἐν τούτοις καθ' ὃν ἠξιώθη τῆς ἀποκαλύψεως τῆς θείας. τίνα δὲ ἅπερ ἐκελεύσθη πρὸς τὸν λαὸν εἰπεῖν, ἑξῆς ἐπάγει. „ Ὠργίσθη κύριος ἐπὶ τοὺς
„ πατέρας ὑμῶν ὀργὴν μεγάλην „. Πρέπον τῷ καιρῷ τὸ προοίμιον ἐποιήσατο ὁ προφήτης. ἐπειδὴ γὰρ νεαρὰν καὶ ἔναυλον τῶν τῆς αἰχμαλωσίας κακῶν εἶχον τὴν μνήμην, ἄρτι τε αὐτῆς ἀπαλλαγέντες καὶ εἰς τὰ οἰκεῖα ἐπανελθεῖν δυνηθέντες, εἰκότως πρὸ παντὸς λόγου τῆς συμφορᾶς αὐτοὺς ὑπομιμνήσκει τῆς ἀρτίως γεγενημένης. ὡς ἂν τῇ μνήμῃ τῶν γεγονότων φυλάττοιντο εἰς πεῖραν τῶν αὐτῶν καταστῆναι πάλιν. Ἴστε γάρ φησιν ὀργισθεὶς ἡλίκην τοῖς πατράσι τοῖς ὑμετέροις ἐπήγαγον τιμωρίαν, οἵων τε αὐτοὺς διὰ τὴν ἀπείθειαν ἐν πείρᾳ κατέστησα κακῶν, ἀφελὼν μὲν τῆς γῆς τῆς οἰκείας, ἀπαγαγὼν δὲ αἰχμαλώτους εἰς γῆν ἀλλοτρίαν, ἣν οὔπω πρότερον εἶδον. „ Καὶ ἐρεῖς πρὸς αὐτοὺς, τάδε λέγει κύριος παντοκράτωρ. ἐπι-
„ στρέψατε πρός με λέγει κύριος τῶν δυνάμεων. καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς
„ λέγει κύριος τῶν δυνάμεων. καὶ μὴ γίνεσθε καθὼς οἱ πατέρες ὑμῶν, οἷς ἐνε-
„ κάλουν αὐτοῖς οἱ προφῆται οἱ ἔμπροσθεν λέγοντες, τάδε λέγει κύριος παντοκρά-
„ τωρ, ἀποστρέψατε δὴ ἀπὸ τῶν ὁδῶν ὑμῶν τῶν πονηρῶν, καὶ ἀπὸ τῶν ἐπιτη-
„ δευμάτων ὑμῶν τῶν πονηρῶν. καὶ οὐκ ἤκουσαν καὶ οὐ προσέσχον τοῦ εἰσακοῦσαί μου, λέγει κύριος παντοκράτωρ „. Ἀλλὰ νῦν γοῦν ἀποστάντες τῆς μιμήσεως

ceu futura occurrent, quae iam evenerunt, ne miremur, neque de rei, quae dicitur, oblata specie ambigamus. De prophetiae argumento hactenus. Superest ut res singulas, prout divina gratia concesserit, persequamur.

„ Octavo mense anni secundi, imperante Dario, factus est sermo Domini ad Za-
„ chariam Barachiae, filium Eddonis, prophetam „. His verbis tempus significat, quo divina revelatione dignus habitus est: deinceps vero addit quae ad populum loqui iussus fuit. „ Grandi ira adversus parentes vestros iratus est Dominus „. Congruum tempori exordium propheta fecit: nam quia recentem adhuc praesentemque malorum in captivitate exantlatorum retinebant memoriam; quippe qui vix eam depulerant vixque lares suos recuperare potuerant; merito ante quam aliud dicat calamitatem iisdem refricat, quam nuper perpessi fuerant; ut nimirum praeteritorum malorum memores caverent admodum ne in eadem rursus inciderent. Nostis, inquit Deus, quantas ego iratus parentibus vestris poenas imposuerim, quantisque adversitatibus propter suam contumaciam eos obruerim, patria spoliatos, in alienam regionem quam numquam viderant serviliter abactos. „ Dicesque eis, haec ait Dominus omnipotens: revertimini ad me, dicit
„ Dominus virtutum; et ego convertar ad vos, dicit Dominus virtutum. Neque fiamini
„ ut patres vestri, quos reprehendebant superiores prophetae dicentes: haec ait Do-
„ minus omnipotens, recedite a viis vestris malis, atque a studiis vestris malis.
„ Illi tamen mihi non obediverunt, neque meis verbis aurem praebuerunt, ait Do-
„ minus omnipotens „. Nunc ergo omissa imitatione maiorum vestrorum ad me respi-

(1) Scilicet Eddonis nepotem, Barachiae filium. Lege similem locutionem in Dan. cum Polychron. p. 119.

τῶν πατέρων τῶν οἰκείων, πρός με ἀποβλέψατε, καὶ πρὸς τὰ παρ' ἐμοῦ λεγόμενα ὑμῖν καὶ συμβυλευόμενα τεταμένον ἔχετε τὸ ὄμμα, ὡς ἂν καὶ αὐτὸς ἐφορᾷν ὑμῖν καὶ δι' ἐπιμελείας ἔχειν τὰ καθ' ὑμᾶς ἑλοίμην· φυλάξασθε δὲ πᾶσαν μίμησιν τὸν πρὸς τοὺς πατέρας τοὺς ὑμετέρυς· οἱ πολλὴν καὶ συχνὴν παρὰ τῶν προφητῶν τῶν πρότερον γενομένων συμβουλὴν δεξάμενοι καὶ παραίνεσιν, ὥστε τῆς κακίας ἀποτροπῆναι τῆς οἰκείας, καὶ κερδάναι τὴν ὑπὲρ τῶν κακῶς πεπραγμένων αὐτοῖς τιμωρίαν, οὔτε προσέχειν οὔτε λόγον τινὰ ποιεῖσθαι τῶν διδασκόντων ἐβούλοντο, „ Οἱ πα-
„ τέρες ὑμῶν ποῦ εἰσι; καὶ οἱ προφῆται μὴ εἰς τὸν αἰῶνα ζήσονται; πλὴν τοὺς
„ λόγυς μου καὶ τὰ νόμιμά μυ δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν πνεύματί μυ
„ τοῖς δούλοις μυ τοῖς προφήταις, οἳ κατέλαβον τοὺς πατέρας ὑμῶν „. Καίτοι γε καλῶς ἂν ἔχοι κἀκεῖνο ὑμᾶς συλλογίσασθαι, ὅτι οὔτε οἱ πατέρες ὑμῶν εἰσὶν ἔτι, οὔτε οἱ προφῆται· προκατελάβετο δὲ κἀκείνυς καὶ τούτυς ὁ κοινὸς τῆς φύσεως θάνατος, ἐπὶ πλεῖστον ἐκτεταμένην ἔχειν τὴν οἰκείαν ζωὴν οὐκ ἐῶν· ἀλλ' οἱ μὲν ἀπεληλύθασι τὴν ἐκ τῆς ἀπειθείας δεξάμενοι τιμωρίαν· οἱ προφῆται δὲ καὶ παυσάμενοι τοῦ παρόντος βίυ τῶν οἰκείων ῥημάτων ἔργοις ἐπέδειξαν τὴν ἀλήθειαν· ἐπεὶ καὶ τετελευτηκότων αὐτῶν, οὐθὲν ἧττον ἅπερ εἶπον εἰς πέρας ἐξήγετο, ἅτε κατ' ἐμὴν εἰρημένα γνώμην· πρὸς δὴ τοῦτο ἀφορῶντας προσήκοι ἂν μὴ πάρεργα ποιεῖσθαι τὰ παρ' ἐμοῦ διὰ τῶν προφητῶν λεγόμενα· δέχεσθαι δὲ πάντα ὅσαπερ ὑμῖν διὰ πνευματικῆς λέγυσι τῆς χάριτος· ἐπεὶ μή τε ψευσθῆναι οἷόν τέ τι τῶν λεγομένων παρ' αὐτῶν, μήθ' ὑμῖν ἀκίνδυνον ἀμελεῖν ἐθέλυσι τῶν παρ' αὐτῶν λεγομένων· ἐπὶ δὴ τούτοις εἰκότως κατανυγέντες τοῖς ῥήμασιν οἱ τοῦ λαοῦ, ἅτε τῶν πραγμάτων τῇ τῶν λεγομένων ἀληθείᾳ μαρτυρούντων αὐτάρκως, ἀπόκρισιν ἐποιήσαντο, σαφῆ τῆς εὐγνωμοσύνης ἑαυτῶν παρεχόμενοι τὴν ἀπόδειξιν· „ Καὶ

cite, meisque dictis ac monitis erecto oculo adtendite, ut ego quoque vos respiciam, vestrique curam libenter geram. Ne patres vestros imitemini vehementer cavete, qui cum diu multumque a priscis prophetis admoniti fuissent atque exorati, quo scilicet a sua pravitate recederent, atque ita impendentem criminibus suis poenam effugerent, neque auscultare voluerunt, neque ullam admonitionum rationem habere. „ Pa-
„ tres vestri ubinam sunt? et prophetae num semper vivent? Eia meos sermones
„ legemque meam excipite, quidquid ego videlicet praecipio in spiritu meo servis
„ meis prophetis, qui patres vestros comprehenderunt „. Profecto aequum est vos reputare, quod neque patres vestri iam supersint neque prophetae: nam et hos et illos communis naturae interitus intercepit, quominus vitam diutius propagarent. Et illi quidem e vivis excesserunt, contumaciae suae poenam experti; prophetae autem etsi huius vitae finem fecerunt, nihilo minus verborum suorum veritatem factis comprobaverunt; quandoquidem vel ipsis mortuis vaticinia suum exitum aeque habuerunt; quia haec nimirum me iubente edita fuerant. His exemplis monitos ea, quae prophetae meo nomine aiunt, non parvipendere decet, immo his auscultare quae spiritali gratia commoti loquuntur: nam neque dicta ab iis irritari queunt, neque vobis dictorum neglectus vacare periculo potest. His verbis compunctus populus, quorum veritati locuples facta testimonium dabant, sic respondit, ut docilitatem animorum suorum manifestam

„ ἀπεκρίθησαν γάρ φησιν καὶ εἶπον· καθὼς παρατέτακται κύριος παντοκράτωρ τοῦ „ ποιῆσαι ἡμῖν κατὰ τὰς ὁδοὺς ἡμῶν, καὶ κατὰ τὰ ἐπιτηδεύματα ἡμῶν, οὕτως „ ἐποίησεν ἡμῖν „. Τὸ παρατέτακται, παρετέτακτο λέγει· οὐ γὰρ περὶ παρόντων διαλέγεται ἀλλὰ περὶ τῶν γεγονότων ἤδη· ὁμολογοῦμεν φησὶν ὅτι οἷα περ ὁ Θεὸς ἀπεφήνατο γενέσθαι περὶ ἡμᾶς, ἀνάλογον οἷς ἐπράττομεν ἐκβαλὼν τὴν ἀπόφασιν, τοιαῦτα δὲ καὶ πεπόνθαμεν· ὥστε σφόδρα ἡμᾶς πεπεῖσθαι, ὅτι ἀναντίῤῥητος τῶν παρὰ Θεοῦ λεγομένων ἡ ἀλήθεια· καὶ οὐκ ἀκίνδυνον ἡμῖν ἀμελεῖν βουλομένοις τῶν παρ᾽ αὐτοῦ λεγομένων· τούτων οὕτως εἰρημένων, ἀποκάλυψιν λοιπὸν ὁ προφήτης διηγεῖται δειχθεῖσαν αὐτῷ παρὰ τοῦ Θεοῦ, ἀφ᾽ ἧς αὐτός τε ἀκριβῆ τῶν περὶ τὸν λαὸν ἀγαθῶν τὴν πίστιν ἐλάμβανε, καὶ τοῖς ἀκούουσι θαῤῥούντως εὐηγγελίζετο τὰ φαινόμενα· λέγει δὲ οὕτως.

„ Τῇ τετράδι καὶ εἰκάδι, τῷ ἑνδεκάτῳ μηνὶ, οὗτός ἐστιν ὁ μὴν σαβὰτ, „ ἐν δὲ τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου, ἐγένετο λόγος κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ „ Βαραχίου υἱὸν Ἐδδὼ τὸν προφήτην λέγων „. Τὸ ἐγένετο λόγος κυρίου ἀντὶ τοῦ ἀποκαλύψεως ἠξιώθην θείας· ὅθεν τὴν ἀποκάλυψιν λέγων λοιπὸν „ ἑώρακά φησι „ τὴν νύκτα „· οὐ γὰρ ὁ λόγος τοῦ κυρίου οὐδὲ κύριος ἤμελλεν λέγειν ἑώρακα τὴν νύκτα· ἀλλὰ δηλονότι ὁ προφήτης φησί· δι᾽ ἐκείνου τοίνυν δηλώσας ἀποκάλυψιν αὐτῷ γεγενῆσθαι θείαν, ἐν τούτοις τὴν ἀποκάλυψιν τίς ἐστι διηγεῖται· διὸ λέγει ἑώρακα τὴν νύκτα, ἀντὶ τοῦ εἶδον ἀποκάλυψιν τοιάνδε· εἶτα καὶ λέγει τοιαύτην ἥτις ἐστί. „ Καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἵππον πυῤῥόν· καὶ οὗτος εἱστήκει ἀναμέσον τῶν „ ὀρέων τῶν κατασκίων· καὶ ὀπίσω αὐτοῦ ἵπποι πυῤῥοὶ καὶ ποικίλοι καὶ λευκοί· „ καὶ εἶπον, τί οὗτοι κύριε; καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐμοὶ, ἐγὼ δεί-

faceret. „ Responderunt, inquit, atque dixerunt: sicuti disposuit Dominus omnipotens „ facere nobis secundum vias nostras, et secundum studia nostra, sic fecit nobis „. Verbum *disposuit* pro *disposuerat* ponitur: eterim haud de praesenti sed de praeterita re sermo est. Fatemur, inquit, quae Deus nobis eventura portenderat, congruo facinoribus nostris decreto, ea nos revera expertos fuisse: quare vehementer nobis persuasum est, dictorum divinorum veritatem esse certissimam. Haec elocutus, revelationem deinceps propheta narrat sibi a Deo oblatam, ex qua cum ipse non dubiam publicae felicitatis confirmationem percepit, tum fidenter auditoribus visa nunciavit. Sic autem ait.

„ Die vigesima quarta mensis undecimi, qui dicitur sabat, secundo Darii anno, „ sermo Domini factus est ad Zachariam Barachiae, filium Eddonis, prophetam, di- „ cens „. Verba *sermo Domini factus est* pro *divina revelatione ego dignus habitus sum* ponuntur. Neque enim vel sermo Domini vel Dominus dicturus erat *noctem vidi*. Sed enim heic loqui prophetam constat. Igitur postquam ait divinam sibi accidisse revelationem, quaenam ista fuerit pergit dicere. Ait ergo *noctem vidi*, pro *hoc ostentum vidi*. Mox eius rei rationem edisserit. „ Ecce vir equo rufo insidens: „ hic in montium umbrosorum medio stabat: post eum equi rufi et varii et albi. Di- „ xique, quinam isti sunt Domine? Dixitque mihi angelus qui mecum loquebatur;

„ ξω σοι τί ἐστι ταῦτα. καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ ἐφεστηκὼς ἀνὰ μέσον τῶν ὀρέων, „ καὶ εἶπε πρός με. οὗτοι εἰσὶν οὓς ἐξαπέστειλε κύριος περιοδεῦσαι τὴν γῆν. καὶ „ ἀπεκρίθησαν τῷ ἀγγέλῳ κυρίου τῷ ἐφεστῶτι ἀναμέσον τῶν ὀρέων, καὶ εἶπον, πε- „ ριωδεύσαμεν τὴν γῆν πᾶσαν, καὶ ἰδοῦ πᾶσα ἡ γῆ κατοικεῖται καὶ ἡσυχά- ζει „. Εὔδηλον ὅτι πάντα δὴ τὰ τῷ προφήτῃ δειχθέντα, γνωρίσματα τινῶν ὑπῆρχεν πραγμάτων. ὡς γὰρ ὁ Ἰωσὴφ εἶδε δράγματα καὶ ἥλιον καὶ σελήνην καὶ ἀστέρας, ἕκαστον δὲ τούτων πράγματος τινὸς ἐσομένου δήλωσιν εἶχεν. καὶ ὁ Φαραὼ στάχυάς τε καὶ βόας τοὺς μὲν εὐπαθεῖς τοὺς δὲ λεπτούς. ἦν δὲ καὶ ἐν τούτοις ἕτερα τὰ ἐκ τῶν δεικνυμένων σημαινόμενα. τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ προφήτης, ταῦτα μὲν δι᾽ ἀποκαλύψεως ὁρᾷ θείας, ἕκαστον δὲ τῶν δεικνυμένων αὐτῷ σημεῖον τι καὶ δήλωσιν πράγματος εἶχεν. οὕτω καὶ ὁ μακάριος Πέτρος εἶδε Act. X. 11. σινδόνα ἀπ᾽ οὐρανοῦ καταφερομένην, μεστὴν παντοδαπῶν ζώων καθαρῶν τε καὶ ἀκαθάρτων, τὰ φαινόμενα δὲ ἑτέρων τινῶν δήλωσιν εἶχε. τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ μακάριος Ζαχαρίας τὴν ἀποκάλυψιν διηγούμενος λέγει πρὸ τῶν ἄλλων ὅτι ἄνδρα εἶδεν ἐπὶ ἵππον ἐπιβεβηκότα πυῤῥὸν, ὃς ἀναμέσον τῶν ὀρέων εἱστήκει τῶν κατασκίων. κ. τ. λ.

et reliqua.

ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟΧΕΩΣ

ΕΡΜΗΝΕΙΑ ΑΓΓΑΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Ὠσηὲ μὲν καὶ Ἰωὴλ καὶ Ἀμὼς καὶ Μιχαίας οἱ μακάριοι προφῆται κοινὸν πρὸς ἅπαντα τὸν ἰσραηλιτικὸν λαὸν ἐποιοῦντο τὸν λόγον, τούς τε τῶν δέκα φυλῶν

„ ego tibi rem hanc declarabo. Responditque vir ille qui inter medios montes constiterat, „ dixitque mihi: hi sunt quos misit Dominus ad perlustrandam terram. Porro respon- „ derunt angelo Domini qui in mediis montibus stabat, dixeruntque: terram uni- „ versam perambulavimus; et ecce universa terra habitatur et quiete fruitur „. His ostentis prophetae oblatis significari facta nonnulla nemo non videt. Nam sicuti Iosephus manipulos vidit et solem et lunam et astra, quae singula facti alicuius significationem habebant; itemque Pharao spicas et boves partim crassas partim exiles, quae pariter certum quid aliud innuebant; eodem modo etiam propheta res, quas diximus, divina revelatione spectat, sed tamen singula ostenta facti alicuius indicium adferebant. Sic etiam beatus Petrus sindonem vidit caelo demissam, omnigenis beluis tum mundis tum etiam immundis plenam, quae visio aliud quid designabat. Hoc pacto Zacharias quoque propheta revelationem suam proponens, ait in primis se virum vidisse equo rufo insidentem, qui in medio umbrosorum montium constiterat *etc.*

THEODORI ANTIOCHENI MOPSUESTIAE EPISCOPI

IN AGGAEUM PROPHETAM COMMENTARIUS.

Beati prophetae Oseas et Ioel et Amosus atque Michaeas ad universum pariter Israelitarum populum verba fecerunt, nempe et ad decem tribus, quarum metropolis

ὧν ἐβασίλευεν ἡ Σαμάρεια, καὶ μὴν καὶ τοὺς τῆς Ἰούδα φυλῆς, τούς τε τὴν Ἱερουσαλὴμ οἰκοῦντας, ἀμφοτέρους ὁμοίως· ἐπί τε ταῖς ἀσεβείαις καὶ ταῖς παρανομίαις ἐλέγχοντες αἷς διεπράττοντο ποικίλως· προστιθέντες δὲ καὶ τὰ ὑπὲρ τούτων αὐτοῖς ἀμετανοήτως πταίουσι συμβησόμενα κακὰ, τά τε ταῖς δέκα φυλαῖς πρότερον ὑπὸ τῶν ἀσσυρίων συμβάντα, καὶ τὰ τοῖς τοῦ Ἰούδα φυλῆς ὑπὸ βαβυλωνίων ὕστερον γεγονότα· οἷς περ οὖν καὶ τὴν ἐπὶ τὸ κρεῖττον αὐτῶν μεταβολὴν ἐπισυνῆπτον ταῖς προῤῥήσεσι ταῖς ἑαυτῶν, ὅτι τε ἀφεθέντες τῆς αἰχμαλωσίας ἐπὶ τὴν χώραν πάλιν ἀνελεύσονται τὴν οἰκείαν. Ἀβδιοῦ μὲν τοῦ μακαρίου τὴν Ἰδουμαίοις κατὰ τὸν τῆς ἐπανόδου καιρὸν ἐπαχθησομένην λέγοντος τιμωρίαν· Ἰωνᾶ δὲ τοῦ μακαρίου τὴν καταστροφὴν ἀπειλήσαντος νινευίταις, εἰ μὴ τῆς ἑαυτῶν μεταβάλοιντο κακίας· τοῦ μακαρίου δὲ Ναοὺμ σαφῶς τήν τε πολιορκίαν τῆς Νινευὴ καὶ τὴν καθαίρεσιν ἁπάσης τῆς τῶν ἀσσυρίων βασιλείας μηνύοντος προδήλως, ἣν ὑπὸ βαβυλωνίων ἔμελλον ὑπομένειν· Ἀμβακοὺμ δὲ καὶ Σοφονίας οἱ μακάριοι προφῆται ἤδη τῶν ἐν ταῖς δέκα φυλαῖς ἐκπορθηθέντων τε ὑπὸ τῶν ἀσσυρίων καὶ παντελῆ τήν τε αἰχμαλωσίαν καὶ τὴν ἐκ τῶν τόπων τῶν οἰκείων μετάστασιν δεξαμένων, τοὺς τῆς Ἰούδα φυλῆς μόνους, τούς τε ἐπὶ τῆς Ἱερουσαλὴμ οἰκοῦντας, ἐπὶ ταῖς ἀσεβείαις αὐτῶν ἐλέγχουσι καὶ ταῖς παρανομίαις, λέγοντες τὴν διὰ τῶν βαβυλωνίων ἐπὶ τούτοις ἐπαχθησομένην αὐτοῖς παρὰ τοῦ θεοῦ τιμωρίαν οὐ μετὰ πολύν γε ἐσομένην τὸν χρόνον· ἀλλ' ὡς εὐθύ γε καὶ παραχρῆμα τῶν μηνυομένων κακῶν ἐπελευσομένων αὐτοῖς ἁπάντων· καὶ ἐγγυτέραν γε τῶν ἐσομένων τὴν ἔκβασιν Σοφονίου μηνύοντος ἔσεσθαι τοῦ προφήτου· Ἀγγαῖος δὲ ὁ μακάριος προφήτης, οὗ δὴ πρόκειται νῦν ἡμῖν θεοῦ χάριτι ποιεῖσθαι τὴν σαφήνειαν, οὐ τῆς αἰχμαλωσίας μόνον ἤδη γεγενημένης τῆς ὑπὸ βαβυλωνίων τοῖς κατὰ τὴν Ἱερουσαλὴμ ἐπαχθείσης ποιεῖται τὴν προφητείαν, ἀλλὰ γὰρ ἀπαλλαγέντων

Samaria erat, itemque ad Iudae coniunctim tribum civesque Hierosolymorum; quos omnes peccatis deditos et diversorum criminum reos aeque obiurgabant; adiectis impendentium malorum minis, si sine paenitentia delinquerent: ceu reapse illis accidit, decem scilicet primo tribubus ab Assyriis, deinde Iudae tribui a Babyloniis. Sed tamen cum his praedictionibus felicem quoque rerum conversionem spondebant prophetae, nempe quod populus captivitate expeditus in patriam reversurus esset. Beatus autem Abdias poenas Idumaeis circa reditus tempus infligendas narrat. Beatus Ionas excidium Ninivitis minatur, nisi a sua malitia resipuerint. Beatus Nahumus Ninives obsidionem, universique imperii Assyriorum eversionem praecinit, quam a Babyloniis experturi erant. Beati prophetae Abacucus ac Sophonias postea quam decem tribus Assyrii iam populati fuerant, suisque sedibus abreptas in captivitatem transtulerant; Iudae tribum, quae sola erat reliqua, civesque urbis Hierosolymorum de sua iniquitate legumque violatione coarguunt, atque adfuturam aiunt a Babyloniis ultionem, haud equidem sero pede, sed iam proximam, cum malorum omnium, quae praedicta fuerant, cohorte: et sane propinquum rerum exitum Sophonias canit. Beatus vero Aggaeus propheta, cuius nunc explanandi cum Dei gratia consilium nobis susceptum est, vaticinium suum non modo circa recentem Hierosolymorum a Babyloniis captorum calamitatem facit; verum

μὲν τῶν Ἰσραηλιτῶν ἤδη τῆς αἰχμαλωσίας, ἐπανεληλυθότων δὲ πάλιν εἰς τὴν χώραν τὴν οἰκείαν παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα χάριτι θείᾳ, τοῖς λόγοις κέχρηται τοῖς οἰκείοις τοὺς ἐπανεληλυθότας τε καὶ ἐπὶ τῆς οἰκείας διάγοντας χώρας τῆς· τοσαύτης χάριτος παραδόξως τετυχηκότας ἐλέγχων ἐπὶ τῇ περὶ τὴν οἰκοδομὴν τοῦ ναοῦ ῥαθυμίᾳ. οὗ τῆς οἰκοδομῆς πρόδηλον ὡς οὐχ ἑαυτοῦ γε ἕνεκεν εἶχε φροντίδα πολλὴν ὁ θεὸς, ὡς αὐτὸς περὶ ἑαυτοῦ φησίν. ὁ οὐρανός μοι θρόνος, ἡ Isai. LXVI. 1.
δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. ποῖον τοῦτον οἶκον οἰκοδομήσετέ μοι, λέγει κύριος; ἢ τίς τόπος τῆς καταπαύσεώς μοι ἐστί; καί τοι γε μικρὸν καὶ τοῦτο, εἰ πρὸς τὸ μέγεθος τὰ εἰρημένα σκοπεῖτο τὸ θεῖον, ἁπάντων γε τῶν ὄντων προδήλως ὑπερκείμενον, οὐδ᾽ ὁπόσον εἰπεῖν τε ἢ νοῆσαι δύναιτο ἄν τις. ἀλλ᾽ ὑπὲρ αὐτῶν γε τῶν Ἰσραηλιτῶν ὁ τῶν ἀνθρωπείων ψυχῶν κηδέμενος, τῆς οἰκοδομῆς τοῦ ναοῦ πολὺν ποιεῖται τὸν λόγον. ἐπειδὴ γὰρ διετάξατο μὲν ἐν ἐκείνῳ τῷ τε τόπῳ καὶ τῷ ναῷ συνιόντας τὴν καθήκουσαν αὐτῷ τοῖς νομικοῖς παραγγέλμασιν ἀκολούθως ἀποδιδόναι θρησκείαν, διὰ πάντων δὲ τούτων ἐπὶ τῆς εὐσεβείας ἐβούλετο συνέχεσθαι τὸν λαὸν, ὡς ἂν προσηκόντως ἐκεῖθεν κατὰ καιρὸν ὀφθείη τὸν δέοντα ὑπὲρ τῆς ἁπάντων σωτηρίας ὁ δεσπότης τὸ κατὰ σάρκα χριστὸς, ἀναγκαίως τῆς κατασκευῆς ἐπιμέλειαν ἐποιεῖτο τοῦ ναοῦ, ὡς ἂν ὁ λαὸς διὰ τῆς ἐν αὐτῷ συναγωγῆς τὴν βελτίωσιν δέχοιτο, ὑπὲρ ἁπάντων ὡς ἔφην ἀνθρώπων τῆς οὕτω πολλῆς τε καὶ μεγίστης ἀξιούμενος ἐπιμελείας. ὡς γὰρ θυσιῶν ἀνέχεται, καὶ τῶν ἄλλων δὴ τῶν τοιούτων ὁ θεὸς, οὐθὲν τούτων δεόμενος καθάπαξ αὐτὸς διὰ τὴν ἡμετέραν χρείαν, οὕτω καὶ τῆς περὶ τὸν ναὸν εἴχετο φροντίδος, οὐχ ἑαυτοῦ γε ἕνεκεν, ἀλλ ὑπὲρ ἐκείνων, οὓς αὐτόθι συνιέναι τε καὶ τὴν καθήκουσαν τῷ θεῷ θεραπείαν ἀποδιδόναι προσῆκον ἦν, ὑπὲρ ἁπάντων γε ἀνθρώπων, ὥσπερ οὖν

etiam solutos iam servitute Israelitas, atque in patriam praeter omnem humanam spem Dei gratia restitutos, oratione sua reduces alloquitur, qui in propriis laribus versabantur, tantoque beneficio mirabiliter usi fuerant; atque eorum in templi aedificatione segnitiem obiurgat: quod templum ut aedificaretur, haud equidem sui causa tantam curam gerebat Deus, qui ceteroquin ait: „ caelum mihi thronus, terra scabellum „ pedum meorum. Quae est ista domus quam mihi aedificatis, ait Dominus, aut quis„ nam locus quietis meae? „ Profecto nihil non parvum est, si quae diximus cum Dei magnitudine comparentur, quae res omnes creatas tantum excedit, quantum homini nec fari licet. Verumtamen Deus, cui animarum cura est, Israelitarum potius causa de templi aedificatione tantopere laborabat. Nam quia in mandatis dederat, ut eo in loco temploque congregati congruum legitimis institutionibus cultum sibi persolverent; atque his caerimoniis exerceri a populo religionem volebat, ut apte illinc tempore suo ad communem peragendam salutem Christus dominus in carne emergeret; ideo de hoc aedificio sollicitus necessario erat; nempe ut conventibus in eo celebrandis mores suos emendaret populus, cui prae ceteris ut dixi hominibus tantam Deus curam dignanter impertiebat. Nam sicuti sacrificia et cetera eiusmodi Deus recipit, non quia ipse his egeat, sed utilitatum nostrarum causa; sic etiam templi studium prae se ferebat, non equidem sui gratia sed Iudaeorum, quos illic congregari iustamque Deo religio-

ἔφθην πρόσθεν εἰπών. ἔχει δὲ τινὰ καὶ μήνυσιν ἐσομένων τὸ βιβλίον τῶν περὶ τὸν Γὼγ φημὶ, ἣν ἀπ᾽ αὐτῶν τῶν γεγραμμένων ἄμεινον ἴδοι τίς ἄν. ἀλλ᾽ οὗτος μὲν ὁ τοῦ βιβλίου σκοπός. προσεκτέον δὲ τοῖς κατὰ μέρος λοιπόν.

„ Ἐν δὲ τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου τοῦ βασιλέως, ἐν τῷ μηνὶ τῷ ἕκτῳ, „ μιᾷ τοῦ μηνός, ἐγένετο λόγος κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου λέγων „. Ἐν δευτέρῳ μὲν ἔτει Δαρείου περσῶν βασιλεύοντος τοῦ τετάρτου μετὰ Κῦρον ὃς πρῶτος μηδῶν τε καὶ περσῶν κατὰ ταυτὸν ἐβασιλεύσεν, ἐπανελελυθότων ἤδη εἰς τὰ οἰκεῖα τῶν τε τῆς Ἰούδα φυλῆς καὶ τῶν λοιπῶν ὁπόσοι περ αὐτοῖς συνανελθεῖν προθυμίαν ἔσχον, καὶ δὴ καὶ τῆς Ἱερουσαλὴμ ἀπειληφότων τὴν οἴκησιν, Ἀγγαῖον τὸν μακάριον προφήτην ἀποκαλύψεως ἠξιῶσθαι θείας φησίν, ἐπὶ τῷ τὴν τῶν προσηκόντων διάλεξιν πρὸς τοὺς ἀνεληλυθότας ποιήσασθαι τῶν ἰουδαίων, καὶ πρό γε τῶν ἄλλων τῆς οικοδομῆς καταμελοῦντας ἐλέγξαι τοῦ ναοῦ, ὃν δὴ μάλιστα ἐπανεληλυθότας ἀπὸ τῆς αἰχμαλωσίας μετὰ πολλῆς ἀνεγεῖραι τῆς προθυμίας προσῆκον ἦν. ἐπισημαίνεται δὲ καὶ τὸν μῆνα καὶ τὴν ἡμέραν καθ᾽ ἣν ἐξ ἀποκαλύψεως θείας ὁ προφήτης ἐχρῆτο τοῖς πρὸς ἰουδαίους λόγοις. ὡς ἂν τεταγμένως δείξειεν ὅπως μὲν αὐτοῖς τῆς οἰκοδομῆς ἀμελοῦσι τοῦ ναοῦ τὰ πράγματα διακεῖσθαι συνέβαινεν. ὅσην δὲ μετάστασιν ἐπὶ τὸ κρεῖττον ἔλαβον ὁπηνίκα τῆς περὶ τὸν ναὸν οἰκοδομῆς τὴν προσήκουσαν ἔχειν ἤρξαντο φροντίδα. τίνα δὲ ἦν ἅπερ εἰπεῖν πρὸς αὐτοὺς ὁ προφήτης ἐκελεύσθη παρὰ τοῦ θεοῦ, ἑξῆς φησιν. κ. τ. λ.

et reliqua.

nem persolvere, prae ceteris ut paulo ante dixi hominibus, aequum erat. Futurarum praeterea rerum mentio aliqua in libello est; quarum notitiam ex ipsis scriptis cognoscere praestat. Hoc est igitur argumentum libri, qui iam singillatim explanandus est.

„ Anno Darii regnantis secundo, mense sexto, die mensis prima, factus est ser„ mo Domini in manu Aggaei prophetae dicens „. Anno secundo Darii Persarum regis, quarti post Cyrum illum qui primus Medorum simul atque Persarum imperium tenuerat, quum iam in patriam se recepissent quotquot ex Iudae tribu et ex reliquis sponte cum illa redire voluerant, quumque ii Hierosolymorum urbem iam incolerent, beatum Aggaeum prophetam divina revelatione collustratum ait scriptura: ut is nimirum reduces Iudaeos de officiis admoneret, atque apprime negligentiam eorum in aedificando templo obiurgaret, qui sane excitandi eius maximum studium debuissent expromere. Significat etiam mensem ac diem, quo secundum Dei revelationem propheta ad populum loqui orsus est: ut deinde ordinatim dicat quid eis acciderit ob neglectum templi aedificium; quantoque meliore in statu tunc essent, cum structuram illam alacri animo urgere coepissent. Iam quaenam iis propheta dicere a Deo iussus fuerit, in sequentibus declarat *etc.*

ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟΧΕΩΣ

ΕΡΜΗΝΕΙΑ ΙΩΝΑ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

THEODORI ANTIOCHENI MOPSUESTIAE EPISCOPI (1)

COMMENTARIUS INTEGER IN IONAM PROPHETAM.

A Εἷς καὶ ὁ αὐτὸς τῆς τε παλαιᾶς καὶ νέας
διαθήκης ὑπάρχων Θεὸς ὁ δεσπότης καὶ ποιητὴς
τῶν ἁπάντων, πρὸς ἕνα σκοπὸν ὁρῶν τά τε
κατ' ἐκείνην ᾠκονόμησε καὶ τὰ κατ' αὐτήν· πά-
λαι μὲν ἔχων βεβουλευμένην παρ' ἑαυτῷ τὴν
B μέλλουσαν ἐκφῆναι κατάστασιν, ἧσπερ τὴν ἀρχὴν
ἐν τῇ κατὰ τὸν δεσπότην Χριστὸν ἀνέδειξεν οἰ-
κονομίᾳ· ἀναγκαῖον δὲ νομίσας ἐν ταύτῃ δή,
τῇ παρούσῃ λέγω, πρότερον ἡμᾶς γενέσθαι, εἶθ'
ὕστερον εἰς ἐκείνην μεταστῆναι διὰ τῆς ἐκ νεκρῶν
C ἀναστάσεως· ὡς ἂν ἐκ παραθέσεως μᾶλλον γνοί-
ημεν τῶν τε δειχθησομένων τὸ μέγεθος ἀγα-
θῶν· εἶθ' ὡς ἂν τοῦτο γένηται δῆλον, καὶ μὴ
καινόν τι νομίζοιτο ὕστερον βεβουλεῦσθαί τε καὶ
δεδοκιμακέναι περὶ ἡμῶν, διὰ πολλῶν μὲν ἤδη
D καὶ ἑτέρων ἐναπέθετο τοῖς ἀνθρώποις τοῦ δεσ-
πότου Χριστοῦ τὴν παρουσίαν· ὥστε πάντας Ἰου-
δαίους πόρρωθεν ἀπεκδέχεσθαι ταύτην· οὐδε-
νὸς δὲ ἧττον ἔκ τε τῶν κατὰ τὸν Ἀβραὰμ καὶ
τὸν Δαβὶδ εἴργασται τοῦτο, πρὸς οὓς ἐπαγγελίας
E ἐποιήσατο τὸν μέν, ὅτι ἐνευλογηθήσεται ἐν τῷ
σπέρματι αὐτοῦ πάντα τὰ ἔθνη· τὸν δέ, ὅτι
διηνεκῆ παρέξει τοῖς ἐξ αὐτοῦ τὴν βασιλείαν·
ἅπερ οὖν τῷ μὲν δοκεῖν τὸν λαὸν ἐμήνυε τὸν
ἐφ' οὗπερ ταῦτα πληροῦσθαι ἔμελλεν, ἡ δὲ τῶν
F πραγμάτων ἀλήθεια ἐπὶ τῶν κατὰ τὸν δεσπό-
την Χριστὸν οἰκονομηθέντων ἐδείκνυτο, λαβοῦσα
τὸ πέρας· ἐφ' ἧπερ καὶ τὸ ἐνευλογηθῆναι τὰ ἔθνη
γέγονεν ἀληθῶς, καὶ διηνεκῆ δὲ καὶ ἀσάλευτον
εἶναι τῷ σπέρματι τὴν βασιλείαν· διὰ δὲ τοῦτο
G καὶ ἡ περὶ τὸν λαὸν ἐπιμέλεια τοῦ Θεοῦ πολλή
τις γέγονεν, ἐπειδὴ πάντες ἐπὶ ταῖς ἐπαγγε-
λίαις φυλαττόμενοι ταῖς εἰρημέναις, τὴν προσ-
δοκωμένην παρουσίαν ἀνέμενον τοῦ δεσπότου
Χριστοῦ· ἀλλὰ γὰρ ταύτης ἕνεκεν τῆς αἰτίας
H πλεῖστα ὅσα ἐπὶ τῆς παλαιᾶς διαθήκης κατὰ
τοῦτον ᾠκονόμησε τὸν τρόπον, ὡς ἂν καὶ τοῖς τό-
τε μεγίστην τὰ γινόμενα παρέχοιτο τὴν ὠφέλειαν,
καὶ μήνυσιν τινὰ τῶν πραγμάτων ἔχῃ τῶν ὕστε-
ρον δειχθησομένων, μετά του καὶ τὴν ὑπεροχὴν
I τῶν δευτέρων πρὸς τὰ πρότερα πλείστην τινὰ φα-
νήσεσθαι οὖσαν· εὑρίσκεταί τε κατὰ τοῦτον τὸν
τρόπον τύπος τις τὰ παλαιὰ τῶν ὕστερον, ἔχον-
τα μέν τινα μίμησιν πρὸς ταῦτα μετά του καὶ
χρείαν ἐν τοῖς οἰκείοις παρέχεσθαι καιροῖς· δη-
K λούμενα δὲ ἐξ αὐτῶν τῶν πραγμάτων ὁπόσον
ἐλάττονται αὐτά.

Unus idemque veteris ac novi testamenti Deus, dominus et creator omnium, uno scopo sibi proposito, illius pariter atque huius temporis curam gessit: olim quidem habens firmum apud se propositum futurum rerum statum ad exitum perducendi; cuius initium Christi domini incarnatione fecit: necessarium tamen iudicavit, praesentem antea conditionem nos experiri, tum ad futuram transferri per resurrectionem a mortuis: nempe ut ex comparatione magis nobis innotesceret promissorum magnitudo bonorum. Deinde quo id consilium palam fieret, neque aliquid novi excogitatum postea decretumque videretur, aliis quoque permultis indiciis Christi domini adventum hominibus portenderat, ita ut Iudaei omnes hunc iamdiu expectarent. Neque id minus ex oraculis Abrahamo Davidique editis conficiebatur, quibus promiserat; illi quidem, fore ut omnes gentes in semine eius benedicerentur; huic autem, fore ut posteris eius perpetuum regnum attribueretur (2). Quae itaque secundum populi existimationem significabant illum, cuius causa hae res efficiendae erant, ea reapse in Christi domini incarnatione comperta sunt exitum habere: in quo etiam benedici gentes vere contigit, et perpetuum inconcussumque generis regnum fieri. Propterea etiam Dei providentia circa populum multa fuit, quoniam omnes promissionum dictarum memores, exoptatum Christi domini praestolabantur adventum. Atque haec causa fuit, cur plurima in vetere testamento Deus secundum eiusmodi administraverit rationem: ita ut gesta illa tum eius temporis hominibus maximam praeberent utilitatem, tum etiam significationem haberent gerendarum postea rerum: praeter quam quod excellentia simul quam plurima novi prae vetere testamento apparitura erat. Compertum est igitur hoc modo, vetera esse typum quendam posteriorum, non sine aliqua eorumdem imitatione, et cum idoneo suis temporibus usu: sed tamen re ipsa demonstrantia, quantopere illa praesentibus minora fuerint.

(1) Theodori antiocheni nomine celebrem illum intelligi Mopsuestiae episcopum, ter diserte tradit Photius codd. XXXVIII, LXXXI, CLXXVII; idque aliunde exploratissimum est. Quare hunc episcopatus titulum latinae interpretationi commode addendum curavi. (2) Legesis Eusebium quaest. evang. VI.

A Ἐξήγαγε μὲν οὖν τῆς Αἰγύπτου τὸν Ἰσραὴλ
ὁ Θεὸς καὶ πάσης τῆς πικρᾶς ἐκείνης ἀπήλλαξε
δουλείας(1)· ἐργασάμενος δὲ θάνατον τῶν πρωτο-
τόκων πολὺν, διὰ τοῦτο τὰ τῶν ἰσραηλιτῶν πε-
ριέσωσε παντελῶς· ἅπερ οὖν καὶ σημείῳ διέκρι-
B νε πρὸς τὸ μηδὲν παραπλήσιον τοῖς αἰγυπτίοις
παθεῖν· ἦν δὲ τοῦτο ἡ ἐπὶ τῶν φλιῶν τοῦ αἵ-
ματος χρίσις· ταῦτα δὲ πολλὴν μὲν τοῖς ἰσ-
ραηλίταις γινόμενα τότε παρείχετο τὴν ὠφέλει-
αν τοῖς γε καὶ ἐν ἀπολαύσει τοιούτων καθεστα-
C μένοις· προεσημαίνετο δέ πως ὡς ἐν τύποις τὸ
καὶ τὸν δεσπότην χριστὸν οὕτως ἡμᾶς ἀφαιρή-
σεσθαι, οὐ τῆς Αἰγύπτου δουλείας ἀλλὰ τῆς τε
τοῦ θανάτου καὶ τῆς ἁμαρτίας· ἅπερ οὖν ἡμῖν
παρέσχε τῇ χρίσει τοῦ αἵματος τοῦ οἰκείου· τοῦ-
D το γὰρ ὑπὲρ ἁπάντων ἐκχέας, καὶ τὸν θάνα-
τον ὑποστὰς τὸν ὑπὲρ ἡμῶν, εἰργάσατό τε τῶν
νεκρῶν τὴν ἀνάστασιν, καὶ παρέσχεν ἅπασιν
ἡμῖν τὸ πάσης τῆς ἐνταῦθα δουλείας ἀπαλλα-
γεῖσιν, ἀπεκδέχεσθαι τῆς τε ἀθανασίας καὶ
E τῆς ἀφθαρσίας καὶ τῆς ἀναμαρτησίας τὴν ἀπό-
λαυσιν· μεθ' ὧν οὐ γῆν ἐπαγγελίας οἰκήσομεν,
ὡς ἐκεῖνοι, ἀλλ' ἐν τῇ τῶν οὐρανῶν ἐσόμεθα
βασιλείᾳ· Ὁπόσον δὲ τούτων πρὸς ἐκεῖνο τὸ
διάφορον, καὶ ὅτι ἐκείνων μὲν ἐπ' ὀλίγον ἐγέ-
F νετο τὸ κέρδος, τούτων δὲ μεγίστων τε ὄντων καὶ
πολλῶν διηνεκὴς ἡ ὠφέλεια τοῖς λαβοῦσιν προσ-
έσται, ἐξ αὐτῶν ἅπασι δῆλον καθέστηκε τῶν
πραγμάτων· οὕτω καὶ τοὺς ἐπταικότας τῶν ἰσ-
ραηλιτῶν τιμωρίαις ἐπέβαλλεν ἐπὶ τῆς ἐρήμου,
G ὡς ἂν ἐν τισι τύποις παιδεύων ἡμᾶς δεδοικέναι
τὴν ἁμαρτίαν, ὡς ἱκανήν τε οὖσαν τοῖς χείρο-
σιν ἡμᾶς περιβαλεῖν. Τοῦτο δὲ ὁ μακάριος δη-
λοῖ Παῦλος λέγων (2), ταῦτα δὲ πάντα τύποι
συνέβαινεν ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν
H ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν.
Οὕτω διὰ τῆς νομικῆς διατάξεως, ταῖς τε θυ-
σίαις καὶ τῷ αἵματι τῶν ἀλόγων ζώων ἔταξεν
ὠφελεῖσθαι τοὺς χρωμένους· ἵν' ἐκ παραθέσεως
ἡμῖν τὸ πιστεύειν μειζόνως προσῇ, ὅτι μεγίστων
I ἀγαθῶν ἐν τῷ αἵματι τευξόμεθα τοῦ δεσπότου
χριστοῦ· ὅθεν ὁ μακάριος λέγει Παῦλος (3) εἰ γὰρ
τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμά-
λεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει
πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλ-
K λον τὸ αἷμα τοῦ χριστοῦ ὃς διὰ πνεύματος αἰωνίου
ἄμωμον ἑαυτὸν προσήνεγκε τῷ Θεῷ, καθαριεῖ
τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων: ἐκ γὰρ
τῆς τοῦ δεσπότου χριστοῦ διαφορᾶς πρὸς τὰ ἄλο-
γα ζῶα ἀρκούντως ἡμᾶς ἐπιστώσατο, ὅτι πολ-
L λῷ πλέον ἡμᾶς τούτοις προσήκει πιστεύειν ἢ ἐπ'
ἐκείνοις ἐπίστευον οἱ τότε· καὶ κατὰ τὴν ἔρη-
μον δὲ τῶν ἰσραηλιτῶν δι' ἀπείθειαν ταῖς τῶν
ὄφεων ἀπολλυμένων πληγαῖς, ἐκέλευσεν ὁ Θεὸς
τῷ μακαρίῳ Μωσῇ χαλκοῦν ἀπεργάσασθαι ὄφιν,
M ὡς ἂν ἐπ' αὐτὸν ἀποβλέποντες οἱ πληττόμενοι
τῆς βλάβης τῶν πληττόντων ῥᾳδίαν δέχοιντο

Deus igitur ex Aegypto Israelem eduxit, omnique illa acerba servitute expedivit: editaque ingenti primogenitorum caede, hinc rem israeliticam integrae saluti restituit: quos populos miraculo etiam discriminavit, dum Hebraeos nihil simile Aegyptiis pati voluit: id quod accidit ob cruoris in postibus aspersionem. Haec, inquam, multum eius aetatis Israelitis emolumentum exhibuerunt, quibus eiusmodi bono frui datum fuit. Id autem portendebat, typi scilicet instar, fore ut Christus dominus liberaret nos haud ex Aegypti servitio, sed mortis atque peccati: quod quidem nobis Christus praestitit proprii sanguinis aspersione. Hoc enim ille pro omnibus fuso, et nece pro nobis obita, mortuorum resurrectionem patravit: fecitque ut nos omni hac servitute soluti, immortalitatis et incorruptibilitatis et impeccantiae bonum reciperemus: quo impetrato, haud iam promissam terram, ut illi, incoleremus, sed in regno versaremur caelorum. Iam quantum haec ab illis differunt! Israelitae ad breve temporis spatium bona illa consequebantur; nos haec, quae multa sunt et maxima, cum aeterna utilitate tenemus: id quod ex omni rerum ipsarum natura compertum est. Sic etiam peccantes in eremo Israelitas poenae subiecit Deus, ut his veluti exemplaribus peccatorum formidinem nobis incuteret, quorum causa in deteriorem solemus conditionem incidere. Id quod beatus docet Paulus dum ait: haec omnia illis in imagine contingebant; scripta autem sunt ad eruditionem nostram, in quos termini saeculorum devenerunt. Atque ita legalibus institutis curavit, ut illi cum fructu victimis et brutorum animantium sanguine uterentur: atque ut eo exemplo fides nostra roboraretur, fore nimirum ut bona maxima per Christi domini sanguinem consequeremur. Quare beatus ait Paulus: si enim sanguis taurorum et hircorum, et cinis vitulae irroratus, qui eo utuntur sanctificat ad carnis emundationem; quanto magis sanguis Christi, qui per aeternum spiritum Deo se obtulit immaculatum, conscientiam nostram a mortuis operibus purgabit? Nam Deus per Christi domini a brutis animantibus differentiam satis nos facit certiores, multo nos magis novis his debere confidere quam illi veteribus confidebant. Iam quum Israelitae in eremo propter suam incredulitatem colubrorum morsibus interirent, mandavit Deus beato Mosi, ut aeneum conflaret colubrum; quem qui vulnerati respicerent, damni sui medicinam fa-

(1) Conferendus heic et superius et alibi Theodoretus comm. ad Ion., qui sine dubio Theodori nostri laboribus non semel utitur, quamquam tacito benemerentis eiusdem Theodori nomine, et verbis immutatis. Multos Ionae interpretes, graecos nempe et latinos, extitisse tradit Hieronymus praef. ad Ion. comm. Inter latinos eminet ipse Hieronymus; inter graecos copiosi sunt, praeter Theodoretum, pseudo-Cyrillus et Theophylactus. Utinam superesset longe antiquior Origenes! pro quo nunc Mopsuestenum nostrum laeti suscipimus. (2) I. Cor. x. 11. (3) Hebr. viiii. 13.

A τὴν λύσιν· δυναμένου μὲν τοῦ Θεοῦ καὶ τοῦ πλήτ-
τεσθαι παντελῶς ἔξω ποιῆσαι, ἢ ἑτέραν γοῦν
τινα εὑρέσθαι τῆς πληγῆς ἰατρείαν· βουληθέν-
τος δὲ ἐν ἀπεικονίσματι τῶν πληττόντων τῆς
βλάβης δέχεσθαι αὐτοὺς τὴν λύσιν· ἵνα μὴ
B σφόδρα θαυμάζωμεν εἰ τῷ θανάτῳ τοῦ δεσπό-
του χριστοῦ λύων τὸν θάνατον ὁ Θεός, ἀθάνα-
τον ἡμῖν διὰ τῆς ἀναστάσεως παρέχεται τὴν
ζωήν· ὅθεν καὶ ὁ κύριος φησὶ (1), καὶ καθὼς Μω-
σῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆ-
C ναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πι-
στεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν
αἰώνιον· δεικνὺς ὅτι ὅνπερ τρόπον τότε τῶν
πληττόντων τὸ μίμημα τὴν ἀπὸ τῆς πληγῆς ἰᾶ-
το βλάβην, τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν ὁ
D πάντας ἀνθρώπους ἐπινεμόμενος θάνατος ἐπὶ
τοῦ δεσπότου χριστοῦ γεγονώς, οὐκ αὐτῷ μόνον,
ἀλλὰ γὰρ καὶ πᾶσιν ἀνθρώποις τοῦ θανάτου παρ-
έξει τὴν λύσιν.

Οὕτω δὴ καὶ τὰ κατὰ τὸν μακάριον γέγονεν
E Ἰωνᾶν τὸν προφήτην· ὃν ἰουδαίων ἀπειθούντων
καὶ προσίεσθαι τὰς προφητείας οὐκ ἐθελόντων
ἐπὶ τὰ ἔθνη μετελθεῖν παρεσκεύασεν ὁ Θεός·
εἶτα διὰ τριῶν τε ἡμερῶν καὶ νυκτῶν παραδόξως
ἐπὶ τοῦ κήτους αὐτὸν διασώσας ἤγαγέ τε εἰς
F τὴν πόλιν τὴν μυρίων πλήρη κακῶν· καὶ παρεσ-
κεύασε κηρύξαντα τὴν μετάνοιαν σωτηρίας ἅπα-
σι τοῖς αὐτόθι πρόξενον γενέσθαι· ἵν᾽ ἐκ πα-
ραθέσεως μὴ ἀπιστοίημεν, εἰ καὶ ὁ δεσπότης
χριστὸς διὰ τῶν ἴσων καιρῶν ἀδιάφθορος φυλαχ-
G θεὶς, καὶ ἐκ νεκρῶν ἀναστὰς, ἐν ἀθανάτῳ τε καὶ
ἀτρέπτῳ ζωῇ κοινὴν ἅπασι τοῖς ἔθνεσι, καὶ
ταῦτα γε ἀπειθούντων ἰουδαίων, τὴν ἐκ τῆς με-
τανοίας παρέχεται σωτηρίαν· ὅθεν καὶ ὁ κύριος
ποτὲ μὲν φησὶν (2), ὥσπερ γὰρ ὁ Ἰωνᾶς ἐν τῇ
H κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας ἐποίησε καὶ τρεῖς
νύκτας, οὕτω δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐν τῇ
καρδίᾳ τῆς γῆς ποιῆσαι τρεῖς ἡμέρας καὶ τρεῖς
νύκτας· ποτὲ δὲ ἄνδρες νινευῖται ἀναστήσονται
καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην, ὅτι ἤκου-
I σαν τοῦ κηρύγματος Ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ
ὧδε· δῆλον ὅτι ἐστὶ μὲν τις μίμησις τῶν πραγ-
μάτων· πολὺ δὲ τὸ διάφορον τούτων πρὸς ἐκεῖ-
να· καὶ ὅτι παραπλησίως μὲν οὗτοι τοῖς τότε
ἰουδαίοις ἀπιστοῦντες μένουσι· δέξεται δὲ τὰ
K ἔθνη τὴν ἐκ τοῦ κηρύγματος σωτηρίαν (3). Ἐπὶ δὴ
τούτοις σαφῶς ὁ μακάριος προβέβληται Ἰωνᾶς·
οὐδὲ γὰρ ἂν ὁ προφήτης οὕτως ἔμεινεν ἀπειθὴς
τῷ Θεῷ, ὡς μὴ ἑλέσθαι τι ποιῆσαι τῶν εἰρημέ-
νων αὐτῷ· καὶ ταῦτα ἐπὶ σωτηρίᾳ γε τοσούτων
L πεμπόμενος ἀνθρώπων, ἀλλ᾽ οὐδὲ ἀπειθοῦντα
πειραθῆναι πάντως τῶν κατὰ τὴν θάλατταν
ἦν ἀνάγκη κακῶν· ὥστε καὶ ἐμβληθῆναι κήτει,
καὶ ἐπ᾽ αὐτοῦ παραδόξως σωθῆναι, καὶ παραδο-
ξότερον ἔτι τὴν ἐκεῖθεν ἀνάδυσιν ὑπομεῖναι·
M δυναμένου γε τοῦ Θεοῦ ἑτέρως ὀκνοῦντα καὶ ἀπει-
θοῦντα τὸν προφήτην ἐπὶ τὸ δέον ἐγεῖραι· ὥσ-

cilem recepturi erant. Atqui quum Deo liceret vel Israelitas a morsibus omnino defendere, vel aliam quamlibet suppeditare ictus medelam; nihilominus eos voluit a mordentium imagine remedium referre: quo minime miraremur, si morte Christi domini Deus mortem destruens, immortalem nobis per corporum resurrectionem compararet vitam. Quare et Dominus ait: sicuti Moses exaltavit serpentem in solitudine, ita exaltari oportet filium hominis, ut omnis qui credit in illum non pereat, sed habeat vitam aeternam. Quibus verbis docet, sicut olim mordentium imago damnum vulneris persanabat, sic nunc mortem quae omnes homines depascebatur, postquam ea Christo domino accidit, non huic solum sed cunctis hominibus mortis remedium esse effecturam.

Sic etiam contigit beato prophetae Ionae, quem Iudaeis incredulis neque eius oracula recipientibus, ad gentes transgredi iussit Deus: deinde tribus diebus totidemque noctibus mirabiliter intra cetum conservavit incolumem, perduxitque in urbem innumerorum scelerum redundantem: nempe ut is paenitentiam praedicans, conciliator salutis incolis fieret; nos autem hoc exemplo eruditi minime negaremus, Christum dominum pari temporis spatio sine corruptione servatum; qui mox e mortuis ad immortalem atque immutabilem vitam revocatus, communem cunctis ethnicis (Iudaeis interim incredulitatem retinentibus) paenitentiae merito salutem exhibuit. Unde et Dominus aliquando dixit: sicut enim Ionas in ventre ceti tres dies totidemque noctes transegit; ita oportet filium hominis tres dies in corde terrae totidemque noctes manere. Tum vero ninivitae viri consurgent, et generationem hanc condemnabunt; propterea quod ipsi pronas aures praedicanti Ionae praebuerunt: ecce autem plus quam Ionas heic est. Porro rerum imitatio evidenter constat; quamquam multa est priscarum a novis discrepantia. Profecto Iudaei praesentes haud secus quam illi veteres in incredulitate perseverant; dum salutarem gentes recipiunt praedicationem. His de causis beati Ionae persona sapienter excitata est. Alioqui enim non tam incredulus Deo perstitisset propheta, ut nihil eorum faceret quae iubebatur, praesertim quum ad tot hominum curandam salutem mitteretur. Sed neque ita incredulum experiri eum opus erat marinam illam calamitatem, ceto nimirum obiici, prodigiose intra hunc servari, multo vero prodigiosius illinc exitum nancisci. Quippe Deo licebat aliter ad officium cogere renuentem incredulum.

(1) Ioh. III. 14. (2) Matth. XII. 40. (3) Repetitiones quaedam fiunt, cuiusmodi more abundare Mopsuestenum ait Photius codd. XXXVIII et CLXXVII; quod iudicium lectione horum commentariorum confirmare licebit.

A περ οὖν αὐτὸν ἐπί τε τοῦ Μωσέως ἔγνωμεν ποι-
οῦντα ὀκνοῦντος πρὸς τὴν ὑπουργίαν τῆς ἀπο-
στολῆς· ἐπί τε τοῦ Ἱερεμίου φεύγοντος ὁμοίως
κἀκείνου τῆς ὑπουργίας τὸ μέγεθος(1)· ἀλλὰ γὰρ
διὰ πραγμάτων οὕτω καινῶν τε καὶ παραδόξων
B προδήλως τὸν μακάριον Ἰωνᾶν ἀγαγεῖν ἐβουλή-
θη, ἐπειδὴ τύπον αὐτὸν τῶν κατὰ τὸν δεσπό-
την χριστὸν ἔμελλεν ἀποφαίνειν(2)· ὡς ταύτης
ἕνεκεν τῆς αἰτίας διὰ τοσαύτης ἀπίστου καινό-
τητος ἐνεχθεὶς(3), ἀξιόπιστος γένοιτο τοῦ τοσού-
C του πράγματος τὸν τύπον ἐμφαίνων ἐν ἑαυτῷ·
προηγουμένην μὲν οὖν τῶν κατὰ τὸν μακάριον
Ἰωνᾶν οὕτως παραδόξων γεγονότων ταύτην αἰ-
τίαν εἴποι τις ἄν· ἑπομένην δὲ κἀκείνην ἐκ τοῦ
τύπου τὴν ἀρχὴν λαβοῦσαν· ἀθυμεῖν γὰρ οὐχ
D ὡς ἔτυχεν ἀνάγκη τοὺς προφήτας ἦν, ὅτι συν-
εχῶς πρὸς τὸν λαὸν παρὰ τοῦ θεοῦ πεμπόμε-
νοι, ἐμήνυόν τε αὐτοῖς τὰ ἐσόμενα, καὶ τὰς
ἐπαχθησομένας τιμωρίας ἠπείλουν· καὶ πάν-
τα δὴ τὰ πρὸς διόρθωσιν αὐτῶν συντελοῦντα
E μετὰ πολλῆς διεπράττοντο τῆς σπουδῆς· ἤνυον
δὲ πλέον οὐδὲν, τῆς τῶν ἰσραηλιτῶν κακίας
ἀντιπραττούσης τῇ διὰ τῶν προφητῶν ἐπιμελείᾳ
παρὰ τοῦ θεοῦ περὶ αὐτοὺς γενομένῃ· ἀφ' οὗ δὴ
καὶ περιττὸν ὡς εἰκὸς ᾤοντο τὸν ἑαυτῶν εἶναι
F πόνον· καὶ δὴ καὶ πρὸς ἀπόγνωσιν παντελῆ
τῶν ἀνθρωπείων ἐχώρουν πραγμάτων· ὡς τῶν
μὲν ἐθνῶν πρὸς τὸ χεῖρον ἅπαξ νενευκότων, τῶν
δοκούντων δὲ εἰς τὴν γνῶσιν ἐξειλέχθαι τὴν
θείαν, οὐδὲν ἐλαττουμένων τῇ τε ἀσεβείᾳ, καὶ
G τῇ τῶν τρόπων μοχθηρίᾳ ἐκείνων· οὕτω δὲ δια-
κειμένους αὐτοὺς ψυχαγωγῆσαι βουλόμενος ὁ
θεὸς ὁ πολλὴν μὲν πάντων ἀνθρώπων ἐπιμέ-
λειαν ποιούμενος, ἐξαίρετον δέ τινα νέμων τοῖς
αὐτοῦ τὴν κηδεμονίαν, πολλάκις μὲν ἐδήλωσεν
H αὐτοῖς τὴν ἐπὶ τῆς δείξεως τοῦ δεσπότου χρι-
στοῦ γινησομένην μεταβολὴν τῶν ἀνθρωπείων
πραγμάτων· ὅτε δὴ πάντες ἔμελλον ἐκ τοῦ χεί-
ρονος θείᾳ χάριτι νεύειν ἐπὶ τὸ κρεῖττον· τὸ τε-
λευταῖον δὲ καὶ τὴν παράδοξον ταύτην ἐργα-
I σίαν διὰ τὴν κατὰ τὸν προφήτην Ἰωνᾶν πεποίη-
ται, εἰς διδασκαλίαν τε καὶ ψυχαγωγίαν πάν-
των τῶν προφητῶν, δι' ὧν ἔργοις ἔπειθεν αὐ-
τοὺς ὡς ἀληθῆ μὲν ἔσται τὰ κατὰ τὸν δεσπότην
χριστόν· καὶ ὅτι πάντες ἄνθρωποι θείᾳ χάριτι
K τότε μετελεύσονται πρὸς τὸ δέον· νῦν μὲν ἰου-
δαίων ἀνενδότως ἐχόντων περὶ τὴν τοῦ χείρονος
αἵρεσιν· διὰ τὸ συγχωρεῖν οὕτω τὸν θεὸν, εἰς
ἔλεγχον τῆς ἀνθρωπίνης προαιρέσεως τε καὶ ἀσ-
θενείας· ἐπὶ δὲ τῆς τοῦ δεσπότου χριστοῦ παρου-
L σίας ὅτ' ἂν τὴν οἰκείαν βούληται δεικνύναι χάριν
ὁ θεὸς. ἁπάντων ἀνθρώπων τῶν διαπαντὸς
πρὸς ἀσέβειαν νευόντων, τὴν ἐπὶ τὸ κρεῖττον
λαμβανόντων ῥοπήν· ὡς καὶ ὁ μακάριος Παῦλος
φησὶ (4) ὅτι συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ
M ἁμαρτίαν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· δεικ-
νὺς ὅτι ἐκ τῶν προειληφότων τὴν ἐπὶ τὸ χεῖρον
τῶν ἀνθρώπων ἐπαιδεύθημεν ῥοπήν· ἵνα μά-

que prophetam: sicuti ab eo factitatum novimus, quo tempore Moses apostolatus ministerium vitabat; itidemque cum Hieremias eiusdem operis magnitudinem extimescebat. Plane igitur constat, libitum esse Deo tam insolitis tamque miris casibus Ionam exercere, quo typum eum exhiberet gerendarum in Christo domino rerum: ita ut hanc ob causam per tam incredibilem novitatem deductus, dignus fide evaderet, propterea quod tanti operis figuram in semet ipso gereret. Praecipuam itaque prodigiorum quae beato Ionae acciderunt causam hanc dicere licet: proximam alteram, quae de typo similiter manat. Necesse enim erat haud mediocriter animum despondere prophetas, qui continenter ad populum a Deo missi futura canebant, imponendasque poenas minitabantur, et quidquid demum emendando mori conduceret, magna sedulitate praestabant. Ceteroqui nihil proficiebant, obnitente Israelitarum malitia adversus ea studia prophetarum, quos Deus illorum causa excitaverat. Quamobrem hi merito iam inutilem existimabant laborem suum, ac de rebus humanis prorsus desperabant: nempe quia ethnici in vitia constanter ruerent; is autem populus, qui ad divinam videbatur delectus scientiam, impietate et morum colluvie haud ethnicis cederet. Maestos itaque Deus prophetas ut recrearet, qui omnium quidem hominum multam gerit curam, peculiarem tamen providentiam electis impendit, saepenumero significavit illis futuram in Christi domini adventu conversionem humanorum morum: quo tempore omnes divinae gratiae instinctu a vitio ad virtutem respecturi erant: tum ad extremum hoc quoque admirabile in propheta Iona patravit opus ad omnium prophetarum eruditionem atque solatium: quos re ipsa certiores fecit de indubio Christi adventu, et de omnium hominum per id tempus ad bonam frugem reditu: Iudaeis interim valde ad vitia incumbentibus, Deo id permittente ob coarguendum mentis humanae liberum arbitrium ac fragilitatem: sed denique sub Christi adventum, quo tempore suam Deus gratiam patefacturus erat, cuncti homines qui nunc prorsus impietati dediti erant, ad virtutem cursum directuri erant. Quare etiam beatus Paulus ait, conclusisse Deum omnia sub peccato, ut fide iustificaremur: significans quemadmodum a maioribus nostris ad sectanda vitia inclinati fuerimus; quo scilicet cognoscere-

(1) Exod. III. 11. Hierem. 1. 6. (2) Ionam Christi imaginem ipse servator dixit; idque adeo veteribus Christianis vulgo notum erat, ut in sacris lapidibus et anaglyphis vaticanis non semel effinxerint Ionae naufragium; signum videlicet pro re signata. Confer autem Augustinum de civ. D. XVIII. 30. (3) Ionae historiam incredibilem visam ethnicis, sed ab ecclesiae patribus valide propugnatam, qui aliquantulum in antiquis lectionibus versatus sit, nemo ignorat. Eandem historiam a recentiorum quoque philosophorum dicteriis frustra appetitam scimus. (4) Gal. III. 22.

A θῶμεν ὅτι θείας χάριτος δεόμεθα πρὸς τὸ
διαγνῶναί τε καὶ προσθεῖναι πάντων τὸ κρεῖτ-
τον· τούτου γε ἀπόδειξιν αὐτάρκη παρέσχετο
τοῖς προφήταις τὰ παρόντα, ἐν τοῖς κατὰ τὸν
Ἰωνᾶν μάλιστα τοῦτο χρῆναι δειχθῆναι νομίζων·
B ὃς τύπον ἐν ἑαυτῷ τινὰ τῶν περὶ τὸν δεσπότην
ἐσομένων παρέσχε τὸν χριστόν· ἀποστέλλει μὲν
γὰρ αὐτὸν εἰς Νινευὴ τὴν πόλιν μεγάλην οὖσαν
καὶ πολυανθρωποτάτην, καὶ τῶν ἐν ἀσσυρίοις
βασιλίδα τυγχάνουσαν· ἐν ᾗ πάντες πρὸς ἀσέ-
C βειάν τε ἑώρων καὶ μοχθηρῷ προσανεῖχον βίῳ,
τρυφαῖς τε καὶ ἀνέσεσι καὶ ἀκολασίαις καὶ πάσῃ
συζῶντες παρανομίᾳ· κελεύει δὲ τὴν τῆς πό-
λεως μηνῦσαι καθαίρεσιν, εἰ μὴ νεύσειαν πρὸς
τὸ δέον· εἶτα παρεσκεύασε πάντας ἐκείνους ἀθ-
D ρόον φωνῆς ἀκηκοότας τοῦ προφήτου, ὃν οὐχ ὅτις
ἦν ἐπίσταντο, ἀλλ' οὐδὲ μετὰ θαυμάτων φανέν-
τα εἶδον, ὥστε ἔκπληξιν αὐτῇ τινὰ λαβεῖν(1)·
ἐντεῦθεν μεταθεμένους τῆς πρόσθεν γνώμης ἀπὸ
μόνης τῆς ἀπειλῆς πρὸς τὸ κρεῖττον ἰδεῖν, ἐθ-
E νικούς τε ὄντας καὶ οὐδὲν διδασκαλίας εἶδος εἰς
θεοσέβειαν ἀκούσαντας πρότερον δεδειγμένους· ὡς
ἂν δηλώσειεν ἐκ τῶν παρόντων, ὅτι κατὰ τοῦ-
τον τὸν τρόπον ἐπὶ τῆς τοῦ δεσπότου χριστοῦ πα-
ρουσίας ἅπαντα τὰ ἔθνη τῇ οἰκείᾳ χάριτι νεῦ-
F σαι παρασκευάσει πρὸς τὸ κρεῖττον, κἂν ἀπει-
θεῖν ἐθέλωσιν ἰουδαῖοι τῇ τῆς εὐσεβείας δι-
δασκαλίᾳ· ἐντεῦθεν ὁ μακάριος προφήτης ἔκ τε
τῶν παρόντων συνιδὼν, ὡς τῆς ἐσχάτης ἄξιοι
φανοῦνται τιμωρίας ἰουδαῖοι ἐκ τοσαύτης διδασ-
G καλίας μηδεμίαν δεξάμενοι διόρθωσιν, εἰ νι-
νευῖται ἀσεβείᾳ συζῶντες καὶ στρεφόμενοι ἀθρόον
ἐκ μηνύσεως μόνης μεταθέμενοι φαίνοιντο πρὸς
τὸ κρεῖττον· καὶ ὅτι τούτων δὴ πρὸς ἀπόδειξιν
γιγνομένων, τῶν κατὰ τὸν δεσπότην ἐσομένων
H χριστόν· τὸ αὐτὸ δὲ τοῦτο πολλῷ πλέον συμ-
βήσεται ἐπέτ' ἂν τὰ μὲν ἔθνη τῇ θείᾳ καλούμε-
να χάριτι ῥέπῃ πρὸς τὴν εὐσέβειαν, ἰουδαῖοι
δὲ μένωσιν ἀπειθεῖς καὶ μὴ δεχόμενοι τὸν δεσ-
πότην χριστόν· οὗ τὴν μήνυσιν καὶ τὴν διδασ-
I καλίαν ἄνωθεν φερομένην εἶχον παρ' ἑαυτοῖς·
ὅτι τε ἐντεῦθεν κληρονόμοι μὲν ἀποφανθήσον-
ται τῆς βασιλείας τῶν οὐρανῶν οἱ πανταχοῦ γῆς
οἰκοῦντες ἄνθρωποι, ἐξωσθήσονται δὲ τῆς δω-
ρεᾶς ταύτης διὰ τὴν οἰκείαν ἀπείθειαν τε καὶ
K ἀσέβειαν ἰουδαῖοι· καίτοι γε δόξαντες ἐν το-
σαύτῃ διδασκαλίᾳ τοῦ κρείττονος γεγενῆσθαι,
ἀναγκαίως ἠθύμει, πένθους ἄξιον πανταχόθεν
ὁρῶν τὸ πρᾶγμα, καὶ συναλγῶν μὲν ἰουδαίοις
εἰκότως· τοιούτοις τε οὖσι καὶ τοσαῦτα μέλ-
L λουσι ὑπομένειν· ὀδυρόμενος δὲ εἰ καὶ νῦν ἐκ
τῆς τῶν νινευιτῶν παραθέσεως τιμωρίας ἄξιοι
φαίνοιντο· καὶ μετὰ τοῦτο γε παντελῆ τὴν ἀπο-
βολὴν ὑπομένοιεν παραθέσει τῶν τε ἁπανταχοῦ
γῆς ὄντων ἐθνῶν, καὶ προσιέναι τῇ τῆς
M εὐσεβείας μελλόντων διδασκαλίᾳ· εἰ γὰρ ὁ μα-
κάριος Παῦλος ὀδύρεται αὐτῶν τὴν ἀποβολὴν,
καὶ τὴν ἐσχάτην ἔφασκε τιμωρίαν ὑπομένειν

mus gratia nobis opus esse ad discernendam atque anteponendam cuivis rei virtutem. Quarum rerum idoneam in praesenti demonstrationem prophetis exhibuit, eam scilicet quam in Ionae praecipue casibus exprimendam curavit, qui quandam rerum in Christo domino efficiendarum imaginem in se ipso gestavit. Mittit enim eum Deus in magnam urbem Niniven, populo copiosissimam, Assyriorum regiam sedem; cuius cuncti cives non sine religionis contemptu pravum vitae genus agitabant, otio, luxuria, intemperantia, atque omnimodis vitiis diffluentes: iubetque ut urbis excidium nunciet, nisi incolae ad officium convertantur. Exin curavit Deus, ut ii repente omnes audita prophetae voce (quem antea minime noverant, neque nunc prodigiis communitum cernebant, ita ut admiratione hinc aliqua percellerentur) curavit, inquam Deus, ut priore ingenio mutato, minarumque vi impulsi, ad saniora consilia mentem intenderent; ethnici licet, et qui nullam verae pietatis speciem hactenus prae se tulerant. Res ergo praesens docebat, fore ut eadem ratione circa domini Christi adventum populi omnes, vi gratiae eius, de virtutis studio cogitarent; Iudaeis licet obstinata incredulitate doctrinam pietatis respuentibus. Quamobrem beatus propheta e praesenti re cognoscebat, fore ut extremo viderentur supplicio digni Iudaei, qui tanto a magisterio nullam vitae emendationem contraxerant; dum interim Ninivitae omni quondam improbitate polluti, ilico conversi fuerant, soloque praedicationis terrore ad meliorem frugem traducti. Quumque haec intelligeret fieri, ob ea significanda quae circa Christi domini adventum futura erant; rem multo graviorem eventuram videbat, quum ethnici divina gratia vocati ad pietatem confluerent; Iudaeis nihilominus incredulitatem suam retinentibus, neque Christum dominum recipientibus, cuius ceteroqui praedicationem atque doctrinam caelitus immissam apud se habebant: atque hinc regni caelestis heredes declaratum iri homines qui ubique terrarum habitarent; exclusum autem iri ab hac donatione propter suam incredulitatem impietatemque Iudaeos, qui tamen videbantur in tam inclyto virtutis magisterio versari. Haec necessario prophetae animum torquebant, luctuosum usquequaque negotium cernentis, vicemque Iudaeorum ut par erat dolentis, qui tanta dignitate quum essent, in tanta mala ruituri erant. Rursus propheta maerebat, quia praesenti Ninivitarum comparatione digniores poena fiebant Iudaei: tum in posterum districto repudio dimittendi erant, prae reliquis ubique terrarum degentibus populis ad religionis verae doctrinam accessuris. Nam si beatus Paulus luget eorum reiectionem, ac supremo se occursurum supplicio

(1) Hae fere sunt illae catenatae periodi et insiticiae interpositiones, quibus interdum Mopsuesteni sententiam paulo longius protrahi atque suspendi, observat Photius cod. CLXXVII. Nimirum auctor infinitis in omni vita scribendis mira celeritate libris deditus, stili veneres non magnopere excoluit.

A ἀδέως, ὥστε τούτους πρὸς τὸ δέον ἰδόντας,
μὴ τὴν τοσαύτην ἐπ' αὐτοῖς γεγενημένην ἐπιμέ-
λειαν παρὰ τοῦ Θεοῦ περιττὴν ἀποφῆναι· ἀλή-
θειαν γὰρ λέγω (1) ἐν Χριστῷ, οὐ ψεύδομαι, συμ-
μαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν πνεύ-
B ματι ἁγίῳ, ὅτι λύπη μοί ἐστι μεγάλη καὶ ἀδιά-
λειπτος ὀδύνη τῇ καρδίᾳ μου· ηὐχόμην γὰρ ἀνά-
θεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν
ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα,
οἵτινές εἰσιν Ἰσραηλῖται· ὧν ἡ υἱοθεσία καὶ ἡ
C δόξα καὶ ἡ διαθήκη καὶ ἡ νομοθεσία καὶ ἡ λα-
τρεία καὶ αἱ ἐπαγγελίαι, ὧν οἱ πατέρες καὶ ἐξ
ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων
Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας ἀμήν· πῶς οὐ
πρόδηλον ὅτι τὴν αὐτὴν ἔχοντες καὶ οἱ προφῆ-
D ται γνώμην, ὠδύροντό τε ἐπὶ τούτοις καὶ ἐθ-
ρήνουν; εἴ τε τῶν τότε γεγενημένων ἕνεκεν, εἴ τε
καὶ τῶν μηνυομένων ἔσεσθαι ὕστερον· ὑπὲρ γὰρ
τούτου καὶ τὴν φυγὴν ὁ προφήτης εἵλετο, οἰόμε-
νος διαφεύξεσθαί τε τὴν πρὸς τοὺς Νινευίτας
E μήνυσιν, καὶ κωλύσειν τὰ ἐντεῦθεν ἐσόμενα· ἀφ'
ὧν δὴ σαφῶς ἡ τῶν Ἰουδαίων ἐπεδείκνυτο κα-
κία· ἔλεγχος δὲ τῶν εἰρημένων τὰ μετὰ ταῦτα·
Νινευῖται γὰρ οἱ μετὰ τοσαύτης ἑτοιμότητος τὴν
ἐπὶ τὸ κρεῖττον δεξάμενοι μεταβολήν, ἐπεστρά-
F τευσάν τε μετ' οὐ πολὺ τοῖς Ἰσραηλίταις, καὶ
τοὺς λοιποὺς αἰχμαλώτους λαβόντες, πλείστην
ἔσχον καὶ τὰ Ἱεροσόλυμα πορθῆσαι σπουδήν·
ὑπὲρ ὧν δὴ καὶ τιμωρίαν ἐδέξαντο παρὰ τοῦ Θεοῦ
μεγίστην, ἣν Ναοὺμ ὁ προφήτης μεμηνυκὼς κα-
G ταλέλοιπεν ἐν βιβλίοις (2)· ὥστε τὴν μὲν τοῦ Ἰωνᾶ
προφητείαν καὶ τὰ τότε περὶ τοὺς Νινευίτας γε-
γονότα, μήνυσιν τῆς θείας χάριτος εἶναι· καθ'
ἣν οὕτω ῥᾳδίαν τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν
ἐδέξαντο πάντες· τὴν δὲ τοῦ Ναοὺμ δήλωσιν
H ἔχειν τὴν αὐτῶν ἐκείνων μοχθηρίας, ἀφ' ἧς ἐπι-
κεχειρήκασί τε τοσούτοις κακοῖς, καὶ τιμωρίαν
ὑπὲρ ἁπάντων ἐδέξαντο τὴν ἀξίαν· καὶ ταῦτα
μὲν ἐξ ἁπάντων τῶν περὶ τὸν μακάριον Ἰωνᾶν
γεγονότων τε πρότερον καὶ εἰρημένων, ὕστερον ἐπὶ
I τῆς καινῆς διαθήκης, καθὰ πρόσθεν ἐδείκνυμεν,
εἰκότως φαίη τις ἄν (3)· τὰ δέ γε τότε γεγο-
νότα τε καὶ διὰ τῆς τοῦ βιβλίου δηλούμενα συγ-
γραφῆς, ἃ δὴ καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον μεγί-
στην τοῖς τότε τήν τε ὠφέλειαν παρέσχετο καὶ
K τὴν χρείαν, ἐξ αὐτῶν εἰσόμεθα τῶν κατὰ μέ-
ρος, ὧν περ οὖν καὶ τῆς ἑρμηνείας ἁψόμεθα
Θεοῦ διδόντος.

Cap. I. „ Καὶ ἐγένετο λόγος κυρίου πρὸς Ἰωνᾶν τὸν
„ τοῦ Ἀμαθὶ λέγων, ἀνάστηθι καὶ πορεύθητι εἰς
L „ Νινευὴ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον
„ ἐν αὐτῇ ὅτι ἀνέβη κραυγὴ τῆς κακίας αὐτῶν
„ πρός με „. Ἀποκάλυψιν θείαν ἐδέξατο, φη-
σίν, Ἰωνᾶς ὁ προφήτης εἰς Νινευὴ τὴν πόλιν
ἀπελθεῖν τε καὶ κηρύξαι ἐν αὐτῇ, ὡς μεγάλα
M γε αὐτῶν παρανομούντων, καὶ τοιαῦτα οἷα ἱκα-
νὰ τῷ μεγέθει συγκινῆσαι τὸν Θεόν· μεγίστην

libenter eorum causa ait, ut his ad officium revocatis efficeret non inutilem tantam Dei providentiam: vere enim in Christo aio, nec mentior, testimonium praebente mihi conscientia in spiritu sancto, quoniam tristitia est mihi magna et indeficiens dolor cordi meo. Optabam enim anathema esse a Christo pro fratribus meis cognatis secundum carnem, qui sunt Israelitae; quorum adoptio et gloria et testamentum et legum latio et cultus et promissiones; quorum patres, et ex quibus est Christus secundum carnem, qui est super omnia Deus benedictus in saecula amen. Nonne hinc constat, prophetas quoque eadem animi adfectione praeditos, ingemuisse super his atque luxisse, sive ob ea quae evenerant, sive ob ea quae portendebantur? Propter hoc fugam quoque propheta maturavit, sperans se vitaturum praedicationem ad Ninivitas, atque hinc prohibiturum quominus ea contingerent, quae manifestam iudaicae malitiae patefactionem allatura erant. Iam quae consecuta sunt, dictis meis suffragium addunt. Namque Ninivitae, qui tanta alacritate ad virtutem mentes converterant, bellicam expeditionem adversus Israelitas paulo post susceperunt; quorum reliquiis in captivitatem abactis, summa vi vastitatem etiam Hierosolymis inferre conati sunt: quam ob rem poenas quoque maximas Deo luerunt, quas qui praedixerat Nahumus propheta scriptis quoque commendavit. Igitur Ionae prophetia, nec non ea quae per id tempus Ninivitis acciderunt, significationes divinae gratiae fuerunt, cuius impulsu tam proclivem cuncti ad virtutem conversionem experti sunt. Nahumi vero prophetia demonstrat Ninivitarum eorumdem improbitatem, cuius instinctu tanta mala capessiverunt, iustasque demum scelerum omnium poenas sustinuerunt. Atque haec quae beato Ionae olim acciderunt, vel de eodem dicta sunt, ea inquam omnia in novo postea testamento instaurata, sicuti iam dixi, iure meritoque videre est. Age vero res illas, quae tunc gestae libelloque commendatae fuerunt, et quae illi tempori plurimum emolumentum atque usum exhibuerunt, nunc singillatim cognoscemus, dum earum interpretationem Deo auspice persequemur.

Et factum est verbum Domini ad Ionam Amathi filium dicens: surge et vade Niniven in urbem magnam, atque ibi praedica, quod eius scelerum clamor ad me usque conscenderit. Oraculum, inquit, divinum Ionae prophetae editum est, ut abiret in urbem Niniven, ibique praedicaret; cuius cives tantopere tamque graviter peccabant, ut Dei iracundiam commoverint.

(1) Rom. VIIII. 1. (2) Legesis infra Mopsuesteni nostri commentarium ad Nahumum. (3) Audiendus tamen Hieronymus praef. ad Ion. *Ceterum non ignoramus sudoris esse vel maximi totum prophetam referre ad intelligentiam salvatoris; videlicet quod fugerit, quod dormierit, quod praecipitatus in mare sit, quod susceptus a ceto, quod eiectus in litus poenitentiam praedicaris etc.*

A δὲ ἄγαν οὖσαν τὴν πόλιν καὶ ὑπὸ πλήθους στενοχωρουμένην, καὶ τῶν ἐν Ἀσσυρίοις ἁπασῶν τότε περιφανεστέραν οὖσαν· ἀναγκαῖον ἦν ἐξ ἀκοῆς τοῖς κατὰ τὴν Ἰουδαίαν ἐγνῶσθαι· ὅθεν δὴ καὶ ὡς ἐπὶ γνωρίμην αὐτὸν ἀποστέλλει πό-

B λιν· ὡς οὐχ ὄψει γε ἀλλ' ἀκοῇ μόνον αὐτὴν εἰδότα· ἐνταῦθα μὲν οὖν τοῦτο μόνον φησὶν ὅτι κήρυξον ἐν αὐτῇ· δῆλον δὲ ὡς ἐπὶ τούτῳ γε ἐπέμπετο ἐπί τε τῷ καὶ τὴν καταστροφὴν ἀπειλῆσαι τῇ πόλει, καὶ νουθετῆσαι τοὺς οἰκοῦντας ἅπαν-

C τας πρὸς μετάνοιαν ἰδεῖν, ὡς τοῦτό γε κερδανοῦντας τῆς πόλεως τὴν καταστροφήν· τῆς θείας γραφῆς τὰ πολλὰ συντέμνειν εἰωθυίας, ὅτ' ἂν τοῖς ἀναγινώσκουσι τὰ ἀκόλουθα συλλογίζεσθαι δυνατὸν ὑπάρχῃ· οὔτε γὰρ ἐπειδὴ ἐνταῦθα

D εἶπε κήρυξον ἐν αὐτῇ, ἀπέστειλε τὸν προφήτην, τοῦτο μόνον εἰπὼν ὁ Θεὸς, καὶ οὐ διδάξας ὅτι ποτὲ κηρύξαι προσῆκεν ἂν αὐτόν· οὔθ' ὅτ' ἂν λέγῃ ἔτι τρεῖς (1) ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται, ἐκεῖνο μόνον εἰπεῖν ὁ προφήτης ἐκελεύσ-

E θη, ἀλλ' ὥστε τῇ μηνύσει τῆς καταστροφῆς βελτίονας αὐτοὺς ἀπεργάσασθαι· ἐλπίδα λαβόντας τοῦ, εἰ μεταμεληθεῖεν, κερδᾶναι τὴν ἀπειλήν· ἐπεὶ καὶ περιττὸν ἦν ἀπειλεῖν τὴν καταστροφὴν, εἰ γενέσθαι πάντως αὐτὴν ἐχρῆν, οὐ-

F δὲν τῆς ἀπειλῆς ἐχούσης κέρδος· ὥστε ἢ μεταβαλομένους γοῦν κερδᾶναι τὴν τιμωρίαν, ἢ μὴ μεταβαλομένους δικαίως αὐτὴν ἐπαχθεῖσαν παρὰ Θεοῦ ἐκ τῆς αὐτῶν δείκνυσθαι κακίας· Ταῦτα δὲ καὶ ὁ προφήτης εἰδὼς Θαρσεῖς φησιν

G ἔφυγεν ἐκ προσώπου κυρίου· οὐκ ἂν γε τοῦτο πεποιηκὼς εἰ τὴν καταστροφὴν ἐσομένην πάντως ἠπίστατο· καὶ ἐπὶ τούτῳ γε ἀπεστάλθαι, ὡς ἂν μηνύσειεν μόνον ἐσόμενον τὸ τοσοῦτο κακὸν, οὐδενὸς ἐσομένου καθάπαξ βελτίονος ἐντεῦθεν.

H Θαρσεῖς δὲ οἱ μὲν ἔφασαν λέγεσθαι τὴν Ταρσὸν (2) ἀπὸ τῆς κατὰ τοὔνομα κοινωνίας ἐγγύτατος ὡς ἔοικε πλανηθέντες· Ταρσὸς μὲν γὰρ παραθαλασσία πόλις οὐκ ἔστιν· τὴν δὲ προσηγορίαν ταύτην εἰς δήλωσιν παραθαλασσίων πόλεων εἴω-

I θεν ἡ θεία λέγειν γραφή· ὡς παρὰ τῷ μακαρίῳ Δαβὶδ τό· ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς (3)· ὅπερ οὖν ἐπὶ μὲν τῆς παραθαλασσίου πόλεως καὶ παρ' αὐτὴν ἐχούσης ἑστῶτα τὰ πλοῖα λέγεσθαι δυνατὸν, ἐπειδὴ τῆς ἀφωρισμένης ὥσ-

K περ ἡ Ταρσὸς ἀφεστῶσα φαίνεται τῆς θαλάσσης, οὐδαμῶς ἁρμόττον· ἕτεροι δὲ τὴν Ῥόδον ἔφασαν· ἀλλ' ἐγώ γε πᾶσαν τὴν ἀκριβολογίαν ταύτην περιττὴν εἶναι πρὸς τὸ προκείμενον νομίζων, ἅτε τῶν κατὰ τὸν προφήτην διηγημάτων ἐρρωμέ-

L νων δὲ πάντως ὁμοίως ἥν τινα δή ποτε εἴ τις εἶναι νομίζοι τὴν πόλιν· ἐπισημαντέον δὲ ἐκεῖνο μᾶλλον, ὅτι οὐκ εἶπεν ἔφυγεν ἐκ τοῦ Θεοῦ, ἀλλ' ἐκ προσώπου κυρίου· οὐ γὰρ Θεὸν φεύγειν ὁ προφήτης ᾤετο, πάντων αὐτὸν δεσπότην καὶ ποιη-

M τὴν εἶναι νομίζων καὶ πανταχοῦ παρεῖναι πιστεύων· ἐπειδὴ δὲ ἐπὶ τοῦ Σιὼν ὄρους ἅπασαν αὐτῷ

Iam quum illa urbs maxima esset et populo confertissima, atque assyriacarum omnium illustrissima, necesse erat eam fama Iudaeis innotuisse: quare et Deus prophetam veluti ad cognitam urbem mittit, haud visu tamen sed auditu tantummodo notam. Heic autem unum hoc dicit, nempe ut in ea praedicet. Atqui insuper constat missum eum fuisse ad minitandum quoque urbi excidium, admonendosque incolas omnes, ut de paenitentia cogitarent, ceu si hoc pacto urbis eversionem vitaturi essent. Solent enim divinae scripturae multa congestim dicere, quotiescumque legentibus ratiocinio colligere consequentia licet. Neque sane cum in praesenti dixit *praedica*, hoc uno verbo prophetam instructum misit Deus, quin simul doceret, quaenam ab eo praedicanda essent. Neque cum dixit tres adhuc dies, et Ninive subvertetur, id tantummodo propheta dicere iussus fuit, sed dare operam ut praedictione excidii ad saniorem eos mentem revocaret; spe data, si paeniteret eos, fore ut minas irritas redderent. Alioqui inutile fuisset minitari exitium, si id necessario eventurum erat. Hic erat ergo minarum fructus, nempe ut vel paenitentes ultionem effugerent, vel pertinaces cognoscerent iuste inflictas a Deo poenas ob hanc ipsam illorum improbitatem. Harum, inquit, rerum propheta gnarus fugiebat a facie Domini in Tharsis. Porro id omnino non factitavisset, si exitium sine dubio futurum nosset, et si unice ad calamitatem nunciandam missus fuisset, ita ut nihil boni consequeretur. Iam Tharsis nonnulli aiunt significare Tarsum, nominis propinquitate ut videtur decepti. Tarsus enim haud est maritima urbs: illo autem nomine maritimas urbes designare scriptura solet, veluti apud beatum Davidem: vento valido conteres naves Tharsis: id quod de maritima urbe naves apud se habente dici potest; remotae, uti Tarsus est, a mari non congruit. Alii Rhodum intelligunt. Ego vero omnem hanc curiositatem existimo supervacaneam, ac prophetae historiam aeque firmam, quamlibet quisque civitatem cogitet. Illud potius animadversione dignum est, quod non dixerit *fugit a Deo*, sed *a facie Domini*. Neque enim se a Deo fugere opinabatur, quem omnium dominum creatoremque sciebat, atque ubique praesentem credebat. Sed quoniam in Sion monte universum si-

(1) Latina vulgata *quadraginta*, cui favent hebr. chald. syr. Aquil. Sym. Theod. In nobilissimo codice quodam graeco vaticano in margine legitur οἱ λ' (nempe λοιποὶ τεσσαράκοντα. Variat lectio apud Theodoretum, Theophylactum, itemque Iustinum. Constans est apud Mopsuestenum nostrum ac pseudo-Cyrillum. Conciliationem quandam legesis apud Augustinum de civ. D. XVIII. 44. (2) Sic diserte opinatur pseudo-Cyrillus, eamque sententiam diu propugnat Calmetus ad Gen. X. 4. Eandem sententiam memorant Theodoretus et Theophylactus, qui duo tamen de Carthagine cogitare malunt. Notissima sunt quae erudite scribit Bochartus phal. III. 7, cui Tharsis Hispania est. (3) Ps. XLVII. 8.

A προσάγεσθαι τὴν λατρείαν προσέταξεν ὁ Θεός,
ὑπόνοιαν ἰουδαίοις ἐντεθεικὼς ὡς αὐτόθι γε καὶ
οἰκῶν καὶ τὴν ἐπιφάνειαν ποιούμενος τὴν οἰκείαν·
καὶ σκήνωμα δὲ τοῦ Θεοῦ διὰ ταύτην τὴν αἰτίαν
ἥ τε πόλις Ἱερουσαλὴμ ἐλέγετο, καὶ ἡ γῆ δὲ
B πᾶσα τῆς ἐπαγγελίας, ὡς ἂν ἐν ἁπάσῃ τε οἰ-
κοῦντος τοῦ Θεοῦ καὶ πᾶσαν αὐτὴν ἐφορῶντος·
διὰ τοῦτο ἐκ προσώπου τοῦ κυρίου πεφευγέναι λέγει
τὸν προφήτην τὴν τῆς χώρας ἐκείνης ἐν ᾗπερ
ἐποιεῖτο τὴν οἰκείαν ἐπιφάνειαν ὁ Θεὸς ἐκβάν-
C τα, εἰς ἑτέραν τινὰ καὶ ἀπῳκισμένην χώραν
ἀπελθεῖν οὕτω δηλῶν· τοῦτο γὰρ ὁ προφήτης ἐποί-
ει· ὡς ἄχρι μὲν ἐν ἐκείνῃ διῆγε τῇ χώρᾳ ἐπι-
φαινομένου πάντως αὐτῷ τοῦ Θεοῦ καὶ διεγείροντος
αὐτὸν εἰς ὅπερ ἐβούλετο. εἰ δὲ πόρρω γένοιτο
D κερδαίνων τὴν ἐνόχλησιν ἐκείνην· ὡς ἂν μηδὲ
ἐπιφαίνεσθαι ἐν ἑτέροις τόποις ἀνεχομένου τοῦ
θείου· οὕτω καὶ ἰουδαῖοι ἐπὶ τῆς αἰχμαλωσίας
ὄντες, περιττὰς ἡγοῦντο καὶ τὰς θυσίας καὶ τὴν
λατρείαν ἅπασαν τὴν τῷ Θεῷ προσαγομένην, ὡς
E τό γε ἐπιφαίνεσθαι τοῖς ἐκεῖ τόποις, μὴ δὲ δέ-
χεσθαι τὰ αὐτόθι εἰς τὴν αὐτοῦ πληρούμενα τι-
μὴν ἀνεχομένου· δῆλος δὲ ἦν ὁ προφήτης πρὸς
τὸ πρᾶγμα ὀκνῶν, διὰ τὸ συνορᾶν μὲν ὡς ἐπὶ
τισὶν αὐτὸν ἀποστέλλει πάντως χρησταῖς ἐλπί-
F σιν· οὐ γὰρ ἄν γε ἐπὶ δὴ μόνῃ πέμψας αὐτὸν κα-
ταστροφῇ, εἰ μή τι καὶ ἀγαθὸν ἐντεῦθεν οἰκο-
νομεῖν ἐβούλετο· τῶν ἄγαν δὲ ἀτόπων εἶναι νο-
μίσας εἰ πρῶτον ἀνθρώποις ὀφθεὶς τοῖς οὐ πρό-
τερον αὐτὸν ἐπισταμένοις εὐθὺ τινὸς ψεύστου
G καὶ ἀπατεῶνος ἀπενέγκοιτο δόξαν· τοῦτο δὲ καὶ
αὐτὸς ἐν τοῖς μετέπειτα διὰ τῶν οἰκείων δῆλος
φαίνεται ῥημάτων. Κατέβη μὲν οὖν εἰς τὴν Ἰόπ-
πην ὁ προφήτης ταύτης ἕνεκα τῆς αἰτίας· αὐτό-
θι δὲ πλοῖον ἐπὶ Θαρσεῖς ἀπιὸν εὑρών, τόν τε
H μισθὸν δέδωκε τῆς ἀπονοίας· καὶ ἐμβὰς μετὰ
τῶν λοιπῶν ἐπὶ Θαρσεῖς ἐξέπλει· ὡς ἂν αὐτό-
θι τὴν ἐνόχλησιν μέλλων ἐκκλίνειν τὴν θείαν,
οὐκ ἐπιφαινομένου τι αὐτῷ ἐν ἀλλοτρίοις τόποις
τοῦ Θεοῦ, καὶ ἐπείγοντος ἐπὶ τὸ προκείμενον ἀπελ-
I θεῖν· ἐπειδὴ δὲ κατὰ τὴν θάλατταν ἐγένετο
πλέων, δῆλον αὐτὸν εἶδον ὁ Θεὸς ὅτι περιττὴν
τινὰ καὶ ματαίαν ὑπέμενε τὴν φυγὴν, σφοδρὸν
πνεῦμα κινήσας, τοσοῦτον ἐπὶ τῆς θαλάσσης
εἰργάσατο τὸν κλύδωνα, ὥστε καὶ συντριβῆναι
K κινδυνεύειν τὸ πλοῖον οὐ φέρον τῶν κυμάτων τὴν
βίαν· φόβος ἐκ τούτου τοὺς ἐν αὐτῷ εἴληφεν ὡς εἰ-
κός· ἕκαστος τὸ πρὸς ὃν ἡγεῖτο Θεὸν, καὶ ὅνπερ
θρησκεύειν εἰώθει τῇ φωνῇ κεχρημένος ἀπαλλα-
γὴν ᾔτει τοῦ παρόντος γενέσθαι κινδύνου· ἐπι-
L τεινομένου δὲ τοῦ κλύδωνος καὶ τὰ ἐνόντα τῷ
πλοίῳ κατὰ τὸ εἰωθὸς τοῖς χειμαζομένοις ἀπέρ-
ριψαν εἰς τὴν θάλασσαν, εἴ πως κουφισθὲν δια-
φύγοι τὸν κίνδυνον τὸ πλοῖον. Τούτοις ἐπάγει·
« Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοίλην τοῦ πλοίου (1).
M » καὶ ἐκάθευδεν ἐκεῖ καὶ ἔρρεγχεν »· οὐχ ὅτι με-
τὰ τὸ ἐκεῖνα γενέσθαι εἰς τὸ πλοῖον κατελθὼν

bi cultum adhiberi Deus iusserat, opinione quadam Iudaeis immissa, quasi ibi incoleret, suumque ibidem aspectum revelaret (quare et Hierosolyma et regio omnis promissa dicebatur ob eam causam tentorium Dei, ceu si hanc universam occuparet incolatu suo Deus, eandemque oculis perlustraret;) idcirco a facie Domini fugisse prophetam ait scriptura, qui excesserat ea regione, in qua semet Deus revelabat. Nempe his verbis in aliam quamvis remotam terram secessisse propheta dicitur: qui reapse ita se gesserat; ceu si in iudaica regione manenti appariturus omnino Deus esset, seque ad iussa facienda excitaturus: contra si procul fieret, cariturum se molestia sperabat: quasi nimirum aliis in locis Deus semet revelare non pateretur. Atque ita Iudaei dum captivi detinerentur, victimarum quoque vel cuiusvis religionis Deo exhibendae nullum fructum esse putabant: ceu si Deus illis in locis neque apparere neque honorem religiosum sibi adhibitum soleret admittere. Perspicuum porro est prophetam ad id negotium torpuisse, propterea quod eum Deus quidem non sine praeclara spe mittebat; (neque enim unius excidii causa nunciandi misisset, nisi hinc quoque boni aliquid moliretur extundere;) sed tamen ipse valde absurdum putabat, si forte homo subito superveniens his qui se antea non noverant, continuo nebulonis cuiusdam et circulatoris famam contraheret. Id quod ipse in consequentibus mox sermonibus ait propheta. Hac de causa descendit Ioppen propheta, deprehensaque navi Tharsis versus solvente naulum solvit contumaciae suae, et cum reliqua turba conscendens Tharsis navigabat, ceu si ibi divina molestia liber esset futurus, quia Deus alienis in regionibus minime sibi occursurus esset, neque necessitatem certi loci adeundi impositurus. Iam ubi in altum progressus fuit, declaravit illi Deus quam inutilem quamque stultam fugam cepisset. Graviore enim commoto vento, tantam in mari conflavit procellam, ut infringi navis periclitaretur, quae vim fluctuum non ferebat. Hinc pavor navigantes, ut par erat, corripuit; et apud suum quisque deum quem patria religione colebat, praesens vitae discrimen elatis clamoribus deprecabatur. Tum se intendente procella, sarcinas quoque quotquot impositae fuerant de more in mare iaciebant, si forte onere leviata navis periculum evaderet. His addit scriptura: *Ionas autem in sentinam navis descenderat, ibique dormiens stertebat*. Non quod post commotam tempestatem in inferiora navis

(1) In vaticano quodam codice lego graeca Hesychii scholia, quibus totus propheta Ionas ad Christum refertur, quamquam id difficile factu videbatur Hieronymo p. 64. Itaque Hesychius in navi videt synagogam, in gubernatore Mosen, in nautis prophetas, in mari passionem peccatis nostris debitam, in sorte voluntatem patris, in ceti ventre necem, e qua Christus tertia die resurgens ethnicis praedicat, qui vitiis abiectis salutem consequuntur.

A ἐκάθευδεν· γελοῖον γὰρ εἰ ταραχῆς τοσαύτης
γενομένης καὶ πάντων περὶ τῆς σωτηρίας κινδυ-
νευόντων τῆς οἰκείας, εἰς ὕπνον ἑαυτὸν ἐκεῖνος
ἐδίδου· ἀλλὰ γὰρ τοῦτο μὲν εὐθὺς ἐπιβὰς πε-
ποίηκε τοῦ πλοίου· ἡ δὲ γραφὴ τὰ κατὰ τὸν κλύ-
B δωνα διηγησαμένη, ὕστερον ἐπήγαγε τὰ παρὰ
τοῦ προφήτου κατ' ἐκεῖνον γενόμενα τὸν καιρόν·
ὅτι τε ὁ πρωρεὺς (1) ὡς ἐν ταραχῇ τοσαύτῃ κα-
θεύδοντα τὸν προφήτην ἰδεῖν ἀπεληλυθὼς διήγει-
ρέ τε αὐτὸν καὶ ἐθαύμαζεν ὅτι τοσούτων γινομένων
C κακῶν μηδεμίαν αἴσθησιν ἔχει τῶν κατεχόντων
αὐτοὺς κακῶν, ἀλλ' ὡς ἐν ἀδείᾳ πολλῇ καθεύ-
δει τε καὶ ῥέγχει· ὑπεμίμνησκε δὲ αὐτὸν ἀνα-
στάντα τὸν Θεὸν καλεῖν τὸν ἴδιον εἴ πως ὑπ'
αὐτοῦ γοῦν διασωθεῖεν· ὧν δὲ ὁ μὲν προφήτης
D οὐδὲν διεπράττετο· τοιαύτῃ σφαλερὸν εἶναι νομί-
ζων δεήσεις προσάγειν τούτῳ ὅνπερ πεφεύγει·
ἐπετείνετο δὲ τοῦ κλύδωνος τὸ κακόν· ἐδοκίμα-
σαν λοιπὸν κλήρῳ διαγνῶναι τὸν τοῦ παρόντος
αἴτιον κακοῦ· τοῦτο δὲ ἐδήλου μὴ κοινὸν κατὰ
E πάσης θαλάσσης εἶναι τὸν χειμῶνα, ἀλλὰ περὶ
αὐτό γε μόνον τὸ πλοῖον τὴν σύμπασαν ταραχὴν
κινεῖσθαι· ἀφ' οὗπερ οἱ ἐν αὐτῷ λογιζόμενοι τὴν
αἰτίαν, κλήρῳ διαγινώσκειν τὸν αἴτιον ἐβούλον-
το τῶν κακῶν· τυχὸν καὶ τοῦ δεσπότου Θεοῦ ταύ-
F την αὐτοῖς ἐμβεβληκότος τὴν διάνοιαν· ὡς ἀκο-
λούθως τὰ λοιπά γε πραχθείη· οἱ μὲν γὰρ ἐχ-
ρήσαντο τοῖς κλήροις· ἐδείκνυτο δὲ ὁ μακάριος
Ἰωνᾶς τῶν γεγονότων αἴτιος· ἐφ' ᾧ δὴ καὶ θαυ-
μάσαντες οἱ ναυτικοὶ λοιπόν, εἰ τοιοῦτό τι πε-
G πραγμένον αὐτῷ τυγχάνοι ὥστε καὶ τοσοῦτον γεν-
νῆσαι κακόν, μετὰ σφοδρᾶς τῆς ἐπιτιμήσεως καὶ
μονονουχὶ δικαστικῷ λοιπὸν κεχρημένοι τῷ σχήμα-
τι (2), ὡς ἂν πρὸς ἄνθρωπον καταδεδικασμένον
ἤδη τῷ κλήρῳ διαλεγόμενοι, ἀπῄτουν μαθεῖν ὅτι
H περ αὐτῷ πεπραγμένον εἴη; τί δὲ καὶ ἐπιτήδευ-
μα μετίοι; ὅθεν τε ἔρχοιτο; καὶ ὅποι περ ἀπί-
οι; ἐκ ποίας τε ὁρμᾶται χώρας; καὶ ᾧ τινι
ἔθνει προσήκει τῶν ἀνθρώπων· πρὸς οὓς σαφῶς
ἀπεκρίνετο· “ δοῦλος κυρίου ἐγώ εἰμι, καὶ κύριον
I „ τὸν Θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι, ὃς ἐποίησε
„ τὴν θάλασσαν καὶ τὴν ξηράν „· ὡς γὰρ ἐκεί-
νων περὶ εἴδωλα ἐχόντων, αὐτὸς τὸ τῆς οἰκείας
θρησκείας ἐξαίρετον ἐδήλωσεν εἰπὼν ὅτι δοῦλος
εἴη τοῦ Θεοῦ, τουτέστι φροντίδα ἔχων πᾶσαν τῆς
K θεραπείας ἐπιμελεῖσθαι τῆς αὐτοῦ· οὐ γὰρ δὴ
κατὰ τὸ κοινὸν εἶπε δοῦλος, καθὸ καὶ τοὺς ναύ-
τας ἦν ἀνάγκη δούλους εἶναι τοῦ Θεοῦ ὑπ' αὐτοῦ
γεγονότας· εἶτα καὶ τὸ ἰδιάζον λέγων τοῦ Θεοῦ
ὃν ἐθρήσκευε, τὸν τοῦ παντὸς φησὶ ποιητὴν ἐγὼ
L σέβομαι, ὃς καὶ οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης
καὶ πάντων ποιητής ἐστιν· ἐφοβήθησαν οἱ ἄν-
δρες ἀκηκοότες ταῦτα, ὡς ἂν τοῦ πάντων ποιητοῦ
κατ' αὐτῶν κεκινημένου· ὅθεν καὶ τὸν προφήτην
ἠρώτων τί τοῦτο ἐποίησας; καὶ ἐπειδήπερ ἔγνω-
M σαν αὐτὸν ἐκ τοῦ Θεοῦ πεφευγέναι τὴν ὑπόμνησιν
ἐκκλίνοντα τὴν ἐκεῖθεν, εἶτα τῷ παρόντι σὺν

dormitum descenderit: esset enim ridiculum, si tanto terrore coorto, cunctisque de salute periclitantibus, ipse somno se tradidisset: verumtamen id egerat statim ac navim conscendit; at scriptura postquam procellam narravit, postremo loco dixit, quae propheta priore tempore fecerat. Pergit porro dicere, ut gubernator ad prophetam videndum venerit, qui in tanta omnium trepidatione dormiebat; cumque excitaverit, miratusque fuerit, quod in eo procinctu nullum ipse ingruentium malorum sensum perciperet; sed veluti profunda securitate stertens dormiret. Ergo illum admonuit, ut expergiscens Deum suum invocaret, si forte ab eo servarentur. Sed enim quum propheta nihil eiusmodi ageret, quia intutum existimabat precibus eum obtundere a quo fugiebat; quumque vis tempestatis augesceret; decreverunt nautae, quisnam esset eius mali auctor, sortito exquirere. Hinc satis intelligimus haud generalem fuisse toto mari procellam, sed circa illud unum navigium undarum strepitum desaevisse: qua re ad suspicandam causam commoti nautae, calamitatis eius reum sibi discernendum sortibus putaverunt; domino fortasse Deo hanc illis cogitationem ingerente, ut consequenter reliqua peragerentur. Ergo quum nautae sortes iecissent, beatus Ionas praesentis adversitatis causa demonstratus est. Id quod deinde nautae mirantes, quodnam scilicet ille tam grave facinus admisisset, ut tanti mali auctor existeret, et iam vehementi obiurgatione ac prope iudiciali formula utentes, atque hominem ceu iam sorte damnatum arguentes; certiores fieri volebant, quidnam ipse patrasset, quam artem profiteretur, unde digrederetur, quonam tenderet, qua patria oriundus esset, vel cui hominum genti adfinis. Quibus ille aperte respondit: *servus Domini ego sum, dominum Deum caeli colo, qui mare et aridam fecit*. Nam quia illi idololatrae erant, peculiarem ipse religionem suam declaravit, dum se Dei servum dixit; studiosum nempe summopere cultus, qui eum decebat, praestandi. Neque enim generali quadam ratione se dixit servum, cuiusmodi alios quoque nautas opus erat Dei esse servos, a quo fuerant creati. Deinde et singularem notionem edidit eius Dei cui erat devotus; nimirum ait se colere Deum a quo caelum, terra, mare, resque omnes creatae fuerunt. Quo audito, expaverunt homines, quod nimirum universae naturae conditor contra se commotus fuisset. Quamobrem prophetam sciscitabantur, quodnam crimen patravisset. Mox ubi hunc fugere a Deo cognoverunt, atque ab eius admonitionibus declinare; ideoque in praesentem se-

(1) Codex alius nobilissimus vaticanus qui continet varias lectiones hexaplorum Origenis cum Eusebii Pamphili recensione, habet in margine οἱ γ κυβερνήτης; nempe tres anonymas interpretationes sic ait legisse pro πρωρεύς.
(2) Haud scio an Theodorus Philoneus imitetur, cuius particula ex inedito commentario ad Ionam in meo quodam libro edita fuit, in qua forensis par exercetur de propheta iudicium.

*

A αὐτοῖς περιπεπτωκέναι κακῷ· ὡς ἂν γνοίη πανταχοῦ παρόντα τε τὸν Θεὸν καὶ ὁμοίως ἁπανταχοῦ τὰ δοκοῦντα ἐργαζόμενον, καὶ μὴ δὲ οἷόν τε εἶναι φυγεῖν τὸν τοιοῦτον· πρὸς αὐτὸν δὲ λοιπὸν τὸν προφήτην φασίν· “ τί σοι ποιήσομεν,
B “ καὶ κοπάσει ἡ θάλασσα ἀφ' ἡμῶν „· ἐκ γὰρ τῶν εἰρημένων τὰ περὶ αὐτὸν ἐγνωκότες, καὶ ὅτι ὑπηρέτης τε καὶ προφήτης ἐστὶ τοῦ Θεοῦ· καὶ δὴ καὶ τὰ πράγματα συνᾴδοντα τοῖς λεγομένοις ἐγνωκότες, παρ' αὐτοῦ μαθεῖν ἐβουλήθησαν τί
C δὴ προσῆκεν αὐτοὺς διαπράξασθαι καὶ ἀπαλλαγῆναι τοῦ παρόντος κακοῦ· καὶ ἐπάγει “ ὅτι ἡ „ θάλασσα ἐπορεύετο καὶ ἐξήγειρε μᾶλλον κλύ„ δωνα· δεικνὺς ὅτι προσθήκην ἀεὶ τὰ τοῦ χει„ μῶνος ἐδέχετο „· ὡς ἂν μὴ ἐν ἀμελείᾳ οἱ κα-
D τὰ τὸ πλοῖον θεῖεν τὸ γινόμενον· εἶτα φησί· “ καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς· ἄρατέ με καὶ ἐμ„ βάλετέ με εἰς τὴν θάλασσαν καὶ κοπάσει ἡ „ θάλασσα ἀφ' ὑμῶν· διότι ἔγνωκα ἐγὼ ὅτι „ δι' ἐμὲ ὁ κλύδων οὗτος ὁ μέγας ἐστὶν ἐφ'
E „ ὑμᾶς „· ἐγὼ μὲν γάρ φησι τούτων αἴτιος ὑμῖν εἰμὶ τῶν κακῶν· συμβουλεύω δὲ ὑμῖν ῥίψαι με εἰς τὴν θάλασσαν, ὡς ἂν ἐγὼ δοίην δίκας ὑπὲρ ἃ ἥμαρτον εἰς θεόν, αὐτοί τε λύσιν τῶν κατεχόντων λάβοιτε κακῶν· ἀλλ' ἐκεῖνοί γε σφαλερὸν
F εἶναι νομίζοντες ἄνδρα τοσοῦτον καὶ Θεῷ προσήκοντα εἰς θάλατταν ἁπλῶς ἐκρίπτειν, ἐφιλονείκουν, εἴ πως οἷοί τε ἐπὶ (1) τὴν γῆν ἐπανελθόντες ἔξω τοῦ πλοίου τὸν προφήτην ἐξαγαγεῖν· ἐπειδὴ δ' τοῦτο ποιεῖν οὐκ ἠδύναντο ἐπιτεινούσης αὐτοῖς
G τὸν χειμῶνα τῆς θαλάσσης, ἀπολογησάμενοι τῷ Θεῷ ὑπὲρ οὗ δὴ πράττειν ἤμελλον, οὕτω τῇ θαλάσσῃ τὸν προφήτην ἐνέβαλον· λέγει γὰρ οὕτως· “ καὶ ἀνεβόησαν πρὸς κύριον καὶ εἶπαν· μηδαμῶς κύριε, μὴ ἀπολώμεθα ἕνεκεν τῆς ψυχῆς
H „ τοῦ ἀνθρώπου τούτου, καὶ μὴ δῷς ἐφ' ἡμᾶς αἷ„ μα δίκαιον· διότι σὺ κύριε ὃν τρόπον ἐβού„ λου πεποίηκας „· μὴ γὰρ δὴ φησὶ τιμωρίαν ἡμῖν ἐπαγάγῃς ὡς ἂν δίκαιον μάτην ῥίπτουσιν εἰς θάλασσαν, ἐπειδὴ ἡμῖν μὲν ἦν περὶ πλείστου
I σωθῆναι τὸν ἄνδρα· οὐ γέγονε δὲ τοῦτο, ὡς ἔοικέ σοι μὴ δοκοῦν, ἀφ' ὧν ἐπιτεινόμενος ὁ κλύδων ποιεῖν ἡμᾶς τὰ εἰς σωτηρίαν τοῦ ἀνθρώπου οὐκ εἴα· οὕτω τε διὰ τούτων ἀπολογησάμενοι τῷ Θεῷ τῶν ῥημάτων, ἐνέβαλον τὸν Ἰωνᾶν εἰς τὴν θά-
K λασσαν· καὶ εὐθὺς ὁ κλύδων ἅπας ἐπαύσατο, ὥστε καὶ φόβῳ μεγάλῳ κατασχεθῆναι τοὺς ἄνδρας, θεασαμένους τὴν ἐξουσίαν τοῦ πάντων κυρίου, ὃς καὶ συνεκίνησε τὴν θάλασσαν ὡς ἐβούλετο: καὶ βουληθεὶς αὐτὴν εὐθὺ καὶ παραχρῆμα πᾶ-
L σαν εἰς γαλήνην μετέστησεν· εἶτα ἐπάγει· “ ὅτι „ καὶ ἔθυσαν τῷ κυρίῳ καὶ ηὔξαντο εὐχάς „· οὐχ ὅτι παραυτὰ ἔθυσαν τῷ κυρίῳ λέγων· οὐ γὰρ ἐπὶ τοῦ πλοίου θυσίας ἔμελλον ἐπιτελεῖν (2), ἀλλ' ἵνα εἴπῃ ὅτι τῶν εἰδώλων (3) παντελῶς ἀπο-
M στάντες ἀνέθεσαν αὐτοὺς τῇ τοῦ Θεοῦ λατρείᾳ, καὶ ὑπέσχοντο τὰ λοιποῦ τῆς αὐτοῦ δουλείας

cum calamitatem incurrisse; (quia profecto compertum habebat Deum ubique interesse, nulloque loco non sua placita facere, neque fieri posse, ut mortalis quisquam ab eius potestate discedat) prophetam deinde nautae rogabant, *quid tibi faciemus ut mare nobis sedetur?* Nam e dictis cognita hominis persona, nempe quod famulus et propheta Dei esset; quum facta quoque verbis consentanea comperissent, ab eo discere voluerunt, quid a se fieri oporteret ob impetrandam praesentis mali fugam. Porro addit scriptura, mare vehementius ferbuisse, fluctusque maiores extulisse; tempestatis scilicet incrementum significans, cuius causa rem negligere nautae non poterant. Deinde addit: *dixitque eis Ionas, tollite me et iacite in mare, quod ilico vobis sedabitur. Novi enim procellam ingentem hanc mei causa vobis excitatam.* Ego, inquit, horum vobis origo malorum sum: quare suadeo ut me in profundum mergatis, quo poenas dem culpae meae in Deum, vosque necis laqueo expediamini. Verumtamen illi periculosum existimantes talem virum Deique familiarem in mare temere abiicere, dabant strenue operam, si fieri posset ut ad litus navim appellentes, prophetam exponerent. Sed quum id adsequi nequivissent, graviorque maris aestus fieret, praefati apud Deum rei, quam acturi erant, excusationem, ita demum prophetam mari permiserunt. Quippe ait scriptura: *exclamaverunt ad Dominum, ne pereamus Domine ob huius hominis vitam, neque sanguinem innocuum nobis imputes: quia tu, Domine, prout tibi fuit libitum rem gessisti.* Ne poenas, inquiunt, de nobis sumas, quasi hominem iustum sine causa in mare iecerimus: nobis enim magnopere in votis erat hominem conservare: sed aliter tibi visum inde constat, quod aucta procella, haud nos sivisti saluti hominis consulere. His pro se apud Deum peroratis, Ionam mari merserunt: atque ilico procellae omnis fervor quievit: unde et gravi terrore correpti sunt vectores, supremi Domini potentia agnita, qui mare pro libito commoverat, eodemque mox libito quietum praestiterat. Exin additur, quod *et Domino sacrificaverint, et vota conceperint.* Non quod ibi statim Domino sacra fecerint; neque enim in navi hostias oblaturi erant: sed scriptura significat, vectores illos plane ab idolis defecisse, seque Dei cultui addixisse; fide data, se dein-

(1) Textus biblicus πρός. In praedicto autem insigni codice vaticano Theodotio et Symmachus habent εἰς. (2) Perspicue Hieronymus: *victimas certe iuxta litteram in mediis fluctibus non habebant; sed sacrificium Deo spiritus contribulatus est.* (3) Intellige, si placet, cum ps. Cyrill. ἐναλίους δαίμονας καὶ Ποσειδῶνα, *marinos daemonas et Neptunum.*

A ἐνδείξεσθαι αὐτῷ καὶ τὰς καθηκούσας προσ-
άξειν θυσίας· τοῦτο γὰρ λέγει τὸ εὔξαντο
εὐχάς.
Ὁ μὲν οὖν Ἰωνᾶς ἐπὶ πλεῖστον ἐπὶ τῆς θα-
λάσσης ἐφέρετο· προσέταξε δὲ ὁ Θεὸς κήτει με-
B γάλῳ ἐπὶ τῆς θαλάσσης φερόμενον καταπιεῖν
τὸν Ἰωνᾶν, οὗπερ ἐν τῇ κοιλίᾳ τρεῖς ἡμέρας τε
καὶ νύκτας πεποίηκεν ἀδιάφθορος παντελῶς ὁ
προφήτης· ὥστε καὶ αὐτὸν θαυμάσαντα ὅτι περ
ἀβλαβὴς ἐπὶ τοῦ κήτους πεφύλακται καὶ ἀδιάφ-
C θορος παντελῶς, ὡς ἐν οἰκίσκῳ τινὶ μετὰ πολ-
λῆς τυγχάνοντα τῆς ἀσφαλείας, ἐπὶ προσευχὴν
τραπῆναι, ἣν ἐκ τῆς κοιλίας τοῦ κήτους ἀνέπεμπε
τῷ Θεῷ· τὰ δὲ τῆς προσευχῆς ῥήματα τοῦτον ἔχει
τὸν τρόπον· « Ἐβόησα πρὸς κύριον τὸν Θεόν
D » μου, καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου(1) κραυ-
» γῆς μου ἤκουσας φωνῆς μου »· ἐν βαρυτάτῃ
θλίψει τυγχάνων καὶ ἐν αὐτῷ γε τῷ ᾅδῃ γεγονὼς
τῇ τῶν κακῶν ἀπογνώσει, ἐβόησά τε πρὸς σέ,
καὶ οὐκ ἀπέτυχον τῶν αἰτήσεων « ἀπέρριψάς με
E » εἰς βάθη καρδίας(2) θαλάσσης, καὶ ποταμοί με
» ἐκύκλωσαν(3)· πάντες οἱ μετεωρισμοί σου καὶ τὰ
» κύματά σου ἐπ' ἐμὲ διῆλθον »· ἀποφυγόντα
γὰρ τὴν ὑπηρεσίαν τὴν σὴν ἐμπεσεῖν τε τῇ θαλάτ-
τῃ πεποίηκας, καὶ πολλοῦ τινὸς πειραθῆναι τοῦ
F κλύδωνος· ὑφ' οὗ δὴ ἄγαν ταραττομένης τῆς
θαλάττης ποταμῶν δίκην ἐντεῦθέν τε κἀκεῖθεν
ἐπέρρει μοι τῶν κυμάτων τὰ ὕδατα· καὶ ἐγὼ
εἶπον· « ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου (4)· ἆρα
» προσθήσω τοῦ ἐπιβλέψαι πρὸς ναὸν τὸν ἅγιόν
G » σου »; ὑπὸ γοῦν τῆς τῶν κακῶν ἀμηχανίας
ἐκβεβλῆσθαι τῆς προνοίας ᾤμην τῆς σῆς, καὶ
οὐδεμίαν εἶχον ἐλπίδα λοιπὸν τοῦ γενόμενος ἐν
τῷ ναῷ σου τῷ ἁγίῳ τὴν καθήκουσαν ἀποτίσαι
σοι θρησκείαν· ἅτε πόρρω τε αὐτοῦ τυγχάνων
H καὶ βαρυτάτοις περιτετειχισμένος κακοῖς· « περιε-
» χύθη μοι ὕδωρ ἕως ψυχῆς μου »· αὐτῆς μου
τῆς ψυχῆς καθίκετο τῶν περικεχυμένων ἡ τα-
ραχή· « ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη (5) »· τὸ
τελευταῖον ὑπ' αὐτῆς κατεπόθην τῆς ἀβύσσου·
I « ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων(6) »· διαλ-
λάττειν τε οὐδὲν ἐδόκουν ἐμαυτῷ τῶν ἐν διαιρέ-
σεσιν ὀρέων βαρυτάταις ληφθέντων, εἶτα τῶν
ὀρέων ἐπὶ ταυτὸν συνεληλυθότων, οὐδεμίαν
ἀποφυγῆς εὑρίσκοντι λοιπὸν ἐλπίδα· « κατέ-
K » βην εἰς γῆν(7) ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώ-
» νιοι »· εἶτα ἐκεῖθεν διεδέξατό με τὸ κῆτος·
καὶ γῆν τινα οἰκεῖν ἐδόκουν, ἐξ ἧς ἀποφυγεῖν τῷ
κατεχομένῳ δυνατὸν οὐδαμῶς ὑπῆρχεν· ἀβλαβὴς
μὲν ἔνδον τῇ θείᾳ προνοίᾳ φυλαττόμενος, τὴν
L ἐκεῖθεν τε ἔκδυσιν ὅπως ἂν γένοιτο οὐχ εὑρίσκων.
« καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου(8) πρὸς σὲ κύ-
» ριε ὁ Θεός μου »· ἀλλὰ γὰρ μόνης τῆς σῆς ἐστὶ
δυνάμεως τῆς ὑπειλημμένης αὐτόθι φθορᾶς ἀ-
παλλάξαι μου τὴν ζωήν· « ἐν τῷ ἐκλείπειν ἀπ'
M » ἐμοῦ τὴν ψυχήν μου τοῦ κυρίου ἐμνήσθην »· μικροῦ
γὰρ ἀφιεὶς τῇ ἀπορίᾳ τὴν ψυχήν, τὸν σὸν ᾔτουν

ceps in eius famulatu futuros, debitasque victimas immolaturos. Id enim significat *vota concipere*.

Cap. II. Porro Ionas mari iamdiu iactabatur, donec Deus ceto grandi mandavit, ut naufragum devoraret: cuius in ventre tres dies mansit tresque noctes incorruptus plane propheta; ita ut ipse mirans suam intra cetum incolumitatem et integritatem, dum ibi ceu in domuncula quadam tute degit, conversus ad preces est, quas e ceti ventre ad Deum fudit: quarum precum haec verba sunt: *clamavi ad dominum Deum meum, qui me exaudivit: emissam de ventre inferi clamoris mei vocem auscultasti*. Gravissima pressura irretitus, atque in ipsis inferis, desperatis scilicet malis, versans, clamavi ad te; neque irrita fuit postulatio mea. *Proiecisti me in profundum maris cor, undaeque me concluserunt; omnes aestus tui fluctusque super me transierunt*. Qui perfuga eram ab obedientia tua, curasti ut in mare inciderem, ibique ingentem experirer procellam: qua dum mare, fluminis instar, agitatur, ego quidem aquarum verticibus quaquaversus obruebar. *Et ego dixi, reiectus sum procul oculis tuis. Num denuo videbo templum sanctum tuum?* His me malis quum expedire nequirem, exclusum me reputabam providentia tua; nullamque praeterea spem fovebam, fore ut in templum tuum reversus legitima perfungerer religione. Quippe illinc longissime aberam, gravissimis implicitus calamitatibus. *Offusae mihi sunt aquae usque ad animam*. Circumstantium malorum terrores ad ipsam animam penetraverunt. *Imo me vallavit abyssus*. Denique gurgite absorptus sum. *Caput meum in fissuras montium demissum est*. Nihil mihi differre videbar ab iis qui in cavernis montium altissimis detinentur, ita ut coeuntibus in se montibus, nulla spes evadendi reliqua sit. *Descendi infra humum, cuius vectes aeterna retinacula sunt*. Tum ibi me excepit cetus, intra quem terram quandam videbar incolere, unde evadere detento homini prorsus non licebat. Ceteroqui incolumis intus divino nutu servabar, quamquam exitum nullum nanciscebar. *Utinam se emergat a corruptione vita mea ad te domine Deus meus!* Tuae profecto tantummodo virtutis est, a tenaci illo exitio eripere animam meam. *Quum iam me desereret spiritus meus, Domini memor fui*. Quum iam in angustiis animam agerem, tuam popo-

(1) Inferorum venter erat ex Hesychio, qui totam hanc Ionae precem ad Christum refert. (2) H. synagogae fraudes. (3) H. multiplex Christi passio. (4) H. Deus, quare dereliquisti me? (5) H. supplicium. (6) H. sepulcrale spelaeum. (7) H. ea ad inferos descensum. (8) H. resurrectionem corporum heic hebraei vulgo intelligunt.

A βοήθειαν (1). « καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου
» εἰς ναὸν ἅγιόν σου, » αὐτός τέ μου δέξαι τὴν
προσευχὴν ἐν τῷ ναῷ καθεστὼς τῷ οἰκείῳ, οὐδὲν σε
τῆς διαστάσεως τῶν τόπων ἀμύνειν μοι κωλύ-
σαντος. « φυλασσόμενοι μάταια καὶ ψευδῆ ἔλεον αὐ-
B » τῶν ἐγκατέλιπον (2), » οἱ μὲν γὰρ τὴν ναυτικὴν
μετιόντες ἐργασίαν, καὶ τοῖς γε εἰδώλοις προσέ-
χοντες, καὶ περὶ τὴν ἀπάτην ἐκείνην ἠσχολημέ-
νοι ἐβουλήθησάν μου τινὰ ποιήσασθαι φειδώ· νι-
κηθέντες δὲ ὑπὸ τῶν κακῶν τῆς γνώμης ἀπέ-
C στησαν ἐκείνης, ὁρῶντες οὐκ ἐν αὐτοῖς βιωτὸν,
εἰ μὴ τῆς ἐγγύτητος ἀπαλλαγεῖεν τῆς ἐμῆς·
« ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογή-
» σεως θύσω (3) σοι εἰς σωτήριον τῷ κυρίῳ, » ἀλ-
λὰ γὰρ πανταχόθεν μόνῃ τῇ χάριτι τῇ σῇ φυ-
D λαχθεὶς, καὶ τὴν ἀπαλλαγὴν τοῦ θανάτου λα-
βὼν, ὕμνους τέ καὶ εὐχαριστίας ἀποτίσω σοι,
ὑπὲρ ὧν τῇ προνοίᾳ διασέσωσμαι τῇ σῇ. Τὰ
μὲν δὴ τῆς εὐχῆς τοῦ προφήτου ῥήματα ταῦτα·
τὸ δὲ κῆτος πνεύματι θείῳ τὸν Ἰωνᾶν ἐπὶ τὴν
E ξηρὰν ἤμεσεν, καθὼς ἐδόκει τοῦτο γενέσθαι τῷ
Θεῷ· τῆς γὰρ ἐσχάτης ἐστὶν ἀνοίας τοσούτων
τῶν περὶ αὐτὸν παραδόξως γεγονότων, καὶ μά-
λιστά γε πάντων τῆς ἐν τῷ κήτει σωτηρίας, τὴν
ἐκ τοῦ κήτους ἔξοδον πολυπραγμονεῖν τοῦ προ-
F φήτου, λογισμῷ τε οἴεσθαι καταλαμβάνειν ἀν-
θρωπίνῳ, καὶ φωνῆς τῆς ἡμετέρας λέγειν ὅπως
ἐγένετο μέν τοι γε (4).

Cap.III. Θεὸς ἐπὶ τῆς ξηρᾶς γεγονότι τῷ προφήτῃ πά-
λιν ἀπελθεῖν εἰς τὴν Νινευὴ κελεύει, καὶ κηρύξαι
G δὴ ἐκεῖνα ἃ πρόσθεν αὐτῷ εἴρητο παρ' αὐτοῦ·
ἀφ' οὗ δὴ μάλιστα δείκνυται ὅτι οὐχ ἁπλῶς
εἶπεν αὐτῷ κηρύττειν, ἔτι τρεῖς ἡμέραι καὶ Νι-
νευὴ καταστραφήσεται· εἰ καὶ μετὰ συντομίας
αὐτὸ λέγειν οὕτως ἡ θεία δοκεῖ γραφή· ἀλλ' ὥστε
H καὶ δηλῶσαι ὅτι ἀπειλεῖ ταῦτα συμβήσεσθαι,
εἰ μὴ μεταμεληθεῖεν ἀποστάντες τῶν χειρόνων· διὸ
φησὶν « κήρυξον ἐν αὐτῇ κατὰ τὸ κήρυγμα τὸ
» ἔμπροσθεν ὃ ἐγὼ ἐλάλησα πρὸς σὲ, » ἅπα-
σαν αὐτῷ σημαίνων τὴν διδασκαλίαν ἣν ἐπέτα-
I ξεν ἐν τοῖς πρόσθεν αὐτῷ πρὸς τοὺς Νινευΐτας
ποιήσασθαι. Ὁ μὲν δὴ προφήτης ἅτε τῇ πείρᾳ
λοιπὸν σωφρονισθεὶς ἠπείγετο πρὸς πέρας ἀγα-
γεῖν τὰ παρὰ τοῦ Θεοῦ προσταχθέντα· λέγει δὲ
ὅτι ἡ πόλις ἦν μεγίστη τῷ Θεῷ· ἵνα εἴπῃ ὅτι τῇ
K θείᾳ προνοίᾳ εἰς μέγεθος αὐξηθεῖσα, ὡς διδά-
ξειεν ἂν ἡμᾶς μηδὲν οἴεσθαι δυνατὸν εἶναι κα-
τὰ τὸν βίον τοῦτον εἰς περιφάνειαν καταστῆναι
μὴ Θεοῦ παρέχοντος τὴν οἰκείαν κηδεμονίαν· « Ἦν
» δέ φησιν ὡσεὶ ἡ πορεία ὁδοῦ ἡμερῶν τριῶν, »
L οὐχὶ τὸ μῆκος αὐτῆς τοσοῦτον εἶναι λέγων,
ἀλλ' ὡς τοσούτων ἡμερῶν δεομένου τοῦ πᾶσαν
αὐτὴν ἐκπεριελθεῖν τι ἐν κύκλῳ καὶ κατιδεῖν
οἵα τίς ἐστιν βουλομένου σαφῶς· ἐπάγει γοῦν·
« καὶ ἤρξατο Ἰωνᾶς τοῦ εἰσπορεύεσθαι εἰς τὴν
M » πόλιν ὡσεὶ πορείας ἡμέρας μιᾶς, » ἵνα εἴπῃ
ὅτι εἰσεληλυθὼς εἰς τὴν πόλιν ὁ προφήτης, καὶ

sci opem. *Venitque ad te templumque tuum oratio mea*. Ipse excepisti preces meas tuo in templo residens; nihil te locorum distantia, quominus mihi ferres opem, prohibuit. *Qui vanitatibus dant operam atque mendaciis, misericordiam dereliquerunt*. Hi qui nauticam vitam exercent et idola observant, atque eiusmodi fraudulentiis vacant, optarunt quidem mihi quodammodo parcere: verumtamen adversitate victi de sententia sua decesserunt; certiores facti haud sibi vitam superfuturam, nisi a mea se vicinia seiungerent. *Ego vero cum voce laudis atque praeconii sacrificabo tibi: quaecumque vovi solvam, pro salute recepta, Domino*. Equidem tua sola gratia servatus necique ereptus, hymnos tibi et gratiarum actiones reddam, qui curae tuae salutem acceptam fero. Atque haec fuit prophetae oratio. Cetus autem sancto a spiritu instinctus Ionam in litore evomuit, sicuti Deo visum erat ut fieret. Summae enim insaniae foret, post tot circa Ionam patrata miracula, praecipueque post retentam intra ceti viscera vitam, prophetae demum eodem e ceto exitum humano ingenio intelligibilem, aut nostra voce explicabilem, reputare.

Iam ubi in litore propheta stetit, rursum Deus praecepit illi ut Niniven iret, idque ibi praedicaret quod eidem antea in mandatis dederat. Unde potissimum demonstratur, haud simpliciter Ionae Deum mandavisse ut praedicaret, *adhuc tres dies et Ninive subvertetur*; (quamquam id breviter sic videtur scriptura dicere;) verum etiam ut minaciter quae eventura erant significaret, nisi paenitentes cives a vitiis recederent. Idcirco ait: *praedica ibi praedicationem, de qua tecum antea locutus sum*. Quibus verbis universam illi doctrinam innuit, qua superiore sermone praeceperat ut Ninivitas imbueret. Porro autem propheta experientia rerum iam eruditus festinabat ut Dei iussis obtemperaret. Ait vero scriptura *urbem illam fuisse maximam coram Deo*: nempe significat, eam divina providentia fuisse auctam: atque ita nos docet, quominus humanum quicquam putemus in gloriam venire posse, nisi id Deus cura sua dignetur. *Erat autem*, inquit, *veluti iter trium dierum*: haud sane intelligens tantam eius longitudinem; sed quod tot diebus opus esset ad eam circumeundam, atque ad eius speciem, siquis vellet, curiose observandam. Subdit ergo: *coepitque Ionas progredi intra urbem quasi itinere unius diei*. Narrat scilicet, prophetam urbem ingressum, atque in eiusdem

(1) H. Christi morientis verba *in manus tuas Domine* etc. (2) H. Iudaeorum militum Christi sepulcrum obsidentium. (3) H. mysticum videlicet sacrificium, pro salute nostra a Deo patre impetratae. (4) His verbis sugillat Theodorus hebraeos quosdam doctores, qui de Ionae exitu aniles fabulas confinxerunt.

A κατά τινος μέρους ἀρξάμενος τῆς πόλεως ἐκπε-
ριέει τε αὐτὴν, καὶ ὡσεὶ μίαν ἡμέραν πεποίηκε
κηρύττων τε καὶ λέγων, ὅτι ἔτι τρεῖς ἡμέραι καὶ
Νινευὴ καταστραφήσεται· καὶ τὰ λοιπὰ δὲ ὁπόσα
λέγειν αὐτὸν καθ᾽ ἕκαστον μέρος τῆς πόλεως πρὸς
B τοὺς παρόντας ἐπὶ διδασκαλίᾳ τῶν ἀκουόντων
ἀκολούθως ἐνῆν· τούτοις ἐπάγει· « καὶ ἐπί-
στευσαν οἱ ἄνδρες Νινευὴ τῷ Θεῷ »· δεικνὺς
ὅτι ἐκ τοῦ μέρους τῆς πόλεως ἀρξαμένου τοῦ προ-
φήτου πεποιῆσθαι τὸ κήρυγμα, εἰς ἅπαντάς τε ὁ
C λόγος διεδόθη μετὰ πολλοῦ τοῦ τάχους· καὶ δὴ
πάντες ἀναμφίβολον ἐπὶ τοῖς λεγομένοις τὴν
γνώμην δεξάμενοι μετὰ πολλοῦ τοῦ φόβου τοῖς λε-
γομένοις ἐπείθοντο· δείκνυσι δὲ καὶ τὸ ἐπίστευ-
σαν οἱ ἄνδρες Νινευὴ τῷ Θεῷ ὅτι οὐχ ἁπλῶς τοῦ-
D το μόνον ἔλεγεν, ὅτι ἔτι τρεῖς ἡμέραι καὶ Νι-
νευὴ καταστραφήσεται· οὐ γὰρ ἀπὸ μόνης ταύτης
τῆς φωνῆς πιστεύειν εἶχον τῷ Θεῷ, ἀνδρὸς ξένου
καὶ ἀγνώστου αὐτοῖς παντελῶς τὴν καταστροφὴν
μὲν ἀπειλοῦντος, προστιθέντος δὲ οὐδὲν, οὐδ᾽
E ὑφ᾽ ὅτου περ ἀπεσταλμένος εἴη διδάσκοντος τοὺς
ἀκούοντας· ἀλλ᾽ εὔδηλον ὅτι καὶ Θεοῦ ἐμέμνητο
τοῦ πάντων κυρίου· καὶ ἀπεστάλθαι ἔλεγε παρ᾽
αὐτοῦ· καὶ τὸ κήρυγμα ἐποιεῖτο τῆς καταστροφῆς
πρὸς μεταμέλειαν αὐτοὺς ἐκκαλούμενος· ὧνπερ
F οὖν δεξάμενοι τὴν διδασκαλίαν, οὕτως πιστεύ-
ειν ἐλέγοντο τῷ Θεῷ· οὗ τήν τε ἀπόφασιν καὶ τὴν
διδασκαλίαν δεξάμενοι κατὰ τὴν τοῦ προφήτου
φωνὴν πρὸς τὸ κρεῖττον εἶδον· ὥστε καὶ πολλήν
τινα καὶ σύντονον τὴν μεταμέλειαν ἐπιδείξασ-
G θαι· νηστείαν γὰρ ἀνὰ τὴν πόλιν ἐκήρυξαν ὥς
φησι, καὶ σάκκους πάντες ἐνδυσάμενοι μικροί τε
καὶ μεγάλοι πενθικῷ κεχρημένοι τῷ σχήματι,
ἵλεω γενέσθαι τὸν Θεὸν αὐτοῖς ἐζήτουν· ἐπειδὴ
δὲ καὶ ἄχρι τοῦ βασιλέως (1) ἐληλύθει ὁ λόγος,
H οὐδ᾽ ἐκεῖνος ἀμελήσας φαίνεται τοῦ πράγματος·
ἀλλὰ μικρὰ τοῦ βασιλικοῦ φροντίσας ἀξιώματος,
τόν τε θρόνον ἀφεὶς τὸν οἰκεῖον, καὶ τὴν βασι-
λικὴν στολὴν ἀπορρίψας, σάκκον καὶ αὐτὸς πε-
ριθέμενος, ἐπὶ σποδοῦ καθεζόμενος διετέλει·
I προστάγματά τε ἑξῆς παρά τε τοῦ βασιλέως καὶ
τῶν κατ᾽ αὐτὸν ἀρχόντων ἐξετέθη τοῦ μὴ τοὺς
ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὰ πρὸς ὑπηρεσίαν
αὐτοῖς τεταγμένα ζῶα παντοίας τε τροφῆς καὶ
ποτοῦ διαμένειν ἐκτός· καὶ οὐ μέχρι τούτων ἔστη-
K σαν τὴν μεταμέλειαν, ἀλλὰ γὰρ καὶ τῶν πάλαι
κακῶς αὐτοῖς πραττομένων ἀποστάντες (2), πά-
σης τε τῆς εἰς ἑτέρους ἀδικίας χωρίσαντες αὐτούς,
σφόδρα γε ἀνέμενον τὸ καὶ τὸν Θεὸν ἐφ᾽ οἷς
ἀπεφήνατο κατ᾽ αὐτῶν μεταγνόντα λῦσαι τὴν
L ἐξενεχθεῖσαν ἀπόφασιν παντελῶς· τίς γάρ φη-
σιν οἶδεν εἰ μετανοήσει καὶ παρακληθήσεται ὁ
Θεός, καὶ ἀποστρέψει ἀπὸ ὀργῆς θυμοῦ αὐτοῦ,
καὶ οὐ μὴ ἀπολώμεθα; ἅπερ οὐχ οἷόν τε λέ-
γειν αὐτοὺς μὴ ἐκ τῶν τοῦ προφήτου δεδιδαγμέ-
M νους φωνῶν, τοῦτο δὴ καὶ γεγενῆσθαί φησιν ὁ
προφήτης· καὶ ἐπειδήπερ εἶδεν αὐτοὺς ὁ Θεὸς ἀπο-

parte quadam praedicare orsum, circumisse tamdiu, donec unam veluti insumsit diem praedicans atque dicens, *adhuc tres dies, et Ninive subvertetur*; et reliqua quaecumque ab eo dici par erat in singulis urbis partibus ad civium eruditionem. Ilis addit: *et crediderunt incolae Ninivitae Deo*. Coepta per prophetam in quadam urbis parte praedicatione, celeriter admodum inter omnes diditus sermo significatur; ita ut vulgo homines certam ex dictis suscipientes sententiam, consternati magnopere monitis obtemperaverint. Praeterea, quod Ninivitae cives Deo crediderint, id satis indicat, haud simpliciter dixisse prophetam *adhuc tres dies et Ninive subvertetur*. Neque enim ob hanc unam voculam credere Deo poterant, si homo peregrinus ipsisque prorsus incognitus exitium minatus esset, nihil autem praeterea addidisset: neque docuisset auditores, quo mittente venisset. Sed enim explorandum est, prophetam et Dei meminisse omnium domini, et se missum ab eo confirmavisse: et praeconium exitii fecisse, atque ad paenitentiam esse adhortatum: quarum rerum notitia imbuti, merito dicti sunt credidisse Deo; cuius decretum magisteriumque excipientes, prophetae voce nunciatum, ad virtutem resipuerunt, ita ut multae vehementisque paenitentiae signa ediderint. Ieiunium enim per civitatem, ut ait, indixerunt, saccumque omnis aetas induit, lugubri habitu Dei clementiam implorantes. Quumque ad ipsum usque regem sermo devenisset, ne is quidem rem parvi fecit; sed regia spreta dignitate, throno relicto, regiaque stola abiecta, saccum et ipse induit, atque in cinere sedit: scriptumque a rege edictum est et a principibus eius, ut non solum homines verum etiam iumenta illorum servitio addicta omni pabulo potuque carerent. Neque hactenus illorum paenitentia stetit; sed omni ante actae vitae maleficio omisso, mutuisque imposito iniuriis fine, magnopere sperabant, fore ut ipse quoque Deus paenitens perlatum decretum funditus antiquaret. *Quis enim*, inquit scriptura, *novit num forte immutetur mitigeturque Deus, atque ab aestu furoris sui recedat, nobis incolumibus?* Quae sane dici ab eis non potuerunt, nisi propheticis vocibus fuissent edocti: id quod reapse factum propheta dicit. Iam postquam eos cognovit Deus vitiis

(1) Quisnam fuerit hic rex assyrius, cuius temporaria saltem resipiscentia narratur, disputant interpretes, et adhuc sub iudice lis est. Ceterum de Sardanapallo qui cogitant, ii cum Eusebii chronico satis tempore consentiunt, cuius vide editionem nuperam mediolanensem lib. II p. 315 – 316. Ad moralem vero sensum quod attinet, operae pretium erit legere quae super hoc rege copiose et docte more suo disserit contra Origenistas Hieronymus. (2) Textus biblicus codicis praedicti vaticani ἀνέστρεψαν. Tum in margine Aquila et Theodotio ἐπέστρεψαν.

A στάντας μὲν τῶν χειρόνων, νεύσαντας δὲ πρὸς
τὸ κρεῖττον ἔλυσε καὶ αὐτὸς τὴν ἀπόφασιν ἥν-
περ οὖν ἐξενηνόχει κατ' αὐτῶν.

Cap. IIII. "Ἐπὶ τούτοις ἐλυπήθη φησὶν ὁ Ἰωνᾶς λύπην
„ μεγάλην καὶ συνεχύθη„ · εἰκότως. διετα-
B ράττετο γὰρ ὡς ἀπατεῶνος καὶ ψεύστου δόξαν
μέλλων ἀποφέρεσθαι παρ' αὐτοῖς, ὅτι ὁ μὲν
εἴσω τριῶν ἡμερῶν ἀπειλήσειν ἔσεσθαι τὴν κατα-
στροφὴν, ἐγένετο δὲ οὐδέν· εἶτα καὶ πρὸς τὸν Θε-
ὸν ἀποβλέψας ἔλεγεν· "οὐχ οὗτοι οἱ λόγοι
C „ μου ἦσαν ἔτι ὄντος μου ἐν τῇ γῇ μου; διὰ τοῦ-
„ το προέφθασα τοῦ φυγεῖν εἰς Θαρσεῖς. διότι
„ ἔγνων ὅτι σὺ ἐλεήμων εἶ καὶ οἰκτίρμων, μακ-
„ ρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς
„ κακίαις„ · σαφῶς γὰρ ἐδήλωσεν ὅτι τοῦτο
D καὶ τῆς φυγῆς αὐτῷ γέγονεν αἴτιον, τὸ εἰδέναι
ὅτι φιλάνθρωπος ὢν, ἂν μεταβαλλομένους ἴδοι,
τὴν ἀπόφασιν πάντως ἀλλάξει τὴν οἰκείαν· ὥσ-
τε ἐντεῦθεν αὐτῷ περιέσεσθαι τὸ ψεύστου τινὸς καὶ
ἀπατεῶνος δόξαν λαβεῖν παρ' αὐτοῖς· ὅθεν
E ἐπάγει· "καὶ νῦν δέσποτα κύριε λάβε τὴν ψυ-
„ χήν μου ἀπ' ἐμοῦ, ὅτι καλόν μοι τὸ ἀπο-
„ θανεῖν με μᾶλλον ἢ ζῆν με„ · διὰ δὲ τούτου
φησὶ τὸν θάνατον αἱρετώτερον κρίνω τοῦ μετὰ δό-
ξης τοιαύτης ζῆν παρὰ τοῖς ἀνθρώποις· ὁ μὲν
F οὖν Θεὸς ὁ καὶ πρὸς τοὺς μετανοοῦντας φιλάνθρω-
πος καὶ τοῖς οἰκείοις ἤπιος ἄγαν ἐντρεπτικῶς
ἐπιτιμᾷ τῷ προφήτῃ φησίν· "εἰ σφόδρα λελύ-
„ πησαι σύ„ · ἀντὶ τοῦ δεινὰς ἀθυμεῖν τοσού-
των σεσωσμένων· δέον ἀντισηκοῦν τῇ ὑπολήψει
G τῇ σαυτοῦ τὴν πάντων σωτηρίαν, καὶ αἱρετώτερον
νομίζειν αὐτόν σε τοιοῦτον ὑποληφθῆναι, ἢ το-
σούτων ἀπώλειαν γεγενῆσθαι· ὁ δὲ προφήτης ἐξε-
ληλυθὼς τῆς πόλεως, ἐκαθέζετο κατάντικρυ
σκηνὴν ἑαυτῷ ποιήσας, καὶ ὑπὸ ταύτην διάγων,
H ἄχρις ἴδοι τί ποτε ἄρα γένοιτο πλέον περὶ τὴν
πόλιν· τῆς γὰρ ἀπειλῆς τὸ μέγεθος ἀναλογι-
ζόμενος ὑπελάμβανε τι τὸ τοιοῦτον καὶ ἔσεσθαι μετὰ
τοῦτο. εἶτα προσέταξεν ὁ Θεὸς κολόκυνθαν (1)
ἀθρόον ἀναφυεῖσαν, ἅπασαν τὴν σκηνὴν (2) ἐν ᾗπερ
I ἦν ὁ προφήτης πληρῶσαι σκιᾶς· ὡς καὶ αὐτὸν δο-
κεῖν οἰκίας τινὸς σκέπην ἔχειν τῷ πλήθει τῶν
φύλλων· καὶ δὴ καὶ τὸν καρπὸν πανταχόθεν
ἀθρόον ἐκκρεμάμενον, πλείστην τινὰ παρέχειν
αὐτῷ τὴν ψυχαγωγίαν· ἥσθη τοῦτο τὸν προφήτην
K ὡς εἰκὸς τερφθέντα τῷ παραδόξῳ τῆς τε θέας
καὶ τῆς χρείας τοῦ γεγονότος· ὡς δὲ πολλὴν
ἐπὶ τῷ πράγματι τὴν ἡδονὴν ἔσχε, καὶ ἀρκοῦ-
σαν τινὰ νομίζεσθαι τὴν ψυχαγωγίαν ἐντεῦθεν
ἐδόκει· ἀθρόον πάλιν ἐπιτάγματι θείῳ σκώ-
L ληξ ἐγγεγονὼς τῷ φυτῷ ἅπαν ἀθρόον αὐτὸ ἀνή-
λωσέν τε καὶ ἐξήρανεν παντελῶς· τὸ γὰρ σκώ-
ληκι ἑωθινῷ λέγει ἵνα εἴπῃ ὅτι ἕωθεν προστάγ-
ματι θείῳ σκώληξ ἀθρόον ἐκφυεὶς ἐπὶ τοῦ φυτοῦ
ἀπεξήρανεν ἅπαν· ὥστε ἀνατείλαντος τοῦ ἡλίου
M σφοδροτάτην αὐτῷ τοῦ ἡλιακοῦ καύσωνος ἐπι-
πεσεῖν τὴν ἀκτῖνα· λέγει γοῦν ὅτι προσέτα-

omissis ad virtutem tendere, decretum ipse quoque quod in eos tulerat abrogavit.

(1) Theodoretus ait, se contra nonnullorum sententiam heic Iudaeos adhuc intelligere, non Ninivitas. Contradicit igitur Mopsuesteno nostro. (2) Populos, qui ab assyrio rege, Arbacis instinctu, defecerunt Ninivemque obsederunt, recenset Diodorus II. 24. 26. medos, persas, babylonios, arabas, bactrianos. His defectionibus, et praeterea mala pugna pugnata, Ninivitarum opes corruerunt. (3) Cod. vat. hexapl. αὐτῶν. (4) Cod. hex. et alii vulgo ἄνδρας δυνατοὺς ἐμπαίζοντας. (5) Ita etiam cod. hex. prima manu; sed ibi postea factum αὐτοῦ,

L

A ρᾳ ἑτοιμασίας αὐτοῦ(1)· καὶ οἱ ἱππεῖς θορυβηθή-
σονται ἐν ταῖς ὁδοῖς(2)„· οἱ μέγα ἐφ' ἵπποις τε
φρονοῦντες καὶ ἅρμασιν ἃ δὴ πάντα νῦν ὑμῖν ἄχ-
ρηστα φανεῖται· ἐν γὰρ τῷ καιρῷ καθὸν παρε-
σκεύασται παρὰ θεοῦ τὰ τῆς τιμωρίας ὑμῖν, θό-
B ρυβος καὶ τὰ ἅρματα καὶ τοὺς ἱππεῖς καθίξει,
οὐθὲν ἐπιτελεῖν διὰ τὸ δέος τῶν πολεμίων οἵ-
ους τε ὄντας(3)· “ συγχυθήσονται τὰ ἅρματα, καὶ
συμπλακήσονται ἐν ταῖς πλατείαις„· πρὸς φυ-
γὴν γὰρ φησὶν ὁρμήσουσι πάντες· ὥστε ὑπὸ τῆς
C κατεχούσης αὐτοὺς ἀπορίας ἀλλήλοις αὐτοὺς συμ-
πλεκομένους πρὸ τῆς ἐφόδου τῶν πολεμίων ἑαυ-
τοὺς ἀπολλύειν· “ ἡ ὅρασις αὐτῶν ὡς λαμπά-
δες πυρὸς, καὶ ὡς ἀστραπαὶ διατρέχουσαι„·
εἰρωνικῶς ἐπὶ διασυρμῷ τοῦτο λέγει· καί τοι
D γε φησὶν οὐδὲν ἀστραπῶν καὶ πυρὸς διαλλάτ-
τειν ἐνομίζεσθε ἐκλάμποντες τε τοῖς ὅπλοις
καὶ μετὰ πολλῆς τῆς σφοδρότητος ἐπιόντες τοῖς
ἐναντίοις· “ καὶ μνησθήσονται οἱ μεγιστᾶνες,
καὶ φεύξονται ἡμέρας, καὶ κρατήσουσιν ἐν τῇ ἀπο-
E ρίᾳ αὐτῶν καὶ σπεύσουσιν ἐπὶ τὰ τείχη, καὶ ἑτοι-
μάσουσι τὰς προφυλακὰς αὐτῶν· τὰ μὲν δὴ τῆς
παρασκευῆς ὑμῖν ἐκείνης καὶ τῆς δυνάμεως πε-
ριττὰ γενήσεται πάντα(4)· τὸ πολεμεῖν δὲ ἀφέν-
τες, φυγῆς λήψεσθε μνήμην· καὶ οὐδὲ ταύτῃ
F χρώμενοι ῥᾳδίως· ἀλλὰ γὰρ μετὰ πολλῆς τῆς
ἐκλύσεως ἐπὶ τῆς φυγῆς κεχρημένοι τῷ δρόμῳ
διὰ τὴν ὑπερβολὴν τοῦ ἐπικειμένου δέους τῶν πο-
λεμίων ὑμῖν· ἀναδραμεῖσθε δὴ λοιπὸν ἐπὶ τὰ
τείχη, τὸν μὲν πόλεμον διὰ πολλὴν ἀπόγνωσιν
G ἀφέντες, τὴν ἐξ ἐκείνων δὲ προσδοκῶντες ἕξειν
ἀσφάλειαν, καὶ δὴ καὶ περὶ τὰς εἰωθυίας ἐπὶ
τῶν τειχῶν φυλακὰς πᾶσαν ἕξετε τὴν ἀσχολίαν·
καὶ τὸ δὴ μεῖζον “ πύλαι τῶν πόλεων διηνοί-
χθησαν, καὶ τὰ βασίλεια διέπεσε, καὶ ἡ ὑπόστα-
H σις ἀπεκαλύφθη· καὶ αὐτὴ ἀνέβαινε, καὶ αἱ δοῦ-
λαι αὐτῆς ἤγοντο, καθὼς περιστεραὶ φθεγγό-
μεναι ἐν καρδίᾳ ἑαυτῶν„. ἀλλὰ γὰρ οὐδὲ τῆς
περὶ τὰ τείχη σπουδῆς ὄφελός τι γέγονεν ὑμῖν·
κρατήσουσι γὰρ τῆς πόλεως οἱ πολέμιοι, καὶ διά
I γε τῶν πυλῶν μετὰ πολλῆς εἰσελεύσονται τῆς
ἀδείας· τὰ βασίλειά τε παντελῶς ἀφανιοῦσι.
πᾶσαν τέ σου τὴν ὕπαρξιν καὶ πάντας τοὺς πε-
ριόντας σοι θησαυροὺς δι' ἁρπαγῆς ποιησάμε-
νοι, καταφανῆ πᾶσιν ἐργάσονται· καὶ τὰ πά-
K λαι σοι διὰ πολλῆς τε ὄντα φυλακῆς καὶ κε-
κρύφθαι δοκοῦντα· καὶ αὐτὴ μὲν ἀναβήσῃ·
πρὸς τὴν Νινευὴ δὲ ὁ προφήτης φησίν· ἀντὶ τοῦ
ἀναβήσῃ τὸ ἀνέβαινεν εἰπών, καθὼς ἐναλλάτ-
τειν εἴωθε τὸν χρόνον· ἀναβήσῃ γάρ φησιν, ἐπὶ
L τὸν τῶν πολεμίων ἀγομένη βασιλέα ὡς αἰχμά-
λωτος οὖσα λοιπόν(5)· καὶ πᾶσαι δέ σοι αἱ ὑπή-
κοοι πόλεις τε καὶ χῶραι, δούλας γὰρ ταύτας
ὀνομάζει, μακρὰ χαίρειν εἰποῦσαι τῇ προσούσῃ
σοι πρότερον βασιλείᾳ, ἐπὶ τὴν αἰχμαλωσίαν
M ἀχθήσονται πᾶσαι σὺν σοὶ κατ' ἔννοιαν περιστε-
ρᾶς δίκην τὰς ἑαυτῶν τε καὶ σοῦ στενάζουσαι

pollebatis, ut ipsi flammae certare non dubitaretis “. Habenae currnum illorum, in die praeparationis eius; equites turbabuntur in viis „. Equis olim curribusque fidistis, qui nunc inutiles sunt. Nam quo tempore Deo visum est poenam vobis infligere, trepidatio currus et equites occupabit, ita ut metu hostium nihil agere queant. “ Confundentur currus et in plateis collidentur „. In fugam, inquit, se coniicent; hac autem trepidatione inter se collisi ante hostium adventum pessum ibunt. “ Aspectus eorum ut lampades igneae, ut fulgura discurrentia „. Ironice id dicit: nempe vos nihil fulgure differre vosmet putavistis, qui lucentibus armis praediti vehementi impetu in hostes ferebamini. “ Fugae interdiu memores erunt optimates; in trepidatione sua festinabunt moenia tenere; praesidia disponent „. Vester ille apparatus atque armatura in cassum fiet. Itaque omisso proelio fugam meditabimini: neque hac ipsa expedite utemini; sed cum ingenti consternatione currentes ob ingruentem hostium motum ad moenia, quae sola reliqua erunt, festinabitis, pugna ob desperationem relicta: atque hinc tutelam expectabitis, et ad consuetam murorum custodiam studio omni incumbetis. Quod vero gravius est “ portae urbium patuerunt, regia palatia conciderunt, opes revelatae sunt. Ipsa ascendit, et ancillae eius praecedebant, ceu columbae loquentes in corde suo „. Sed enim ne perfugii quidem ad muros ulla vobis utilitas est: potientur enim civitate hostes, perque portas multa cum securitate ingredientur; regias domos funditus evertent; opes tuas omnes atque thesauros dum diripiunt, publicos facient; quaecumque scilicet diligenti olim et arcana custodia servabas. “ Et ipsa ascendes „. Ninivem scilicet dicit propheta. (Pro *ascendes* ait *ascendit*, more suo tempora commutans.) Ascendes, inquit, ad inimicum regem deducta, captiva deinde mansura, cunctaeque tibi subditae urbes atque pagi (his enim ancillarum nomina facit) multum valere iubentes pristinum imperium tuum, servitio tecum addicentur; tacita cogitatione, columbae more, suam pariter at-

(1) Scilicet cum se ad proelium accinget, ut Hieronymus explicat. (2) Videtur mihi probabilior Mopsuestenus qui haec et sequentia de viris niniviticis intelligit, quam Hieronymus, qui iuxta hebraicam traditionem, ad victores Babylonios refert. (3) Describitur Assyriorum trepidatio, qui magnam cladem a rebellibus passi, aegre ac tumultuarie intra urbem se receperant. Diodor. II. 26. (4) Intelligo priores illas Assyriorum de rebellibus victorias quas narrat Diodorus, quae tamen ad extremum inutiles fuerunt. Ter enim Arbacis copias Sardanapallus magna internecione circa Niniven superavit; donec ipse quarto proelio inferior discessit. (5) Quippe Arbaces Niniven cum Ecbatanis, Assyriorum imperium cum Medico commutavit.

A τε καὶ ὀδυρόμεναι συμφοράς· εἶτα τὴν παλαιὰν
εὐπραγίαν αὐτῶν φησί, διαιρῶν εἰς ταῦτα τὸν
λόγον· καὶ ποτὲ μὲν ἐν οἵοις ἐξετασθήσεται
κακοῖς διδάσκων, ποτὲ δὲ τὴν πάλαι πρέπου-
σαν αὐτοῖς ἐκτιθέμενος δυναστείαν· ὡς ἂν καὶ
B τούτῳ τὸ συμβαῖνον αὐτῇ πάθος αὐξήσειεν εἰ
ἀπὸ τοιούτων εἰς τοιαῦτα ἀφικνεῖσθαι μέλλει.
" Καὶ Νινευὴ ὡς κολυμβήθρα ὕδατος τὰ ὕδα-
τα αὐτῆς (1)· καὶ αὐτοὶ φεύγοντες οὐκ ἔστησαν,
καὶ οὐκ ἦν ὁ ἐπιβλέπων "· πάλαι μὲν γὰρ κο-
C λυμβήθρας μεγίστης διήλλαττεν οὐδὲν ὑπερχεο-
μένης τῷ ὕδατι πανταχόθεν, καὶ πολλοὺς ἐν
ἑαυτῇ τρεφούσης ἰχθύας· οὕτω πολλοῦ μὲν γέ-
μουσα πλήθους οἰκείου· πολλοὺς δὲ ἐκ τῶν πο-
λέμων αἰχμαλώτους ἔχουσα παρ' ἑαυτῇ· νῦν
D δὲ εἰς τοῦτο κατέστησαν ταλαιπωρίας ὡς μη-
δὲ βραχύτατον στῆναι πρὸς τοὺς πολεμίους δυ-
νάμενοι πρὸς φυγὴν ἰδεῖν· εὑρίσκετο δὲ οὐδεὶς
τοῖς τοσούτοις ἐφορῶν κακοῖς, ἤ τινα διόρθωσιν
αὐτοῖς ἐπάγων· " διήρπαζον τὸ ἀργύριον,
E διήρπαζον τὸ χρυσίον "· ἅπαντα δὴ λοιπὸν
δι' ἁρπαγῆς οἱ πολέμιοι τὰ παρ' αὐτοῖς ἐποι-
οῦντο· " καὶ οὐκ ἦν πέρας τοῦ κόσμου αὐ-
τῆς "· ἀναρίθμητόν τινα πλοῦτον αὐτῶν ἀφαι-
ρούμενοι ὅπερ ἐκοσμοῦντο τὸ πρόσθεν· " βε-
F βάρυνται ὑπὲρ πάντα τὰ σκεύη αὐτῆς τὰ ἐπι-
θυμητά "· πολλὴν γοῦν μάλιστα τὴν σπου-
δὴν ἐποιοῦντο τὰ δοκοῦντα τίμια εἶναι καὶ ἃ με-
τὰ πολλῆς ἔσχον τῆς ἐπιθυμίας ἀφελέσθαι παρ'
αὐτῶν. τὸ γὰρ βεβάρυνται ὅμοιόν ἐστι τοῦ ἐν
G ταῖς βασιλείαις, ἐβαρύνθη ὁ πόλεμος ἐπὶ Σαοὺλ,
ἵνα εἴπῃ ὅτι κατ' ἐκεῖνο τὸ μέρος ἀπέκειντο μά-
λιστα οἱ πολέμιοι· οὕτω κἀνταῦθα τὸ βεβάρυν-
ται λέγει, ἵνα εἴπῃ ὅτι πλείων περὶ ἐκεῖνα ἡ
σπουδὴ τοῖς πολεμίοις ἐγίγνετο (2)· " ἐκτιναγ-
H μὸς καὶ ἀνατιναγμὸς, ἐκβρασμὸς (3), καὶ καρ-
δίας θραυσμὸς, καὶ ὑπόλυσις γονάτων, καὶ
ὠδῖνες ἐπὶ πᾶσαν ὀσφὺν, καὶ τὸ πρόσωπον αὐτῶν
ὡς πρόσκαυμα χύτρας "· βούλεται εἰπεῖν ὅτι
ποικίλοις ἐκ τῶν πολεμίων περιβληθήσονται τοῖς
I κακοῖς ἐκτιναττόμενοί τε καὶ ἀνατιναττόμενοι καὶ
ἐκβραζόμενοι· ὡς παντελῶς μὲν αὐτοῖς τῆς δια-
νοίας σβεσθῆναι τὸν λογισμόν· ἐκλελυμένους
δὲ ὑπὸ τοῦ δέους μηδὲ στῆναι δύνασθαι ῥᾳδίως
ἐν ὀδύναις τε κοιναῖς ἅπαντας εἶναι· καὶ συν-
K τόμως εἰπεῖν τοιούτους ἐκ τῆς τῶν κακῶν ἀπο-
ρίας εἶναι, ὡς μηδὲν ἀπεοικέναι κεκαυμένης χύ-
τρας ὑπὸ πυρός· καὶ πάλιν ἐπὶ τὴν μνήμην
ἄγων αὐτῆς τῆς παλαιᾶς δυναστείας " ποῦ ἐστι
τὸ κατοικητήριον τῶν λεόντων καὶ ἡ νομὴ ἡ οὖσα
L τοῖς σκύμνοις; " ἀλλὰ γὰρ οἴχεται μὲν τῶν λε-
όντων τὸ κατοικητήριον, οἴχεται δὲ αὐτῶν καὶ
ἡ νομὴ πᾶσα· καὶ γὰρ σκύμνους τὸ αὐτὸ λέγει,
τουτέστι τοὺς λέοντας· βούλεται δὲ εἰπεῖν ὅτι πά-
λαι μὲν οἱ τὴν Νινευὴ κατοικοῦντες λεόντων δί-
M κην ἦτι πᾶσι τοῖς λοιποῖς φοβεροὶ καὶ τὰ πανταχό-
θεν ἐκ τῶν πολέμων λαμβάνοντες ἀθροίζο-
τε παρ' ἑαυτοῖς· νῦν δὲ καὶ Νινευὴ τὸ κατοι-

que tuam maerentes calamitatem. Deinde pristinam felicitatem dicit, sic distributo sermone, ut modo mala quibus illa cruciabitur narret, modo veterem commemoret dignitatem: nimirum ut incidens infortunium ideo gravius fiat, quod talis urbs ad talia devenerit. " Ninive, ut " aquae piscina aquae eius. Ipsi arrepta fuga " nusquam substiterunt; nec erat qui aspice- " ceret ". Olim quidem a piscina maxima non differebant, aquis undique affusis, multitudine piscium ibidem alita. Sic videlicet Ninive multitudine populi redundabat; multos quoque bello captos homines apud se habens. Nunc vero tanta adversitate sunt oppressi, ut ne brevissime quidem contra hostes in acie steterint, quominus se fugae statim committerent. Porro autem nemo inventus est, qui his malis mentem intenderet, aut iisdem medicinam aliquam faceret. " Diripuerunt argentum, diripuerunt " aurum ". Cunctas horum opes praedae habuerunt hostes. " Neque erat finis ornamentorum " eius ". Innumeras divitias eripuerunt, quibus antea ornabatur. " Gravati sunt super om- " nem suppellectilem eius desiderabilem ". Vehementi studio ad pretiosa quaeque ruerunt, multamque diripiendi eam cupiditatem prae se tulerunt. Nam vox *gravati sunt* idem significat atque in regnorum libris gravatum est bellum in Saul; ut significetur, illa potissimum parte vires hostium sese intendisse. Ita heic etiam *gravati sunt* dicitur, ut intelligamus, potissimum hostium studium circa opes esse versatum. " Excussio et rediscussio, et ebullitio, " et cordis confractio, et genuum dissolutio, et " dolores omnium renum, et facies eorum ut ad- " ustio ollae ". Significat fore ut eos inimici variis adficiant malis, crebro excutientes, et eiicientes, ita ut universum iis extinguatur mentis ratiocinium. Timore autem enerves ne stare quidem facile poterunt, et communibus quatientur angoribus: atque ut breviter dicam, tantis ob has clades prementur angustiis, ut ferventis ab igne ollae haud dissimiles visuri sint. " Ubinam est leonum habitaculum et " pabulum catulorum? " Periit leonum habitaculum, periit eorum omne pabulum. Nam catuli iidem sunt atque leones. Significat autem, Ninives olim incolas leonum instar cunctis populis fuisse terribiles, et undequaque bellis sibi opes parasse. Nunc vero etiam Ninive, inquit, habitaculum

---

(1) Quamquam heic prisci interpretes aquas vulgo explicant multitudinem civium ninivitarum, nihilominus concinnior videtur sensus, si respice Euphratis (vel potius Tigridis) inundantiam intelliges, cuius impetu deiectis Ninives moeniis, via lata hostibus obsidentibus patuit. Diodor. II. 27. (2) Placet admodum haec interpretatio verbi *gravati sunt*, eamque sequitur Theodoretus. At Hieronymus, Cyrillus et Theophylactus intelligunt ipsam Ninivem ornamentis suis gravatam. Porro de immenso Ninives spolio legesis laudatum Diodorum. (3) Hieronymus, *ἐκβρασμὸς ponitur, quum quod latebat intrinsecus, erumpit in faciem.*

A κετήριον ὑμῶν οἴχεται καὶ πάντα σὺν αὐτῷ ὁπό-
σα τε ἠθροισμένα παρ' ἑαυτοῖς τὸ πρότερον εἴχε-
τε· " ποῦ ἐπορεύθη λέων (1), τοῦ εἰσελθεῖν; „
σφόδρα διασυρτικῶς· ὡς γὰρ ἐν πολέμοις αὐ-
τῶν πάντοτε ὄντων, καὶ ἀεί που τισὶν ἐπιόντων
B ὡς ἐπί τινα θήραν, ποῦ δή φησι νῦν ἀπελήλυθεν
ὁ κρατῶν ὑμῶν; ἐπὶ ποίαν ἀπελήλυθε θήραν;
ἵνα εἴπῃ ὅτι πέπαυται τοῦ πολεμεῖν, ἀπέθετο
τὴν ἐξουσίαν καὶ τὴν δύναμιν τὴν πρόσθεν· διὸ
ἐπάγει· " ἐκεῖ σκύμνοι λεόντων, καὶ οὐκ ἦν ὁ ἐκφο-
C βῶν· λέων ἥρπασε τὰ ἱκανὰ τοῖς σκύμνοις αὐτοῦ, καὶ
ἀπέπνιξε τοῖς λέουσιν αὐτοῦ, καὶ ἔπλησε θήρας νοσ-
σιὰν αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἁρπαγῆς „·
πρότερον μὲν γὰρ λεόντων δίκην ἐπῄειτε πᾶσι, καὶ
φόβος ὑμᾶς τοῦ τοιαῦτα ποιεῖν ἐπεῖχεν οὐδείς· δι'
D ἁρπαγῆς δὲ τὰ ἑτέρων ποιούμενοι, πλοῦτον ἑαυ-
τοῖς συνελέγετε πλεῖστον, αὐτάρκη καὶ τοῖς ἐξ
ὑμῶν εἰς ἀπόλαυσιν, ἀναιροῦντές τε καὶ συμ-
πνίγοντες ἑτέρους, ὥσπερ τινὰ θήραν τοῖς γεν-
νήμασι συνελέγετε τοῖς οἰκείοις, ἐξ ἁρπαγῆς καὶ
E παρανομίας τὸν πλοῦτον αὔξοντες τὸν οἰκεῖον·
τί οὖν· " καὶ ἰδοὺ ἐγὼ ἐπὶ σὲ λέγει κύριος
παντοκράτωρ· καὶ ἐκκαύσω ἐν καπνῷ πλῆθός
σου, καὶ τοὺς λέοντάς σου καταφάγεται μάχαι-
ρα· καὶ ἐξολοθρεύσω ἐκ τῆς γῆς τὴν θήραν σου·
F καὶ οὐ μὴ ἀκουσθῇ ἔτι τὰ ἔργα σου „· ὑπὲρ δὲ
πάντων ἐκείνων ἀπεφήνατο κατὰ σοῦ νῦν ὁ Θεός,
ὅτι ἐν πυρὶ μὲν ἀναλωθήσεται καὶ στενοχωρίᾳ
πλείστῃ τὸ πλῆθος τὸ σόν· τοὺς δὲ ἐν σοὶ δο-
κοῦντας εἶναι δυνατοὺς ἀνελοῦσιν οἱ πολέμιοι·
G ἀφανισθήσεται δὲ πάντα ὁπόσα συνέλεξας κα-
κῶς, ὡς πᾶσαν μέν σου καταλυθῆναι τὴν δύνα-
μιν, ἀκουσθῆναι δὲ περὶ σοῦ μηκέτι μηδὲν·
ὥς τι πεποιηκότος, καὶ ἀπολωλότος καθάπαξ.
Cap. III. Εἶτα τὴν τιμωρίαν εἰπών, ὀνειδίζει πάλιν τὴν
H κακίαν· " ὦ πόλις αἱμάτων ὅλη ψευδής, ἀδι-
κίας πλήρης „· πείσεσθε δὴ ταῦτά φησιν, ὑπὲρ
ὧν περὶ φόνους ἅπασαν εἴχετε τὴν σχολήν· καὶ
πολλοὺς ψεύδει τε καὶ ἀπάτῃ κεχρημένοι ἀδι-
κεῖν ἐπειρᾶσθε τὰ ἀνήκεστα· οἷόν τι ὁ Ῥαψά-
I κης ἐπὶ τῆς Ἱερουσαλὴμ ἐποίει ὑποσχέσεσιν
ἀγαθῶν αὐτοὺς ἐξαγαγεῖν βουλόμενος (2)· " οὐ
ψηλαφηθήσεται θήρα „· ἵνα εἴπῃ ὅτι οὐκέτι
θήρας ἕξεις καιρόν, καὶ πολλὰ ζητήσας οὐκ ἰσ-
χύσεις τι διαπράξασθαι· τοιοῦτον ἐκ μεταφο-
K ρᾶς αὐτὸ τῶν ἐπιμελῶς τι ψηλαφίᾳ ζητούντων
εἰρηκώς· διὰ τί; " φωνὴ μαστίγων, καὶ φωνὴ σεισ-
μοῦ τροχῶν, καὶ ἵππου διώκοντος, καὶ ἅρματος
ἀναβράσσοντος, ἱππέως ἐλαύνοντος, καὶ στιλ-
βούσης ῥομφαίας, καὶ ἐξαστραπτόντων ὅπλων,
L καὶ πλήθους τραυματιῶν, καὶ βαρείας πτώσεως „·
ταῦτα γὰρ ὑμᾶς ἀντὶ ἐκείνων διαδέξεται αἱ
μάστιγες καὶ κτύπος τροχῶν, καὶ ἵππων ἐλασία,
καὶ ἁρμάτων θόρυβος πολύς, καὶ ἱππέων διώ-
ξεις, καὶ ξίφη μετὰ τῶν λοιπῶν ὅπλων φοβερὰ καὶ
M ἰδεῖν τῇ λαμπρότητι τῇ οἰκείᾳ· ἀφ' ὧν δὴ πολ-
λοὶ μὲν πληγήσονται, πολὺς δὲ θάνατος ἔσται

vestrum periit, simulque quidquid opum illae antea congessistis. " Quonam abiit leo, ut ingrederetur? „ Valde hoc irridenter. Nam quia Assyrii perpetuis in bellis versati fuerant, semperque aliquos veluti venando persequuti; quonam, inquit, dux vester abiit? in quam venationem profectus est? Utique dicit finem bellandi factum, et potentiam vimque pristinam fuisse depositam. Idcirco addit: " ibi catuli „ leonum erant, nemine territante. Leo venaba„ tur catulis suis alimoniam, et catulorum suo„ rum gratia suffocabat: venatione nidum su„ um complevit, cubile suum rapinis „. Antea quidem, ait, leonum more passim vim faciebatis, nullusque vos ab ea violentia deterrebat metus. Direptis alienis, ingentes vobis opes comparavistis, quibus vestri quoque liberi fruerentur. Occidistis, suffocastis populos, atque hos praedae instar soboli vestrae utendos obiecistis: rapina et scelere divitias vestras exaggeravistis. Quid porro? " En ait tibi Do„ minus omnipotens: incendam fumo multitu„ dinem tuam; leones tuos gladius absumet; „ venationem tuam exterminabo; nulla in po„ sterum mentio erit gestorum tuorum „. Ob ea scelera omnia de te nunc ita edixit Deus, flammis atque pressuris plurimis consumptum iri populum tuum; fortissimum quemque civium tuorum ab hostibus caesum iri; quaecumque improbe coacervasti vastatum iri: destructum iri denique dominatum tuum, nullamque tui mentionem deinceps futuram: velut hominis qui aliquid fecerit, idemque mox funditus perierit.

Deinde punitione dicta, malitiam rursum obiurgat. " O sanguinaria civitas, fraudibus at„ que iniustitia redundans! „ Patiemini haec, inquit, quia semper caedibus indulsistis, multosque mortales per fraudem atque mendacium iniustis necibus irretire conati estis; veluti Rhapsaces falsis promissionibus nisus est Hierosolymorum cives urbe deducere. " Non contrecta„ bitur venatio „. Nempe haud amplius venandi occasio suppetet; multaque moliens, nihil efficere poteris. Idque ait sumpta metaphora ab iis qui curiose aliquid contrectatione vestigant. Cur? " Vox verberum et vox commo„ tarum rotarum, et equi persequentis, currus„ que ferventis, equitis agitantis, gladii splen„ didi, et armorum luce micantium, multitudinis „ vulneratae, gravisque ruinae „. Haec vos, ait, pro superiore fortuna manent, verbera, et rotarum sonitus, et equorum persequutio, et enses, cum ceteris armis, vel ipso splendore terribiles; unde multi caedentur, multa-

(1) Apte in primis similitudo haec assyrio regi. Venationem enim studiose ab iis regibus fuisse frequentatam, quia haec bellicarum rerum exercitatio verissima videatur, ait Xenophon Cyrop. l. 2; qui rursus l. 6. dat operam ut Cambyses pater praeclara bellicae artis praecepta Cyro filio tradat petita a venatione, cui hic assueverat, similitudinibus. (2) IIII. Reg. XVIII. 28.

A τῶν ἀναιρουμένων· “ καὶ οὐκ ἦν τοῖς ἔθνεσιν
αὐτῆς „· καὶ οὐδὲ στήσεται τοῖς ὑπηκόοις αὐ-
τῆς τὰ κακά, ἀλλ᾽ ἀεί τι τὸ πρῶτον ἕτερον δια-
δέξεται κακόν· “ καὶ ἀσθενήσουσιν ἐν τοῖς σώ-
μασιν αὐτῶν ἀπὸ πλήθους πορνείας „· πολ-
B λῶν δέ φησιν ἀναιρουμένων, εἰς ὀλιγίστους ἄγαν
αὐτῶν ὁ ἀριθμὸς περιστήσεται· τοῦτο γὰρ λέ-
γει τὸ ἀσθενήσουσιν ἐν τοῖς σώμασιν αὐτῶν ἵνα
εἴπῃ ὅτι ὀλίγα περιλειφθήσεται σώματα· καὶ
τὴν αἰτίαν λέγων, ἀπὸ πλήθους πορνείας· ταῦ-
C τα γὰρ πείσονται φησὶν ὑπὲρ ὧν πλεῖστον ὅσον
ἐξετράπησαν τοῦ Θεοῦ (1)· καὶ τοῦτο πράττειν ἄξιον
τῶν δοκούντων αὐτῷ· εἶτα ὀνειδίζων ἐπάγει·
“ πόρνη καλὴ καὶ ἐπίχαρις ἡγουμένη φαρμάκων „·
σὺ δή φησιν ἐσθα ἡ τοῦ προσήκοντος ἐκτετραμ-
D μένη, εὐπρεπὴς μὲν ἑαυτῇ φαινομένη διὰ τὴν
περιοῦσαν δυναστείαν, ἐπίχαρις δὲ διὰ τοὺς
ταύτης ἕνεκέν σε θεραπεύειν ἐσπουδακότας, καὶ
δὴ καὶ πάντων ἔξαρχος τῶν τῆς ἀσεβείας ἐθῶν
ἑτέροις ἐγίνου· “ ἡ πωλοῦσα ἔθνη ἐν τῇ πορ-
E νείᾳ αὐτῆς, καὶ φυλὰς ἐν τοῖς φαρμάκοις αὐ-
τῆς „· ὁλόκληρα γὰρ ἔθνη καὶ φυλὰς ὅλας τῇ
ἐξουσίᾳ καταχρωμένη τῇ οἰκείᾳ, εἰς τὴν αὐτὴν
σοι συμμετόχους ἀσέβειαν, καὶ πᾶσαν δὴ τὴν πε-
ρὶ τὰ τοιαῦτα σπουδήν· “ ἰδοὺ ἐγὼ ἐπὶ σέ,
F λέγει κύριος ὁ Θεὸς ὁ παντοκράτωρ· καὶ ἀπο-
καλύψω τὰ ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου· καὶ
δείξω ἔθνεσιν τὴν αἰσχύνην σου καὶ βασιλείαις
τὴν ἀτιμίαν σου, καὶ ἐπιρρίψω ἐπὶ σὲ βδελυγ-
μὸν, καὶ τὰς ἀκαθαρσίας σου, καὶ θήσομαί σε
G εἰς παράδειγμα· „ τοιγὰρ οὖν ἐγώ σοι φησὶν ὁ
Θεὸς ἀνάλογον ταῖς τοιαύταις ἀτοπίαις ἐπάξω
τὴν τιμωρίαν· περιβαλῶ γάρ σε φησὶν αἰσχύνῃ
παντοίᾳ, ὥσπερ ἂν εἴ τις αἰκίζεσθαί τινα μέλλων
ἀφελὼν τὴν ἐσθῆτα ἐπὶ τὸ πρόσωπον ἑλκύσειεν
H ἅπασαν, ὡς αἰσχρὰν μὲν εἶναι τῆς γυμνώσεως
τὴν θέαν, πικρὰν δὲ τοῦ αἰκισμοῦ τὴν προσδο-
κίαν· περιβεβλημένος δὲ τῇ ἐσθῆτι τὸ πρόσω-
πον μηδὲ διορᾶν τὰ προκείμενα δύνασθαι, οὕ-
τω δή φησιν ἅπαντά σου τὸν κόσμον ἀφελὼν, εἰς
I ἀτιμίαν καταστήσας τὴν ἐσχάτην τῇ τῶν πο-
λεμίων ἐκδώσω τιμωρίᾳ· ὥστε πᾶσι μὲν τοῖς
ἁπανταχοῦ περιφανῆ σου τὴν αἰσχύνην καὶ τὴν
ἀτιμίαν γενέσθαι· βδελυκτὴν δέ σε καὶ διὰ
τῆς ἀκοῆς ἅπασι φαίνεσθαι μόνης, ὑπὲρ ὧν εἰς
K τοσαύτην εὐτέλειαν κατενήνεχθαι· πάτημά τε γε-
γονυῖα πάντων καὶ παράδειγμα τῆς ἐσχάτης ἀτι-
μίας ἀποδειχθεῖσα τῇ ὑπερβολῇ τῶν κακῶν·
“ καὶ ἔσται πᾶς ὁ ὁρῶν σε, καταβήσεται ἀπὸ
σοῦ, καὶ ἐρεῖ, δειλαία Νινευή· τίς στενάξει ἐπ᾽
L αὐτήν, πόθεν ζητήσω παράκλησιν αὐτῇ (2); „ οἱ
δὲ ταῦτα λοιπὸν ὁρῶντες, καὶ τὴν προοῦσάν σοι
πρόσθεν εὐπραγίαν εἰδότες σαφῶς, ἀποστάντες
τῆς ὑπολήψεως ἐκείνης ἧς εἶχον περὶ σοῦ εἰς ἔλεον
τὸ κατὰ σοῦ μεταστήσουσι μῖσος· τοῦτο γὰρ λέ-
M γει τὸ καταβήσεται ἀπὸ σοῦ, ὥστε καὶ ἐλεεῖν
σε τῶν κατεχόντων κακῶν, συλλογιζομένους ὡς

que interfectorum funera erunt. “ Non erat (finis) gentibus eius „. Subditorum eius mala non interquiescent, sed aliud ex alio consequetur. “ Infirmabuntur in corporibus suis a numero fornicationum „. Multis interfectis, ad paucos admodum redigetur illorum numerus. Hic enim significatus est verborum infirmabuntur in corporibus suis. Pauca, inquit, supererunt corpora; causamque rei tradit multitudinem fornicationum. Haec, ait, patientur quia mirum quantum a Deo recesserunt. Atque haec Dei placita merito ad exitum deducenda sunt. Deinde convitians ait: “ meretrix pulchra et gratiosa, dux veneficiorum „. Tu, inquit, illa es quae ab officio recessisti, quaeque speciosa tibi ob imperium videbaris, gratiosa propter eos qui dominatus sui causa te colere certabant; et quidem ceteris quoque impiorum morum auctor fuisti. “ Quae vendit gentes fornicatione sua, et tribus pharmacis suis „. Gentes integras tribusque totas, potestate tua abutens, ad impietatis tuae societatem pellexisti. “ Ecce ego super te, ait dominus Deus omnipotens; revelabo posteriora tua super faciem tuam: ostendam gentibus ignominiam tuam, regibus probrum tuum, iaciamque super te abominationem et immunditiam tuam; statuam te in exemplum „. Quamobrem, ait Deus, congruas huic vesaniae poenas imponam: cooperiam, inquit, te ignominia omnimoda. Veluti cum quis aliquem excruciaturus detractam ei vestem in vultum congerit universam, ut turpe sit nuditatis spectaculum, amara autem cruciatuum expectatio; qui quidem capite vestibus obvoluto, ne rem quidem praesentem cernere potest. Prorsus ita, ait, detracto omni ornatu tuo, in extrema te ignominia constitutam, hostibus puniendam tradam. Sic omni genti probrum tuum ac turpitudo exploratissima fiet: tuique nominis vel sola auditio cunctis erit abominabilis, postquam in tantam vilitatem decideris, proculcata ab omnibus, excessuque malorum ad summae ignominiae exemplum proposita. “ Et erit, quicumque viderit, descendet a te, dicetque: Ninive infelix, quis illi ingemiscet? quodnam ei solamen conquiram? „ Qui haec in posterum viderint, ac superioris gloriae tuae probe meminerint, omissa illa de te aestimatione, odium misericordia commutabunt; id enim aiunt verba descendet a te;

(1) Fornicationis nimirum nomine intelligit conversionem a Deo ad idola. Confer commentarium ad Oseam. Theodoretus utramque intelligit, et idololatriam et intemperantem libidinem. (2) Niniven supremo excidio deletam tradit Diodorus supra laudatus, itemque Strabo XVI. 2, quod satis indicat etiam Plinius VI. 13. verbis illis *fuit et Ninus* (ut Virg. *Troia fuit*.) Ergo clarissimi auctores cum propheta nostro consentiunt. Quod siqui alii sic loquuntur, ut Ninive postea e ruinis excitata videatur, intelligendi potius sunt frequentes illi pagi, quos in eius solo observavit Beniamin Iudaeus. V. Hard. ad Plin.

A οὔτε δυνατὸν τινὰ ἐπαξίως ὀδύρασθαι τὴν ἐπι-
γεγονυῖαν σοι συμφοράν· ἀλλ' οὐδὲ παράκλη-
σίν τινα καὶ θεραπείαν εὑρεθῆναι οἷόν τε τῶν
τοσούτων κακῶν· “ἅρμοσαι χορδὴν, ἑτοίμα-
σαι μερὶς Ἀμμὼν, κατοικοῦσα ἐν ποταμοῖς,
B ὕδωρ κύκλῳ αὐτῆς· ἧς ἡ ἀρχὴ θάλασσα, καὶ
ὕδωρ τὰ τείχη αὐτῆς„· τινὲς Ἀμμὼν ἔφασαν(1)
ἐνταῦθα λέγεσθαι τὴν ὀνομαζομένην νῦν Ἀλε-
ξάνδρειαν ἐπὶ τῆς Αἰγύπτου· καίτοι γε δῆλον
ὅτι ἐγγύς που μετὰ τετρακόσια ἔτη(2) τῆς προφη-
C τείας ταύτης Ἀλέξανδρος ὁ τῆς Μακεδονίας
γέγονε βασιλεὺς, ὃς σὺν πολλοῖς ἑτέροις κατεσ-
χηκὼς τὴν Αἴγυπτον, ἐπώνυμον ἑαυτῷ τὴν Ἀλε-
ξάνδρειαν πεποίηκεν· εἰ μὴ ἄρα τις ἐκεῖνο λέγοι
ὅτι καὶ πρὸ τούτου πόλις ἦν αὐτόθι Ἀμμὼν
D λεγομένη, περὶ ἧς τανῦν ὁ προφήτης φησίν· ἀλ-
λὰ γὰρ, ὃ πολλάκις ἔφην (3), περιττὸν εἶναι τὴν
τοιούτων ἡγοῦμαι τὴν ἀκριβολογίαν, ὁπότ' ἂν
μηδὲν εἰς φανέρωσιν τῆς προκειμένης συντελῇ
διανοίας· ὥστε καὶ ἐπίδειξίν τινα κενὴν εἶναι
E τὴν περὶ τὰ τοιαῦτα ἀκριβολογίαν, ἵνα δὲ δο-
κῶσι τοὺς ἀδηλοτέρους ταῖς ὀνομασίαις ἑρμηνεύειν
τόπους· μυθωδέστερον δὲ ἔτι τὸ παρ' αὐτῶν
λεγόμενον ὅτι τῆς Ἀλεξανδρείας τὴν ἀπώλειαν
ὁ προφήτης λέγει· ὡς ἂν δείξειεν ὅτι μηδὲν
F θαυμαστὸν εἰ καὶ περὶ τὴν Νινευὴ τὸ γέγονε τοι-
οῦτο· οὐ γὰρ ψυχαγωγεῖν ἐν τοῖς λόγοις ὁ προ-
φήτης πειρᾶται τὴν Νινευή· ψυχαγωγίας δὲ ἦν
τὸ ἑτέρων συμφορᾶς μεμνῆσθαι, ὡς ἂν ἐκ ταύ-
της ὁ πεπονθὼς παρακαλοῖτο· εἰώθαμεν γοῦν
G ἀεὶ τοὺς πενθοῦντας τῇ μνήμῃ παρακαλεῖν τῶν
ὁμοίων, ὡς ἂν μὴ ἄγαν ἀθυμοῖεν, καινόν τι
τὰ κατ' αὐτοὺς νομίζοντες εἶναι· τοὐναντίον μὲν
οὖν διὰ πάντων δῆλός ἐστιν ὁ προφήτης τῇ μη-
νύσει τῶν προσδοκωμένων τῇ Νινευὴ κακῶν, τὴν
H παλαιὰν αὐτῆς συνάπτων εὐπραγίαν, ἀφ' ἧς δὴ
μάλιστα τὸ συμβαῖνον αὐτῇ κακὸν αὐξάνεσθαι
ἔμελλεν· ἀλλὰ γὰρ ταῦτα μὲν ἐκ περιουσίας εἰ-
ρήσθω· ὁ δὲ νοῦς τῶν ῥητῶν οὗτός ἐστιν· εἰσε-
λήλυθεν ἄχρι τῆς Αἰγύπτου ὁ ἀσσύριος, πλεῖστα
I καὶ τοὺς αὐτόθι διατιθεὶς κακά· ὥστε καὶ τοὺς
ἐκπεφευγότας τῶν ἰσραηλιτῶν καὶ αὐτόθι διά-
γοντας μεγίσταις περιβαλεῖν συμφοραῖς, ὡς ὁ
προφήτης δείκνυσιν Ὠσηέ (4)· διὰ τοῦτο ἰδοὺ πο-
ρεύσονται ἐκ ταλαιπωρίας Αἰγύπτου, καὶ ἐκδέ-
K ξεται αὐτοὺς Μέμφις, καὶ θάψει αὐτοὺς Μαχ-
μάς· δηλοῖ δὲ ἅπερ ὑπὸ τῶν ἀσσυρίων εἰσελη-
λυθότων εἰς τὴν Αἴγυπτον πάσχειν ἔμελλον οἱ
ἐπ' αὐτὴν καταπεφευγότες τῶν ἰσραηλιτῶν· ὥσ-
περ τοίνυν ἐν τοῖς ἀνωτέροις τὰ καταληψόμενα
L τοὺς ἀσσυρίους λέγων κακὰ, ἐπὶ τὸν Ἰούδαν
ἀπέστρεψε τὸν λόγον ἑορτάζειν αὐτῷ κελεύων
ὡς ἐν εἰρήνῃ καθεστῶτι λοιπὸν, τῷ τὸν ἐπε-
ληλυθότα αὐτῇ πολέμιον ἀνῃρῆσθαι· οὕτω
κἀνταῦθα ἐπὶ τὴν Ἀμμὼν πόλιν οὖσαν τῆς Αἰ-
M γύπτου τρέπει τὸν λόγον καί φησιν· “ἀνάλαβε
κιθάραν καὶ μετὰ πολλῆς τῆς ἡδονῆς παρα-

tuaque mala miserabuntur, mente reputantes fieri non posse ut digne quis inflictam tibi calamitatem deploret, aut solamen aliquod vel remedium excogitet. “ Apta chordam, compara „ te pars Ammon, quae incolis flumina: aqua „ in circuitu eius; initium eius mare, aqua „ moenia eius„. Nonnulli dixerunt Ammonem heic appellari Alexandriam Aegypti. Atqui compertum est, quadringentis circiter post hanc prophetiam annis Alexandrum Macedonum regem extitisse, qui occupata cum aliis multis regionibus Aegypto, cognominem sibi Alexandriam condidit. Quod si quis dicat, ante hunc quoque extitisse in eo loco urbem nomine Ammonem, deque hac modo prophetam loqui; profecto, quod saepe iam monui, supervacaneam esse arbitror super his rebus curiositatem; si quidem nihil ea confert ad rei propositae intelligentiam. Quare subtilior de his disputatio, vana est ostentatio hominum, qui videri volunt incertiorum locorum nomina interpretari. Illud est apud eos fabulosius, cum aiunt de Alexandriae exitio prophetam loqui, ut ostendat nil mirum esse, si idem quoque Ninivae acciderit. Neque enim solari verbis Niniven propheta vult. Porro ad solamen pertinet, alienae calamitatis commemoratio, quasi haec malis exercitum recreet. Revera maestos consolari solemus mentione paria patientium, ne plus aequo animis concidant, quasi aliquid inusitati ipsis acciderit. Contra omnino exploratum est, prophetam eventuris Ninivae malis veterem illius felicitatem adiungere, qua calamitas eius comparatione gravior evadebat. Sed haec superfluitate quadam sermonis dicta sunto. Loci vero sententia est: venit usque in Aegyptum Assyrius, multa ibi quoque mala patravit; et quidem profugos illuc Israelitas ibidemque degentes maximis incommodis adfecit, ut Oseas propheta demonstrat: propterea ecce fugient ab adversitate Aegypti, recipiet eos Memphis, tumulabit eos Machmas. Significat quae ab Assyriis Aegyptum ingressis perpesuri erant profugi Israelitae. Sicuti ergo in superioribus, postquam correptura Assyrios mala recitavit, ad Iudae tribum verba convertit, iubens eam festum agere, et pace in posterum frui, quandoquidem adgressori eius extingui contigerat; ita et nunc ad Ammonem Aegypti urbem loquela conversa ait: sume citharam, multoque cum

(1) Sic fere Hieronymus cum Cyrillo et Theophylacto. Theodoretus Ammonem idolum intelligit, sive Aegyptum huic consecratam. Porro ad ea quae Hieronymus docte disputat de *No* et *Ammone* commodum erit adiungere clarissimi Ignatii de Rubeis observationes de voce Νειν, Nili nomine, in etym. aegypt. p. 137 sqq. (2) Adamussim adeo Mopsuestenus noster cum Eusebii chronico in hac parte consentit, ut vix dubitem quin id opus prae oculis habuerit; cuius quidem vide editionem mediol. an. Abrah. 1286, et 1680, quae sunt Nahumi et Alexandri regnantis aetates, inter quas intercedunt anni 400. (3) Confer comm. ad Ion. p. 65. (4) Cap. VIIII. 6.

A σκεύασαι διὰ ταύτης τῷ μὲν ᾄδειν τὴν ἀπώλειαν, σῦ δὲ τὴν εἰρήνην· ἡ πανταχόθεν ὕδατι περιβεβλημένη θαλάττῃ τε ὠχυρωμένη καὶ ποταμοῖς(1)· ὄνησαι ἐκ τούτων οὐδὲν ἐπεληλυθότος τοῦ ἀσσυρίου(2), νῦν μέν τοι γε πᾶσα τῆς ἐκείνου κα-
B κίας λέλυταί σοι ἡ ὑπόνοια· εἶτα ἐπάγει· " Αἰθιοπία ἡ ἰσχὺς αὐτῆς καὶ Αἴγυπτος, καὶ οὐκέτι πέρας τῆς φυγῆς σου· Φοὺτ(3) καὶ λίβυες ἐγένοντο βοηθοὶ αὐτῆς· καὶ αὐτὴ εἰς μετοικεσίαν πορεύσεται αἰχμάλωτος, καὶ τὰ νήπια αὐτῆς ἐδα-
C φιοῦσιν ἐπ' ἀρχαῖς τῶν ὁδῶν αὐτῆς "· καὶ γὰρ καὶ οὗτοι φησὶν αἰθίοπές τε καὶ λίβυες καὶ πάντες δὲ ὧν πεποίημαι μνήμην συμμαχίαν ἔθεντο πρὸς σὲ ἐν ἁπάσαις βοηθεῖν ἐπαγγελλόμενοί σοι ταῖς ἀνάγκαις· ὤφέλησαι δὲ οὐδὲ ἀπὸ τούτων οὐδὲν,
D περὶ φυγήν τε ἀσχολημένη καὶ αἰχμάλωτος ταῖς τῶν πολεμίων ἀπαγομένη χερσίν, οἱ οὐδὲ τῶν νηπίων τῶν παρὰ σοὶ φειδὼ ποιησάμενοι ἐρρίφασιν αὐτὰ νεκρὰ κατὰ πᾶσαν ὁδὸν πολυτρόποις ὑποβαλόντες σφαγαῖς· εὔδηλον δὲ ὅτι αἰθίοπας
E οὐ τοὺς πόρρω που ἀπῳκισμένους φησίν, ἀλλὰ τοὺς ὅσους ὁμόρους εἶναι συνέβαινεν αἰγυπτίοις· " καὶ ἐπὶ πάντα τὰ ἔνδοξα αὐτῆς βαλοῦσιν κλήρους, καὶ πάντες οἱ μεγιστᾶνες αὐτῆς δεθήσονται χειροπέδαις "· ἅπαντα μὲν γὰρ τὰ πα-
F ρὰ σοὶ τίμια ἀφελόντες οἱ πολέμιοι διενείμαντο κλήροις· καὶ τοὺς μέγα δὲ τῶν ἐν σοὶ δύνασθαι νομιζομένους χειροπέδαις ἐμβαλόντες ἐπὶ τὴν αἰχμαλωσίαν εἷλκον· " καὶ σὺ μεθυσθήσῃ "· ἐπειδὴ τὸν οἶνον ἐπὶ τιμωρίας λαμβάνειν
G εἴωθε, βαρυτάτην φησὶν ὑπομένεις τὴν τιμωρίαν· ὥστε δίκην μεθύοντος τῇδε κἀκεῖσε περιαντλεῖσθαι τοῖς κακοῖς· " καὶ ἔσῃ παρεωραμένη "· λόγος δὲ οὐδενὶ γενήσεται τῶν κατὰ σέ· " καὶ σὺ ζητήσεις σεαυτῇ στάσιν ἐξ ἐχθρῶν σου "· ἐπι-
H θυμήσεις δὲ τινὰ ἄνεσιν τῶν κακῶν λαβεῖν, ὁπόσα δή σοι παρὰ τῶν πολεμίων κατὰ τὸν καιρὸν ἐκεῖνον ἐπάγεσθαι μέλλει· " πάντα τὰ ὀχυρώματά σου ὡς σύ "· καταλυθήσεται γὰρ παραπλησίως σοι πάντα ὁπόσα δὴ πρὸς ἀσφάλειαν
I οἰκείαν πρότερον εἶχες· " καὶ σκοποὺς ἔχουσα ἐὰν σαλευθῶσι, καὶ πεσοῦνται εἰς στόμα ἐσθίοντος "· πειράσῃ δὲ διὰ πολλῶν ἀποσκοπεῖν τὰ ἐσόμενα ἐπειδ' ἂν τῆς παρουσίας τῶν πολεμίων δέξῃ τὴν ἀκοήν· οἱ δὲ ὀνήσουσί σε οὐδέν· ἐκτρα-
K πέντες γὰρ τῶν ἐντεταλμένων πεσοῦνται ὑπὸ τοῖς πολεμίοις· " ἰδοὺ λαός σου ὡς γυναῖκες ἐν σοί· τοῖς ἐχθροῖς σου ἀνοιγόμεναι ἀνοιχθήσονται πύλαι τῆς γῆς σου, καὶ καταφάγεται πῦρ τοὺς μοχλούς σου "· πάντες σου φησὶν οἱ κατὰ τὴν πό-
L λιν ὑπήκοοι γυναικῶν δίκην ἐν ὀλολυγαῖς γενήσονται καὶ δέει· ἐπειδ' ἂν τὰς μὲν πύλας ὑπὸ τῶν πολεμίων ἴδωσιν ἀνοιχθείσας· κεκρατημένην δὲ ὑπ' αὐτῶν τὴν πόλιν πάσης τῆς πρότερον αὐτῇ δοκούσης ἀσφαλείας πρεσβεῦσαι ὡς ὑπὸ πυ-
M ρὸς ἀθρόον ἀναλωθείσης· " ὕδωρ περιοχῆς ἐπίσπασαι σεαυτῇ, καὶ κατακράτησον τῶν ὀχυρωμά-

gaudio para te ad canendum fidibus Assyrii exitium tuamque pacem; tu quae aquis undique cincta, mari fluviisque vallata, nihil inde protecta fueras ab Assyrii incursione; nunc demum universa tibi maleficii ab eo patiendi formido sublata est. Deinde addit: " Aethiopia atque Aegyptus fortitudo eius. Non est terminus fugae tuae. Phut et Libes auxiliares eius sunt. Ipsa in deportationem ibit captiva. Parvulos eius solo allident in viarum capitibus ". Nam et hi, inquit, Aetiopes et Libes, ceterique quorum mentionem feci, foedera tecum inierant, seque tibi in omni bellica necessitate adfuturos receperant. Verumtamen nihil opis hinc retulisti; dumque fugam maturares, capta es hostium manibus et abducta: qui sane ne parvulorum quidem tuorum miserti exanimes abiicient passim in compitis, vario suppliciorum genere enecatos. Constat autem heic Aethiopas dici non illos longe dissitos sed qui Agyptiis sunt finitimi. " Super praeclara quaeque eius mittent sortes, cunctique optimates eius manicis vincientur ". Omnia tibi pretiosa eripientes hostes, sorte inter se diviserunt, cunctosque qui apud te potentatu pollebant manicis iniectis in captivitatem abduxerunt. " Et tu inebriaberis ". Quia vino significare punitionem scriptura solet, gravissimam illi ait inflictum iri poenam, ut ebrii instar hinc inde obruatur adversitatibus. " Et despicieris ". Nulla tui ratio habebitur. " Et tu quaeres tibi requiem ab inimicis tuis ". Optabis levamine aliquo malorum potiri, quae tibi eo tempore ab hostibus tuis accident. " Omnes munitiones tuae sicut tu ". Aeque ac tu corruent omnia quae olim tutelae tuae gratia tenebas. " Etiamsi speculatores habent, nihilominus quassatae corruent in os vorantis ". Conaberis quidem multis exploratoribus ventura praenoscere statim ac propinquantem hostem audieris. Sed tamen custodum nullus fructus erit: namque ab imperatis stationibus deiecti in hostium potestatem incident. " Ecce populus tuus tamquam feminae apud te. Hostibus tuis patefient portae regionis tuae; ignis aduret vectes tuos ". Omnes qui dicto tuo obtemperabant per urbem cives, feminarum ritu ululatibus indulgebunt atque formidini, statim ea portas hostibus patentes viderint, captamque ab his urbem, cuius vetus omnis munitio tamquam igne subito evanescet. " Aquam obsidionis attrahe tibi, obtine propugnacula tua ". Mul-

(1) Accurate admodum dicit propheta Alexandriam (sive in eius situ veterem Ammonem) ὕδατι, θαλάττῃ, ποταμοῖς cinctam. Namque illa reapse urbs, ut verbis Hieronymi utar *hinc rivo Nili, inde lacu Mareotico, ex alia parte mari cingitur*. (2) Intelligenda est cum optimis interpretibus Sennacherimi aut Nabuchodonosori in Aegyptum incursio. Phut Africam explicat Hieronymus, id quod copiosissime more suo confirmat Bochartus phal. IV. 33; qui praeterea observat partem hanc africanam proximam Aegypto fuisse.

A τῶν σου „. πολλοῖς ἔθος ἐστὶ πρὸ τῶν τειχῶν
τάφρους ἐργάζεσθαι μεγίστας καὶ πληροῦν ταύτας
ὕδατος, ὡς μὴ ῥᾳδίαν ἐπὶ τὰ τείχη τοῖς πολε-
μίοις εἶναι τὴν διάβασιν· τοῦτο οὖν λέγει κἀν-
ταῦθα· ὅτι ἐφέλκυσαι τὴν ἐκ τοῦ ὕδατος βοή-
B θειαν, καὶ περίβαλε τούτῳ τὸ τεῖχος τὸ οἰκεῖον·
καὶ πάντων τῶν εἰς ἀσφάλειάν σοι κατεσκευάσ-
θαι δοκούντων πολλὴν ποίησαι τὴν ἐπιμέλειαν,
εἴ πού τι ἐκ τούτων ὄφελος δέξαιο· λέγει δὲ
αὐτὰ εἰρωνικῶς διασύρων ὡς οὐδενὶ βοηθεῖσθαι
C κατ' ἐκεῖνον τὸν καιρὸν οἵων τε ὄντων· ἐπάγει
γοῦν· „ ἔμβηθι εἰς πηλὸν, καὶ συμπατήθητι ἐν
ἀχύροις· κατακράτησον ὑπὲρ πλίνθον· ἐκεῖ κα-
ταφάγεταί σε πῦρ, ἐξολοθρεύσει σε μάχαιρα· καὶ
καταφάγεταί σε ὡς ἀκρίς, καὶ βαρυνθήσῃ ὡς
D βροῦχος· ἐπλήθυνας ἐμπορίας σου ὑπὲρ τὰ ἄστρα
τοῦ οὐρανοῦ „. ἀλλ' οὐδὲν ἔσται σοι πρὸς σωτηρίαν
μηχάνημα τότε· τοὐναντίον μὲν οὖν ὥσπερ εἴς
τινα πηλὸν ἐμπεσὼν τὸ μέγεθος τῶν κακῶν δί-
κην ἀχύρων ἐμποιήσει πλίνθον συμπατούμενόν
E τε καὶ συναναφυρόμενον τῷ πηλῷ ἐν ἅπασι τοῖς
τότε φυρομένοις κακοῖς καὶ αὐτός· ἀναλώσει
μὲν γάρ σε δίκην πυρὸς ὁ πολέμιος· ἀφανισθή-
σῃ δὲ σφαγαῖς ποικίλαις· βρούχου τε καὶ ἀκρί-
δος δίκην ἐπελεύσεταί σοι τῶν πολεμίων τὸ πλῆ-
F θος, καταναλίσκοντές σε καὶ βαρεῖαν ἐξεργα-
ζόμενοί σοι τῶν κακῶν τὴν πεῖραν· ἄπρακτος
δέ σοι πᾶς ὁ πλοῦτος ἐκεῖνος γενήσεται, ὃν συν-
έλεξας ὥσπερεὶ τοῖς ἄστροις ἁμιλλώμενος τοῦ
οὐρανοῦ· „ βροῦχος ὥρμησε καὶ ἐξεπετάσθη,
G ἐξήλατο ὡς ἀττέλεβος ὁ σύμμικτός σου (1), ὡς ἀκ-
ρὶς ἐπιβεβηκυῖα ἐπὶ φραγμὸν ἐν ἡμέρᾳ πάγου·
ὁ ἥλιος ἀνέτειλε καὶ ἀφήλατο, καὶ οὐκ ἐγνώσ-
θη ὁ τόπος αὐτῆς „. πάντες φησὶν οἱ ὑπήκοοί
σου οὓς πολλαχόθεν συνήγαγες αὔξων ὡς ᾤου τὴν
H δύναμιν ἑαυτοῦ (2)· τοῦτο γὰρ λέγει σύμμικτον·
ὥσπερ τις βροῦχος ἀπέπτη σου παντελῶς, καὶ ἐξε-
πήδησεν ἀττελέβου δίκην· ἐμιμήσατό τε ἀκρί-
δα ἐν πάγῳ, ἐπιβεβηκυῖαν φραγμῷ, ἣ ἀκίνητος
ἐκ τοῦ κρύους ἐπὶ τῆς στάσεως μένουσα τῆς οἰκείας,
I ἡλίου φανέντος τε καὶ διαλύσαντος τὸν πάγον,
ἀθρόον τῆς πτήσεως τῆς οἰκείας ἀπειληφυῖα τὴν
δύναμιν ἀφίπταται, οὐδὲν ἴχνος τῆς στάσεως
αὐτῆς καταλιποῦσα τῆς πρότερον· οὕτω γὰρ ἐπ-
εὶ καὶ οὗτοι πρότερον μὲν ὑπὸ σοὶ καθεστήκεσαν
K τῷ δέει· καταλαβούσης δέ σε τῆς συμφορᾶς,
ὥσπερ ἐν ἐλευθερίᾳ τινὶ γεγονότες, τὸν ἐκ σοῦ
χωρισμὸν ἀγαπήσουσιν ἅπαντες· εἶτα θρηνητι-
κῶς ἐφ' ἅπασιν ὁ προφήτης λέγει· „ οὐαὶ αὐ-
τοῖς· ἐνύσταξαν οἱ ποιμένες σου· βασιλεὺς ἀσ-
L σύριος ἐκοίμισε τοὺς δυνάστας σου „. θρήνων φη-
σὶν ἄξιοι πάντες ὑμεῖς· οἱ μὲν γὰρ ἡγούμενοι
ὥσπερ ὕπνῳ τινὶ τῇ τιμωρίᾳ κατενεχθέντες πε-
πτώκασι· τοιοῦτον δέ ἐστι καὶ τὸ παρὰ τῷ μα-
καρίῳ Δαβὶδ (3)· ἐνύσταξαν οἱ ἐπιβεβηκότες ἵπ-
M πους· ὁ δὲ βασιλεὺς ὁ ὑμέτερος ἀπωλείᾳ πα-
ραδοθεὶς (4) συναπώλεσεν ἑαυτῷ πάντας τοὺς παρ'

torum mos est prae moenibus foveas maximas effodere easque aquis complere, ne sit expeditus hostibus ad moenia accessus. Id utique nunc ait: pete ab aqua praesidium, atque hac circumda muros tuos; nihilque eorum praetermitte quae tutelae prodesse videntur; si forte hinc aliquid opis impetrare queas. Loquitur vero ironice et subsannans, quoniam haec nulli usui per id tempus futura erant. Ergo addit: " ingredere lutum, conculcare in paleis, roborare super laterem: ibi vorabit te flamma, perdet te gladius, comedet te quasi locusta, gravaberis ut bruchus. Multiplicasti negotiationes tuas super astra caeli ". Verumtamen nulla tunc tibi ad salutem machinatio proderit. Immo vero ceu quoddam in lutum in malorum barathrum incides. Palearum instar conficies tu quoque laterem conculcatum atque concretum luto, nempe cunctis tunc haerentibus malis. Quippe ignis instar absumet te hostis; caedibus variis peribis: bruchi et locustae more superveniet tibi hostium agmen, qui te consument, acerbumque tibi malorum sensum efficient: otiosae tibi erunt opes illae, quarum numerum stellis caelestibus parem congesseras. " Bruchus irruit et evolavit: exiliit quasi attelabus commixtus tuus: ut locusta quae insedit saepem in die gelu. Ortus est sol, et illa avolavit; neque cognitus est locus eius ". Omnes, inquit, subditi tui, quos multis e locis contraxeras, incrementum, ut arbitrabaris, virium tuarum (id enim significat vox commixtus) bruchi ritu avolaverunt quaquaversus, diffugeruntque instar attelabi. Imitati sunt locustam quae hora gelida saepem insidet: haec enim manet in statione immobilis a frigore, donec orto sole geluque resoluto vim volandi recuperans, exilit, nullo sui vestigio relicto. Dicit autem: hi pariter qui tibi antea metus causa obtemperabant, mox ubi adversa fortuna laboraveris, tamquam libertate recepta, cuncti a te ovantes recedent. Deinde lugubriter generatimque propheta exclamat: " Vae illis! dormitaverunt pastores tui; rex assyrius consopivit potentes tuos ". Flebiles, ait, vos omnes: nam duces, ceu sopore quodam, punitione correpti occubuerunt. Tale est illud apud beatum Davidem; dormitaverunt qui ascendebant equos. Porro regi vestro neci tradito commortui sunt omnes qui apud eum

---

(1) Hieronymus: *attelabus qui graece dicitur σύμμικτος, quem nos possumus vulgus ignobile et de diversis gentibus hinc inde congregatum populum intelligere.* Paulo infra ibi Hieronymus describit naturam attelabi locustae. (2) De rege assyrio heic rursus sermonem fieri, patet e subsequentibus. Ergo omnino cogitandum est de copiis illis quas e provinciis contraxit, teste Diodoro, Sardanapallus rex, quaeque apud Niniven partim in hunc ipsum arma verterunt; partim fractis Assyriis diffugerunt. Dissidet a Mopsuesteno Theodoretus qui babylonium assyrii nomine intelligit. (3) Ps. LXXV. 7. (4) Sardanapallum, rogo inflammato, secum combussisse regiae aulae turbam multam satis exploratum est.

A αὐτῷ δυναστεύοντας πρότερον· « ἀπῆρεν ὁ λαός σου ἐπὶ τὰ ὄρη, καὶ οὐκ ἦν ὁ ἐκδεχόμενος »· πρὸς φυγὴν ἅπαντες εἶδον λοιπόν, ἐπεὶ μηδεὶς ἦν ὁ βοηθεῖν δυνάμενος τοῖς παροῦσι κακοῖς· « οὐκ ἔστιν ἴασις τῆς συντριβῆς »· πᾶσα γὰρ θεραπεία
B τε καὶ διόρθωσις τῶν σῶν ἀφῄρηται κακῶν· « ἐφλέγμανεν ἡ πληγή σου »· ηὐξήθη γάρ σου τὸ κακόν, ὥστε καὶ μένειν ἀνίατον· « πάντες οἱ ἀκούσαντες τὴν ἀγγελίαν σου κροτήσουσι χεῖρας ἐπὶ σέ, διότι ἐπὶ τίνα οὐκ ἐπῆλθεν ἡ κακία σου
C διαπαντός; » ἀλλὰ γὰρ οἱ πανταχοῦ τῶν περὶ σὲ κακῶν δεξάμενοι τὴν ἀκοὴν ἡσθήσονται, τῷ κρότῳ τῶν χειρῶν τῶν οἰκείων ἐπιδεικνύμενοι τῆς σῆς ἀπωλείας τὴν ἡδονήν· ἐπειδὴ γὰρ κοινὸν πρὸς ἅπαντας ἤρω τὸν πόλεμον, καὶ πάντα
D ὅν τινα οὖν βλάπτειν καὶ κακοῦν κατὰ τὴν δύναμιν ἔσπευδες τὴν οἰκείαν, διὰ τοῦτο κοινὴν ἅπασιν ἡδονὴν ἐκ τῆς ἀπωλείας γενέσθαι συνέβη τῆς σῆς (1).

dignitate praestabant. « Diffugit ad montes populus tuus, neque erat qui eum exciperet » Cuncti iam ad fugam spectabunt, quoniam nemo reliquus erat qui praesenti malo suppetias ferret. « Non est confractionis medela ». Cura omnis atque emendatio malorum tuorum sublata est. « Vulnus tuum intumuit » Crevit calamitas tua, iamque est insanabilis. « Omnes qui rei nuncium audient, manibus plaudent super te. Ad quem enim non devenerat perpetua malitia tua? » Profecto populos omnes fama cladium tuarum oblectabit, hique manuum plausu quantopere pernicie tua laetentur significabunt. Tu enim bellum adversum omnes susceperas, neminemque pro viribus molestia ac detrimento non adficiebas. Hinc tuus interitus commune gaudium omnibus adtulit.

ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟΧΕΩΣ

ΕΡΜΗΝΕΙΑ ΑΒΔΙΟΥ (2) ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

THEODORI ANTIOCHENI MOPSUESTIAE EPISCOPI

COMMENTARIUS INTEGER IN ABDIAM PROPHETAM.

E Ἀπεχθῶς ἄνωθεν ἰδουμαῖοι πρὸς τοὺς ἰσραηλίτας ἔσχον, περὶ πολλοῦ τε αὐτῶν ποιούμενοι τὴν ἀπώλειαν, καὶ ἐπὶ ταῖς προσγιγνομέναις αὐτοῖς ἡδόμενοι συμφοραῖς, ὥστε καὶ συμπράττειν πρὸς ἅπαντα τοῖς ἐπιοῦσιν αὐτοῖς, ἡνίκα πο-
F τε κατὰ θείαν συγχώρησιν ἐν πείρᾳ καθίσταντο κακῶν· γεγόνασι γὰρ ἰσραηλῖται μὲν ἐκ τοῦ Ἰακὼβ κατάγοντες τὸ γένος, ἰδουμαῖοι δὲ ἐκ τοῦ Ἡσαῦ· ἀδελφοὶ δὲ ἦσαν οὗτοι υἱοὶ τοῦ Ἰσαάκ· καὶ ἐπειδὴ κατὰ θείαν κρίσιν τῶν πρωτοτοκίων
G ἐπὶ τὸν Ἰακὼβ μετηλλαχθέντων, διὰ μίσους τε εἶχεν αὐτὸν ὁ Ἡσαῦ, καὶ ἀνελεῖν καιροῦ λαβόμενος ἐβούλετο, παρασκευάζει μὲν τὸν Ἰακὼβ εἰς τὴν Χαρρὰν ἀπελθεῖν ἡ μήτηρ, ὡς ἂν πόρρω γεγονότος λωφήσειεν ἡ ὀργὴ τοῦ Ἡσαῦ·
H καὶ δὴ καὶ θείας προνοίας ἀξιωθεὶς ὁ Ἰακὼβ παντελῶς διέφυγε τοῦ ἀδελφοῦ τὴν βλάβην· μετελήλυθε δὲ ὅμως εἰς τοὺς ἐξ αὐτῶν ἡ ἔχθρα· διέμειναν τε οἱ ἐκ τοῦ Ἡσαῦ κατάγοντες τὸ γένος ἰδουμαῖοι πολεμίως πρὸς τοὺς ἰσραηλίτας ἔχον-
I τες ἐκ τοῦ Ἰακὼβ καταγομένους (3) ὡς ἔφην ἤδη· ποικίλως τοίνυν τὴν κατ᾽ αὐτῶν ἔχθραν ἐπιδεικνύμενοι οὐδὲν ἧττον τὴν αὐτὴν ἐπεδείξαντο γνώμην καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον, καθ᾽ ὃν ἀσσυρίους τε ἰσραηλίταις καὶ βαβυλωνίους ὕσ-
K τερον τῇ τε Ἱερουσαλὴμ καὶ τοῖς τῆς Ἰούδα φυλῆς ἐπελθεῖν συνέβη· ὥστε καὶ πλεῖστα ὅσα ἐπὶ

Inimici iamdiu Israelitarum Idumaei erant, valdeque hi optabant illorum excidium, atque eorumdem adversis casibus laetabantur: imme cum ipsorum quoque hostibus perpetuo conspirabant, postquam Deo permittente Israelitae variis cladibus adfici coeperant. Porro Israelitae a Iacobo genus trahebant, Idumaei ab Esavo, qui fratres erant Isaaco geniti. Iam quia divino iudicio ius natu maioris ad Iacobum transierat, atque ob id invisum habebat Iacobum Esavus, eumque interficere, si res tulisset, moliebatur, dedit operam mater ut Iacobus Charras peregrinaretur, dum interim eo submoto quiesceret Esavi furor. Et Iacobus quidem divina providentia tectus satis vitavit impendens a germano exitium; sed tamen manavit in posteros horum odium: retinueruntque Esavi progenies Idumaei hostiles animos adversum Israelitas Iacobo, ut dixi, progenitos. Quumque multifariam iam prodidissent simultatem illam, tum etiam mentem suam aperuerunt quo tempore Assyrii contra Israelitas, rursusque cum Babylonii contra Hierosolyma Iudaeque tribum, ex-

(1) Licet cuique cognoscere Nahumi vaticinium poeticos apprime spiritus gerere; quod ne minus miremur, facit prophetae aetas, quae in poeticum Graecorum saeculum incidit, et Saxii onomasticon docet. (2) In margine codicis hexapl. vat. δουλεύων κυρίῳ · Παρ᾽ ἑβραίοις δ', nempe ordine quartus propheta. (3) Codex uterque vat. καταγόμενοι.

A τε τῶν ἰουδαίων ἀπωλείᾳ τοῖς βαβυλωνίοις συμ-
πρᾶξαι· ἐντεῦθεν ὁ μακάριος Δαβὶδ τὰ κατὰ Βα-
βυλῶνα προφητεύων(1) λέγει μὲν(2) ἐπὶ τῶν πο-
ταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύ-
σαμεν, καὶ τὰ ἑξῆς· δι' ὧν ἐδείκνυ τὰ κατὰ τὴν
B αἰχμαλωσίαν ἐκείνην αὐτοῖς συμβεβηκότα κα-
κά· ἐπειδὴ δὲ καὶ τὴν ἐπὶ τὸ κρεῖττον αὐτῶν
μεταβολὴν ἔμελλε μηνύειν, ἐπάγει(3)· μνήσθητι
κύριε τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἱερουσαλὴμ,
τῶν λεγόντων ἐκκενοῦτε ἐκκενοῦτε(4) ἕως τῶν θε-
C μελίων αὐτῆς· εὔδηλον γὰρ ὅτι υἱοὺς Ἐδὼμ τοὺς
ἰδουμαίους λέγει, ἀμφοτέραις ταύταις καλουμέ-
νους ταῖς προσηγορίαις ὡς πολλαχοῦ τε ἐκ τῆς
θείας ἔνεστι μαθεῖν γραφῆς· καὶ οὐδὲν ἧττον ἐκ
τῆς τῶν βασιλειῶν ἱστορίας· λέγει γὰρ ἐν τῇ
D τετάρτῃ τῶν ἱστοριῶν(5) ὅτι Ἀμεσίας ἐπάταξε
τὸν Ἐδὼμ ἐν πολέμῳ, εἶτα ἀπέστειλε μὲν πρὸς
τὸν Ἰσραὴλ βασιλέα ἐπὶ πόλεμον αὐτὸν ἐκκα-
λούμενος· ὁ δὲ ὑβριστικῶς ἀποκρινάμενος πρὸς
αὐτὸν πρὸς τοῖς λοιποῖς καὶ τοῦτο φησὶ, πατά-
E ξας ἐπάταξας τὴν Ἰδουμαίαν· καὶ ἐπῆρέ σε ἡ
καρδία σου ἡ βαρεῖα· οὓς ἐν τοῖς ἀνωτέροις εἶναι
τοῦ Ἐδὼμ ἔφη, ἰδουμαίους ἐν τούτοις εἰπών· μνή-
σθητι τοίνυν φησὶ τῶν ἰδουμαίων, ὁποῖα δὴ καθ'
ἡμῶν πεποιήκασιν, οἱ τὸν καιρὸν τῆς συμφορᾶς
F τῆς ἡμετέρας πρόφασιν τῆς ἑαυτῶν ἐποιήσαντο
κακίας· ὥστε τοῖς ἐπεληλυθόσιν ἡμῖν συνεπισ-
χύειν, εἴ πως ἅπασαν ἐκ βάθρων ἀνασπάσειαν
τὴν πόλιν καὶ μηδὲ λείψανον αὐτῆς τι καταλί-
ποιεν ἔτι· καὶ ἐπάγει (6), θυγάτηρ Βαβυλῶνος ἡ
G ταλαίπωρος(7), μακάριος ὃς ἀνταποδώσει σοι τὸ
ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν· δεικνὺς
ὅτι τότε δὴ καὶ ἰδουμαίοις ὑπὲρ τῆς γνώμης
ἐκείνης ἐπάξει τὴν τιμωρίαν ὁ θεός· ἡνίκα δὴ
τὴν μὲν βαβυλωνίων καταστήσει δυναστείαν,
H τὴν βασιλευομένην πόλιν αὐτῶν ἅμα τῷ τε βα-
σιλεῖ καὶ πᾶσι τοῖς οἰκοῦσιν αὐτὴν παραδοὺς
τοῖς Πέρσαις, ὥστε καὶ παθεῖν παρ' αὐτῶν ἐκεῖ-
να ἅπερ οὖν κατὰ τῆς Ἱερουσαλὴμ πεποιήκεισαν
ἤδη· ἰσραηλίτας δὲ τῆς κατεχούσης ἀπαλλάξας
I αἰχμαλωσίας εἰς τὴν οἰκείαν χώραν ἐπαναγάγῃ
πάλιν· ἐπειδὴ τοίνυν πολλάκις διὰ τῶν προ-
φητῶν ὁ θεὸς τὰ καταληψόμενα τοὺς ἰσραηλίτας
ἔφη κακὰ, πρότερον μὲν ὑπὸ ἀσσυρίων, ὑπὸ
βαβυλωνίων δὲ μετ' ἐκεῖνο ὅτι τε αἰχμάλωτος
K ἅπας ὁ Ἰσραὴλ τοῦτον ἀπαχθήσεται τὸν τρόπον·
πολλὴν δὲ ὡς ἔφην ἐπὶ τῶν καιρῶν ἐκείνων τὴν
οἰκείαν ἐπεδείξαντο συνεργίαν, ἰδουμαῖοι και-
ρὸν ἐπιτήδειον εἰληφέναι νομίσαντες εἰς τὸ
πανωλεθρὶ πάντας ἀπολέσαι τοὺς ἐκ τῆς ἰσ-
L ραηλιτικῆς ὡρμημένους συγγενείας, ὅπερ ἦν θεῷ
πολεμούντων προδήλως· ὃς τόν τε Ἰακὼβ τῆς
τῶν πρωτοτοκίων ἠξίωσεν εὐλογίας, καὶ πάντων
τῶν ἐκεῖθεν καταγομένων πολλήν τινα καὶ ἐξαί-
ρετον πεποιημένος διατετέλεκε τὴν ἐπιμέλειαν.
ἀθυμεῖν τε ἐπὶ τούτοις εἰκὸς ἦν τοὺς ἰσραηλίτας
M εἰ ἐκ τοῦ τὴν εὐλογίαν τῶν πρωτοτοκίων κατὰ

peditionem fecerunt. Tunc sane plurima ad Iudaeorum perniciem fecerunt cum Babyloniis conspirantes. Quare et beatus David res babylonicas praedicens ait: super flumina Babylonis, illic flevimus; et reliqua. Quibus verbis mala per illam captivitatem Iudaeis eventura significavit. Verumtamen quia meliorem quoque rerum ordinem restituendum dicturus erat, addidit: memento Domine filiorum Edomi, qui in die Hierosolymorum aiebant, exinanite exinanite a fundamentis urbem. Perspicuum est filios Edomi a Davide intelligi Idumaeos, qui utraque appellatione utebantur, ut saepenumero e divina scriptura cognoscere licet; et quidem e regnorum libris historicis. Quarta enim historia dicit ab Amesia caesum fuisse in acie Edomum; deinde missam ab eo legationem ad Israelis regem ut ad proelium eum provocaret: hunc autem cum stomacho respondisse illi inter cetera: extulit te superbia cordis tui, propterea quod clade adfeceris Idumaeam. Quos in superioribus dixit Edomi filios, nunc Idumaeos dicit historia. Itaque David memento, ait, quanta Idumaei contra nos fecerint, qui calamitatis nostrae tempore abusi sunt tamquam ansa ad suam expromendam malitiam; quique hostibus nostris vires addiderunt, ut universam a fundamentis eruerent urbem, nihilque in ea reliquum esse paterentur. Additque: filia Babylonis misera! felix qui reddet tibi retributionem quam nobis retribuisti! significans fore ut eodem tempore Idumaeis quoque ob huiusmodi ipsorum mentem poenas Deus imponeret: nimirum quo tempore Deus Babyloniorum imperium eversurus erat, regiamque horum urbem cum rege cunctisque incolis Persarum potestati traditurus, ut ab his eo iure tractarentur, quod ipsi pridem contra Hierosolyma exercuerant: expeditis interim captivitate Israelitis atque in patriam restitutis. Quandoquidem ergo Deus correptura Israelitas mala prophetarum ore saepe praedixerat, primo quidem ab Assyriis imponenda, iterum a Babyloniis cum universus Israel migrare patria iussus est; et quia valde, ut dixi, per id tempus Idumaei cum hostibus consenserunt, dum idoneam nacti occasionem se crederent perdendi funditus omnes quicumque israelitica stirpe essent (qua in re et Idumaei sine dubio Deo adversabantur, qui Iacobum maioris natu privilegio dignatus fuerat, cunctosque huius posteros peculiari magnaque cura con-

(1) Veteri sententiae de unico psalmorum auctore Davide adhaeret Mopsuestenus; quamquam hic psalmus ex eorum numero est, quos alii critici in captivitate babylonica vel post eam scriptos autumant. (2) Ps. CXXXVI. 1. (3) Ibid. 7. (4) Vel etiam *solo aequate*! si certe conferre placet hebraicum ערו cum derivato aethiopico ዐረየ Matth. XX. 12. (5) IIII. Reg. XIIII. 7. (6) Ps. CXXXVI. 8. (7) Hebr. השדודה *vastanda* aut *vastata*, ut reapse Aquila, Theodotio et Hieronymus intelligunt. Iam graecum ταλαίπωρος apte hoic verterem in italicum duplicis sensus vocabulum *desolata*.

A θείαν κεκομισμένου ψῆφον καταζήμιοι, τοιαῦτα πάσχοιεν παρὰ τῶν ἐκ τοῦ πρεσβυτέρου οἰκείου τῆς εὐλογίας ἀποκλεισθέντων τῆς θείας· ἀναγκαίως τὸν μακάριον προφήτην Ἀβδίαν ἐπὶ τούτῳ κεκίνηκεν ὁ Θεὸς, ὡς ἂν διὰ πάσης αὐτοῦ τῆς
B προῤῥήσεως τὴν καταληψομένην Ἰδουμαίους μηνύσειεν τιμωρίαν· ὁπηνίκα ἂν ἐπὶ τὸ κρεῖττον μεταγαγεῖν τὰ τῶν Ἰσραηλιτῶν δοκιμάσῃ Θεός· ἐπαναγαγόν τε αὐτοὺς ἐκ τῆς αἰχμαλωσίας καὶ τῇ χώρᾳ πάλιν ἀποδιδοὺς τῇ οἰκείᾳ, ὥστε καὶ τὴν
C Ἱερουσαλὴμ ἀνοικοδομῆσαι καὶ τὸν ναὸν ἐν αὐτῇ κατασκευάσαι, ἐν ᾧ δὴ μάλιστα προσῆκεν αὐτοὺς συνιέναι πάλιν, τὴν καθήκουσαν ἐκ τῆς νομικῆς διατάξεως ἀποπληροῦντας αὐτόθι τῷ Θεῷ θρησκείαν· νῦν τε γὰρ οὐ μικρὰν ἡ τούτων
D μήνυσις τὴν ψυχαγωγίαν παρείχετο τοῖς ἀδικουμένοις· καὶ μετὰ τὴν τῶν μηνυθέντων ἔκβασιν, ἔτι μᾶλλον ἐπείθοντο τὸ γνώμῃ Θεοῦ πάλαι τε ταῦτα εἰρῆσθαι· καὶ πρὸς ἔργον ὕστερον ἐκβεβηκέναι, ἅπερ ἦν ἄμφω τῆς περὶ αὐτοὺς
E κηδεμονίας ἔλεγχος τοῦ Θεοῦ· ὥστε οὐκ ἄδηλον εἶναι ἔτι προμηθείᾳ τοῦ λαοῦ καὶ ταύτην ἐποιεῖτο τὴν μήνυσιν· οὗ δὴ πολλὴν ὑπὲρ τῆς σωτηρίας, ὡς πολλάκις ἔφην, ἐποιεῖτο τὴν ἐπιμέλειαν ὁ Θεός·

Ὅρασις Ἀβδιοῦ· Οὐδὲν κατὰ τὴν δύνα-
F μιν διαλλάττει τοῦτο, τοῦ λόγου κυρίου· λόγον γάρ τοι κυρίου τὴν ἐνέργειαν ὀνομάζει τοῦ Θεοῦ, καθ' ἣν τῇ πνευματικῇ χάριτι τὰς ἀποκαλύψεις οἱ προφῆται τῶν ἐσομένων ἐδέχοντο· καὶ ὅρασιν τὸ αὐτὸ δὴ τοῦτο καλεῖ τὴν ἀπο-
G κάλυψιν τὴν θείαν καθ' ἣν ἐνεγένετο αὐτοῖς τῶν ἀδήλων δέχεσθαι τὴν γνῶσιν· ἐπειδὴ γὰρ καὶ θεωρίας τινὰς ἀπορρήτως διὰ τῆς πνευματικῆς ἐνεργείας ἐπὶ τῆς ψυχῆς ἐδέχοντο τῆς οἰκείας οἱ προφῆται, καὶ τὴν διδασκαλίαν τῶν ἐσομέ-
H νων ὡς περί τινος λαλοῦντος ὑπήκουον κατὰ τὴν ἐγγινομένην αὐτοῖς ἐνέργειαν ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου (1)· διὰ τοῦτο καὶ ὅρασιν αὐτὸ καὶ λόγον κυρίου καλεῖ· καὶ ἀκοὴν δὲ ὡς εἰκὸς, ἅτε τῆς πνευματικῆς διδασκαλίας ὥσπερ ἀκοῇ τινὶ δε-
I χομένων τὴν γνῶσιν· ὅθεν καὶ ὁ μακάριος Ἡσαΐας ὁ προφήτης φησί (2)· κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; ἵνα εἴπῃ τῇ γνώσει τῶν δειχθέντων ἡμῖν, καὶ ὧν ἐδιδάχθημεν θεόθεν· ἀκολουθότατα δὲ καὶ ὁ μακάριος Παῦλος ταύτην τε θεϊκῶς
K τὴν φωνὴν ἐπήγαγεν (3)· ἄρα ἡ πίστις ἐξ ἀκοῆς· ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ· δεικνὺς ὅτι οὐ καλῶς δυνατὸν τὴν τοιαύτην ἀκοὴν προσγίνεσθαι τοῖς προφήταις, ἀλλ' ἡ διὰ τῆς τοῦ ἁγίου πνεύματος ἐνεργείας· καὶ ὁ μακάριος δὲ φησὶ
L Δαβὶδ (4)· κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου· ἵνα εἴπῃ ὅτι ὑποθεὶς τὴν ἀκοὴν καὶ δεξάμενος θεόθεν (5) τὴν γνῶσιν, διαπορθμεύσω τοῖς ἀνθρώποις τῶν προσηκόντων τὴν διδασκαλίαν· κἀνταῦθα τοίνυν
M ἐπειδὴ εἶπεν ὅρασις Ἀβδιοῦ, ὁ προγραφὴ τῆς παραπλησίως τοῖς λοιποῖς ἐν τῷ βιβλίου δηλο-

plectebatur; et ipsos Israelitas magnopere maerere par erat, quia posteri eius qui divino decreto primogeniti tulerat benedictionem, haec patiebantur ab iis qui cum suo parente benedictione divina exciderant) ob haec, inquam, necessario Deus beatum prophetam excitavit Abdiam, qui universo suo vaticinio eventuram Idumaeis poenam significaret, quum Deo aliquando visum foret res Israelitarum in pristinam prosperitatem vindicare; e servitio scilicet expedire, suaeque patriae reddere, ut Hierosolyma instaurarent templumque reficerent: in quo maxime decebat iterum congregari eos, ut ibi legitimis erga Deum religionibus operarentur. Et quidem nunc haud exiguo maerentibus solatio erat horum eventuum praedictio: tum vero post vaticiniorum exitum multo magis credituri erant, haec olim Dei voluntate praedicta, et deinde verba ad rem collata fuisse. Quae res utraque Dei comprobabat erga eos providentiam; certioresque eosdem faciebat, haec a Deo vaticinia fuisse edita gentis gratia, de cuius incolumitate magnam, ut saepe dixi, curam gerebat.

" Visio Abdiae ". Nihil huius vocabuli vis differt a sermone Domini. Quippe sermonem scriptura appellat eam virtutem, per quam spiritali munere notitiam rerum futurarum prophetae excipiebant. Visionem dicit pro divina revelatione, cuius ope illis contingebat, ut arcanorum scientiam consequerentur. Nam quia et theorias quasdam inenarrabiliter spiritali opera in animam admittebant prophetae, tum etiam doctrinam futurarum rerum tamquam ab aliquo loquente audiebant, pro sancti spiritus agente in iis virtute; idcirco et visionem dicit scriptura et sermonem Domini; immo etiam, ut mihi videtur, auditum: propterea quod spiritalis doctrinae notitiam, auditionis cuiusdam instar, recipiebant. Quare beatus quoque Isaias propheta ait: Domine quis credidit auditui nostro? nempe notitiae rerum nobis demonstratarum, et quas divinitus edocti sumus. Convenientissime item beatus Paulus hanc divinitus protulit locutionem: fides ex auditu, auditus autem per verbum Dei: significans, haud aliter accidere posse prophetis auditionem huiusmodi, nisi a sancti virtute spiritus. Tum etiam beatus David ait: inclinabo ad parabolam aurem meam, aperiam in psalterio propositionem meam: nempe quam aure praebita divinitus hausero cognitionem, eam mox ad homines perferam ut officiorum fiat disciplina. Igitur quod heic dicitur " visio Abdiae " is est quidam (ut in ceteris prophetis usuvenit) titulus libri, qui nomen eius prae se fert a quo ista dicuntur, simul-

(1) Recole dicta in prohoemio ad Nahumum. (2) Cap. LIII. 1. (3) Rom. X. 17. (4) Ps. XLVIII. 5. (5) Melior haec aliisque patribus magis conformis explicatio est, quam illa recentiorum quorumdam, qui hoc loco modis musicis intentum prophetam sibi fingunt; ac propemodum illud horatianum nobis similitudinis causa occinunt carmen digitis callemus et aure.

*

A σιν ἔχοντος οὐ τινὸς ἂν τὰ λεγόμενα, ὅπως τὸ
τοῦ τοιαῦτα λέγειν δύναμιν εἰληφότες· ἄρ-
χεται τῶν τῆς προφητείας ῥημάτων οὕτως.

« Τάδε λέγει κύριος ὁ Θεὸς τῇ Ἰδουμαίᾳ »·
δηλῶν περὶ ὧν ἡ προφητεία γίγνεται· « ἀκοὴν
B ἤκουσα παρὰ τοῦ κυρίου »· τῶν δὲ ἐσομένων φη-
σὶ κατὰ τὴν Ἰδουμαίαν, ἀδήλων μὲν ὄντων ἀν-
θρώποις, μετὰ πολὺν δὲ ἐσομένων τὸν χρόνον,
παρὰ τοῦ Θεοῦ δέδεγμαι τὴν διδασκαλίαν· εἶτα
τίς ἡ ἀκοή; « καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστει-
C λε »· περιοχὴν λέγει τὸ κύκλῳ τι περιέχον,
οἷον τεῖχος ἤ τι τοιοῦτο, οὕτω λέγει τό (1), τίς
ἀπάξει με εἰς πόλιν περιοχῆς; ἵνα εἴπῃ εἰς πόλιν
τετειχισμένην, τουτέστι περιεχομένην τῷ τείχει κύ-
κλῳ· ταύτην οὖν φησὶν ἤκουσα τὴν ἀκοὴν, ὅτι ὥσπερ
D τινὰ περιοχὴν τὸ πρόσταγμα ἐξαπέστειλε τὸ οἰ-
κεῖον εἰς τὰ ἔθνη ὁ Θεός, ἅπαντας αὐτοὺς ἐν
κύκλῳ κατὰ τῆς Ἰδουμαίας συλλέγων· « ἀνά-
στητε καὶ ἐξαναστῶμεν ἐπ' αὐτὴν εἰς πόλεμον »·
κατὰ ἀποσιώπησιν τὸ λέγων νοεῖται, ἵνα ᾖ καὶ
E περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν λέγων ἀνά-
στητε καὶ ἐξαναστῶμεν ἐπ' αὐτὴν εἰς πόλεμον·
ὡσανεὶ τοῦ Θεοῦ ταῦτα λέγοντός τε καὶ κελεύον-
τος καὶ πανταχόθεν ἐπ' αὐτὴν τὰ ἔθνη συλ-
λέγοντος· καὶ δὴ καὶ στρατηγεῖν αὐτοῖς μέλλον-
F τος ἐν τοῖς κατὰ τῆς Ἰδουμαίας πολέμοις· οἷόν
τι καὶ ὁ μακάριος Δαβίδ (2)· τίς ἀπάξει με εἰς πό-
λιν περιοχῆς; καὶ τίς ὁδηγήσει με ἕως τῆς Ἰδου-
μαίας; οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; ἵνα
εἴπῃ ὅτι ὁ Θεός μοι εἰς τοὺς κατὰ τῆς Ἰδουμαίας
G στρατηγήσει πολέμους· ἰδίωμα δὲ τοῦτο καὶ πα-
ρὰ τῷ μακαρίῳ Δαβὶδ εὕροι τις ἂν κατὰ ἀπο-
σιώπησιν σημαίνεσθαι τὸ λέγων ἢ λέγοντες, ἤ
τι τοιοῦτο· οἷόν ἐστι τό (3), ἵνα τί ἐφρύαξαν ἔθνη
καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βα-
H σιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ
τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ
αὐτοῦ· διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν,
καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν·
καὶ γὰρ κἀνταῦθα κατὰ ἀποσιώπησιν τὸ λέ-
I γοντες νοεῖται εἰς δήλωσιν τῆς γνώμης μεθ' ἧς τὴν
παράνομον ἐκείνην εἰργάζοντο πρᾶξιν· τοιοῦτον
ἐστὶ καὶ τό (4), πρὸς κύριον ἐν τῷ θλίβεσθαί με
ἐκέκραξα καὶ εἰσήκουσέ μου· κύριε ῥῦσαι τὴν
ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσ-
K σης δολίας· κατὰ ἀποσιώπησιν γὰρ κἀνταῦθα
ἐκεῖ τὸ λέγων, ἵνα ᾖ, πρὸς κύριον ἐν τῷ θλί-
βεσθαί με ἐκέκραξα λέγων, κύριε ῥῦσαι τὴν ψυ-
χήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης
δολίας· τὸ γὰρ εἰσήκουσέ μου διὰ μέσου, κα-
L τὰ ἀνταπόδοσιν εἴρηται τοῦ παντός· οὕτως οὖν
κἀνταῦθα λέγει· ὅτι συνέλεξεν ὁ Θεὸς τὰ
ἔθνη ὥσπερ τινὶ φωνῇ τῷ ἐπιτάγματι τῷ οἰκείῳ
διεγείρων αὐτοὺς εἰς τὸν κατὰ τῆς Ἰδουμαίας
πόλεμον· εἶτα ὡς τὸν πόλεμον δηλώσας ἐπάγει
M πρὸς τὴν Ἰδουμαίαν αὐτήν· « ἰδοὺ ὀλιγοστὸν

que innuit quanam auctor virtute loquendi imbutus, verborum propheticorum hoc initium faciat.

« Haec dicit dominus Deus Idumaeae ». Significantur ii ad quos prophetia fit. « Auditionem audivi a Domino ». Adversos Idumaeae casus, arcanos adhuc hominibus, sed tamen post diutinum tempus eventuros, a Deo edoctus sum. Iam quis auditus? « et septum inter gentes misit ». Septum dicit quo aliquid circumcluditur, murum puta, aut aliquid huiusmodi. Sic ait scriptura: quis deducet me in urbem septi? nempe in urbem munitam, seu muro circumdatam. Ergo hanc, ait, audivi auditionem, a Deo scilicet missum praeceptum eius, septi instar, ad cunctas orbiculatim gentes contra Idumaeam congregandas. « Surgite et consistamus contra eam belligerantes ». Tamquam si Deus haec diceret iuberetque, et undique contra Idumaeam gentes colligeret, immo belli gerendi ducem se fore reciperet. Veluti etiam beatus David: quis me transferet in urbem septi? quis me deducet usque in Idumaeam? nonne tu, Deus, qui nos repulisti? Nempe ait, Deum sibi ducem futurum bellorum contra Idumaeam. Hunc loquendi modum observare licet apud beatum eundem Davidem, cum per reticentiam intelligitur *dicens* vel *dicentes*, aut locutio eiusmodi. Veluti: quare fremuerunt gentes, et populi meditati sunt inania? adstiterunt reges terrae, et principes convenerunt in unum adversus Dominum et adversus Christum eius. Dirumpamus vincula eorum, et proiiciamus a nobis iugum ipsorum. Nam et heic per reticentiam vox dicentes intelligitur, ad consilii patefactionem, quo impium illud susceperunt facinus. Simile et illud: ad Dominum cum tribularer clamavi, et exaudivit me. Domine libera animam meam a labiis iniquis et a lingua dolosa. Heic quoque sub reticentia exprimitur *dicens*. Scilicet, ad Dominum cum tribularer clamavi dicens; Domine libera animam meam a labiis iniquis et a lingua dolosa. Nam quod medium interponitur *exaudivit me*, id utrique membro responsionem facit. Sic igitur hoc loco dicit, congregavisse Deum gentes, ceu voce quadam, praecepto suo, easque ad bellum Idumaeae inferendum concitavisse. Deinde bello veluti indicto, pergit loqui contra Idumaeam: « ecce minimam dedi te in gentibus, vehementer contempta es ». Magna

(1) Pro ציר *legato* vel *nuncio* (ut habent vulgatus lat. et Symmachus cum vulgato hebraeo) LXX interpretes legisse צור arcem vel munitionem, iam observavit vir summus, magister olim meus, Bernardus de Rubeis, in regia academia patavina linguarum orientalium doctor, var. lect. vet. testam. Levissima ergo diversitas apicis י et ו tantam peperit interpretationis pugnam, quam tamen Hieronymus per tropologiam diriuit: *possumus dicere quod Christus legatus noster sit, et ipse munitio*. (2) Ps. LVIII. 11. (3) Ps. II. 1. (4) Ps. CXVIII. 2.

A δέδωκά σε ἐν τοῖς ἔθνεσιν. ἠτιμωμένος εἶ σὺ
σφόδρα „· πολλήν σου φησὶ διὰ τῶν πολεμίων
τὴν σφαγὴν ἐργασάμενος εἰς ὀλίγους σου περι-
στήσω τὸ ἔθνος· ὥστε πάντων ἐλάττονας εἶναι
καὶ ἐν ἀτιμίᾳ καθιστάναι πολλῇ ὡς ὑπὸ πολ-
B λῶν τε πεπολιορκημένον καὶ μυρίοις περιβληθέν-
τα κακοῖς· εἶτα τίς ἡ αἰτία; “ ἡ ὑπερηφανία τῆς
καρδίας σου ἐπῆρέ σε κατασκηνοῦντα ἐν ταῖς
ὀπαῖς τῶν πετρῶν, ὑψῶν τὴν κατοικίαν αὐτοῦ.
λέγων ἐν τῇ καρδίᾳ αὐτοῦ, τίς με κατάξει ἐπὶ
C τὴν γῆν; „ ἐπειδὴ γὰρ ὄρειον ᾤκουν χώραν οἱ
ἰδουμαῖοι (1) μᾶλλον τοῦτο λέγει, ὅτι ἀμέτρως
ἐπήρθης τὴν διάνοιαν, ἐν καταδύσεσι μὲν οἰκῶν
πετρῶν, πολλὴν δέ σου καὶ μεγίστην ὡς ᾤου πε-
ποιηκὼς τὴν οἴκησιν· καὶ δὴ καὶ οἰόμενος οὐκ
D ἄν ποτε ἔσεσθαι τὸν δυνάμενόν σε τῆς προσού-
σης ἐκβαλεῖν εὐπραγίας· ὑπὲρ ὧν δὴ πείσῃ τὰ εἰ-
ρημένα, ἵνα αἴσθῃ μάτην οἰόμενος εἶναί τι θείας
ἀντιπραττούσης βουλῆς· “ ἐὰν μετεωρισθῇς ὡς
ἀετὸς, καὶ ἐὰν ἀνὰ (2) μέσον τῶν ἄστρων θῇς νοσ-
E σιάν σου, ἐκεῖθεν κατάξω σε λέγει κύριος „·
ὥστε κἂν αἰετοῦ δίκην εἰς ὕψος ἀρθῇς, ὃς πολὺ τῶν
ὀρῶν ὑπερίπτασθαι πέφυκε, καὶ ἐν μέσῳ τῶν
ἄστρων διὰ τὴν ὑπερβολὴν τῆς περιφανείας σαυ-
τὸν καταστήσῃς, οὐκ ἀρκέσεις πρὸς τὴν δύνα-
F μιν τὴν ἐμὴν ὅτ᾽ ἄν σε κατασπᾶν ἐθέλω· “ Εἰ
κλέπται εἰσῆλθον πρὸς σὲ, εἰ λῃσταὶ νυκτὸς, πῶς
ἂν ἀπεῤῥίφης; οὐκ ἂν ἔκλεψαν τὰ ἱκανὰ αὐ-
τοῖς; καὶ εἰ τρυγηταὶ εἰσῆλθον πρὸς σὲ, οὐκ
ἂν ὑπελίποντο ἐπιφυλλίδα (3)· πῶς ἐξηρευνή-
G θη Ἡσαῦ, καὶ κατελήφθη αὐτοῦ τὰ κεκρυμμέ-
να; „ εἰ μὲν οὖν κλέπται τινὲς οἱ λεληθότως
ἐν ταῖς νυξὶ λῃστεύειν εἰωθότες εἰς τὴν οἰκίαν
ἐπεισῆλθον τὴν σὴν, βραχέα τινὰ λαβόντες,
τυχὸν ἐξῆλθον ἄν· σὺ δὲ οὐκ ἂν ἀπεῤῥίφης τῆς
H οἰκίας, ἐπειδὴ τῆς οἰκήσεώς σε ἀποστερεῖν οἱ
διὰ λῃστείας τὰ προστυχόντα ἀφελόμενοι οὐκ
ἠδύναντο· καὶ ἐπὶ τρύγην δέ τινες εἰς ἀμπελῶνα
εἰσεληλυθότες, πάντως ἄν τινα καρπὸν κατέλι-
πον ἐν ταῖς ἀμπέλοις· τὸ δέ γε νῦν σοι συμβη-
I σόμενον οὐ τοιοῦτον ἔσται· ἐπελεύσονται γὰρ
πολέμιοι οἱ τοσοῦτόν σου κατακρατήσουσιν, ὥστε
ἅπαντα ἐξερευνήσαντες τὰ προσόντα σοι μὴ δὲ
τῶν κεκρυμμένων ἀκέραιον ἀφεῖναί τι παρὰ σοί·
οὕτω πάντα ὑπὸ τὴν ἐξουσίαν ἔσται τὴν ἐκεί-
K νων· καὶ πάντα τὰ δοκοῦντα ἀπελεύσονται λα-
βόντες· εἶτα εἰς ἔλεγχον τῆς ἐπιτάσεως τοῦ κα-
κοῦ “ ἕως τῶν ὁρίων σου ἐξαπέστειλάν σε πάν-
τες οἱ ἄνδρες τῆς διαθήκης σου· ἀντέστησάν σοι,
ἠδυνάσθησαν πρὸς σέ „· καὶ γὰρ καὶ οἱ πρότε-
L ρον συνθήκας φιλίας τε καὶ συμμαχίας ἔχοντες
πρὸς σὲ, θεασάμενοί σου τῆς συμφορᾶς τὸ μέγε-
θος, οὕτω τῆς τῶν ἐναντίων ἔσονται μοίρας,
ὥστε σε σὺν ἐκείνοις πάντων ἐξωθῆσαι τῶν ὁρίων
τῶν σῶν, χάριτι τῶν πολεμίων ἐπὶ τὴν αἰχμα-
M λωσίαν ὠθοῦντας· οἳ καὶ ἀντιστήσονταί σοι καὶ
δυνήσονται τοῖς πολεμίοις συμπράττοντες τοῖς

tui, inquit, caede edita, ad modicam te gentem redigam, ita ut omnium minima fias, multaque ignominia noleris; hostium numero oppressa, atque innumeris malis obruta. Quaenam porro rei causa fuit? " Superbia cordis tui te „ extulit incolentem rupium specus, sublimi ha„ bitaculo stantem, animoque tuo volutantem, „ quis me in terram detrahet? „ Quandoquidem Idumaei montana in regione degebant, hoc fere dicit: ingentes admodum spiritus geris, quia scopulorum recessus occupas, ibique multam ac maximam, ut certe arbitraris, stationem tenes: et sane neminem fore credis qui te praesenti prosperitate deiicere queat. Quamobrem quae dicta sunt patieris, ut sentias frustra temet aliquid esse putasse, invita Dei voluntate. " Etiamsi aquilae instar alta petas, et si mediis „ in astris nidum statuas, illinc ego te detra„ ham, dicit Dominus „. Sublimis feraris licet, aquilae more, quae montes magnopere supervolare solet; in mediis quamvis sideribus gloriae tuae magnitudo te colloect; viribus meis minime obsistes, statim ac te deturbare voluero. " Si „ fures ad te venissent nocturnive latrones, quo„ nam pacto eversa fuisses? Nonne furati es„ sent sufficientia sibi? Et si vindemiatores ad „ te ingressi fuissent, nonne tibi racemum re„ liquissent? Quomodo lustratus est Esavus, „ deprehensaque sunt occulta eius! „ Si fures aliqui, clam noctu furari soliti in domum tuam irrupissent, paucis direptis fortasse discessissent; tu tamen haudquaquam aedibus pulsus fuisses; tuis enim te laribus ii qui furto tumultuario aliquid diripiunt spoliare non possent. Item siqui vindemiae causa vineam introissent, nihilominus partem aliquam fructus in vite reliquissent. Veruntamen rei nunc tibi eventurae alia ratio est: supervenient enim hostes, qui tantopere tui potientur, ut omnia tua scrutati, nihil tibi, reconditum licet, incolume esse sinant. Adeo cuncta in eorum potestatem devenient, qui quidquid libitum fuerit depopulati, tum demum abscedent. Deinde ad mali gravitatem declarandam ait: " usque ad terminos „ tuos dimiserunt te viri omnes foederis tui; „ obsisterunt tibi; vires suas contra te inten„ derunt „. Qui iure amicitiae mutuique praesidii tecum antea copulati erant, statim se calamitatis tuae gravitatem senserint, ad hostium partes transibunt; cumque his conspirantes finibus tuis te propellent, dum hostibus gratificantur, atque in captivitatem extrudent. Hi tibi totis viribus adversabuntur, atque hostibus suppetias ferent. Id ipsum alibi denuo dicit:

(1) Nimis arcte Mopsuestenus in suis Idumaeis mentem continet. Hieronymus post litteralem interpretationem pergit dicere: *licet o haeretice magnus esse videaris, et contemnas ecclesiae paucitatem, tamen parvus es in gentibus et contemtibilis. - Quis haereticorum non in superbiam extollitur, ecclesiae simplicitatem parvipendens; et fidem imperitiam reputans?* (2) Ἀνὰ deest in cod. vat. hex. (3) Cod. hex. ὑπελείποντο ἐπιφυλλίδας (λειπ. pro λιπ. fuit etiam apud Mopsuest. 1. manu.)

A σοῖς· καὶ τὸ αὐτὸ πάλιν ἑτέρως λέγων "ἄνδρες εἰρηνικοί σου οἱ συνεσθίοντές σοι ἔθηκαν ἔνεδρα ὑποκάτω σου, οὐκ ἔστι σύνεσις ἐν αὐτῷ(1)"· οἱ φιλίαν ἀσπαζόμενοι πρός σε καὶ ἄλλων σοι κοινωνοῦντες, αὐτοί σοι λόχους ὑφανοῦσιν εἰς B ἀπώλειαν ἄγοντες, ἐπειδὴ δι' ὑπερβάλλουσαν ἄνοιαν οὐδὲ διακρίνειν τοὺς ὄντως φίλους ἐπίστασαι τῶν ἐχθρῶν. "ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγει (2) κύριος ἀπολῶ (3) σοφοὺς ἐκ τῆς Ἰδουμαίας καὶ σύνεσιν ἐξ ὄρους Ἡσαῦ· καὶ πτοηθήσονται(4) οἱ μα- C χηταί σου ἐκ Θαιμάν, ὅπως ἐξαρθῇ(5) ἄνθρωπος ἐξ ὄρους Ἡσαῦ διὰ τὴν σφαγὴν καὶ τὴν ἀσέβειαν τὴν εἰς τὸν ἀδελφόν(6) σου Ἰακώβ· καὶ καλύψει σε αἰσχύνη, καὶ ἐξαρθήσῃ εἰς τὸν αἰῶνα"· ἀπολοῦνται δὲ πάντες οἱ ἐν ὑμῖν περὶ τὰ πο- D λεμικὰ σοφοί τε καὶ δυνατοί τινες αὐχοῦντες εἶναι· οἵ τε μέγα φρονοῦντες ἐπὶ ταῖς μάχαις ἐν Θαιμάν, ἣ μεγίστη τῶν πόλεων εἶναι δοκεῖ τῶν ὑμετέρων· νικηθέντες τῷ φόβῳ τῶν ἐπεληλυθότων κακῶν εἰς πτόησιν καταστήσονται καὶ δει- E λίαν· τοσαύτη τῶν ἀνθρώπων ἀπώλεια γενήσεται τῶν ὑμετέρων, ὑπὲρ ὧν αὐτοὶ τοὺς ἀδελφοὺς τοὺς ἰδίους ἐκ τοῦ Ἰακὼβ κατάγοντας τὸ γένος, ὃς ἀδελφὸς ἦν τοῦ ὑμετέρου προγόνου, παρανόμοις ἐκδεδώκατε ταῖς σφαγαῖς· ὑπὲρ δὴ F τούτων αἰσχύνῃ τε περιβληθήσῃ καὶ παντελῆ τὴν ἀπώλειαν ὑπομενεῖς. "ἀφ' ἧς ἡμέρας ἀντέστης ἐξ ἐναντίας ἐν ἡμέρᾳ αἰχμαλωτευόντων ἀλλογενῶν δύναμιν αὐτοῦ· καὶ ἀλλότριοι εἰσῆλθον εἰς πύλας αὐτοῦ, ἐπὶ Ἱερουσαλὴμ ἔβαλον G κλήρους, καὶ σὺ ἦς(7) ὡς εἷς ἐξ αὐτῶν"· τῶν δὲ ἐπελευσομένων σοι κακῶν ἐξ ἐκείνου δέδεξαι τὴν ἀπόφασιν, ἐξότε περ τοιαῦτα κατὰ τῶν ἀδελφῶν τετόλμηκας τῶν οἰκείων· ὅτε μὲν ἀλλότριοι αὐτοὺς αἰχμαλώτους ἐλάμβανον, σὺ δὲ ἀντ- H έστης ἐξ ἐναντίας· ἵνα εἴπῃ, ἐν τῇ τῶν ἐχθρῶν ἔταξας σαυτὸν μερίδι· καὶ ἀλλογενεῖς μὲν αὐτῶν εἴς τε τὰς λοιπὰς πόλεις εἰσῄεσαν καὶ πρὸς ταῖς λοιπαῖς καὶ τὴν Ἱερουσαλήμ· καὶ δὲ καὶ κλήρῳ τὰ ἐνόντα διενείμαντο πάντα· σὺ δὲ ἐκοι- I νώνεις τοῖς τοιαῦτα τολμῶσιν. "Καὶ μὴ ἐπίδῃς (8) ἡμέραν ἀδελφοῦ σου ἐν ἡμέρᾳ ἀλλοτρίων· καὶ μὴ ἐπίχαιρε ἐπὶ τοὺς υἱοὺς Ἰούδα ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν· καὶ μὴ μεγαλορημονήσῃς(9) ἐν ἡμέρᾳ θλίψεως αὐτῶν, μηδὲ εἰσέλθῃς εἰς πύ- K λας λαῶν (10) ἐν ἡμέρᾳ πόνων αὐτῶν· καὶ μὴ ἐπίδῃς καὶ σὺ ἐπὶ τὴν συναγωγὴν αὐτῶν ἐν ἡμέρᾳ ὀλέθρου αὐτῶν, μὴ δὲ συνεπιθῇ ἐπὶ τὴν δύναμιν αὐτῶν ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν(11)· μὴ δὲ ἐπιστῇς ἐπὶ τὰς διεκβολὰς αὐτῶν(12) ἐξολο- L θρεῦσαι τοὺς ἀνασωζομένους ἐξ αὐτῶν, μὴ δὲ συγκλείσῃς τοὺς φεύγοντας αὐτῶν ἐν ἡμέρᾳ θλίψεως"· Τὸ μὲν ἐπίδῃς ἀντὶ τοῦ ἵνα μὴ ἐπέλθῃς λέγει, ἵνα μὴ ταῦτα φησὶ ποιῇς· ἀκολούθως γὰρ τοῖς ἀνωτέροις εἰπεῖν βούλεται ὅτι ὑπὲρ M τούτων δώσεις δίκην καὶ τὴν μνημονευμένην ὑπομενεῖς τιμωρίαν· ἐπειδὴ ἐπέχαιρες ταῖς τοῦ

"Homines tui pacifici, qui tecum epulis accumbebant, insidias tibi collocaverunt. Nulla est prudentia eius". Qui tecum amicitia iuncti, communi mensa utebantur, machinationes tibi struxerunt quae in perniciem ducerent: quia pro tua summa stultitia ne germanos quidem amicos ab inimicis discernere nosti. "Illa die, inquit Dominus, pessum dabo sapientes in Idumaea, intellectum in monte Esavi; cadent bellatores tui e Thaeman; ita ut exterminetur homo e monte Esavi, propter caedem atque nequitiam quam in Iacobum fratrem tuum exeruisti: ignominia oppleberis, atque in aeternum deleberis". Leto occumbent quicumque apud vos rei bellicae periti feruntur vel fortitudinem iactant: quique proeliis in Thaeman pugnatis gloriantur, quae maxima videtur urbium vestrarum; hi metu instantium malorum fracti, animos ultro despondebunt. Tanta fiet civium vestrorum clades! propterea quod ipsi fratres vestros, Iacobo progenitos, qui vestri progenitoris germanus fuit, immeritis cladibus adfecistis. Idcirco, inquam, probro suffundemini, supremumque exitium adibitis. "Ex quo die adversarius constitisti: qua die alienigenae in captivitatem redigebant potentiam eius; extraneique ingrediebantur portas eius, superque Hierosolyma sortes mittebant; tu quoque eras tamquam unus ex illis". Eventurorum tibi malorum eo tempore causam tibi conciliasti, ex quo adversum fratres tuos talia facere ausa es: cum extranei servitio eos mancipabant, tu ex adverso constiteras, id est te in hostium partes conieceras. Utique alienigenae cunctas urbes, atque in his Hierosolyma, occupaverunt; manubiasque sortibus diviserunt; tu vero talia audentium particeps eras. "Neque despicias fratris tui diem, in die alienigenarum; neque laeteris super Iudae filiis in die ferali eorum; neque superbe loquaris in die calamitatis eorum; neque ingrediaris portas populorum in die cladis eorum; neque despicias congregationem eorum in die qua interibunt; neque inveharis in potentiam eorum in die qua peribunt; neque steteris in exitibus eorum, ut evadentes perdas; neque fugam eorum impedias in die calamitoso eorum". Verbum

(1) Ita cod. hex. 2. manu; at 1. αὐτοῖς. (2) In margine codicis vat. hexapl. φησίν, deleto λέγει. (3) Cod. hex. in marg. οἱ ο (LXX. intepr.) ἀπολέσω. (4) Cod. hex. οἱ ο ἡττηθήσονται. (5) Cod. hex. οἱ ο ἀρθῇ. (6) Cod. hex. in marg. οἱ ο ἀδελφούς. (7) Cod. hex. in marg. ὑμεῖς ἐστέ, deleto σὺ ἦς. (8) Cod. hex. in marg. ἐφίδῃς. (9) Cod. hex. 2. manu μεγαλορρημονήσῃς, addito ρ; (10) Cod. hex. λαοῦ, tum ibidem factum λαῶν. At in marg. α (nempe Aquila) λαοῦ μου. (11) Cod. hex. in marg. οἱ γ αὐτοῦ. Sunt autem οἱ γ Aquila, Symmachus, et Theodotio, uti contra Waltonum demonstrat Montfauconius praef. ad hexapl. cap. x. (12) In cod. hex. superponitur varia lectio αὐτοῦ.

A ἀδελφοῦ συμφοραῖς· καθ' ὃν ἐκεῖνοι καιρὸν τὴν
ὑπὸ τῶν ἀλλοτρίων ὑπέμενον ἀπώλειαν· καὶ ἐν
ἀνάγκαις αὐτῶν ἐξεταζομένων ἐφθέγγου ῥήματα
οἷα εἰκὸς ἐπὶ τῇ αὐτῶν ἡδόμενος ἀπωλείᾳ·
τὸ γὰρ μεγαλορρημονήσῃς τοῦτο λέγει, καὶ ἐν
B ἀνάγκαις ὄντων ἐκείνων εἰσῄεις καὶ αὐτὸς εἰς τὴν
πόλιν μετὰ τῶν λοιπῶν τὰ ἐνδεχόμενα κακὰ
διαθήσων αὐτούς. κἂν εἴτινες δὲ αὐτῶν διαφυγεῖν
πως ἠδύναντο, τὴν σωτηρίαν τούτῳ πορίζεσθαι
προσδοκῶντες, καὶ τούτους ἀπολλύειν
C ἐσπούδαζες, συλλαμβανόμενός τε τοὺς φεύγοντας
ἐξ αὐτῶν καὶ παραδιδοὺς τιμωρίᾳ· τοῦτο
γὰρ λέγει τὸ μὴ δὲ ἐπιστῇς ἐπὶ τὰς διεκβολὰς
αὐτῶν ἐξολοθρεῦσαι τοὺς ἀνασωζομένους
ἐξ αὐτῶν, μὴ δὲ συγκλείσῃς τοὺς φεύγοντας
D αὐτῶν ἐν ἡμέρᾳ θλίψεως· δι' ὅλων βουλόμενος
εἰπεῖν ὅτι ὑπὲρ ὧν ἥσθης ἐπὶ τῇ τῶν ἰσραηλιτῶν
ἀπωλείᾳ ἀδελφῶν ὄντων σῶν· καὶ
δὴ καὶ τοῖς πολεμίοις συνέπραξας, κατ' αὐτῶν
καὶ ἥσθης ἐπὶ τοῖς αὐτῶν κακοῖς, διαφόροις
E τε αὐτοὺς καὶ αὐτὸς κατὰ τὴν οἰκείαν δύναμιν
περιβέβληκας τοῖς κακοῖς· ὑπὲρ τούτων δὴ τὴν
μέλλουσαν ὑπομενεῖς τιμωρίαν· ὅθεν ἐπάγει·
διότι ἐγγὺς ἡμέρα κυρίου ἐπὶ πάντα τὰ ἔθνη·
ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά
F σου ἀνταποδοθήσεταί σοι εἰς κεφαλήν
σου· ἥκει γὰρ ὁ καιρὸς καθ' ὃν ἅπαντας μὲν τιμωρήσεται
τοὺς ὁτιδήποτε πεπραχότας εἰς αὐτοὺς,
μάλιστα δὲ πάντων βαρεῖαν ἐπάξει σοι τὴν τιμωρίαν,
ἀνάλογον σοι τὴν συμφορὰν ἐπάγων οἷς
G πεποίηκας κατ' αὐτῶν· "Διότι ὃν τρόπον ἔπιες
ἐπὶ τὸ ὄρος μου τὸ ἅγιον, πίονται πάντα τὰ
ἔθνη οἶνον· πίονται καὶ ἀναβήσονται (1) καὶ
ἔσονται καθὼς οὐχ ὑπάρχοντες"· αὐτός τε γὰρ
ὑπὲρ ὧν εἰς τὸ ὄρος τὸ ἐμὸν τοὺς οἰκοῦντας ἐν
H αὐτῷ τοιαῦτα τετόλμηκας δέδεξαι τὴν τιμωρίαν·
οἱ κοινωνήσαντές τέ σοι τῆς γνώμης ταύτης
καὶ τῶν πράξεων ὡς εἰκὸς κοινωνήσουσι τῆς
τιμωρίας παντελεῖ ληφθέντες ἀπωλείᾳ, ὡς μηδὲν
ἀπεοικέναι τῶν καθάπαξ οὐκ ὄντων· τὸ μὲν
I γὰρ ἔπιες καὶ πίονται, τὴν τιμωρίαν δηλοῖ τὴν
αὐτοῖς τε ἐπαχθησομένην καὶ τοῖς λοιποῖς· ὡς
τὸ ποτήριον ἐν χειρὶ κυρίου, οἴνου ἀκράτου πλῆρες
κεράσματος· καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο·
πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη· πίον-
K ται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς (2)· τὸ δὲ ἐπὶ
τὸ ὄρος μου τὸ ἅγιον, ἵνα εἴπῃ, ὑπὲρ ὧν εἰς τὸ
ὄρος τὸ ἐμὸν εἴς τε τοὺς οἰκοῦντας ἐν αὐτῷ τοιαῦτα
τετολμήκατε, δέδεξαι τὴν τιμωρίαν· οἱ
κοινωνήσαντές τέ σοι τῆς γνώμης ταύτης καὶ
L τῶν πράξεων, ὡς εἰκὸς κοινωνήσουσι τῆς τιμωρίας,
παντελεῖ ληφθέντες ἀπωλείᾳ· "Ἐν δὲ
τῷ ὄρει Σιὼν ἔσται ἡ σωτηρία, καὶ ἔσται ἅγιον,
καὶ κατακληρονομήσουσιν ὁ οἶκος Ἰακὼβ τοὺς κληρονομήσοντας (3)
αὐτούς". Περὶ μὲν οὖν ὑμᾶς τε
M καὶ τοὺς κεκοινωνηκότας ὑμῖν τῆς γνώμης ταῦτα
γενήσεται· περισωθήσονται δὲ καὶ πάσης ἀνάγ-

despicias pro *delecteris* usurpat, idest cave talia facias. Superioribus enim consonans dictis, significat fore ut poenas pro his maleficiis des, praedictamque animadversionem perferas: quia laetatus es fratrum tuorum adversis casibus, quo tempore hi ab hostibus vastabantur: dumque angustiis vexarentur, verba effutiebas, quae solent ii qui alieno exitio gaudent. Hoc enim significat superbe loqui. Atque in eorum pressuris tu urbem cum hostibus ingrediebaris, ut fratrum cladem augeres. Quod si qui forte viam fugae nanciscerentur, in qua unice spem salutis locabant, hos tu quoque perdere satagebas; capiens nimirum profugos, ac punientibus tradens. Hoc enim significat, neque steteris in exitibus eorum, ut evadentes perdas; neque fugam eorum impedias in die calamitatis eorum. Atque horum dictorum generalis sententia haec est: quia fratrum tuorum Israelitarum exitio laetatus es; quia suppetias hostibus contra illos tulisti; malisque eorumdem gavisus es; atque eos pro facultate tua detrimentis adfecisti; idcirco paratum tibi lues supplicium. Quare addit: "quia prope est dies Domini super omnes gentes. Quae aliis fecisti, eadem tibi fient: retributio tua retribuetur in caput tuum". Adest enim tempus quo Deus puniet omnes qui aliquando Israelitis male fecerunt. Et quidem tibi prae ceteris gravem imponet poenam, paremque maleficiis quae in fratres tuos commisisti. "Quia quemadmodum bibisti super montem sanctum meum, sic bibent omnes populi vinum: bibent et ascendent; eruntque sicut non existentes". Nam et ipse propterea quod contra montem meum incolasque eius invectus es, supplicio non carebis. Qui sententiae tuae factorumque participes fuerint, iidem poenae quoque socii erunt, internecivo traditi exitio, ita ut ab iis non differant qui nulli sunt. Nam verba *bibisti* et *bibent*, animadversionem significant in Idumaeam aliosque hostes expromendam. Veluti, calix in manu Domini plenus misto. Et inclinavit ex hoc in hoc; verumtamen fex eius non est exinanita: bibent omnes peccatores terrae. Memorat autem montem sanctum suum, significans fore ut propter crimina adversus eum montem incolasque eius patrata, poenae obnoxii fiant Idumaei: et qui cum eorum consiliis rebusque gestis conspiraverunt, iidem ad supplicii societatem vocentur, capitalique vindicta puniantur. "In Sione autem monte salus erit et sanctitas, et possidebit Iacobus qui se possederant". Vobis itaque sociisque conciliorum vestrorum haec accident. Incolumes autem erunt, atque omni adversitate vacabunt

(1) LXX interpretes pro ולעו *absorbebunt* legisse ועלו *ascendent*, mihi exploratissimum est. Porro ab unius litterulae translatione tantum discidii ortum est. Et quidem cum vulgato hebraico ולעו conspirant chaldaeus, Iuniusque vulgatus ac Hieronymus. Immo etiam graecus Theodoretus habet πίονται καὶ καταπίονται. (2) Ps. LXXIIII. 9. (3) Ita utrque cod. Sed malim heic et infra κληρονομήσαντας.

A κος ἔξω γενήσονται ἐν τῷ ὄρει τῷ Σιὼν πρότερον πολεμηθέντες· ὥστε ὄντως αὐτὸ διὰ τῆς τούτων βοηθείας ἅγιον φανῆναι· ἐπεὶ καὶ πάντας τοὺς πρότερον αὐτῶν κεκρατηκότας ὑποχειρίους ἕξουσιν οἱ ἀπόγονοι τοῦ Ἰακὼβ οὓς ἐπολεμεῖ-
B τε ἔνθεν ὑμεῖς μετὰ τῶν λοιπῶν· "Καὶ ἔσται ὁ οἶκος Ἰακὼβ πῦρ, καὶ ὁ οἶκος Ἰωσὴφ φλόξ· ὁ δὲ οἶκος Ἡσαῦ εἰς καλάμην· καὶ ἐκκαυθήσονται εἰς αὐτοὺς καὶ καταφάγονται αὐτούς"· οὕτω γὰρ κρατήσουσιν ἁπάντων οἱ ἰσραηλῖται τῶν
C ἰδουμαίων, ὥστε δίκην πυρὸς καλάμην ἀναλίσκοντος ἅπαντας αὐτοὺς ἀφανίσαι τῷ κράτει τοῦ πολέμου· "Καὶ οὐκ ἔσται πυρφόρος(1) τῷ οἴκῳ Ἡσαῦ, ὅτι κύριος ἐλάλησεν"· ἐπειδὴ πῦρ ἔφη τὸν Ἰσραὴλ ἔσεσθαι τῷ Ἡσαῦ ὥστε πάντας ἂν
D αὐτοὺς ἀναλίσκειν μέλλοντα τῷ πολέμῳ, διὰ τοῦτο οὐκ ἔσται πυρφόρος φησὶ τῷ οἴκῳ Ἡσαῦ, ἀντὶ τοῦ οὐδεὶς ἔσται ἐκ αὐτοῖς ὃς διαθεῖναι τι δυνήσεται τοὺς ἰσραηλίτας κακόν· ἀλλὰ πείσονται μὲν παρ' αὐτῶν οὐ τὰ τυχόντα· ἀμύναι
E δὲ ἑαυτοῖς ἢ ποιῆσαί τι πρὸς βλάβην ἐκείνων οὐ δυνήσονται καθάπαξ οὐδέν· ἃ δὴ πάντα γενήσεται πάντως, ἐπειδὴ θεός ἐστιν ὁ ἀποφηνάμενος γενέσθαι· καὶ ἐπειδήπερ ἐν τοῖς ἀνωτέροις ἔφη ὅτι κατακληρονομήσουσιν ὁ οἶκος Ἰα-
F κὼβ τοὺς κατακληρονομήσαντας αὐτούς, πλατύτερον αὐτὸ βουλόμενος εἰπεῖν, λέγει ὅτι οἱ μὲν ἐν Ναγὲβ ἰσραηλῖται κατακληρονομήσουσι τοὺς προσήκοντας τόπους τοῦ Ἡσαῦ· οἱ ἐν Σιφηλᾶ(2) δὲ τοὺς τῶν ἀλλοφύλων· κομιοῦνται δὲ καὶ τὴν
G οἰκείαν χώραν ὡς εἰκός· οἱ μὲν τοῦ Ἐφραὶμ τὸ τῆς Σαμαρείας πεδίον, τὴν Γαλααδῖτιν δὲ ὁ Βενιαμίν· τῆς τε μετοικίας αὐτῶν τῆς ἐπὶ τὰ οἰκεῖα ἀρχὴ μὲν αὐτοῖς γενήσεται ἡ Σαρεφθῶν(3) χώρα, τέλος δὲ ἡ Ἐφραθά(4)· βούλεται δὲ εἰπεῖν
H ὅτι πάντας τῶν χαναναίων τοὺς ἐν μέσῳ καθέξουσι τόπους, οὕς περ οὖν καὶ πρότερον εἶχον· οὕτω δὲ καὶ τὰς ἐν Ναγὲβ πόλεις ἑαυτῶν ὑποδέξονται ἁπάσας· ἅπαντες συντόμως εἰπεῖν οἱ τῷ Σιὼν ὄρει προσήκοντες, καὶ τὴν αὐτόθι τῷ
I θεῷ προσήκουσαν θρησκείαν ἐκτελοῦντες, αὐτοί τε πάσης τεύξονται σωτηρίας· καὶ μεγίστην τινὰ τοῖς τοῦ Ἡσαῦ τὴν τιμωρίαν ἐπάξουσιν, ἀνθ' ὧν πεπόνθασιν παρ' αὐτῶν· οἷς ἐπήγαγεν ἅπασιν ἐν αὐτῷ συμπεράνας τὴν προφητείαν· "Καὶ
K ἔσται τῷ κυρίῳ ἡ βασιλεία"· ἵνα εἴπῃ, ὅτι διὰ πάντων ὧν τε εὖ πάσχουσιν ἰσραηλῖται καὶ ὧν ὑπομένουσι, δίκας διδόντες οἱ παρανενομηκότες εἰς αὐτούς, φανεῖται βασιλεὺς ἀληθὴς ὁ θεός, ὁ κύριος τε καὶ ποιητὴς τῶν ἁπάντων κατ-
L ἐξουσίαν, ἃ βούλεται περί τε τοὺς οἰκείους καὶ περὶ τοὺς ἀλλοτρίους εἶναι δοκοῦντας ποιῶν.

monte Sion qui antea bellis oppetebantur: atque ita mons ille propter horum securitatem sanctus videbitur: immo vero cunctis dominabuntur, qui se antea devicerant, Iacobi posteri; quibus nimirum vos nuper vestrique socii molesti armis fuistis. "Et erit domus Iacobi ignis, et domus Iosephi flamma; et domus Esavi stipula: et succendentur in eis, vorabuntque eos." Sic, inquit, Idumaeos omnes superabunt Israelitae, ut instar ignis stipulam absumentis, eosdem belli vi deleturi sint. "Et non erit flammiger in Esavi domo, quia Dominus locutus est". Quoniam ignem dixit Israelem Esavo fore, veluti si omnes eius opes bello esset consumpturus, idcirco non erit, inquit, flammiger in Esavi domo; id est nemini Idumaeo licebit male facere Israelitis; sed illi quidem ab his quaelibet perpetientur, quin tamen iniurias ulcisci queant, vel quicquam ad illorum perniciem moliri. Haec adamussim omnia fient; Dei enim oraculo futura esse dicuntur. Et quoniam in superioribus dixit, fore ut domus Iacobi eos possideat, qui se possederant; explicatius iam id dicere volens ait, Israelitas Nagebi incolas hereditatis iure capturos proximos Esavo locos; Siphelae item cives Israelitas, regionem alienigenarum occupaturos: praeter quam quod patriam quoque regionem, uti par est, obtinebunt; nempe Ephraimitae Samariae planitiem, Beniamitae Galaaditidem. Iamvero postliminii eorum initium regio Sareptae erit, finis Ephratha. Nempe ait possessuros eos intermediam omnem Chananaeorum regionem. Cunctas item finitimas Nagebi urbes recuperabunt omnes hi, ut summatim dicam, qui Sion monti sunt proximi, ibique legitimam persolvunt Deo religionem. Atque hi summam salutem adepti, maximas ab Esavi posteris iniuriarum veterum reposcent poenas. Quibus omnibus addit prophetiae clausulam "et erit Domino regnum": Videlicet tum Israelitarum prosperitate, tum impiorum hostium supplicio, Deus vere rex comprobabitur, dominusque et creator omnium, qui seu suorum, seu etiam illorum, qui videntur alieni, pro suae voluntatis arbitrio, vitam fortunasque temperat.

---

(1) De varietate lectionis πυρφόρος *flammiger* et πυροφόρος *frumentarius* legantur quae docte disputat Grabius prolegom. bibl. tom. III. p. 13. sqq. Hieronymus heic quoque tropologia concordiam suadet: *dicemus non solum frumentarium cessaturum apud haereticos, sed et eum qui lucem Christi habere se simulat*. (2) Cod. hex. Σιφηλᾶ, cum in margine Σαφηλᾶ. (3) Ita cod. hex. secunda manu; at prima Σαρεπτῶν. (4) Cod. hex. prima manu Σαφραθᾶ, secunda Σαφαραθά. Tum inferius 1. manu ἄνδρες σεσωσμένοι, 2. ἀνασωζόμενοι.

ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟΧΕΩΣ

ΕΡΜΗΝΕΙΑ ΩΣΗΕ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

THEODORI ANTIOCHENI MOPSUESTIAE EPISCOPI

COMMENTARIUS INTEGER IN OSEAM PROPHETAM.

A Εἰς ἔλεγχον τῶν ἀβασανίστως ἐπιβάλλειν
ταῖς προφητικαῖς ἐπιχειρούντων φωναῖς, καὶ μὴν
καὶ πρὸς κατασκευὴν τῶν ἑξῆς, ἀρξώμεθα τῆς
τῶν προφητικῶν σαφηνείας, Θεῷ διδόντες, ἀπὸ
τοῦ Ὠσηὲ τὴν ἀρχὴν ποιησάμενοι(1), ὃν καὶ πρῶ-
B τον εἶναι τῷ χρόνῳ συμβέβηκε τῶν λοιπῶν προ-
φητῶν· τοῦ γὰρ μακαρίου Δαβίδ, καθ᾽ ἃ πρόσ-
θεν ἔφθην εἰπὼν ἐν ψαλμοῖς(2), ἁπάσας τὰς πε-
ρὶ τὸν λαὸν ἐσομένας μεταβολὰς εἰπόντος προ-
δήλως, σιγὴ μὲν τὸν ἐν μέσῳ χρόνον κατεῖ-
C χεν, ἅτε ἀρκούντως ἅπαντα προειρηκότος ἐκεί-
νου· ἐπειδὴ δὲ ἐπιστῆναι τὸν καιρὸν συνέβη
καθ᾽ ὃν ἤρξαντο κακῶς πάσχειν αἱ δέκα φυλαί,
τῶν ἀσσυρίων αὐτὰς πολιορκούντων, ἄχρις οὗ
παντελῶς αὐτὰς τῶν οἰκείων τόπων ὁ Σενναχη-
D ρεὶμ ἀφελὼν εἰς ἀλλοτρίους μετῴκισε τόπους·
τά τε πόρρωθεν τῷ μακαρίῳ Δαβὶδ προειρημένα
περὶ τῶν τῷ λαῷ συμβησομένων χαλεπῶν, τὴν
ἀρχὴν ἐντεῦθεν ἐδέχετο· ὅπερ οὖν ἐπὶ τῶν
κατὰ τὸν Ἐζεκίαν ἐγένετο καιρῶν, τῆς Ἰούδα
E φυλῆς βασιλεύοντα σὺν τῷ Βενιαμὶν, προεβάλε-
το τῶν πραγμάτων ἐγγύθεν ὄντων ἡ θεία χά-
ρις τοὺς προφήτας, καὶ πρό γε τῶν λοιπῶν τὸν
Ὠσηὲ μηνύοντα τὰ περὶ αὐτοὺς θεόθεν ἐσό-
μενα, καθάπερ τινὰ ὑπόμνησιν ποιούμενον τῶν
F παρὰ τῷ Δαβὶδ πάλαι τε εἰρημένων· καὶ πρόπα-
λαι ὡς ἂν τῶν τε ἐσομένων χαλεπῶν τοὺς
ἰσραηλίτας ἀποφήνειεν αἰτίους, ἀποστάντας μὲν
τῆς περὶ τὸν Θεὸν θεραπείας τε καὶ γνώσεως,
περὶ δὲ τὰ εἴδωλα καὶ τοὺς δαίμονας ἅπασαν
G ἔχοντας τὴν σπουδήν· δῆλον τε ποιήσειεν ὅτι
οὐκ ἔκ τινος συντυχίας γίγνεται ταῦτα· πόρ-
ρωθεν δὲ εἴρητό τε καὶ προώριστο τῷ Θεῷ γενέ-
σθαι, τὴν τούτων αὐτῶν ἐπισταμένῳ κακίαν, καὶ
τὰ περὶ αὐτοὺς ὅντινα τρόπον προσῆκεν οἰκονο-
H μεῖν εἰδότι σαφῶς εἰς προπαρασκευὴν τῆς τοῦ δεσ-
πότου χριστοῦ δείξεώς τε καὶ παρουσίας· ὥστε
γὰρ δῆλον ἅπασιν γενέσθαι ἔτι τὴν περὶ τὸν
λαὸν κηδεμονίαν διὰ τὸν ἐξ αὐτῶν προσδοκώμε-
νον φανήσεσθαι ποιεῖται, ἐκδίδωσι μὲν τὰς δέ-
I κα φυλὰς τῇ τῶν ἀσσυρίων αἰχμαλωσίᾳ· φυλάτ-
τει δὲ ἐπὶ τῶν τόπων τὴν Ἰούδα μόνην, ἐξ ἧσ-
περ ἤμελλεν ὁ δεσπότης ἀναφαίνεσθαι τὸ κατὰ
σάρκα χριστός· ἥν περ οὖν εἰς αἰχμαλωσίαν ὕσ-
τερον ἀπελθοῦσαν διὰ τὰς αὐτῶν ἐκείνων παρα-
K νομίας ὑπὸ Ναβουχοδονόσορ τοῦ βασιλεύσαντος

Contra eos qui temere propheticis sermonibus immiscere se audent, atque ut viam posterioribus muniam, adgrediar, Deo adiutore, ad res propheticas explanandas, capto initio ab Osea, qui et princeps inter reliquos prophetas aetate est. Nam ex quo beatus David, sicuti ego in superioribus dixi, cunctas quae populo eventurae erant rerum publicarum conversiones manifeste in psalmis enarraverat, silentium intermedia tempora occupavit; quia scilicet nihil ab illo vaticinante praetermissum fuerat. Sed enim statim ac tempus adfuit, quo coeperunt adversa pati decem tribus, Assyriis eas prementibus, donec funditus avitis eversas sedibus Senacherimus in extranea loca transtulit; quum iam, inquam, ingruerent calamitates, quas genti impendere multo ante David praedixerat; Ezeciae nimirum aetate, qui Iudae et Beniamini tribubus imperitabat; divina gratia, rebus iam instantibus, prophetas publice misit, primumque in his Oseam, qui quidquid divinitus eventurum erat nunciaret; quique in memoriam veluti revocans praedictas olim a Davide calamitates, harum culpam Israelitis imponeret, a Dei cultu ac notione iam pridem aversis, atque ad idola daemonesque traductis: atque ut idem palam faceret, haud casu aliquo haec mala contingere, sed multo ante edicente ac decernente Deo, cui et Israelitarum improbitas explorata erat, et simul comperta ratio, qua cum his agendum erat, ob viam parandam Christi domini ostensioni atque adventui. Deus equidem ut omnes certiores faceret, se populi curam gerere propter eum qui ex huius genere orturus expectabatur, idcirco tradidit decem tribus assyriacae captivitati, unicam vero retinuit in suis sedibus Iudae tribum, de qua dominus exiturus erat secundum carnem Christus. Quam item captivam deinceps abductam propter pares iniquitates a Nabuchodonosoro Babyloniorum rege, redire mirabi-

---

(1) Osee primus ordine est in codicibus neque Mopsuesteni neque in sacris bibliis. Ego tamen sic quemque prophetam in volumine meo collocavi prout mei interpretantis delectus vel commoditas tulit: praesertim quia universum Mopsuesteni opus in hoc volumine edere non vacabat.
(2) Mopsuestenum psalmos quoque fuisse interpretatum, tum e fragmentis in catenarum serie occurrentibus, tum e veterum testimoniis exploratum est. Ceteroqui opus periit, quamquam id Theodoretus naviter expilavisse creditur. Et quidem codicem videre me memini in quo commentarius in psalmos Theodoro antiocheno inscriptus

A τῶν Βαβυλωνίων, ἐπανελθεῖν παραδόξως πεποίηκεν· ἐπανελθόντων μὲν καὶ ἐκ τῶν λοιπῶν φυλῶν τινῶν εὐαριθμήτων ἐξ ἑκάστης, τῆς Ἰούδα δὲ μόνης ἐπαναχθείσης ὅλης· ὡς ἂν γένοιτο δῆλον ὅτι ἠδύνατο μὲν βουληθεὶς ὁ Θεὸς καὶ τοὺς
B λοιποὺς ἅπαντας ἐπαναγαγεῖν ὁμοίως ταύτῃ· ἀμελήσας δὲ τῶν λοιπῶν περὶ ταύτην ἅπασαν ἔθετο τὴν φροντίδα, ἀφ᾽ ἧς περ ἔμελλεν ὁ δεσπότης ἀναδείκνυσθαι Χριστὸς, ἐπὶ κοινῇ τῇ πάντων φανούμενος σωτηρίᾳ· κατὰ δὲ τοῦτον
C τὸν λόγον καὶ αἱ τῶν προφητῶν μηνύσεις ἐτύγχανον ἀναγκαῖαι, δηλοῦσαι ὅτι πάλαι τε δεδογμένα τῷ Θεῷ, καὶ διὰ τοῦ μακαρίου Δαβὶδ εἰρημένα, νῦν λαμβάνει πέρας, ἀποῤῥήτως ἅπαντα οἰκονομοῦντος τὰ περὶ αὐτοὺς τοῦ Θεοῦ· ὅπερ
D οὖν καὶ ὁ μακάριος Ὠσηὲ ποιῶν ὁ προφήτης, τὰ περὶ τὸν λαὸν ὑπὲρ ὧν ἠσέβουν κατὰ θείαν ἐσόμενα βουλὴν μηνύει σαφῶς· ἄρχεται δὲ οὕτως.

Cap. I. « Λόγος κυρίου ὃς ἐγενήθη πρὸς Ὠσηὲ τὸν » τοῦ Βεηρὶ ἐν ἡμέραις Ὀζίου καὶ Ἰωάθαμ καὶ
E » Ἄχαζ καὶ Ἐζεκίου βασιλέων Ἰούδα, καὶ » ἐν ἡμέραις Ἱεροβοὰμ υἱοῦ Ἰωὰς βασιλέως Ἰσ» ραήλ. » Ὡς ἐπιγραφή τίς ἐστιν αὕτη τοῦ βιβλίου περιεκτική, δηλοῦσα τόν τε προφήτην οὗ πέρ ἐστι τὰ εἰρημένα (1), καὶ τὸν καιρὸν καθ᾽ ὃν εἴρηκε
F ταῦτα· λόγον δὲ κυρίου τὴν ἐνέργειαν ἁπανταχοῦ λέγει τὴν θείαν τὴν ἀφ᾽ ὅτου δήποτε γιγνομένην· ὡς τὸ (2), τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, ἵνα εἴπῃ ὅτι τῇ ἐνεργείᾳ συνέστησαν τῇ θείᾳ· θείαν δὲ ἐνέργειαν κἀνταῦθα λέγει,
G καθ᾽ ἣν ἀποκάλυψις τῶν ἐσομένων ἐγίνετο τῷ προφήτῃ (3)· ἀφ᾽ ἧς περ αὐτῷ καὶ τὸ λέγειν τε καὶ μηνύειν τὰ ἐσόμενα δύναμις ὑπῆρχεν· εἰς δήλωσιν δὲ ἀκριβεστέραν, καὶ τὸ τοῦ πατρὸς προστίθησιν ὄνομα· ἀναγκαίως δὲ λέγει καὶ τὸν
H καιρὸν, ἐν ᾧ περ κατὰ τὴν ἀποκάλυψιν τὴν ἐγγινομένην αὐτῷ θεόθεν (4) ἐμήνυε τὰ ἐσόμενα· λέγει δὲ ὅτι καθ᾽ ὃν καιρὸν Ὀζίας τε ἐβασίλευε καὶ Ἰωάθαμ καὶ Ἄχαζ καὶ Ἐζεκίας· ἀφ᾽ ὧν σκοπήσειεν ἄν τις εἰκότως ὅτι οὐχ ὑπὸ μίαν τινὰ
I ἁρμονίαν συγγέγραφεν τὸ βιβλίον ὁ προφήτης, ἀλλ᾽ ἐν διαφόροις καιροῖς τὰς περὶ τῶν ἐσομένων ἀποκαλύψεις δεχόμενος, ἐποιεῖτο τῶν ἐσομένων τὴν μήνυσιν· ὑπομιμνησκόμενός τε περὶ τῶν πολλάκις διὰ τῆς ἀποκαλύψεως τῆς θείας,
K καὶ δὴ καὶ λέγων αὐτὰς πρὸς τὸν λαὸν, εἰς δήλωσιν τῶν ἐσομένων· ὅν περ δὴ τρόπον καὶ ὁ μακάριος Δαβὶδ εἰς τὴν αὐτὴν ὑπόθεσιν φαίνεται πλείστους ψαλμοὺς εἰρηκώς, ὧν ἕκαστον κατὰ τὴν ἐγγιγνομένην ἀποκάλυψιν τε αὐτῷ καὶ
L ὑπόμνησιν τῇ τοῦ πνεύματος ἐνεργείᾳ συνετίθει τε καὶ πρὸς τὴν ἑτέρων ἐξεφώνει χρείαν· αὐτός τε περὶ τῶν αὐτῶν ἀποκαλύψεις δεχόμενος πολλάκις καὶ λέγων ἀκολούθως, ὁσάκις δὲ τῶν αὐτῶν ἀποκαλύψεων ἠξιοῦτο· εἰρηκὼς δὲ τοὺς
M Ἰουδαίας βασιλέας, ὁπηνίκα πρὸς τὸ προφητεύειν διήγειρεν ἡ θεία χάρις τὸν Ὠσηὲ, λέγει

liter voluit: quicum etiam de reliquis tribubus exiguus numerus postliminio reversus est: interim dum una Iudae tribus cum suo populo omni in patriam se recepit: quo perspicuum fieret, volenti Deo possibile fuisse reliquas universas haud secus quam istam revocare: verumtamen neglectis ceteris ad hanc unam curas suas contulisse, ex qua dominus proditurus erat Christus, quum denique pro communi salute conspiciendum se daret. His ita se habentibus, prophetarum quoque vaticinia necessaria erant, quorum ope notum fieret, poenas olim a Deo decretas atque a Davide praedictas, nunc demum inflictum iri, arcana Dei providentia cunctas populi vices moderante. Atque ob hanc videlicet causam beatus propheta Oseas manifeste significat quae Deo mandante eventura populo erant propter eius impietatem. Sic autem incipit.

« Verbum Domini quod factum est ad » Oseam filium Beeri, in diebus Oziae et Ioa» thami et Achazi et Ezeciae regum Iudae, » et in diebus Hieroboami Ioaso nati regis Israe» lis ». Hic titulus quidam est, libri argumentum habens, simulque declarans et a quo propheta et quo tempore dicantur haec. Verbum autem Domini pro vi divina ubique dicit scriptura, quacumque in re se exserat. Veluti « verbo Do» mini caeli firmati sunt » quasi dicat, vi divina eos esse compactos. Porro vim divinam heic quoque dicit, a qua futurorum revelatio prophetae fit, dicendique virtus exhibetur atque ante significandi quae ventura erant. Iam ob sui pleniorem notitiam, patris quoque nomen adscribit: tum etiam necessario tempus adnotat, quo secundum impertitam sibi divinitus revelationem res posteras praecinebat. Praefinit igitur tempus quo regnaverunt Ozias et Ioathamus et Achazus et Ezecias. Unde quivis cognoscere queat, haud uno continenter spiritu dictatum esse hunc a propheta librum; sed prout variis temporibus futurorum notiones excipiebat, sic vaticinia edidisse; facta haud semel rerum mentione pro divinis ad se oraculis, quae in populo vulgabat, ut hunc futuri admoneret. Similiter beatum quoque Davidem eodem argumento complures cecinisse psalmos videmus, quorum singulos pro caelesti mentis illustratione atque spiritali admonitione compositos ad vulgi usum pronunciabat: et ipse videlicet earumdem rerum revelationes saepe recipiens, et consequenter evulgans, quotiescumque his oraculis dignus habebatur. Iam ubi dixit Oseas quinam essent Iudae reges quo tempore ad prophetandum divina gratia excitatus fuit; ait etiam illum qui

inerat: re tamen considerata, nihil aliud quam ipsam Theodoreti in psalmos sospitem adhuc lucubrationem esse deprehendi. Ceteroqui in catenis quoque nomen Theodori cum Theodoreto interdum commutatur.

(1) Recole ad Nahum, p.76. (2) Ps. XXXII.6. (3) Confer dicta ad Nah. et Abd. sub initiis. (4) Ita cod. At paulo ante θεόθεν.

A καὶ τὸν ἐν τῷ Ἰσραὴλ, τοῦτ᾽ ἔστι τὸν ἐν δέκα
φυλαῖς βασιλεύοντα τότε Ἱεροβοάμ, τὸν τοῦ
Ἰωὰς υἱὸν, ἔγγονον δὲ τοῦ Ἰωάχαζ, ὃς υἱὸς
ἐγεγόνει τοῦ Ἰοῦ, ὃς ἐπὶ τιμωρίαν τοῦ τε Ἀχαὰβ
καὶ πάσης αὐτοῦ τῆς οἰκείας διὰ τοῦ προφήτου Ἐλισ-
B σαίου προβαλόμενος ὁ Θεὸς ὑπέσχετο ἄχρι τε-
τάρτης διαδοχῆς ἐπὶ τῆς βασιλείας ἔσεσθαι τοὺς
ἐξ αὐτοῦ γεγενημένους (1)· ὧν τρίτος μὲν ἦν ὁ
Ἱεροβοάμ, υἱὸς μὲν τοῦ Ἰωὰς, ἔγγονος δὲ τοῦ
Ἰωάχαζ· τέταρτος δὲ γέγονε Ζαχαρίας ὁ τοῦ
C Ἱεροβοὰμ υἱὸς, ὃς ἐπὶ ἓξ βασιλεύσας τοῖς μη-
σὶ τετελεύτηκεν· πέρας μὲν ἐπ᾽ αὐτοῦ τῆς ἐπαγ-
γελίας λαβούσης τῆς θείας, μεταστάσης δὲ
λοιπὸν ἀπὸ τοῦ γένους τοῦ Ἰοῦ τῆς βασιλείας
ἐπὶ τὸν Σελλὴμ, οὐ τῆς αὐτῆς ὑπάρχοντα συγ-
D γενείας· παρεληλύθει μὲν οὖν εἰς τὴν τοῦ Ἰσ-
ραὴλ βασιλείαν ὁ Ἱεροβοὰμ, Ὀζίου βασιλεύον-
τος τῆς Ἱερουσαλήμ· ἐξ ἐκείνου τοῦ χρόνου τοῦ
κακῶς πράττειν ἔλαβον τὴν ἀρχὴν οἱ τῶν δέ-
κα φυλῶν, ἄχρις οὗ παντελῶς αὐτὰς αἰχμαλώ-
E τους λαβὼν μετῴκισεν ὁ τῶν ἀσσυρίων βασιλεύς·
ὥστ᾽ ἂν εἰκότως κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ
τὴν προφητείαν τὸν Ὡσηὲ παρεληλυθέναι, τῶν
τε προῤῥήσεων ὑπομιμνήσκοντα τοῦ μακαρίου Δα-
βὶδ, καὶ μνημονεύοντα ἐγγύθεν ἐσόμενα τὰ διὰ πόῤ-
F ῥωθεν εἰρημένα περὶ αὐτῶν· καὶ μετὰ ταῦτα φησίν·
« Ἀρχὴ λόγου κυρίου πρὸς Ὡσηὲ (2) »·
δῆλον ὅτι ἐντεῦθεν τῆς πρὸς αὐτὸν ἀποκα-
λύψεως ἤρξατο ὁ Θεός· κελεύει τε αὐτῷ γυ-
ναῖκα πόρνην ἀγαγέσθαι, καὶ δὴ καὶ τεκνώσασ-
G θαι ἐξ αὐτῆς, καὶ τὴν αἰτίαν προστίθησι· « διό-
τι ἐκπορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπὸ ὄπισθεν
τοῦ κυρίου »· τὸ μὲν οὖν παρασκευάζειν τινὰ
τῶν οὐχ ἁρμοδίων εἶναι δοκούντων τοῖς πολ-
λοῖς τοὺς προφήτας ποιεῖν τὸν Θεὸν, ὡς τὸν
H Ἡσαΐαν γυμνὸν ἀνυπόδετον ἐκέλευσεν ἐν μέ-
σῳ παριέναι πάντων (3), καὶ ὁπόσα δή τοι αὐτὰ,
πρόδηλον ἔχει τὴν αἰτίαν· ἐπειδὴ γὰρ οἱ πολ-
λοὶ τῶν μὲν λόγων παρέργως ἀκούειν εἰώθα-
μεν, ἐκταραττόμεθα δὲ πρὸς τὴν τῶν γινομέ-
I νων τε καὶ ὁρωμένων καινότητα· καὶ μάλιστα
ὅτ᾽ ἂν ἀπῳδὰ τοῦ τρόπου τοῦ ποιοῦντος ὑπάρ-
χῃ· εἰκότως ὁ Θεὸς διὰ τὸ τῶν ἰουδαίων δυσ-
πειθὲς παρασκευάζει πολλάκις τοὺς προφήτας
τοιαῦτα τινὰ διαπράττεσθαι, ἵν᾽ ἐκ τῆς τῶν
K γινομένων καινότητος ἐπιστρεφόμενοί πως οἱ
τοῦ λαοῦ μανθάνωσι τε τὴν αἰτίαν καὶ παι-
δεύωνται τὸ δέον· ἐκέλευσε τοίνυν τῷ προφή-
τῃ πόρνην ἀγαγέσθαι γυναῖκα· καινὸν γὰρ ἦν
τὸ τὸν προφήτην ἑλέσθαι γυναῖκα τοιαύτην εἰς
L γάμου λαβεῖν κοινωνίαν, ὅπερ οὖν αὐτῷ ποιῆ-
σαι προσέταξεν ὁ Θεός· ἐπειδὴ αὐτῷ τε τῷ
προφήτῃ εἰς κοινωνίαν γάμου γυναῖκα λαβεῖν
κατὰ νόμον ἐξῆν· τὴν τε πόρνην λαμβάνων σω-
φρονίζειν ἔπειθεν ὡς εἰκὸς (4)· ἀνάγκη γὰρ ἦν ξε-
M νίζεσθαι μὲν ἅπαντας, ὅτι ἀνὴρ τοῦ προσήκον-
τος πολλὴν ἐπιμέλειαν ἔχων, καταλιπὼν τὰς

Israeli, id est decem tribubus, imperabat Hieroboamum, Ioasi filium, nepotem Ioachasi, Iehu abnepotem: quem postremum ad Achaabi eiusque domus poenam Deus excitaverat per prophetam Elissaeum: eidemque premiserat fore ut posteri eius usque ad quartam generationem regno potirentur: quorum quidem tertius erat Hieroboamus, Ioasi filius, Ioachasi nepos; quartus autem fuit Zacharias Hieroboami filius, qui post sex regni menses obiit; in quo exitum habuit divinum vaticinium; translata deinceps regia dignitate a Iehu genere ad Sellumum, qui haud eiusdem cognationis erat. Quum itaque capessivisset Israelis regnum Hieroboamus, Ozias Hierosolymis imperaret, cladibus coeperunt adfici decem tribus, donec eas prorsus servitio addictas migrare coegit rex Assyriorum. Quare commodo tempore vaticinatum venit Oseas, praesagiorum Davidis memoriam refricans, atque ea iam proxima nuntians, quae multo ante praedicta fuerant. Pergit autem dicere.

„ Initium verbi Domini ad Oseam „. Patet, hinc Dei coepisse fieri apud illum revelationes: qui iubet eum coniugem meretricem ducere, ex eaque liberos procreare: cuius rei causam quoque „ addit quia, inquit, fornicans fornicabitur terra a „ Domino „. Sane Deus quaedam a prophetis facienda curat, quae multis praeter decorum esse videntur: veluti cum Isaiam coram omnibus iussit nudum et excalceatum incedere. Sed hoc et alia eiusmodi evidenti consilio peracta fuerunt. Nam quia plerique audire sermones oscitanter solemus; gestorum vero atque visorum novitate terremur, praesertim si haec absona a facientis more sint; merito Deus propter Hebraeorum incredulitatem dat saepe operam ut talia prophetae faciant; nempe ut perculsum novitate operum vulgus causam rerum discat atque officium doceatur. Mandavit ergo prophetae ut meretricem uxorem duceret. Porro novum erat feminam eiusmodi a propheta adsumi in matrimonii convictum; id quod eum reapse Deus facere iubet. Et prophetae quidem licebat legitimi coniugii societatem optare: verumtamen ut a scorto temperaret, sine dubio edoctus fuerat. Necesse enim erat mirari omnes, quod vir officii valde studio-

(1) IIII. Reg. x. 30. (2) Cod. hex. vat. ἐν Ὡσηέ. Sed tamen ibidem in margine οἱ ο πρός. (3) Is. cap. xx. Sic etiam in profana historia legimus Metonem illum tarentinum, virum ceteroqui frugi, venisse in theatrum cum muliercula psaltria ludentem, ut ea insolita specie conversis in se concionis animis, occasionem dicendi quae vellet nancisceretur. Dionys. halic. fragm. hist. XVII. 13. in editione mea mediol. Profecto Metonis exemplum cum Mopsuesteni interpretatione magnopere congruit; ideoque a me recitatum est. Ceteroqui ad hunc Oseae locum quod adtinet legendus est apprime Hieronymus, qui tum in praefatione tum etiam in commentario controversiam disertissime ventilat: et seu ethnicorum seu morosorum christianorum contradictionibus peracute occurrit. (4) Levitic. XXI. 7.

*

A ἐν σεμνότητι πως εἶναι δοκούσας, εἰς γάμου
κοινωνίαν εἵλετο πόρνην λαβεῖν· ἡ δὲ τοῦ γι-
γνομένου καινότης ἀφορμὴν ἐδίδου τῷ προφήτῃ
τὰ προσήκοντα λέγειν πρὸς αὐτούς, πρός τε ϗ
πολλῇ τῇ παραθέσει μείζονα φαίνεσθαι τὸ τὸν
B Θεὸν αἱρεῖσθαι οὕτως ἀγνωμόνων ἀνδρῶν εἰς
ἐπιμέλειαν ἑαυτὸν καθιέναι· εἴ γε ϗ τὸν προ-
φήτην θαυμαστὸν ἂν ἐπειλημμένου τοῦ προσή-
κοντος εἰς πόρνης ὁμιλίαν χωρεῖν· ἐπειδὴ τοί-
νυν φησὶν ἐπιμελοῦμαι τῶν ἰσραηλιτῶν πορνι-
C κὸν τρόπον πάντοτε ἐπιδεδειγμένων περὶ ἐμέ,
καὶ καθ᾽ ἑκάστην ἡμέραν ἄχρι τοῦ δεῦρο ταύ-
την ἐπιτεινόντων τὴν γνώμην, ϗ παρὰ πάντας
ἀνθρώπους αὐτοὺς εἰς οἰκειότητα εἱλόμην τὴν
ἐμήν· μετ᾽ οὐ πολὺ δὲ ἔλεγχον τῆς περὶ ἐμὲ
D γνώμης ἀκριβῆ παρέξονται τὴν ἐπαγομένην αὐ-
τοῖς ὑπ᾽ ἐμοῦ τιμωρίαν· ὅτε τῇ αἰχμαλωσίᾳ
παραδιδόμενοι παντελῶς ταύτης ἀπαλλοτριοῦν-
ται τῆς γῆς· ἐν ᾗπερ οἰκοῦντας ἐπιμελείας τε
τῆς ἐμῆς ἀξιουμένους ἐπὶ τῶν νόμων μένειν
E ἐκέλευσα τῶν ἐμῶν· ὅνπερ δὲ τρόπον καὶ ταῖς
γυναιξὶν ἔθος εἰς κοινωνίαν λαμβανομέναις ἐπὶ
τῶν γαμικῶν μένειν νόμων· ἐφ᾽ ἅπασι δὲ τού-
τοις, οὐ τὴν προσήκουσαν τῶν γινομένων αἴσ-
θησιν ἔχουσιν, οὐθ᾽ ὧν ποιοῦσιν, οὐθ᾽ ὧν
F πείσονται δικαίως· φέρε δὴ σὺ προφῆτα τῇ τοῦ
γινομένου καινότητι ἔλεγχον τῆς παρ᾽ αὐτῶν
πραττομένης ποίησαι ἀτοπίας.

Πείθεται δὲ τούτοις ὁ προφήτης, καὶ ἄγεται
πρὸς γάμον πόρνην, ἧς ϗ τὸ ὄνομα ϗ τὸν πατέ-
G ρα λέγει ὡς μὴ πλάσμα ψιλόν τι δοκοίη τὸ
λεγόμενον, ἱστορία δὲ ἀληθὴς πραγμάτων·
γίνεται δὲ αὐτῷ καὶ υἱὸς ἐκ ταύτης, ὃν ἐκέλευ-
σεν Ἰεζραὴλ ὀνομασθῆναι· οὕτω δὲ τὸ χωρίον
ἐλέγετο ἐν ᾧ τε Ναβουθαὶ τὴν παράνομον ὑπομε-
H μένηκε σφαγήν· ϗ μὴν ϗ Ἰεζάβελ κατεσφάγη (2),
δίκας τῆς ἐπ᾽ αὐτῷ τίνουσα παρανομίας· αὐτήν
τε ϗ ἅπαν τὸ γένος τοῦ Ἀχαὰβ ἀντὶ τῆς παρα-
νομίας ταύτης κατὰ πρόσταγμα θεῖον ἀπολέσαν-
τος τοῦ Ἰοῦ· « Μικρὸν γάρ φησιν, ϗ ἐκδικήσω τὸ
I αἷμα τοῦ Ἰεζραὴλ ἐπὶ τὸν οἶκον Ἰοῦ (3), ϗ κα-
ταπαύσω (4) βασιλείαν οἴκου Ἰσραὴλ »· ἀνθ᾽ ὧν
γάρ φησιν εἰς βασιλείαν ὑπ᾽ ἐμοῦ προχειρισθεὶς ὁ
Ἰηοὺ ἅπαν τοῦ οἴκου Ἀχαὰβ ἀπώλεσεν τὸ γέ-
νος· ὑπέρ τε τῆς ἀσεβείας ϗ τῆς παρανομίας
K ἣν κατὰ τοῦ Ναβουθαὶ ἐπὶ τοῦ προῤῥηθέντος τε-
τόλμηκε τόπου· εἶτα οὐ σωφρονισθεὶς ἐπὶ τού-
τοις, οὐδ᾽ ἀφ᾽ ὧν ἴσχυσε καθ᾽ ἑτέρων παρανενο-
μηκότων ἐφυλάξατο τὴν παρανομίαν (5)· ἅπαν-
τες δὲ οἱ ἐφεξῆς τοῦ Ἰσραὴλ βασιλεύσαντες τὴν
L τοῦ Ἀχαὰβ ἐμιμήσαντο γνώμην· μετ᾽ οὐ πολὺ δὲ
πᾶσαν παύσω τοῦ Ἰσραὴλ τὴν βασιλείαν· ἐπεὶ
μὴ δὲ οἷόν τε ἦν οἰκεῖον ἔχειν βασιλέα τοὺς ὑπὸ
τὴν αἰχμαλωσίαν τυγχάνοντας τοῦ λοιποῦ.
« Συντρίψω δὲ ϗ τὸ τόξον τοῦ Ἰσραὴλ ἐν τῇ
M κοιλάδι τοῦ Ἰεζραὴλ (6) »· ἐκ τοῦ μέρους πᾶσαν
αὐτῶν καλέσας τὴν χώραν· ἵνα εἴπῃ ὅτι πᾶσαν

sus, omissis quae pudicitiae laude florebant, nuptias meretricis adpetivisset. Iamvero rei huius novitas occasionem prophetae praebebat, quae opus erat Iudaeis dicendi; praetereaque graviore argumento monstrandi, quam mira essent Dei consilia, qui tam ingratorum hominum curam ultro suscepisset: siquidem et prophetam mirum erat, conculcato officio, ad scorti nuptias proruere. Videlicet et ego, inquit Deus, Israelitis studeo, qui meretricio prorsus more mecum agunt, singulisque hactenus diebus hanc mentem retinent; quos tamen ego prae ceteris hominibus in meam familiaritatem receperam. Sed enim hi paulo post de animo erga me suo coarguentur a poena quam eis imponam, cum traditi captivitati, funditus hac regione evertentur, quam huc usque beneficio meo incolentes, iussi fuerant meis praeceptis obtemperare: haud secus quam feminae in coniugium adsumptae, nuptialibus legibus adstrictae sunt. Nihilominus hi haud iustum gestarum rerum sensum habent, neque cum animis suis reputant quid vel faciant vel merito passuri sint. Quare age tu, propheta, facinoris novitate coargue susceptam ab his absurditatem.

A . Ἀλλ' ἕνεκεν τοῦ τὴν σύγκρισιν τῷ βασιλεῖ γνωρίσαι. Θεὸς γάρ φησι, ὁ σοι διὰ τοῦ ἐνυπνίου τὰ πράγματα δείξας, ἐμοὶ τῶν σοι γνωρισθέντων τὴν σαφήνειαν δέδωκε· προσέθηκε δὲ καὶ τῶν σῶν βουλευμάτων τὴν εἴδησιν, ὡς ἂν B ἔχοις περὶ τῶν λεγομένων ἀναντίῤῥητον τὴν γνῶσιν.

Ὡι ὁ Θεὸς τοῦ οὐρανοῦ βασιλείαν δέδωκεν. Τοσούτων γὰρ οὐκ ἂν πώποτε περιεγένου, μὴ τοῦ Θεοῦ τὴν ἰσχὺν δεδωκότος· αὐτὸς δὲ καὶ τοὺς C οἰκείους ἁλῶναι πεποίηκας ὑπὸ σοῦ. — Αἰνιττόμενος ὡς οὐκ ἂν τὴν Ἰουδαίαν κατέσχες, εἰ μὴ ὁ Θεὸς ἐκδότους ἔδωκε τοὺς ἐνοικοῦντας.

Θηρία τοῦ ἀγροῦ, καὶ πετεινά. Τοὺς ὀξεῖς κατὰ πόλεμον καὶ δυνατοὺς καὶ ῥωμαλέους τὸ σῶ- D μα ὑπέταξέ σοι ὁ Θεός· καὶ κατέστησε κύριον πάντων· ἀντὶ τοῦ οὐ μόνον σοι τὴν ἐν τῷ πολέμῳ νίκην, ἀλλὰ καὶ βεβαίαν ἐχαρίσατο τὴν ἐξουσίαν.

Ἀναστήσεται βασιλεία ἑτέρα ἥττων σου. Οὐ- E κέτι ἐνταῦθα ἥττονα ἔφη, ἀλλὰ καὶ τῇ προσθήκῃ τῶν ῥημάτων δυνατωτέραν ἀνέφηνε τὴν ἐξουσίαν· κυριεύσει γὰρ πάσης τῆς γῆς (1)· ὁ γὰρ Κῦρος πολλῷ μείζονα τοῦ βαβυλωνίου τὴν ἀρχὴν ἐκτήσατο, καὶ πολλοὺς πολέμους κατώρθω- F σε τῇ θείᾳ συμμαχίᾳ.

Βασιλεία τρίτη. Μηνύει μὲν τὴν μακεδονικὴν ἀρχήν· γνωρίζει δὲ τὸν Ἀλέξανδρον.

Βασιλεία τετάρτη ἰσχυρὰ ὡς σίδηρος. Οὐ γὰρ μόνον τῶν λοιπῶν περιεγένετο, ἀλλὰ καὶ Πέρ- G σας ὑπέταξεν ὀλίγῳ τῷ χρόνῳ, πάσης ἐλπίδος ὀξύτερον τὰς περιφανεστάτας καθελὼν (2) δυναστείας· λεπτυνεῖ δὲ, ἀντὶ τοῦ ἀσθενεῖς ποιήσει.

Καὶ ἀπὸ ῥίζης ἐν αὐτῇ. Καὶ διὰ τούτων τῆς μακεδονικῆς ἀρχῆς ἔτι κρατούσης· τὸ γὰρ ἐν αὐ- H τῇ, τουτέστι τῇ ῥίζῃ· τὸν γὰρ Ἀλέξανδρον διεδέξαντο (3).

Συμμιγεῖς ἔσονται ἐν σπέρματι ἀνθρώπων. Συμμίγνυσθαι τὸ σπέρμα ἔφη τὴν πρὸς ἀλλήλους ἐπιμιξίαν τῶν μετὰ Ἀλέξανδρον διὰ τὰς I ἐπιγαμίας αἰνιττόμενος· τότε γὰρ ἀναμεμίχθαι οὐδὲν ἕτερον μηνύει ἢ τὴν ἀκριβῆ συγγένειαν· καὶ τὸ ἐν σπέρματι ἀνθρώπων σαφῶς τὸ εἰρημένον σημαίνει· ὥσπερ ἀκόλουθόν ἐστι τὸ καὶ ἔσονται προσκολλώμενοι· ὡσανεὶ πρότερον μὲν K διῃρημένων τῶν γενῶν, συναφθέντων δὲ ἐκ τῆς πρὸς ἀλλήλους ἐπιμιξίας.

Ἀναστήσει ὁ Θεὸς τοῦ οὐρανοῦ βασιλείαν. Καλῶς τὸ ἀναστήσει, ὡς οὔσης μὲν τὴν ἀρχήν, οὐ φαινομένης δέ· ἦν γὰρ καὶ πρὸ τῆς ἐνσάρκου Χρι- L στοῦ παρουσίας ἡ θεία φύσις· τὸ οὖν ἀναστήσει, ἀντὶ τοῦ δείξει αὐτοῦ τὴν πρόνοιαν· οὐδὲ εἶπεν ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων ἀναστήσεται βασιλεύς· οὐ γὰρ χρονικὴν ἔσχε τὴν βασιλείαν, ἀΐδιόν τε τὴν ἐξουσίαν· ἀλλ' ἀναστή- M σει ὁ Θεὸς τοῦ οὐρανοῦ βασιλείαν, δεικνὺς τὴν περὶ ἡμᾶς τοῦ Θεοῦ οἰκονομίαν.

Sed ut regi interpres fierem. Deus, inquit, qui tibi in somnio res eventuras portendit, mihi declarationem earumdem contulit. Cogitationum autem tuarum notitiam addidit, ut in dictis meis sine ulla dubitatione conquiescas.

37. *Cui caelestis Deus regnum concessit*. Tot populos haud sane devicisses, nisi tibi Deus vim indidisset: tu vero tuam quoque gentem morem tibi gerere coegisti. — Haud, inquit, Iudaea capta fuisset, nisi Deus eius incolas ultro hostibus obtulisset.

38. *Agri feras et volucres*. Gentes cursu bellico celeres, potentes atque praevalidas in tuam Deus potestatem redegit, teque omnium dominum fecit. Nempe non bellicam solum victoriam, sed firmam quoque potentiam tibi largitus est.

39. *Consurget alterum regnum infra te*. Haud inferiore conditione heic regnum dicit; immo verba congerens, validiorem potentiam significat: nempe dominabitur, inquit, universae terrae. Profecto Cyrus multo maiorem quam babylonius ditionem obtinuit; pluraque bella divino fretus auxilio confecit.

Tertium regnum. Macedonicum innuit imperium, denotatque Alexandrum.

40. *Quartum regnum ferri instar validum*. Non enim cetera solum devicit regna, sed ipsos brevi tempore Persas domuit, atque omni spe citius nobilissima regna delevit. Dicit autem comminuet pro infirmabit.

41. *Atque ex eius radice*. Horum causa macedonicum adhuc imperium manebit: ex eadem quippe radice erant, qui Alexandro successerunt.

43. *Commiscebuntur inter se humana propagine*. Propaginum mixtionem dicit, significans eorum qui Alexandro successerunt nexus mutuos nuptiarum gratia. Etenim nihil aliud mixtura innuit, nisi proximam cognationem. Nam et locutio *humana propagine* manifeste rem praedictam ostendit: quare sequitur, *et adhaerebunt*. Genera scilicet diversa antea, mox mixtionibus mutuis coniuncta.

44. *Excitabit Deus caeli regnum*. Pulchre dicit *excitabit*, veluti quod a principio quidem esset, non tamen appareret. Nam ante etiam Christi cum carne adventum, divina natura erat. Verbum igitur *excitabit* positum est pro *suam providentiam ostendet*. Neque ait, fore ut praedictorum regum temporibus rex ille consurgat: quia is non temporale regnum sed aeternam potestatem tenet. Dixit vero, excitabit Deus caeli regnum, significans ipsius Dei de nobis curam.

---

(1) Conspirat Theodoretus qui ait: ἥττονα αὐτὴν καλεῖ, οὐχ ὡς ἀσθενεστέραν ἀλλ' ὡς δευτέραν, *minus regnum persicum vocat, non ut imbecillius, sed ut secundum*. Item arabe interprete دونك *infra te* seu *post te* intelligi potest. Tum hinc apparet Polychronium retulisse ad secundum regnum verba κυριεύσει πάσης τῆς γῆς, quae in vulgatis textibus pertinent ad tertium seu macedonicum. (2) Ita cod. quasi de Alexandro sermo sit. (3) Breve hoc scholion est in editis a Brough-

A Εἰς τὺς αἰῶνας ϗ διαφθαρήσεται. κ. τ. λ.
Εἶτα τὸ διάφορον τῆς βασιλείας ταύτης δεικνὺς,
πρὸς τὰς ἤδη ῥηθείσας φησὶν, ἥτις εἰς τὺς αἰῶ-
νας οὐ διαφθαρήσεται, ὡς ἐκείνων μὲν ἀπολλυ-
μένων, ταύτης δὲ εἰς ἀπέραντον τὸν χρόνον
B μενούσης. – Τουτέστιν, ὐδεὶς ἔσται μετ' αὐτὴν,
τῆς ἐξουσίας αὐτῆ παυθησομένης· ἀλλ' αὐτὴ
τε διαμενεῖ, καὶ τὸ κράτος ἕξει ἀτελεύτατον.
– Οὐ μόνον (1) φησὶν ἀρχὴν ἕξει, ἀλλὰ ϗ τῶν
ἀνθισαμένων ἁπάντων περιέσαι· ϗ ὁ κύριος λέ-
C γει, ἐπὶ ταύτῃ μου τῇ πέτρᾳ οἰκοδομήσω μου
τὴν ἐκκλησίαν, ϗ πύλαι ᾅδου οὐ κατισχύσου-
σιν αὐτῆς.

Cap. III. Εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος. Ἀναμένον-
τες τῦ προστάγματος τὸ σύνθημα· τοῦτο δὲ
D ἦν τὸ παρὰ τῦ βασιλέως παράγγελμα· ἐδήλω-
σε δὲ τῶν συναχθέντων τὸ πλῆθος, ἔθνη μὲν
τὰς καθεκάστην μονὴν πατρίδας· φυλὰς δὲ
τὰς κατὰ φρατρίαν συναχθέντας· λαοὺς δὲ
τὺς ἐκ διαφόρων πατρίδων μιγάδας (2)· σάλπιγ-
E γας δὲ ϗ σύριγγας ϗ κιθάρας λέγει διάφορα ὄρ-
γανα μουσικά· καὶ σαμβύκης καὶ ψαλτηρίου εἶ-
δος δηλονότι λέγει ὀργάνου. Δηλοῖ ὡς οὐκ
ἁπλῶς οὐδὲ ὡς ἔτυχεν ἦχουν τοῖς φθόγγοις,
ἀλλὰ κατά τινα τάξιν ϗ εὐρυθμίαν ἀπετέλουν
F τὸ μέλος· ὥστε ϗ ἡδονήν τινα παρέχειν τοῖς
ἀκούουσιν (3).

Πίπτοντες πάντες οἱ λαοί. Ἵν' οἱ μὲν ἀνοίᾳ
οἱ δὲ φόβῳ τῶν ἀπειληθέντων ὑπακούσωσι τῷ
προστάγματι. – Τῶν λοιπῶν δουλοπρεπῶς θω-
G πευόντων, οἱ παῖδες κατὰ τὸν Μωυσέως νόμον
οὐδενὶ χειροποιήτῳ προσκυνεῖν ἠξίουν· τῷ μὲν
γὰρ βασιλεῖ τὴν ὀφειλομένην ἀπεδίδοσαν τι-
μὴν, ὡς θεῷ δὲ προσκυνεῖν παρῃτοῦντο· τὸ μὲν
γὰρ ἦν τὴν πρέπουσαν φυλαττόντων τάξιν· τὸ
H δὲ, τῆς τῦ θεοῦ λατρείας ὑπερορώντων.

Εἰς τὺς αἰῶνας ζῆθι. Τουτέστι διαμένοις
κρατῶν, τῶν πραγμάτων συμμαρτυρούντων τῇ
δυναστείᾳ· τῦτο μὲν ἔχει κολακείας ἔνδειξιν,
τὸ δὲ ἑπόμενον φθόνου (4).

I Ἔστι γὰρ θεὸς ἡμῶν ἐν οὐρανῷ, ᾧ ἡμεῖς λα-
τρεύομεν. Ἐκ μὲν τῆς τῦ θεοῦ μνήμης καὶ τῦ
φάσκειν αὐτὸν εἶναι ἐν οὐρανῷ, ἐπὶ τὸν δημιουρ-
γὸν τῶν ὅλων χειραγωγοῦσι τὸν ἀκούοντα·
ἀπὸ δὲ τῆς λατρείας αὐτῦ, παλαιῶν ὑπομι-
K μνήσκουσι θαυμάτων· ὥσπερ γὰρ βαβυλώνιοι
ἐκ τῆς αὐτῶν ἀποικίας ἐλέγχειν ἐπειρῶντο
τῦ θεοῦ τὴν δύναμιν, οὕτως οἱ ἅγιοι ἔκ τε τῆς
κτίσεως, ϗ τῶν περὶ αὐτὺς γεγονότων πάλαι,
τὸν ἑαυτῶν κρατύνειν ἐβούλοντο λόγον· οὐ μὴν
L σαφῶς αὐτὰ ϗ λέγουσιν· οὐ γὰρ διδασκαλίας
ἦν ὁ καιρὸς, ἀλλ' εὐθυνῶν ϗ κρίσεως· διδασ-
κάλου μὲν γάρ ἐστι τὸ μετ' ἐξουσίας λέγειν·
κρινομένου μετρεῖν τῷ καιρῷ τὺς λόγους.

Δυνατὸς ἐξελέσθαι ἡμᾶς. Ἡμεῖς μὲν οὖν γι-
M

Nullo tempore dissolvetur etc. Dominationis huius a ceteris differentiam denotans, haec, inquit, nullo tempore dissolvetur; pereuntibus illis, haec infinito tempore incolumis futura est. – Nemo huius veluti cessaturae stationem excipiet: verum ipsa cum suo robore aeterna manebit. – Neque suum tantummodo thronum retinebit, sed adversariis omnibus superior fiet. Et quidem Dominus ait: super hac mea petra aedificabo ecclesiam meam, et portae inferi non praevalebunt adversus eam.

3. *Steterunt ante simulacrum.* Expectantes videlicet condictum signum. Porro id erat regis mandatum. Ad multitudinem congregatam quod adtinet, verbo *nationes* significantur singulae patriae; nomine *tribus*, congregatae familiae; nomine denique *populi*, turbae diversis patriis contractae. Tum etiam nominibus *tubae*, *fistulae*, *citharae*, *sambucae*, *psalterii* ostenduntur varii generis organa musica. Neque vero intelligas inconditum ac tumultuarium sonum, sed ordinatum ac numerosum, qui audientium aures mulceret.

7. *Proni omnes populi.* Partim stultitia partim vero minarum timore praecepto obtemperabant. – Ceteris serviliter adulantibus, adulescentuli mosaicae legis tenaces nullum fictile venerari passi sunt: qui etsi regi debitum obsequium non denegabant, tamen numinis instar adorare eum detrectabant: namque illud ordinatae reverentiae erat, hoc nisi Dei cultu spreto fieri non poterat.

9. *Aeternus vive.* Id est in imperio persevera, rerum cursu tuae potentiae favente. Haec habent adsentationis significationem; sequentia, invidiae.

17. *Est Deus noster in caelo, quem colimus.* Numinis caelestis mentione ad creatorem omnium rerum auditores suos pervehunt. Cultu autem memorato, miracula prisca refricant. Nam sicuti Babylonii e Iudaeorum captivitate nitebantur elevare Dei virtutem; ita hi sancti a creatione atque a priscis erga se beneficiis sententiam suam confirmare studebant. Neque tamen haec ipsa modo recitant, quia tempus poenae iudiciique erat, non doctrinae. Est enim magistri cum potestate dicere; reum autem oportet tempori accommodare sermones.

Qui nos liberare potest. Nihil mali nos par-

---

tono inter suos ad Danielem commentarios ed. Basil. p. 109. (1) Quatuor, qui sequuntur, versus extant apud Broughtonum. (2) Prudenter hoc loco Hieronymus: *omnes populos intelligamus in principibus; neque enim adesse universae simul poterant nationes.* (3) Aegyptii incorrupta natio musicam ut noxiam aversabantur; Diodor. I. 81. Babylonii coloni degeneres hac abutebantur ad suadendam idololatriam. (4) Nempe Iudaeorum accusatio.

A ναίσχομεν σαφῶς ὡς οὐδὲν πεισόμεθα δεινὸν,
νικώσης πᾶσαν μηχανὴν τῆς τοῦ Θεοῦ προνοίας·
εἰ δὲ ἄρα καὶ δοκιμάσει τοῖς δεινοῖς ἡμᾶς ἐκδοῦ-
ναι, τοσαύτην περὶ αὐτὸν κεκτήμεθα ἀγάπην,
ὥστε ἡμᾶς αἱρεῖσθαι μᾶλλον ἀποθανεῖν μετ' εὐ-
B σεβείας ἢ ζῆν τῶν θείων νόμων ἐκτός.

Ἐνέπεσον ἐν μέσῳ. Οὐκ εἶπεν εἰσῆλθεν,
ἀλλ' ἔπεσον· δεικνὺς ὡς τὸ ἐπιτεταμένον τῆς
φλογὸς οὐδὲ προσιέναι τινὶ συνεχώρει, οὐδὲ ὀρ-
γάνοις τισὶν ὠθεῖν τοὺς νεανίσκους, καθάπερ
C τὰς εἰωθυίας ὕλας ἐπὶ τῶν τοιούτων εἰσπέμπειν
φίλον· ἀλλ' ὥσπερ ἐκ περιωπῆς τινος πρὸς τὸ
βάθος ῥίπτουσι τοὺς παῖδας, ὡς ἐφ' ὁμολογού-
μενον θάνατον.

Καὶ περιεπάτουν. Οὐχ ἁπλῶς εἶπεν ὕμνουν,
D ἀλλ' ὅτι περιπατοῦντες ὕμνουν· καὶ ἐπιτείνων
τὸ παράδοξον τοῦ γιγνομένου, οὐ γὰρ μόνον
αὐτῶν οὐχ ἥψατο, ἀλλὰ καὶ πρὸς τὴν τῶν δεσ-
μῶν λύσιν ὑπηρετήσατο τὸ πῦρ· ὅρον τῆς ἑαυ-
τοῦ ἐνεργείας ἐσχηκὸς τοῦ σιδήρου τὸν ἀφα-
E νισμόν.

Εὐλογεῖτε πάντα. Εἰδέναι δὲ δεῖ, ὡς οὗτος
ὁ ὕμνος οὐ κεῖται ἐν τοῖς ἑβραϊκοῖς ἢ ἐν τοῖς
συριακοῖς βιβλίοις· λέγεται γὰρ ἀπὸ τῶν εἰρη-
μένων παρά τινων μετὰ ταῦτα συντεθεῖσθαι (1)·
F διόπερ καὶ αὐτὸς τὴν καθ' ἕκαστον αὐτῶν ἑρμη-
νείαν παρήσω, τῆς ἑρμηνείας μόνον ἐχόμενος
τῆς βίβλου.

Ναβουχοδονόσορ βασιλεὺς πᾶσι τοῖς λαοῖς.
Ἐξ αὐτῶν τῶν πραγμάτων ἐπαιδεύθη τὸ ἀλη-
G θές· διόπερ εἰς κοινὸν ἅπασι τοῖς ὑπηκόοις ἐκ-
τίθεται τὸ δόγμα· ἐπειδὴ γὰρ ἤμελλον καὶ σύγ-
κρισιν τῶν θεῶν ποιούμενοι εἰς ἀδυναμίαν ἔσ-
κωπτον τὸν ἰουδαίων προϊστάμενον, ὡς οὐ δυ-
νηθέντα ἐξαρπάσαι τῆς πολέμου χειρὸς τοὺς ὑπ'
H αὐτῷ τεταγμένους, παραγγέλλει μηκέτι τοῖς αὐ-
τοῖς κεχρῆσθαι ῥήμασιν, ὡς αὐτίκα μάλα δώ-
σοντας δίκην ἐπὶ τῇ βλασφημίᾳ. — Αὐτὰ τὰ
πράγματα φησὶ πάσης φωνῆς λαμπρότερον ἐβόα
τὴν ἀλήθειαν· οἱ μὲν γὰρ παρὰ τῶν λοιπῶν
I προσκυνούμενοι οὐ μόνον τῶν προφανῶν κινδύ-
νων ἐξαρπάζειν οὐ δύνανται, ἀλλ' οὐδὲ τὸ τυ-
χὸν παρέχειν· ὁ δὲ καὶ τὸ πᾶσιν ἀνέλπιστον
καὶ ἐπ' ἔργου ἐπέδειξεν.

Ἄκουσον τὴν ὅρασιν. Οὐ τὴν δειχθεῖσάν φη-
K σι νῦν ὄψιν ἀπαιτῶ λέγειν, καθάπερ ἤδη πρό-
τερον· δῆλον γὰρ αὐτῷ· ἀλλὰ τῆς ὁμολογου-
μένης τὴν σαφήνειαν· ἐν ἴσῳ γάρ μοι τοῦτο ἀπο-
ρεῖται τῆς ἀγνοουμένης ὄψεως.

Πάντες οἱ σοφοὶ οὐ δύνανται. Ἠλέγχθησαν
L δέ φησι πάντες οἱ ἐπὶ σοφίᾳ θρυπτόμενοι· σὺ
δὲ δύνασαι, ὅτι πνεῦμα Θεοῦ ἅγιον ἐν σοί· τουτ-
έστι κατὰ θείαν ἀποκάλυψιν, καθὰ καὶ τὸ πρό-
τερον, πάντα λέγεις.

Ἀπηνεώθη ὡσεὶ ὥραν μίαν. Τουτέστιν ἐξε-
M πλάγη ἐπὶ τῷ παραδόξῳ τῶν δειχθέντων, καὶ
σύννους ἐγένετο.

suros, probe novimus; quia Dei providentia quemvis hominum conatum superat. Ceteroqui etiamsi ei foret libitum nos suppliciis tradere, tanto ipsum studio prosequimur, ut mori pietate comite malimus, quam praeter legem divinam vivere.

23. *Ceciderunt in medium ignem*. Non ait ingressi sunt, sed ceciderunt; ut intelligamus ob vehementiam ignis nemini accedere licuisse, neu quibusvis instrumentis adulescentulos illuc compellere: quemadmodum consueta materia in fornaces congeri solet. Videntur igitur pueri tamquam ex aliqua specula in profundum iacti veluti ad perniciem certam.

Et inambulabant. Non solum dixit canebant, sed inambulantes canebant. Tum miraculum cumulans, non solum, inquit, flamma eos non attigit, verum etiam ad vinculorum solutionem famulata est; vim suam eatenus exserens, quatenus ferrum consumeret.

57. *Benedicite omnia*. Hymnus hic neque in hebraicis neque in syriacis bibliis occurrit. Fertur autem ex praedictis sententiis, nescio quo auctore, deinde compositus. Quare et ego singulorum eius versiculorum interpretationem praetermittam; libroque tantummodo explanando operam impendam.

98. *Nabuchodonosorus rex cunctis populis*. Ipso rerum eventu veritatem edoctus est. Quare commune subditis cunctis decretum proponit. Nam quia Babylonii certamen quoddam et comparationem Deorum suorum instituentes, Iudaeorum Deum veluti infirmum irridebant, qui de manu belli cultores suos eripere nequivisset; deterret rex quominus illo loquendi genere diutius utantur, ne protinus blasphemiae suae poenas luant. — Res ipsae, inquit, quavis voce clarius veritatem clamabant. Etenim dii ab aliis gentibus culti non solum e manifesto discrimine eripere nequeunt, sed nullam omnino opem suppeditant: Iudaeorum vero Deus insperatum cunctis praesidium re ipsa praestitit.

6. *Visionem audi*. Haud, inquit, ut antea, *Cap.*
peto demonstratam mihi visionem dici. Ete- *IIII.*
nim explorata mihi est: sed rei certae declarationem exquiro; quam aeque nunc ignoro, atque antea visionem nescivi.

15. *Nulli sapientes queunt*. Vani omnes convicti sunt qui sapientiam iactabant. Res tuae virtutis est, in quo spiritus Dei sanctus versatur: id est Deo revelante, sicut antea, cuncta loqueris.

16. *Obstupuit quasi hora una*. Id est admiratione visionis defixus cogitabat.

---

(1) Haec Polychronii verba iamdiu prolata fuerant a Flaminio Nobilio in schol. ad ed. gr. τῶν LXX. (sicuti etiam syri interpretis auctoritas a me supra laudata p. 108. n. 2. Quare et ibi a Drusio exscriptum Nobilium arbitror.) Ceterum quod syriaca interpretatio Polychronio cognita hymno caruerit, id scilicet indicio est eam fuisse derivatam ex hebraico iam tum mutilato, uti nunc est. Sed tamen vulgatus textus syriacus in polyglottis hymnum hunc complectitur, uti etiam arabicus. Armeniaca

A Καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον. Τουτ-
έστιν εἰς φόβον κατέστη, λογιζόμενος τοῦ δεσ-
πότου τὴν δύναμιν, καὶ ὡς οὐδὲν τῶν ἀνθρω-
πίνων βέβαιον, ὅταν μὴ τὴν ἄνωθεν ἔχῃ ῥο-
πήν.

B Τὸ δένδρον ὃ εἶδες. Οὐκ αὐτοῦ τὸ πρόσωπον
λέγων μόνον, ἀλλὰ τὴν πᾶσαν βασιλείαν· αὐ-
τὸν δὲ εἶπεν ὡς τῶν ὑποτεταγμένων ἁπάντων ἐν
ἐκείνῳ τεθεωρημένων, καὶ συμπληρούντων τὴν
βασιλικὴν φαντασίαν· μηνύει τοίνυν τὸ μὲν
C δένδρον, αὐτόν· τὰ δὲ φύλλα τὸν περὶ αὐτὸν
στρατόν· εὐθαλῆ δὲ διὰ τὸ ἀξιοπρεπεῖς εἶναι
ὑπό τε εὐταξίας καὶ τῆς τῶν λοιπῶν περιουσίας·
καρπὸν δὲ τοῦ μὲν δένδρου λέγει τὰς ἐπε-
τείους παρὰ τῶν ὑπηκόων πεμπομένας ὁμολο-
D γίας· τὸ δὲ τὰ ὄρνεα καὶ τὰ θηρία τρέφεσθαι,
τὸ παρὰ βασιλέως τοῖς τε ἄρχουσι καὶ τοῖς τάγ-
μασι χορηγούμενον σιτηρέσιον αἰνίττεται· πε-
τεινὰ δὲ καλεῖ τοὺς ἐν τέλει, ὡς ὑπερέχοντας
τῶν λοιπῶν· θηρία δὲ τὰ ὑποτεταγμένα ἔθνη·
E καὶ τὸ τὰ μὲν ὑπὸ τὰ δένδρα κατοικεῖν, τὰ
δὲ ἐν τοῖς κλάδοις κατασκηνοῦν, τὸ ὑπὸ τοῖς
αὐτοῦ νόμοις ζῆν ἅπαντας· πᾶσι δὲ τοῖς εἰρη-
μένοις ἔφη ἐκεῖθεν χορηγεῖσθαι τὴν ἀφθονίαν,
ὡς τῶν μὲν ὑπ' αὐτοῦ τρεφομένων, μισθὸν τῆς
F λειτουργίας λαμβανόντων τῷ δὲ βασιλικῷ νομίσ-
ματι τάς τε ἐμπορίας καὶ τὰ συναλλάγματα ποι-
ουμένων· ὁ δὲ προφήτης τὴν κατὰ μέρος ἐξή-
γησιν παρῆκεν· ἴσως μὲν ὡς καὶ εὐσύνοπτον, καὶ
μάλιστα τότε τῶν κινουμένων, οὐδεμίαν δυσχέ-
G ρειαν ἐμποιούντων πρὸς τὴν τῶν ὅλων κατανόη-
σιν· καὶ ἕνα δὲ ἔχων σκοπὸν, τῇ διηγήσει τὸν
κατ' αὐτὸν, σωφρονέστερον αὐτὸν ποιῆσαι· ὧν
δὲ πρὸς τοῦτο περιττὴ ἡ τῶν λοιπῶν ἐξήγησις.

Ὅτι ἐμεγαλύνθης. Τουτέστιν ἀπὸ μικροῦ μέ-
H γας ἐγένου, διὰ τῆς ἐν τοῖς πολέμοις νίκης· τὸ
δὲ ἴσχυσας, ὅτι οὐδὲ μετὰ ταῦτα ἔσχες ἀντί-
στασιν.

Καὶ ἡ μεγαλοσύνη σου ἐμεγαλύνθη· Τουτ-
έστιν ἐφυσήθης τὴν διάνοιαν, καὶ μέχρι τοῦ δεσ-
I πότου τῶν ὅλων ἐξέτεινας τὸ φρόνημα· μεγα-
λοσύνην μὲν γὰρ αὐτὴν ἐκάλεσε τὴν ἐξουσίαν·
τὸ δὲ μεγαλυνθῆναι λέγει διὰ τὸ τῶν λογισ-
μῶν ὑπέρογκον.

Καὶ ἡ κυρεία σου εἰς τὰ πέρατα τῆς γῆς.
K Τοῦτο δέ φησι γέγονεν, ὅτι πανταχοῦ τῆς γῆς
ἐκτείνας τὴν ἀρχὴν, οὐκ ἔστης ἐπὶ τῶν ὅρων
τῆς φύσεως·

Καὶ ὅτι εἶδεν ὁ βασιλεὺς εἴρ. Τὸ μὲν εἴρ
ἐστιν ἑβραϊκὴ λέξις· σημαίνει δὲ τὸ ἄγρυπνον,
L καὶ ἄγγελον· διὸ καὶ ἅγιον καλεῖ, οἷον ἐξαίρετόν τι-
να παρὰ πάντας τοὺς ἀνθρώπους κεκτημένον τὴν
φύσιν.

Πλὴν τὴν φυήν. Οὐ μὲν φησιν ὁλόκληρον κατ-
εδίκασε τὴν τοῦ βασιλέως ἀπώλειαν.

M Καὶ ἐν δεσμῷ σιδηρῷ. Διὰ τούτου τὸν τρό-
πον μηνύει τῆς καταληψομένης αὐτὸν συμφορᾶς.

Cogitationibus suis perturbabatur. Extimuit reputans potentiam Domini; et quod nihil in humanis rebus firmum sit, nisi caelitus pondus accipiat.

17. *Arbor quam vidisti*. Haud solam regis personam, sed universum regnum designans. Regem vero dixit, ceu subditis omnibus in eo spectatis, quorum coetu regia species conflatur. Arbor itaque regem significat; folia exercitum eius, disciplina et reliquo apparatu florentem. Porro arboris fructus dicit annua quae penduntur tributa a subditis. Iam quod aves feraeque aluntur, id suppeditatum a rege praefectis atque exercitibus stipendium innuit: et quidem avium nomine intelliguntur magistratus, qui in plebe eminent; ferarum autem nomine, subditi populi. Et quod partim sub arbore incolant, partim ramis insideant, hinc intelligimus cunctos legibus eiusdem regis vivere. Atque his omnibus uberem ex arbore suffici escam ait, quia subditi a rege aluntur dum sui ministerii mercedem referunt; dumque regia pecunia mercaturas et negotiationes exercent. Sed enim singularum rerum explanationem propheta omisit; fortasse quia hae faciles intellectu erant; praesertim quia commoti magnopere auditores, haud moleste tunc admittebant universi vaticinii intelligentiam. Tum vero propheta nihil aliud spectabat oratione sua, nisi ut modestiorem regem redderet; cui rei efficiendae reliqua narratio superflua erat.

19. *Quia magnificatus es*. Qui parvus eras, in tantam magnitudinem victoriis bellicis excrevisti. Quod vero addit *roboratus es*, significat neminem ei postea fuisse adversatum.

Et magnitudo tua magnificata est. Excelsiores sumpsisti spiritus; fastum tuum usque ad communem dominum extulisti. Magnitudinis nomine potentiam eius appellavit. Magnificari vero dicit, pro superbis animi motibus concitari.

Potentatus tuus usque ad terminos terrae. Hoc, inquit, accidit, quia postquam orbem universum ditione occupasti, haud iam intra naturae fines constitisti.

20. *Quod autem vidit rex hir*. Hebraicum vocabulum est hir, vigilem significans itemque angelum. Quare et sanctum appellat, ceu praestanti quadam prae cunctis hominibus natura praeditum.

Germine excepto. Haud supremo, inquit, addixit exitio regem.

Ferreo vinculo. His verbis impendentis ei calamitatis genus designat.

---

quoque et coptica biblia hymnum agnoscunt: in graecis autem habent cum Theodotio, LXX. interpretes e codice chigiano editi (cum syriaca eiusdem versione quam cl. Bugatus evulgavit) insignes duae editiones, Carafae sixtina, et complutensis; item duo nobilissimi orbis terrarum codices vaticanus et alexandrinus. Quod si Polychronius ab hymno explanando abstinuit, alia tamen mens fuit Theodoreto, Chrysostomo, et in vaticano, quem nunc edo, codice Hippolyto, Hammonio, et cuidam anonymo, quorum omnium scholia ad hymnum leguntur. Eundem in italica vetere extitisse constat; et nunc eum authentica vulgata conservat sapienti tridentini concilii decreto

A Καὶ ἐν τῇ χλόῃ. Ἐν τοιαύτῃ ἔσται κατα-
στάσει ὥστε χλόην σιτεῖσθαι καὶ τὴν μετὰ θηρίων
ἀσπάζεσθαι δίαιταν.
Ἕως οὗ ἑπτὰ καιροί. Σημαίνει δὲ ἔτη τρία
καὶ ἥμισυ τοῦ καιροῦ εἰς χειμῶνα καὶ εἰς θέρος
B λαμβανομένου· ἐπειδήπερ καθολικῷ τινι λόγῳ
εἰς δύο ταῦτα διαιρεῖται τὸ ἔτος, τοῦ ἔαρος καὶ
μετοπώρου ἐν ἑκατέρᾳ τούτων ὥρᾳ παραλαμ-
βανομένου· ἐπείπερ καὶ ἀρχή τις ἀκρότατος, τὸ
μὲν ἔαρ τοῦ θέρους, τὸ δὲ φθινόπωρον τοῦ χει-
C μῶνος· συνελὼν δὲ τῇ διηγήσει, τὸν ἐξ οὐρα-
νοῦ κατελθόντα, τὴν ἀπόβασιν ἀποφάσεως, τὸ
εἶδος τῆς σωτηρίας, τὴν ἐλπίδα τῶν ἐσομένων,
τὸ βέβαιον, καὶ τῆς συμφορᾶς τὸν χρόνον ἐπάγει.
Τοῦτο ἡ σύγκρισις αὐτοῦ βασιλεῦ· καθολικῷ
D τινι λόγῳ τὰ πάντα περιλαβών, ἐπειδὴ καὶ
σύντομον ᾔδει τὴν διδασκαλίαν ποιήσασθαι,
τῶν μὲν ὁμολογουμένων ἀφιστάμενος, τῶν δὲ
ἀμφιβόλων τὴν λύσιν ἐκτιθέμενος.
Καὶ σύγκριμα ὑψίστου. Σύγκριμα δὲ λέγει
E τὴν ἑρμηνείαν, ὅπερ ἀνωτέρω ὁ Ναβουχοδονό-
σορ ἔφη διὰ συγκρίματος εἰρ, ὁ λόγος καὶ ῥῆ-
μα ἁγίων τὸ ἐπερώτημα· ὁ γάρ σοι τὴν ὄψιν
δείξας, γνωρίσας τε αὐτὴν τοῖς ἐρωτήσασι,
κἀμοὶ νῦν σαφηνίσαι τὸ κεκρυμμένον δέδωκεν.
F Ὃ ἔφθασεν. Τῆς ἐκβάσεως τῶν δειχθέντων τὸ
ἀναντίρρητον λέγει· τὸ γὰρ ἔφθασεν, ἀντὶ τοῦ
φθάσει λέγει, κατὰ τὸ ἰδίωμα τῆς γραφῆς.
Καὶ μετὰ θηρίων ἀγρίων ἔσται ἡ κατοικία
σου. Φασὶ γὰρ αὐτὸν εἰς μανίαν περιτραπῆναι·
G οἱ μὲν μελαγχολικῷ πάθει περιπεπτωκότα, οἱ
δὲ καὶ ὑπὸ δαίμονος ἐνοχλούμενον· ἡνίκα οἱ πε-
ρὶ τὰ βασίλεια αἰσχυνόμενοι τὴν βασιλέως κα-
τάστασιν, πρότερον μὲν καθεῖρξαν, ὡς ἂν μὴ
εἰς προὖπτον ἔλθοι τὸ γεγονός· καὶ κατεῖχον
H ὡσεὶ πέδαις τισὶ καὶ ἁλύσεσι φυλάσσοντες (1)
ὅπερ ὁ δεσμὸς τοῦ χαλκοῦ καὶ τοῦ σιδήρου μηνύει·
οὐ γὰρ ἀνθρωπίνη ἰσχὺς ἤρκει πρὸς τοιαύτην
ἀνθρώπου κατάστασιν· ἐπὶ πολὺ μὲν οὖν ἀφα-
νῆ φρουρεῖν διεγίνωσκον· ὡς δὲ πάντα ἦν δεύ-
I τερα τῆς μανίας, ἀνθρώπων τε ἰσχὺς καὶ σι-
δηρίου δύναμις, καὶ ποικίλων ὀργάνων ἐπίνοια,
τότε οὐκ ἐξῆκαν μόνον, ἀλλὰ καὶ ὡς πόρρω συν-
έβαινεν ἡ μετὰ τῶν θηρίων διαγωγή.
Καὶ χόρτον ὡς βοῦν ψωμιοῦσί σε. Σαρκοφα-
K γεῖν μὲν γὰρ οὐκ ἐδύνατο· οὐ γὰρ (2) καὶ τὴν τῶν
θηρίων ἔσχε φύσιν, καὶ τὴν κατάστασιν, τῷ
μεγέθει τῶν τριχῶν, καὶ τῇ αὐξήσει τῶν ὀνύ-
χων, καὶ τῇ λοιπῇ ἀγριότητι· ἐχλοηφάγει δὲ
τὴν αὐτόματον ἐκ γῆς ἀναδιδομένην τροφὴν σι-
L τούμενος (3).
Καὶ ἑπτὰ (4) καιροὶ ἀλλαγήσονται. Τουτέστιν
ἀμείψεις τὸ χρῶμα· εἰ γὰρ ἡ τῶν ἡλικιῶν ἐναλ-
λαγὴ μόνη πλείστην τῶν χαρακτήρων τὴν δια-
φορὰν ἐργάζεται, πολλῷ μᾶλλον τῆς τε τρο-
M φῆς τὸ ἀσύνηθες καὶ ὁ κατεσκληκὼς βίος τοῦτο
ἔδειξεν ἄν.

Et herba. In eiusmodi conditione futurus est, ut herbis vesci et beluarum victu nutriri velit.

Donec septem tempora. Significat tres annos cum dimidio; tempore scilicet in hiemem aestatemque tributo. Nam vulgari quadam ratione sic dividitur annus, ita ut ver atque autumnus in his singulis concludantur. Est enim initium sive extremitas quaedam aestatis ver, autumnus hiemis. Atque hac locutione complexus illum qui caelo venit, decreti effectum, salutis genus, futurorum spem et firmitudinem; tempus calamitatis definit.

21. *Haec est, o rex, interpretatio rei*. Generali oratione cuncta constringit: quippe et paucis rem docere noverat, missisque cognitis, dubiorum solutionem exhibere.

Interpretatio altissimi. Interpretationem appellat σύγκριμα: sicuti superius Nabuchodosorus ipse locutus est: in enarratione vigilum; sermo et oratio sanctorum, petitio. Nam qui tibi visionem obtulit, eamque petentibus explanavit, idem me quoque secreta reserare docuit.

Quae praevenit. Certissimum rerum eventum dicit. Praevenit enim dicit pro praeveniet (seu mox aderit), qui scripturae idiotismus est.

22. *Cum feris silvestribus erit incolatus tuus*. Aiunt regem in furorem fuisse conversum, alii quidem atra bile percitum, alii daemone vexatum. Tum aulici, quos regiae dementiae pudebat, principio quidem hominem intra septa tenebant, ne res palam fieret: custodiebant autem pedicis quibusdam catenisque vinctum; id quod verbis aeris ferrique designatur: neque enim humanae vires tantae insaniae cohibendae sufficiebant. Regem itaque procul omni visu diu servandum curaverunt. Verumtamen ubi furor omni hominum robore, ferrique vi, multiplicique instrumentorum artificio maior evasit; regem haud certe liberum dimiserunt, sed ut remotissime inter feras degeret operam dederunt.

Teque foeno bovis instar nutrient. Carnes enim vorare nequibat: quamquam ad ferarum naturam figuramque transiverat, capillorum magnitudine, unguium incremento, et cetera feritate. Vescebatur herba, id est escam sponte tellure editam carpebat.

Septem tempora mutabuntur. Colorem scilicet immutabis. Nam si vel sola aetatum successio plurimam formarum varietatem efficit; quanto hanc magis efficeret esca insolita aridusque victus?

---

communitum. Tum e Sabatierio cognoscimus lectum eum passim in antiquis psalteriis, laudatumque ab Ambrosio, Augustino, Vigilio tapsensi, atque Fulgentio. Alii alia testimonia colligent; mihi haec sufficere videntur ad adserendam hymni canonicam auctoritatem.

(1) *Perspicuum est*, inquit Hieronymus, *omnes furiosos ne se praecipitent, et alios ferro invadant, catenis ligari*. (2) Num pro οὐ γὰρ scribendum est εἰ? (3) More stultorum, ut acute observat Theodoretus, qui solent omnia, in quaecumque inciderint, comedere. (4) *Septem*, idest *multa*.

*

A Ἕως οὗ γνῷς. Οὐ παντελῆ δέ σου ἀπώλειαν
κατεψηφίσατο ὁ Θεός· οὐ γὰρ ὀργὴ τὸ πάθος
ἐπάγει, ἀλλὰ κηδεμονία (1)· προμηθούμενος τὴν
ἐπὶ τὸ κρεῖττον μεταβολήν, καὶ πάντων τῶν λυπη-
ρῶν ἀπαλλάττει, ὅταν εἰσαῦθις εἰς τὸ οἰκεῖον
B ἀποκαταστήσει ἀξίωμα. — Ἵνα γνῷς ὡς οὐδὲν τῶν
ἀνθρωπίνων βέβαιον· ἅπαντα δὲ τῆς ἄνωθεν
ἐξουσίας ἤρτηται.

Ἡ βουλή μου ἀρεσάτω σοι. Ἐπειδὴ τοίνυν
φησὶ φειδοῖ ἀλλ' οὐκ ἀγριότητι τὴν δίκην ἠπεί-
C λησεν ὁ Θεός, δέξαι τὴν ἐμὴν συμβουλήν.

Ἐν ἐλεημοσύναις λύτρωσαι. Ἐπειδὴ γὰρ οὐ-
δένα οἶκτον πρὸς τοὺς αἰχμαλώτους λαμβάνων,
ἀφειδῶς ἅπασιν ἐκέχρητο, ὡς καὶ τοὺς ἐν εὐγε-
νείᾳ καὶ πάσῃ τραφέντας ἀφθονίᾳ εἰς οἰκτρὸν κα-
D ταστρέψαι τέλος, ἀναγκαίως ἡμερότητα αὐτῷ
παραινεῖ, ὡς μὲν τῆς φιλανθρωπίας ἐπαινου-
μένης παρὰ Θεῷ, τῆς δὲ ὠμότητος εἰς ὀργὴν κι-
νούσης τὸ Θεῖον (2).

Ἴσως ἔσται μακρόθυμος. Θαυμάσαι ἐστὶ τὸν
E προφήτην, ὅπως οὔτε ἀνέλπιστον αὐτῷ τῶν ἀγα-
θῶν τὴν προσδοκίαν ἐποίησεν, ὡς ἂν μὴ ἀπο-
γνοὺς ὅλως τῆς χείρονος γένοιτο μοίρας· οὔτε
ἀναντίρρητον αὐτῷ τὴν σωτηρίαν ἐνηγγυήσατο,
ἵνα μὴ ῥαθυμότερον ἐργάσηται (3). — Ἀλλ' ἡ μὲν
F τοῦ προφήτου φησὶ συμβουλὴ τοιαύτη, ἀρκοῦσα
τὴν ἐπηρτημένην ἀποκρούσασθαι δίκην, οὐδὲν δὲ
ἄμεινον διετέθη, κρείττων τῆς τοῦ προφήτου
συμβουλῆς γενόμενος· διόπερ καὶ τὰ τῆς ἀπο-
φάσεως εἰς πέρας ἤχθη.

G Ταῦτα πάντα ἔφθασεν· Τὴν μὲν οὖν συμ-
φορὰν φησὶν ἠπείλησεν ὁ Θεός· οὐ μὴν παρὰ πό-
δας ἤγαγε τῶν δεινῶν τὴν πεῖραν, ἀλλ' ἐνιαυ-
τὸν συνεχώρησεν ὅλον, μετανοίας διδοὺς καιρόν·
ὁ δὲ ἐπειδὴ οὐδὲν τῶν ἀπειληθέντων ἐπὶ τῶν
H ἔργων ἑώρα, τὸν παραυτίκα φόβον τῆς διανοίας
ἐκβαλών, τῆς ἴσης εἴχετο ἀλαζονείας τῆς αὐτῷ,
διανοούμενος (4) ἁπάντων τῶν κατορθωμάτων τὸ
μέγεθος· ὅπερ ὁ προφήτης σημαίνειν βουλόμε-
νος, οὐ τοῦ χρόνου μόνον ἐμνημόνευσεν, ἀλλὰ
I τῆς πράξεως καὶ τῶν ῥημάτων, πρὸς σαφεστέ-
ραν διδασκαλίαν τῆς τοῦ βασιλέως διανοίας.

Ἐπὶ τῷ ναῷ τῆς βασιλείας. Ναὸς δὲ βασι-
λείας αὐτὰ καλεῖται τὰ βασίλεια· πάντα δέ
φησι ἐπερῄει τά τε δημόσια οἰκοδομήματα καὶ
K ὅσα πρὸς βασιλικὴν ἔκειτο φαντασίαν.

Οὐχ αὕτη ἐστὶ Βαβυλών; Τουτέστι ποῦ εἰ-
σὶν ἐκεῖναι αἱ ἀποφάσεις αἱ κατ' ἐμοῦ; ποῦ τοῦ
Θεοῦ ἡ τιμωρία; ἰδοὺ γὰρ πέπονθα δεινὸν οὐδέν,
ἀλλὰ τήν τε Βαβυλῶνα ταύτην, τοὺς προτέρους
L τῆς ἀρχῆς ἐξελάσας, ἤγειρα εἰς ὕψος, οὐδὲν
ὑπ' οὐδενὸς πεπονθώς· καὶ τά τε τῆς δυναστείας
ἐβεβαιώθη, καὶ τὰ τῆς δόξης ἐπὶ τὸ μεγαλο-
φυέστερον κεχώρηκεν, οὐδενὸς χρόνου δυνηθέν-
τος ἐλέγξαι τὴν ἰσχύν.

M Ἔτι τοῦ λόγου κ. τ. λ. Ἐπὶ τῇ μεγαληγορίᾳ
εὐθὺς ἡ ταπείνωσις· οὐ τὸ παραχρῆμα ῥημα-

Donec agnoscas. Haud omnimodam tui perniciem decrevit Deus; etenim cura, non ira, calamitatem inflixit. Quare impetrato ad meliorem frugem reditu, molestia omni te expediet, tuaeque dignitati restituet. — Tum demum senties nihil esse in humanis firmum, atque omnia caelesti nutu pendere.

24. *Sententia mea tibi placeat*. Quandoquidem, inquit, clementia non saevitia commotus minatur poenam Deus, consilium meum sectator.

Eleemosynis redime. Quia rex nulla misericordia captivorum fractus, crudeliter iis utebatur, ita ut nobiles etiam atque olim deliciis nutritos miserabili conditione haberet, necessario huic mansuetudinem suadet: propterea quod ut humanitas Deum delectat, sic eundem crudelitas irritare solet.

Fortasse ignoscet. Mirari prophetam licet, qui neque regi futuri boni fiduciam eripuit, ne desperando in peius rueret; neque salutem certam spopondit, ne ille segnius se gereret. — Sed enim eiusmodi consilium prophetae, quum impendentem poenam avertere posset, nihil profecit, rege monitis propheticis obnitente. Quare decretum exitu non caruit.

25. *Haec omnia acciderunt*. Calamitatem Deus interminatus, haud tamen ilico malorum sensum imposuit, sed annum integrum poenitentiae agendae concessit. Ceteroqui rex quum minarum effectum nullum videret, timorem actutum mente expulit, solitaeque superbiae deditus, rerum ab se gestarum magnitudinem animo volvebat. Quod ut significaret propheta, non solum temporis spatium memoravit, verum etiam regis actum et verba, ut mentem eius accuratius nos doceret.

26. *In regni templo*. Regni templum dicuntur ipsa regis palatia. Cuncta, inquit, circumibat aedificia publica, quae regiam magnificentiam spirabant.

27. *Nonne haec est Babylon*. Ubinam illa contra me decreta? ubi poena divinitus immittenda? En mali nihil passus sum; immo hanc Babylonem, prioribus eiectis dominis, decore amplificavi, quin quisquam mihi nocuerit: et cum imperii firmitate, gloriae quoque splendor accrevit; nullaque aetas potentatum meum debilitare poterit.

28. *Adhuc sermo etc.* Iactantiam ilico depressio subsecuta est. Neque id fere praesentis ser-

(1) Bene Hieronymus: *neque enim Deus hominibus sed vitiis irascitur*. (2) Observat Theodoretus misericordiam in homines apte suaderi regi, qui misericordia divina indigebat. (3) Hieronymus: *quum beatus Daniel praescius futurorum, de sententia Dei dubitet, rem temerariam faciunt qui audacter peccatoribus indulgentiam pollicentur*. (4) Cod. διανοίας.

A τος ἕνεκα τοσοῦτον, ὅσον τῆς ὅλης ὑπερηφανίας. ἀλλ' ἵνα δειχθῇ σημεῖον τοῦ ῥήματος, τὸ κολαζόμενον φρόνημα.

Ὁ λόγος συνετελέσθη. Συνέβη γὰρ αὐτῷ πάντα τὰ εἰρημένα. Ὡς γὰρ ἀμεταμέλητα τὰ ὄν-
B τα, εἰσεπράξατο δίκην· εὔδηλον δὲ ὡς ἐπὶ τὸ θηριωδέστερον ἔσχε τοῦ σώματος τὴν κατάστασιν· τοῦ μὲν λοιποῦ σώματος εἰς ἑτέραν ὄψιν καταστάντος, τῶν δὲ τριχῶν ἐπὶ τὸ ἀγριώτερον μεταβληθεισῶν, καὶ τῶν ὀνύχων πέρα τῆς
C ἀνθρωπίνης φύσεως εἰς ἐπίδοσιν ἐλθόντων.

Τοὺς ὀφθαλμούς μου εἰς τὸν οὐρανὸν ἀνέλαβον. Τῆς μανίας φησὶν ἀπαλλαγείς, καὶ τῶν λογισμῶν μοι ἠρεμησάντων, τοῦ σώματος τὸ θηριῶδες ὁρῶν, καὶ τοῖς παροῦσι παρεξετάσας
D τὴν παλαιὰν εὐημερίαν, τήν τε προτέραν τῆς διανοίας νόσον, τήν τε ἄνωθεν κομισθεῖσαν ἀπόφασιν, καὶ τῶν εἰρημένων τὸ πέρας, γνοὺς τὸ ὡς οὐδὲν τῶν ἀνθρωπίνων βέβαιον, εἰς ὕμνους ἐτράπην τοῦ δεσπότου.

E Ὅτι ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος. Καὶ τοῦτο φησὶν ἐποίησα οὐχ ἁπλῶς ἀλλ' ἐξ αὐτῶν τῶν πραγμάτων μαθὼν ὡς ἀΐδιον ἔχει τὴν φύσιν, οὐ δεχόμενος τῆς ἀρχῆς τὴν μεταβολὴν καθάπερ ἄνθρωπος.

F Ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην. Τουτέστιν οὐδὲ ἀπὸ τοῦ χρόνου, καὶ τῶν μεταξὺ γενομένων ἐβλάβην· — Εἰ δὲ δεῖ, φησί, καὶ τὸ ἀληθὲς εἰπεῖν, μείζονα τὴν ἐξουσίαν ἔσχον.

Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησε δεῖπνον. Οὐκ
G εἰρηκὼς τελευτὴν τοῦ Ναβουχοδόνοσορ, ἐπὶ τὸν Βαλτάσαρ μετέρχεται· ἐπεὶ μηδὲ κατὰ τάξιν τῶν βασιλειῶν λέγειν αὐτῷ τὴν διαδοχὴν πρόκειται· τοῦτο γάρ, ὡς προλαβὼν ἔφην, ἱστοριογράφου ἴδιον· ἀλλὰ τὰ θαύματα διδάσκειν
H καὶ τὴν καθόλου πρόνοιαν δεικνύναι τοῦ θεοῦ· ὅσα τοίνυν εἰς τὸ προκείμενον αὐτῷ συμβάλλεται, ταῦτα καὶ διηγεῖται· φαίνεται γὰρ μετὰ τὸν Ναβουχοδονόσορ, ὁ Εὐιλὰτ Μαρωδὰχ βασιλεύσας(1) κατὰ τὴν Ἱερεμίου φωνήν, ὃς καὶ τὸν
I Ἰεχονίαν τῶν δεσμῶν ἀφῆκεν, ἐν τοιούτῳ σχήματι καταλειφθέντα ὑπὸ τοῦ Ναβουχοδονόσορ· λέγει γὰρ οὕτως ὁ προφήτης(2)· ἐν τῷ ἔτει τῷ κγ τοῦ Ναβουχοδονόσορ ἀπῴκισε Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος τῶν ἰουδαίων ψυχὰς ψμε· καὶ
K ἐγένετο ἐν τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει, καὶ ἀποικισθέντος Ἰωακεὶμ βασιλέως Ἰούδα, ἔλαβεν ἔκειρεν(3) Εὐιλὰδ Μαρωδὰχ βασιλεὺς Βαβυλῶνος ἐν τῷ ἐνιαυτῷ ᾧ ἐβασίλευσε τὴν κεφαλὴν Ἰωακεὶμ βασιλέως Ἰούδα· εἰ μὲν οὖν ἱστο-
L ρίαν προέκειτο γράψαι τῷ προφήτῃ, ἀναγκαίως αὐτὸν ἐν τῇ γραφῇ ἐτίθει μετὰ τὸν Ναβουχοδονόσορ· ἑτέρας δὲ οὔσης τῆς προθέσεως παρέλκον ἐνόμισε καὶ ταῦτα, οὐδενὸς ἐπ' αὐτοῦ θαυματουργηθέντος· διὰ τοῦτο οὐδὲ αὐτοῦ τοῦ Βαλ-
M τάσαρ ἀρχὴν τῆς βασιλείας εἰρηκώς, ἐπὶ τὰ πράγματα μετῆλθεν εὐθύς.

monis sed universae superbiae causa; atque ut palam fieret, animi punitum tumorem verba illa informavisse.

30. *Vaticinium expletum est*. Dicta omnia in rem conlata fuerunt: namque ab homine pervicaci poenas Deus repoposcit. Constat autem, corpus ei ad ferinam quodammodo conditionem fuisse conversum: tum ceteris membris diversa specie donatis, tum pilis agrestius commutatis, unguibusque ultra humanum modum excrescentibus.

31. *Oculos ad caelum extuli*. Ab insania, inquit revocatus, pacatisque animi motibus, quum efferam corporis speciem viderem, veteremque fortunam cum praesenti conferrem, simulque reputarem nuperum mentis morbum, sententiam divinitus latam, vaticiniique exitum, et quod humanum nihil sit stabile; ad laudes Domini conversus sum.

Quia potestas eius potestas aeterna. Porro haud temere id egi, sed rerum experientia eruditus, quod Dei aeterna natura sit, neque imperium ritu hominum mutabile obtineat.

In regno meo constitutus sum. Neque lapsu temporis neque interiectis casibus imminutus fui. Quin adeo, ut vere dicam, maiorem potentatum recepi.

1. *Baltasar rex convivium fecit*. Praetermisso Nabuchodonosori obitu, ad Baltasarem transit. Non enim ex ordine propositum ei est regum successionem scribere (id enim ut iam monui historici officium est) sed miracula tradere, atque universalem providentiam Dei demonstrare. Quaecumque igitur proposito suo prosunt, ea edisserit. Ceteroqui notissimum est, Hieremia teste, post Nabuchodonosorum regnavisse Evilatum Marudachum, qui Iechoniam quoque vinculis emisit, in ea servili conditione a Nabuchodonosoro relictum. Quippe ait propheta: anno Nabuchodonosori tertio supra vigesimum transtulit Nabuzardanus coquorum princeps Iudaeorum animas DCCXLV. Contigit autem trigesimo octavo anno ex quo Ioacimus Iudae rex deportatus fuerat, elevavit totonditque huius regis caput Evilatus Marudachus anno primo quo Babylone regnavit. Igitur si historiam scribere propheta decrevisset, necessario Evilatum post Nabuchodonosorum collocavisset. Nunc vero alia spectans, ne hanc quidem perbrevem mentionem fecit, quia nihil sub eo rege mirabile accidit. Quare ne ipsius quidem Baltasaris regis initiis commemoratis, ad rem suam ilico devenit. Cap. V.

(1) Historiam hanc accuratam habes apud Hieronymum comm. ad hunc locum. Sed iam legere praestat etiam Eusebium in parte chronici nova ed. Mediol. lib. I. 10, et alibi. (2) Cap. LII. 30. (3) Ita cod. habet utrumque verbum nulla copula interiecta. Vaticanus ille stationis ita habet, verbis tamen aliquot interiectis; at in alexandrino tantummodo est ἔλαβεν.

A Κατέναντι τῶν χιλίων ὁ οἶνος. Τουτέστι πολλὴ τῶν ἁπάντων ἡ ἀφθονία, μάλιστα δὲ οἴνου· ὥστε τῇ περὶ τὸ πίνειν φιλοτιμίᾳ, ἄχρις ἑσπέρας βαθείας παρατεθῆναι τὸ συμπόσιον.

Καὶ ἠνέχθησαν τὰ σκεύη. Τουτέστιν οὐ μέχρι
B προστάγματος ἔστησε τὴν τόλμαν, ἀλλὰ καὶ εἰς ἔργον ἐξήνεγκε τὸ κέλευσμα.

Καὶ ἔπινον ἐν αὐτοῖς. Ἵνα εἴπῃ οὐ πρὸς ἐπίδειξιν μόνον ἐκόμισε τὰ σκεύη, ἀλλὰ καὶ πρὸς ὕβριν.

C Καὶ ᾔνεσαν τοὺς θεούς. Ἔδειξε τῆς τόλμης τὴν αἰτίαν. ὡς γὰρ τὴν τῶν ξοάνων πάντων βοήθειαν περιγενομένην καὶ αὐτοῦ τοῦ Θεοῦ, ἐκείνοις μὲν ἔγνωκε τὴν χάριν, εἰς δὲ τὸν τῶν ὅλων ἐξύβρισε δεσπότην.

D Ἐν αὐτῇ τῇ ὥρᾳ. Ἀντὶ τοῦ ἔτι διαλεγομένων ἐκείνων καὶ θαυμαζόντων τῶν δαιμόνων τὴν δύναμιν, παρὰ πόδας ὁ ἔλεγχος γινόμενος, μείζονα τῆς παρανομίας παρέχει τὴν αἴσθησιν.

Ἐξῆλθον δάκτυλοι. Ὥσπερ βασιλέως νόμῳ
E τὴν κατὰ τοῦ τυράννου ἐκφέροντος ψῆφον.

Καὶ ὁ βασιλεὺς ἐθεώρει. Ἐκεῖνος γὰρ μόνος ὁρᾷ τὸ παράδοξον· ὡς ἡ ὄνος ἡ ἐπὶ τοῦ Βαλαὰμ τὸν ἄγγελον· ἡ μὲν γὰρ κοινὴ ὄψις εὐπαραμύθητον ἐποίει τὸν φόβον, ἄλλου ἄλλως ἐξηγη-
F μένου τὸ ξένον τῆς ὄψεως· τὸ δὲ αὐτὸν μόνον ὁρᾶν, μάρτυρά τε εὐθὺς τῶν λόγων ἔχειν μηδένα, μεῖζόν τι τὸ δέος εἰργάζετο, καὶ τοῖς λοιποῖς μαινομένου δόξαν παρεῖχεν· ὕστερον δὲ καὶ πάντες ἔγνωσαν, εἰς ἀπορίαν τὸ κοινὸν καὶ
G παιδαγωγίαν Βαβυλωνίων· τοῦτο γὰρ οἶμαι καὶ σημᾶναι βουλόμενος ὁ συγγραφεύς, οὐκ εἶπεν ὅτι βασιλεὺς εἶδεν, ἀλλ' ὅτι ἐώρα, τὸ παρατεταμένον σημαίνων τοῦ χρόνου· καὶ ὡς τὸν μὲν πρῶτον ἐξεπλάγη ὁ βασιλεύς· τὸ αὐτὸ δὲ πάντες
H ὕστερον πεπόνθασιν· ὥστε μὴ φαντασίαν τινὰ νομισθῆναι, καὶ ἀπάτην παρά τινος τεχνωμένην. — Ἡ γὰρ ἐπίτασις τοῦ δέους ἠλλοίωσε τὸν χρῶτα. — Τουτέστιν οὐκ εἶχε τί βουλεύσεται περὶ τῶν φαινομένων.

I Καὶ γόνατα αὐτοῦ συνεκροτοῦντο. Δείκνυσιν ὡς οὐ καθήμενος ἢ κατακεκλιμένος ἄνετος διῆγεν, ἀλλ' ὑπὸ τοῦ δέους καθάπερ ὑπὸ φρίκης τινὸς συνεχόμενος ὅλος ἐσείετο.

Καὶ ἐβόησεν ὁ βασιλεὺς ἐν ἰσχύϊ. Καλῶς
K τὸ ἐν ἰσχύϊ· ἔδειξε γὰρ τῆς ψυχῆς τὸν θόρυβον.

Καὶ ἡ βασίλισσα εἰσῆλθεν (1). Παρὰ πᾶσαν συνήθειαν φαίνεται ἡ βασίλισσα εἰσπηδήσασα κατὰ μέσον τοῦ συμποσίου· ὡς γὰρ κοινωνοῦσα τῆς
L συμφορᾶς, τῆς συνήθους εὐκοσμίας ἀμελήσασα, ὑπ' ὄψιν τῶν πάντων εἰσῄει, κατὰ νοῦν λαβομένη τὰ κατὰ τὸν προφήτην.

Μὴ ταρασσέτωσάν σε οἱ διαλογισμοί σου. Μὴ καταπέσῃς φησὶν ὑπὸ τοῦ δέους, μηδὲ εἰς
M ἀπορίαν καθίστασο, εἰ τούτους ἀγνοοῦντας εὕρῃς τὴν γραφήν.

Propinabatur vinum mille convivis. Nempe permulta erat epularum copia, vinique potissimum. Hinc bibendi certamine ad multam noctem convivium protrahebatur.

3. *Allata sunt vasa*. Quod ut fieret, non solum rex iubere ausus est, sed reapse exsequendum curavit.

Bibebantque ex eis. Id est non iactantiae solius causa, sed etiam contumeliae, vasa illa arcessiverat.

4. *Laudabantque deos*. Patefecit audaciae suae causam. Quasi enim idolorum vires Deum ipsum debellavissent, illis quidem gratiam habebat, communem autem dominum convicio dehonestabat.

5. *Eadem hora*. Fabulantibus convivis daemonumque vires concelebrantibus, improvisa damnatio graviorem sceleris sensum effecit.

Prodierunt digiti. Regiae legis instar de tyranno sententiam ferentis

Rex spectabat. Videtur unus miraculum id vidisse; veluti asina Balaami angelum: et quidem si communis fuisset visio leviorem incussisset timorem, aliis alio novitatem ostenti torquentibus. Nunc quum ipse spectaret unus, neminemque sermonis illius testem haberet, formido augebatur, iamque ceteris insani cuiusdam speciem exhibebat. Res demum vulgo cognita ad consternationem atque modestiam Babylonios adduxit. Idcirco autem scriptor non ait, rex vidit, sed spectabat, nempe ut temporis spatium significet; et quod primo quidem rex perterritus fuerit; tum reliquis idem acciderit: ne forte de phantasmate aliquo aut de fraude ignoti auctoris cogitemus. — Formidinis vis colorem immutavit. — De ostentis illis quid statueret nesciebat.

6. *Genua eius inter se collidebantur*. Nempe haud sedens neque reclinatus segniter se habebat, verum formidine, veluti horrore quodam, totis artubus contremiscebat.

7. *Exclamavit rex vehementer*. Bene ait vehementer, ut animi tumultum significet.

10. *Ingressa est regina*. Praeter omnem consuetudinem videtur in medium convivium venisse regina. Nam veluti calamitatis particeps, neglecto decore solito, in publicam concionem venit, prophetae opportunitatem animo versans.

Ne te conturbent cogitationes tuae. Ne metu concidas, neque animo consterneris, etiamsi scripturae ignaros Chaldaeos compereris.

---

(1) Docet Hieronymus: *hanc Iosephus aviam Baltasaris, Origenes matrem scribunt. Evigilet ergo Porphyrius, qui eam Baltasaris somniatur uxorem, et illudit plus scire quam maritum*. Nimirum hinc cognoscimus, Porphyrium qui universo Danielis vaticinio illusit, hinc quoque cavillandi ansam coepisse, quod regina (quam ipse putabat uxorem) introducatur marito consiliorum auctrix.

A Ἔστιν ἀνήρ. Οὐκοῦν ἀνέλπιστός φησιν ἡ τῶν
ἀπορουμένων λύσις· ἕτερος γὰρ ἤδη πέφηνεν
ἀμείνων τούτων, ὃς οὐ κατὰ συνήθειαν εἴω-
θε λέγειν τὰ τοιαῦτα, ἀλλὰ κατὰ χάριν.

Πορφύραν ἐνδύσῃ. Πορφύραν ἐνδύσειν ἐπαγ-
B γέλλεται, τουτέστι κοινωνεῖν τῆς βασιλείας·
περιαυχένιον δὲ περιτιθέναι χρυσοῦν σύμβολον
τῆς ἀρχῆς· τρίτον δὲ ἔσεσθαι τῆς βασιλείας
ὑπισχνεῖται, τουτέστι μετ' αὐτὸν καὶ τὴν βα-
σιλίδα.

C Τὰ δόματά σου σοὶ ἔστω. Ἄμισθον ποιήσο-
μαι τῶν ζητημάτων τὴν λύσιν, ἅπαντα μετ'
ἀκριβείας λέγων.

Ὁ θεὸς ὕψιστος τὴν βασιλείαν ἔδωκε Ναβουχο-
δονόσορ. Βασιλείαν μὲν καλέσας αὐτὴν τὴν ἀρ-
D χὴν, μεγαλωσύνην δὲ τὸ περίβλεπτον τῆς ἐξουσίας,
τιμὴν δὲ τὴν παρὰ πάντων προσκύνησιν, δόξαν
δὲ τοῦ πλούτου τὴν περιουσίαν, καὶ τὴν παρὰ πάν-
των εὐφημίαν· τῷ Θεῷ δὲ ταύτην ἀνέθηκεν, δει-
κνὺς ὡς οὐδὲ προγονικοῖς, ἀλλ' οἰκείοις καὶ
E τοῖς παρὰ Θεοῦ δοθεῖσι κατορθώμασιν ἐκεῖνος
ἐσεμνύνετο.

Πάντες οἱ λαοὶ, φυλαί. Οὐ τῆς οἰκείας πα-
τρίδος φησὶ μόνον κατεῖχεν, ἀλλὰ καὶ κατὰ τῶν
ἄλλων ἐθνῶν ἐξέτεινε τὴν ἀρχήν· καὶ εἶκον
F ἅπαντες τοῖς αὐτοῦ μετὰ δέους προστάγμασιν,
οὐδὲ τυραννικὸν οὐδενὸς βουλευσαμένου πώποτε.
– Πάντα φησὶ μετὰ ἐξουσίας ἔπραττεν.

Καὶ ὅτε ὑψώθη ἡ καρδία αὐτοῦ. Ἀλλ' ὅμως
φησὶν ὁ εἰς ἀκρότατον τῆς δυναστείας ἐλθὼν,
G ἐπειδὴ κατὰ τοῦ Θεοῦ τῶν ὅλων ἠλαζονεύσατο,
ἀποφάσει θείᾳ μετεσκευάσθη τῆς βασιλείας.

Σὺ ὁ υἱὸς αὐτοῦ Βαλτάσαρ (1). Ὁ μὲν γὰρ εἰ καὶ
τοῖς λοιποῖς μεγαλοφρονῶν ὤφθη, τὴν γοῦν περὶ
τὰ σκεύη εὐλάβειαν ἀπεδείξατο· σὺ δὲ τῆς
H ἀλαζονείας οὐ κατέλιπες ἐκείνῳ ὑπερβολήν· καὶ
κατὰ τούτων ἐκ τῆς εἰς Θεὸν παροινίας τολμη-
ρῶς ἐξέτεινας τὰς χεῖρας, καὶ τῆς ψυχῆς ἐλέγ-
ξας τὸ φύσημα ἐπὶ τὰ γεγονότα χώρει.

Μανὴ, ἐμέτρησεν. Τουτέστιν ὥσπερ μέτρῳ
I τινὶ, ἄχρι τοῦ παρόντος χρόνου, τὴν σὴν ζωὴν
περιώρισεν· ὥσπερ γὰρ παρὰ τῷ Ζαχαρίᾳ (2) μέ-
τρον ἐθεάσατο μολύβδου, ἵνα μάθῃ τὸ τέλος
τῆς περὶ τοὺς ἁμαρτάνοντας μακροθυμίας, οὕ-
τω καὶ νῦν ὥσπερ μέτρῳ τινὶ περιωρίσθαι λέγει
K τὴν κρατούντων τὴν δυναστείαν· τὸ γὰρ μανὴ
μέτρον σημαίνει.

Θεκὲλ, ἐστάθη ἐν ζυγῷ. Ἔστι μὲν οὖν τὸ
θεκὲλ σταθμός· βούλεται δὲ δεῖξαι ὡς οὐκ ἄκ-
ριτον τὴν κατ' αὐτοῦ ψῆφον ἐξήνεγκεν ὁ Θεὸς,
L τρόπον δέ τινα ἀντιταλαντευθεὶς ὁ χρόνος τῆς
σῆς ἀρχῆς ταῖς πράξεσιν, ἔχετω καθελκυσθεὶς
τῷ βάρει τῶν ἁμαρτημάτων, ἵνα εἴπῃ ὡς διὰ
τὰς παρανομίας οὐκ ἄξιος ὤφθης τὴν ἑαυτοῦ πα-
M ρατεῖναι βασιλείαν.

Φαρὲς, διῄρηται. Σημαίνει μὲν οὖν τὸ Φα-
ρὲς διαίρεσιν· λέγει δὲ ὡς οὐ νῦν δίκην τῆς

11. *Est vir*. Non est desperanda arcani explanatio Alius enim occurrit his melior interpres, qui non consuetudine quadam sed facultate vera haec edisserat.

16. *Purpura ornaberis*. Purpura indutum iri spondet, id est regni fore participem: monili item aureo donatum iri, imperii symbolo. Tertium in regno fore recipit, nempe post se atque reginam.

17. *Tua munera tibi habe*. Gratuitam exsequar arcanorum explicationem; et quidem singula sedulo persequar.

18. *Deus altissimus regnum Nabuchodonosoro dedit*. Regnum appellat, ipsum imperium; magnificentiam, potentiae splendorem; honorem, mortalium omnium obsequium; gloriam, opum copiam laudesque ab omnibus praedicatas. Regnum Deo adscribit, ut ostendat Nabuchodonosorum haud maiorum sed suis rebus Deo opitulante gestis inclaruisse.

19. *Cuncti populi, tribus*. Non suae tantummodo patriae sceptrum tenuit, verum etiam ceteras gentes ditione complexus est: omnes eius nutibus non sine metu parebant, neque quisquam adfectare tyrannidem ausus est. – Cuncta, inquit, arbitrio suo moderatus est.

20. *Cumque eius animus intumuisset*. Hic tamen, inquit, ad potentatus apicem delatus, postquam adversus universalem Deum superbe se egit, caelesti sententia regno pulsus est.

22. *Tu filius eius Baltasar*. Ille superbus ceteroqui visus, vasorum tamen reverentiam prae se tulit: tu vero superbiae eiusdem minime cedens, his quoque vesano in Deum animo manum audaciter intulisti; facinus adgressus quod tuum animi tumorem satis coarguit.

26. *Mane, dimensum est*. Veluti mensura quadam vitam tuam usque ad praesens tempus finivit. Nam sicuti apud Zachariam pondus plumbeum cernebatur, ut ex eo fines condonandorum scelerum cognoscerentur; ita nunc certo modulo circumscriptam ait regum dominationem. Mane enim mensuram denotat.

27. *Thecel in lance appensum est*. Thecel stateram significat. Porro ostendit, haud temere e Deo sententiam de ipso latam; sed eius imperantis tempus aequilibratum quodammodo cum eiusdem actibus, pondere peccatorum depressum subsedisse: quibus verbis declarat, propter sua scelera indignum esse qui regnum diutius retineat.

28. *Phares, divisum est*. Sane phares divisionem significat. Ait autem neque eum ilico

(1) Hieronymus: *patrem Baltasaris vocat Nabuchodonosor, ut supra diximus, proavum eius, secundum consuetudinem scripturarum*. Cum Hieronymo consentientem Polychronium paulo ante vidimus. (2) Cap. V. 7.

A κατὰ τοῦ Θεοῦ τόλμης δώσεις, ἀλλ' οὐδὲ παραπέμψεις εἰς ἐγγόνους τὴν ἀρχήν. τῇ τῶν παίδων εὐδοξίᾳ τιμώμενος. Ἄχρι τούτου ἔστη ὁ προφήτης (1), οὐκέτι δὲ καὶ συμβουλὴν εἰσηγήσατο ὡς ἐπὶ τοῦ Ναβουχοδονόσορ, ἀκολουθῶν καθόλου τῇ θείᾳ γνώμῃ· ἐπ' ἐκείνου μὲν ἀπὸ τοῦ
B ἐνυπνίου ἑώρα ἐλπίδα τινὰ προσοῦσαν τῷ βασιλεῖ· καὶ ἄλλως δὲ αὐτὸν εὐλαβῶς ᾔδει περὶ τοὺς θείους διακείμενον χρησμούς· ἐπί τε γὰρ τῆς τοῦ ἀνδριάντος ἑρμηνείας, οὐ μόνον τοῖς λοι-
C ποῖς ἐτίμησεν, ἀλλὰ καὶ προσκυνήσεως ἄξιον ἡγήσατο· καὶ ἐπὶ τοῦ δένδρου· πρὸς δὲ τοῖς ῥηθεῖσι, καὶ τῶν ἐπὶ τῆς βασιλείας ἡγεμόνας ἀνέδειξε τοὺς δικαίους· διόπερ ἀγαπῶν τὸν ἄνδρα, καὶ χρηστὰς αὐτῷ τὰς ἐλπίδας ὑποτείνων, πρὸς
D τὴν τῶν ἀγαθῶν προέτρεπε πρᾶξιν· ἐπὶ δὲ τούτου, οὐ μόνον ἀγνώμονα περὶ τὰς θείας ᾔδει δωρεάς, ἀλλὰ καὶ παντελῶς τῆς χείρονος γέγονε μοίρας· πρὸς τοίνυν ἄνδρα οὔτε τι χρηστὸν κεκτημένον, οὔτε τὴν ἐκ τῶν πραγμάτων δεχό-
E μενον διδασκαλίαν, καὶ διὰ ταῦτα εἰς ὡμολογημένην ἀπόφασιν πεπτωκότα, περιττὸν ἔκρινε περὶ τῶν προσηκόντων διαλέγεσθαι.

Ἐνέδυσαν τὸν Δανιὴλ πορφύραν. Ἀπορήσειε δ' ἄν τις ὅπως ἢ πότε ταῦτα ἐπράχθησαν· οἶ-
F μαι τοίνυν τὴν μὲν ἑρμηνείαν τοῦ γράμματος ἔτι τῆς νυκτὸς οὔσης εἰρῆσθαι παρὰ τοῦ Δανιήλ· καὶ τῇ πορφύρᾳ καὶ τῷ περιαυχενίῳ παραυτίκα τετιμῆσθαι, παρεστώσης τῆς στρατείας καὶ τῶν ἐν τέλει πάντων· τὸ δὲ κήρυγμα οὐ γεγενῆσθαι,
G ἀλλ' ἐν γράμμασι διατετυπῶσθαι μόνον· τὸ δ' ὅσον οὐδέπω ἐσόμενον, μᾶλλον δὲ καὶ πεπληρωμένον τῇ κρίσει, ὡς γεγονὸς ὁ ἱστοριογράφος τέθεικεν.

Ἐν αὐτῇ τῇ νυκτὶ ἀνῃρέθη (2). Ἐλεγχθείσης
H γὰρ τῆς μαγγανείας τῶν ἐν Βαβυλῶνι σοφῶν, καὶ τοῦ δεσπότου κηρυχθέντος, κατελάμβανε τὸν παράνομον ἡ δίκη.

Καὶ Δαρεῖος ὁ μῆδος παρέλαβε τὴν βασιλείαν. Ζητεῖται πῶς ἐν αὐτῷ τῷ καιρῷ, καὶ τὰς γρα-
I φὰς τὴν ἑρμηνείαν εἶπεν ὁ Δανιήλ, καὶ Βαβυλωνίων ἀφῃρέθη ἡ βασιλεία, καὶ μῆδοι κατέσχον τὴν ἐκείνων ἀρχήν· καὶ πρὸς τούτῳ πῶς εἰς μήδους φησὶ καὶ πέρσας ὁμοῦ τὴν ἀρχὴν μετατεθείσεσθαι; φησὶν ἐν τῇ τῆς γραφῆς ἑρμη-
K νείᾳ Δαρεῖον τὸν μῆδον μόνον παρειληφέναι τὴν ἀρχήν· ἐπήγαγε· τινὲς μὲν οὖν ἔφασαν ὡς Δαρεῖος ὕπαρχος ὢν τοῦ Βαλτάσαρ, εὐσεβὴς δὲ ὢν παρὰ πάντας τοὺς λοιπούς, καὶ σφόδρα γνησίως πρὸς τοὺς εὐσεβεῖς τῶν ἰουδαίων διακείμενος,
L ἐπείθετο ἀληθῆ εἶναι τὰ παρὰ τῷ Δανιὴλ εἰρημένα· ὡς οὖν ταῦτα ὁ προφήτης ἀπεφήνατο, οὐκ ἐνδοιάσας περὶ τῶν εἰρημένων, ἅπαντας ἀθρόως ἐκίνησε κατὰ τοῦ βασιλέως· καὶ τὸν μὲν τῆς ἀρχῆς ἐξήλασεν, αὐτὸς δὲ τὴν βασιλείαν
M κατέσχεν, εἰς μήδους τὴν ἀρχὴν μεταστήσας.

poenas impietatis daturum, neque tamen sceptrum ad nepotes transmissurum, ita ut liberorum gloria floreat. Hactenus propheta; neque admonitionem, ceu quondam apud Nabuchodonosorum, adiecit: prorsus conspirans cum divino decreto. Etenim priori regi spem salutis aliquam superesse ex somnio augurabatur. Praeter quam quod reverentem illum divinorum oraculorum sciebat. Nam et ob statuae interpretationem praeter honores alios, dignum quoque adoratione prophetam iudicavit. Item in negotio arboris. Insuper iustos illos adulescentulos regno administrando praefecit. Quare hominis amore commotus, bonam ei spem obtulit, atque ad recte agendum adhortatus est. At vero alterum hunc, non solum adversus divina munera ingratum noverat, verum sine paenitentia scelestum. Apud hominem igitur nulla re bona praeditum, neque rerum experientia erudiendum, ideoque certa damnatione perculsum, supervacuum putavit de officio disserere.

29. *Induerunt Danielem purpura*. Ambiget aliquis quomodo aut quando haec acta sint. Ego quidem existimo, scripturae interpretationem a Daniele fuisse recitatam nocturno adhuc tempore: atque ilico purpura monilique fuisse insignitum praesente exercitu cunctisque magistratuum ordinibus. Attamen praeconium non esse factum, sed litteris tantummodo commendatum. Historicus autem rem indubitanter futuram, immo vero iam decreto firmatam, ceu iam ad exitum deductam scripsit.

Eadem nocte interfectus est. Patefactis babyloniorum sapientium praestigiis, debitaque Domino reddita laude, sua scelestum poena corripuit.

31. *Darius medus regnum occupavit*. Quaeritur quomodo eodem tempore, et interpretationem fecerit Daniel, et Babyloniorum regnum deletum fuerit, et Medi horum imperium exceperint? Praeterea quomodo ad Medos simul ac Persas dominatio translata sit? Ait (Polychronius) interpres unum Darium medum fuisse imperii successorem. Addit: nonnulli vero aiunt Darium praefectum fuisse sub Baltasare; qui quum religioni prae ceteris addictus esset, ac singulari Iudaeos pios benivolentia prosequeretur: non dubitavit, quominus Danielis dictis fidem adiungeret. Propheta igitur sic locuto, Darius certus oraculorum, turbis confertim contra regem concitatis, hoc deiecto, regnum ipse occupavit, atque ita imperium ad Medos transtulit.

(1) De tribus verbis *mane*, *thecel*, *phares* ingeniosam et doctam dissertationem ante hos annos vulgavit vir cl. Titus Ciconius. Sicuti de voce עיר p.114 memorata erudite scripsit cl. de Magistris in sua Danielis editione.
2. *Vidi in visione*. Vidi, inquit, dum domi meae versarer quam in persica regione exstruxeram. Aelam progenitores Persarum. Hinc Persae utuntur etiam Elymaeorum nomine. Nec sine causa videtur locum, regionem, domumque memoravisse. Et paucis interiectis. Solitarius igitur propheta, et pius, et praesenti calamitate maerens, spectator fuit prioris visionis, qua didicit fore ut gentiles sui extrema mala paterentur. Quae dum cerneret, rogabat rursus ut his posteriora simul cognosceret; et quonam rei publicae statu haec essent perpessuri. – Rerum conditionem accurate didici. Nam *vidi* dicit pro apprime cognovi. Neque per mentis phantasiam futura vidi, sed Deo revelante.

Sedebam ad Oubal. Videbar, inquit, ad praetereuntis aquae ripam consistere. Tum repente spectans procul cernebam circa flumen arietem figurae insolitae, duobus cornibus praeditum, quam natura arietis fert maioribus. Innuit vero Medorum ac Persarum imperium.

3. *Aliud alio cornu excelsius*. Magnitudine imparia bellum inter se gerebant. Et alterum quidem perfectae magnitudinis erat, al-

(1) Mira sunt quae Iosephus antiq. x. 12. narrat de huius danielici aedificii magnificentia ac firmitate, quod suis adhuc temporibus inlibatum mansisse ait. Eam descriptionem a Iosepho mutuatus est Hieronymus. (2) Cod. ἀλλά. (3) Recte Polychronius flumen heic intelligit. Nam hebraicam אובל אולי commode explicatur *fluvius Eulaeus*. Ceteroqui veterum interpretum varietatem exhibet heic Hieronymus; quibus addit Ephraemus *columnam*.

A ἀπὸ μικροῦ ἀρξάμενον ἐγίνετο μεῖζον· μῆδοι μὲν γὰρ καὶ πέρσαι ἐδόκουν κατὰ ταυτὸν ἄρχειν, Δαρείου καὶ Κύρου συγγενῶν ὄντων, καὶ οὐδεμίαν πρὸς ἀλλήλους ἐσχηκότων μάχην· ὁ δὲ Κύρος καὶ μετὰ Δαρείου τελευτὴν βασιλεύων, μείζονα
B τὴν ἀρχὴν κατεκτήσατο, πρὸς τῇ περσῶν, καὶ τὴν μήδων λαβών.

Κριὸν κερατίζοντα(1). Οὐδὲ ἐνταῦθα διῃρημένως περὶ τῶν κεράτων διαλέγεται, ἀλλὰ κοινῶς περὶ τοῦ κριοῦ· ἐπειδὴ γὰρ κατὰ τιμὴν ἦσαν
C διῃρημένοι, κατά τι δὲ συνημμένοι ὡς εἴρηται· μηνύει δὲ νῦν τὴν περσικὴν ἀρχήν· φαίνεται γὰρ ὅ τε Κύρος ἁπάντων κατεσχηκὼς, καὶ τοῖς μετ᾽ αὐτὸν ἄμαχον τὴν βασιλείαν παραδούς.

D Πάντα τὰ θηρία οὐ στήσεται. Ἀντὶ τοῦ οὐδὲν τῶν ἐθνῶν ἰσόρροπον αὐτῷ ἕξει τὴν δύναμιν. — Τουτέστι κρατήσει βεβαίως, οὔτε κατὰ πρώτην προσβολὴν ἀντιστῆναί τινες ἰσχύοντος.

Ἐποίησε κατὰ τὸ θέλημα αὐτοῦ. Τουτέστιν
E ἐν οὐδενὶ ἥμαρτεν, ἀλλ᾽ εἰς πλεῖστον ἦλθε δόξης, τοσούτους ἑλὼν ὅσους αὐτῷ ἐπελθεῖν συνέβη· τῆς γὰρ παρὰ θεοῦ συμμαχίας ἀξιωθεὶς, ἀπονητὶ τὰς νίκας ἤρατο, καὶ ὑπὸ μίαν βασιλείαν τίθησι τὸν μῆδον καὶ τὸν πέρσην· ὃν
F καὶ μείζονα ὁρᾷ ἐπιγινόμενον τῷ μήδῳ· οὗτος δὲ ἦν Κύρος μετὰ Ἀστυάγην τὸν πάππον ἀναστὰς καὶ ὑπεραυξηθείς· Δαρεῖον δὲ τὸν σὺν αὐτῷ κρατήσαντα τῶν βαβυλωνίων, ἕλληνες καλοῦσι Κυαξάρην θεῖον αὐτοῦ.

G Καὶ ἐγὼ ἤμην συνιών. Τουτέστι ταῦτα θεωρῶν ἀπεσκόπουν τί ποτε ἄρα βούλεται πάλιν ἡ ὄψις· ἀπὸ τῶν προτέρων καὶ περὶ τῶν παρόντων μειζόνων ἀπορῶν.

Ἰδοὺ τράγος αἰγῶν. Μηνύει μὲν ἐνταῦθα
H τὴν μακεδονικὴν ἀρχήν· ἀπὸ λιβὸς δὲ, ἵνα εἴπῃ ἀπὸ τοῦ νότου· νοτιωτέρα γὰρ ἡ Μακεδονία (2).

Τῷ τράγῳ κέρας θεωρητόν. Τὸν Ἀλέξανδρον μηνύει· τὸ δὲ θεωρητὸν ἀντὶ τοῦ ὑψηλὸν καὶ πε-
I ριφανές· τράγος ὅτι νέος ὁ μακεδὼν Ἀλέξανδρος(3) ἀφ᾽ οὗ καὶ ἦλθεν εἰς τὸ καθολικὸν ἡ βασιλεία ἡ μακεδονική· ὃν καὶ δηλοῖ κέρας λέγων θεωρητὸν μεταξὺ τῶν ὀφθαλμῶν αὐτοῦ, ἐπιφανῆ βασιλέα μόνον, βασιλεύοντα ἐν τῇ μα-
K κεδονικῇ βασιλείᾳ, ὡς ἓν μόνον τὸ κέρας.

Ἔδραμε πρὸς αὐτὸν ἐν ὁρμῇ. Οὐ γὰρ τοῦ πέρσου εἰς τὴν Μακεδονίαν γενομένου τὴν νίκην ἤρατο, ἀλλ᾽ αὐτὸς τοῖς τοῦ πέρσου ἐπιβὰς τόποις καθεῖλε τὸν Δαρεῖον πολεμοῦντα.

L Εἶδον αὐτὸν φθάνοντα ἕως τοῦ κριοῦ. Ἐπειδὴ γὰρ ὡς ἀμυνόμενος αὐτὸν, στρατείαν συναγαγὼν, ὑπήντησε κατὰ Κιλικίαν, πλείονι τῇ ὁρμῇ χρησάμενος καὶ σφοδρῷ τῷ θυμῷ πολλοὺς μὲν τῆς οἰκείας στρατείας κατέσφαξε· τοὺς δὲ
M οἰκειοτάτους ἑλὼν, εἰς φυγὴν ἔτρεψε τὸν Δαρεῖον.

terum parvis initiis crevit in maius. Medi et Persae videbantur coniunctim imperare, quia Darius Cyrusque, cognati quum essent, nullo inter se certamine contendebant. Exin Cyrus Dario mortuo superstes rex latiore imperio auctus fuit, Media ad Persidem adiuncta.

4. *Arietem cornu petentem*. Ne heic quidem divisim de cornibus loquitur, sed de ariete coniunctim; nam etsi honore discreti erant, alia tamen ratione coniuncti, ut dixi. De persico imperio nunc sermo est. Notissimum quippe est Cyrum omnibus superatis firmissimum regnum posteris suis reliquisse.

Nullae belnae resistent. Nulla gens pares huic vires habebit. – Fortiter vincet, nemine vel primos eius impetus sustinente.

Fecit pro libito suo. Numquam scopo aberravit, summamque in gloriam venit, totidem devictis, quot eum aggressi fuerant. Divina ope dignanter adiutus, facile victor evasit, Medosque ac Persas una ditione complexus est. Porro quem propheta videt maiorem Medo effectum, is est Cyrus qui post avum Astyagem emersit auctusque est. Darium autem qui cum Cyro Babylonios devicit, Graeci Cyaxarem appellant, Cyri ipsius avunculum.

5. *Et ego sedebam contemplans*. Haec cernens considerabam quidnam haec rursus visio sibi vellet: tum superioribus rebus tum praesentibus maioris molis attonitus.

Ecce hircus caprarum. Macedonicum iam imperium innuit. Ab africo autem dicit, quia australis est Macedonia.

Hirci cornu spectabile. Alexandrum denotat. Cornu dicit spectabile pro excelso et insigni. Hircus dicitur, quia iuvenis erat macedo Alexander, a quo regnum macedonicum quaqua versus diffusum est. Hunc designat dum ait cornu spectabile inter oculos eius, regem singulariter illustrem, regni macedonici caput, quod erat cornu unicum.

6. *In eum irruit*. Non enim de Persa Macedoniam ingresso victoriam retulit, verum ipse persicam ditionem adortus Darium bello superavit.

7. *Videbam ipsum ad arietem usque irruentem*. Quum enim Darius Alexandrum repulsurus contracto exercitu in Cilicia occurrisset, maiore impetu vehementique animo adgrediens eum Alexander, magnam copiarum eius caedem edidit: captisque eiusdem familiarissimis, Darium vertit in fugam.

(1) Sapienter monet Hieronymus non heic poni *ipsum arietem, Cyrum videlicet vel Darium, sed eiusdem regni arietem, id est Darium alterum, qui ultimus potentiae persicae rex fuit, et quem superavit Alexander Philippi filius rex Macedonum*. (2) Nempe comparata cum Hellesponto. (3) Addit Theodoretus hircum dici Alexandrum, quia velocior ariete hircus est, idest Dario Alexander.

A Συνέτριψε ἀμφότερα τὰ κέρατα αὐτοῦ. Τούς
τε γὰρ στρατηγοὺς αὐτοῦ ἤδη πρότερον ἐπὶ τὸν
Ἑλλήσποντον ἀπέβαλεν ἐν τῇ πρὸς Ἀλέξανδρον
μάχῃ, καὶ νῦν τὴν στρατείαν ἀπολέσας, τῆς
βασιλείας ἐξέπεσε· τὸ οὖν οὐκ ἦν ἰσχὺς τουτ-
B έστιν οὐδὲ ἀναμαχέσασθαι τὴν ἧτταν ἠδυνή-
θη· — Ἵνα εἴπῃ τέλεον ἐτροπώσατο· τουτέστιν
κατὰ πολλὴν αὐτὸν ἐξουσίαν κατέσχεν. — Τουτ-
έστιν οὐδεμία συμμαχία ἤρκεσε πρὸς ἀντίστα-
σιν τοῦ μακεδόνος· διδάσκει δὲ ταῦτα Ἰώση-
C πος κατὰ τὴν δεκάτην βίβλον τῆς ἀρχαιολο-
γίας (1).

Συνετρίβη τὸ κέρας αὐτοῦ. Ἵνα εἴπῃ ἁπάν-
των κατεσχηκὼς ὁ Ἀλέξανδρος κατέστρεψε
τὸν βίον.

D Ἀνέβη ἕτερα κέρατα τέσσαρα. Τοὺς μετ' αὐ-
τὸν βασιλεύσαντας λέγει· μετὰ γὰρ τὸν τού-
του θάνατον Πτολεμαῖος μὲν κατέσχεν Αἰγύ-
πτου· Συρίας δὲ καὶ Βαβυλῶνος Σέλευκος· τῆς
δὲ Ἀσίας καὶ Ἑλλησπόντου Ἀντίγονος (2)· Κάσαν-
E δρος δὲ Μακεδονίας.

Ἐκ τοῦ ἑνὸς αὐτῶν. Τὸν Ἀντίοχον σημαίνει.

Πρὸς τὸν νότον κ.τ.λ. Νότον τὴν Αἴγυπτον ἐκά-
λεσε, ἀνατολὴν δὲ πέρσας, οὓς καὶ ὑποσπόνδους
πεποίηκε· δύναμιν δὲ ἰουδαίους, ὡς ἰσχύσαν-
F τας πολλάκις τῇ τοῦ θεοῦ συμμαχίᾳ.

Ἐμεγαλύνθη ἕως τῆς δυνάμεως τοῦ οὐρανοῦ.
Τουτέστι κατὰ θεοῦ ἠλαζονεύσατο· προσέθηκε
γὰρ τὸ ἕως τοῦ οὐρανοῦ, ἵνα σημάνῃ τῆς ὑπερο-ψίας
τὸν ὄγκον.

G Ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τῆς δυνάμεως τοῦ
οὐρανοῦ· Ὁ σύρος τὸ, ἀπὸ τῆς δυνάμεως, οὐκ
ἔχει (3)· ὃ δὲ βούλεται εἰπεῖν τοῦτό ἐστι· με-
τὰ τὸ κρατῆσαι αὐτὸν πολλῶν, βλασφήμα τε
ῥήματα κατὰ τοῦ θεοῦ φθέγξασθαι, πεσεῖται
H ὑπὸ τῶν Μακκαβαίων· τούτους γὰρ ἀστέρας
ἐκάλεσε διὰ τὴν ἀρετήν· τὸ δὲ συνεπάτησαν
αὐτὸν, διδάσκει τὴν κατὰ κράτος νίκην.

Ἕως οὗ ἀρχιστράτηγος. Ἀρχιστράτηγον κα-
λεῖ τὸν ἐφεστῶτα τῷ ἔθνει ἄγγελον.

I Θυσία ἐταράχθη. Τουτέστιν ἐκ τῆς τούτου
αἰτίας, ἡ περὶ τὴν ἱερωσύνην εὐταξία ἀφανισ-
θήσεται, πλείστων εἰς παρανομίαν ἐκκλινάντων.

Κατευωδώθη· Διαπράξεται δὲ ταῦτα ἐπὶ
πλεῖστον, τοῦ θεοῦ συγχωροῦντος.

K Τὸ ἅγιον ἐρημωθήσεται. Εἰς τοσαύτην δὲ
παρανομίαν ἥξει, ὥστε καὶ τοῦ θεοῦ τὸν ναὸν μο-
λύνειν ταῖς εἰδωλικαῖς θυσίαις· Διὸς γὰρ
ὀλυμπίου ἠπείλησεν (4) ἱερὸν ποιήσειν τὸν τοῦ θεοῦ
ναόν.

L Ἐδόθη ἐπὶ τὴν θυσίαν ἁμαρτία. Τουτέστι
ἔνθα ἔδει τὸ θεῖον θεραπεύεσθαι, ἐκεῖ τοῖς
εἰδώλοις τὰς τιμὰς προσέφερον. — Συνελὼν δὲ
φησὶν ἄν εἴποι τις, ὡς ἅπασα ἡ τῶν νομίμων
διάταξις διαλέλυτο· εὔδηλον γὰρ ὡς τοῦ ναοῦ
M αὐτοῦ τοῖς ἐχθροῖς γενομένου, οὐ σαββάτου ἦν
φυλακὴ, οὐχ ἱερουργίας τάξις, οὐ τῶν ἱερέων

Cornu eius utrumque confregit. Duces suos iam pridem Darius amiserat in proelio circa Hellespontum contra Alexandrum pugnato; nunc autem exercitu quoque amisso, regno excidit. Quod ergo ait scriptura, non erat in eo vis, significat non potuisse ab eo cladem illam alia pugna reparari. — Prorsus evertit; magnis viribus eum superavit. — Nullis opibus Macedonem sustinere potuit. Tradit haec Iosephus in decimo antiquitatum iudaicarum libro.

8. *Fractum est cornu eius*. Cunctis devictis Alexander finem vivendi fecit.

Surrexerunt alia cornua quatuor. Reges eius successores dicit. Nam post huius obitum occupavit Ptolemaeus Aegyptum. Syriam et Babylonem Seleucus; Asiam atque Hellespontum Antigonus; Casander Macedoniam.

9. *Ex horum uno*. Antiochum dicit.

Meridiem versus etc. Meridiem appellat Aegyptum; orientem Persas, quos item stipendiarios fecit. Fortitudinis autem nomine designat Iudaeos, ceu divina ope saepenumero praevalentes.

10. *Usque ad caeli potentiam magnificatus est*. Adversus Deum gloriabatur. Adiecit usque ad caelum, ut superbiae tumorem ostenderet.

Decidit in terram a caeli potentia. Syrus interpres non habet *a potentia*. Locutionis autem vis haec est: postquam multos devicerit, verbaque in Deum blasphema iactaverit, Maccabaeis succumbet. Hos enim sidera, virtutis ergo, appellavit. Quod autem ait conculcaverunt eum, id violentam victoriam denotat.

11. *Donec princeps militiae*. Militiae principem appellat praesidentem nationi angelum.

Sacrificium disturbatum est. Hac de causa sacrarum rerum rectus ordo abolebitur, multis ad impietatem deficientibus.

Prospere aget. Haec diu, Deo permittente, patrabit.

Sanctuarium vastabitur. Eo sceleris prolabetur, ut ipsum Dei templum idolicis sacris polluat. Siquidem Dei templum Iovi olympio se dicaturum interminatus est.

12. *Sacrificio peccatum successit*. Quo loco numen colendum erat, ibi honorem idolis obtulerunt. — Ut summatim dicam, inquit, universa sacrorum rituum constitutio dissoluta fuit. Templo enim ab hostibus occupato, satis constat neque sabbati observantiam fuisse, neque caerimoniarum ordinem, neque sacerdotum dignitatem,

(1) Cap. XI. Iam ut heic Polychronios, sic Iosephus bis cum Dario congressum Alexandrum dicit. Sed enim Theodoretus rectius tertiam quoque notissimam pugnam memorat haud procul Babylone, quae Alexandrum Persidis fecit dominum. (2) Male cod. Ἀντίοχος. Iam pro Antigono ponit huius filium Demetrium Ephraemus, et pro Casandro Philippum. (3) Revera etiam apud Ephraemum desideratur hoc vocabulum; quod ceteroqui adest in interpretatione, quam dicunt simplicem, et in ambrosiana e LXX virali textu derivata. (4) Immo id tempore effectum narrat Theodoretus.

A ἀξία, οὐ τῶν ἐδεσμάτων αἱ παρατηρήσεις, οὐθ' ἕτερον οὐδὲν, ὧν ὁ νόμος μετὰ ἀκριβείας διετάξατο.

Ἐποίησε καὶ κατευωδώθη. Τουτέστιν ἐγχειρήσας ταῦτα διεπράξατο, οὐδεμίαν τὴν ἀρχὴν
B δεδωκὼς δίκην.

Ἤκουσα ἑνὸς ἁγίου λαλοῦντος. Ταῦτα μὲν ἑώρων· οὐκ ἔστι δὲ μέχρι τούτου τὰ τῆς θέας, ἀλλ' ἐδόκουν τινὰ ὁρᾶν ἄγγελον· τοῦτον γὰρ ἅγιον καλεῖ, ὡς πάσης τῆς ἀνθρωπίνης δυσ-
C χερείας ἀπηλλαγμένον. — Φελμονὶ ὄνομα ἐστὶν ἀγγέλῳ ὅτῳ δὲ τινί (1).

Ἕως ἑσπέρας καὶ πρωΐ. Λέγει μὲν οὖν τὸν χρόνον καθ' ὃν συμβήσεται τὰ εἰρημένα. Καὶ μεθ' ἕτερα. Λέγει μὲν ἔτη τρία καὶ μῆνας ἓξ καθέ-
D ξειν τὸν Ἀντίοχον· ἀριθμεῖται δὲ ὁ χρόνος κατὰ τὸν σεληνιακὸν κύκλον· οὕτω γὰρ φίλον ἑβραίοις τοὺς χρόνους ἀριθμεῖν· ὁ γὰρ μὴν ἔχει ἡμέρας κθ· ὡς γίνεσθαι πάσας τοῦ ἐνιαυτοῦ τὰς ἡμέρας τνδ· τριπλασιαζόμεναι δὲ ποιοῦσιν
E ἡμερῶν ἀριθμὸν ͵αξβ· αἷς προσθετέον καὶ τὸ τέταρτον τοῦ ἐνιαυτοῦ ὑπὲρ τῶν τριῶν μηνῶν, ὀγδοήκοντα καὶ ὀκτὼ ἡμέρας, γίνονται αἱ πᾶσαι ἡμέραι ͵αρν· αὗται πάλιν διπλασιαζόμεναι ποιοῦσι τὰς ͵βτ ἡμέρας (2)· φησὶ γὰρ ἑσπέρας καὶ
F πρωΐ, ἀντὶ τοῦ ἡμερονύκτιον· ὡς οὕτως ὀφειλόντων ἡμῶν ἀριθμεῖν τὰς ͵βτ ἡμέρας. συντέμνεται γὰρ τῆς ἀποφάσεως ὁ χρόνος, νυκτὸς εἰς ἡμέρας λογιζομένης· ᾧ δὴ καὶ νῦν οἱ τὰς ἐξορίας ὁρίζοντες ἄρχοντες τοῖς νόμοις ἑπόμε-
G νοι, τὴν νύκτα εἰς ἡμέραν λογιζόμενοι, τὸν χρόνον ἀριθμοῦσιν (3).

Καθαρισθήσεται τὸ ἅγιον. Ἐπὶ τοσοῦτον χρόνον φησὶ τοῦ Ἀντιόχου τὰ προειρημένα διαθέντος τοὺς ἰουδαίους, αὖθις τὸ οἰκεῖον σχῆμα ὁ
H ναὸς ἀπολήψεται.

Ἐγένετο ἐν τῷ ἰδεῖν με. Τὰ μὲν οὖν φησὶ εἰρημένα εἶδον· οὐ μὴν συνίουν τῶν λεγομένων τὴν δύναμιν, ἀλλ' ἐν ἐπιθυμίᾳ κατέστην τῆς ἑρμηνείας τῶν δειχθέντων.

I Ἐζήτουν σύνεσιν. Περισκοπουμένῳ δέ μοι φησὶ τίς ἂν εὑρεθείη τῶν ἀπορουμένων παρέχων τὴν λύσιν, εἶδον ἀθρόον ἐν ἀνδρὸς σχήματι παρεστῶτα. — Ὁρᾷς ἐπιτάγματα ἀγγέλων καὶ ἀρχαγγέλων· μείζων ἴσως δύναμις ἑτέρα. —
K Ἀλλ' ὁ μὲν φησὶ εἱστήκει· ἕτερος δέ τις παρὰ τὸ ὕδωρ ἑστὼς ἐκάλει τὸν παρεστῶτα, ὀνόματι Γαβριὴλ προσαγορεύων· καὶ παρεκελεύετο τῶν ζητουμένων παρέχειν τὴν ἑρμηνείαν. — Ὁ δὲ αὐτίκα φησὶν ὑπήκουσε, καὶ ἧκεν ἄχρις ἐμοῦ,
L ἐκτελέσων τὸ προσταχθέν (4).

Ἐν τῷ ἐλθεῖν αὐτὸν ἐθαμβήθην. Τουτέστιν ἠγάσθην τὸ κάλλος τοῦ ὀφθέντος, καὶ πρηνὴς ἔπεσον, ἐκπλαγεὶς πρὸς τὸ παράδοξον τῆς θέας.

M Σύνες υἱὲ ἀνθρώπου. Ἀντὶ τοῦ δέξαι τῶν λεγομένων τὴν σύνεσιν.

neque ciborum vetitorum abstinentiam, neque aliud quicquam fuisse reliquum ex his quae in lege diligenter praecepta fuerant.

Felici rerum cursu usus est. Quae adgressus est, perfecit; nullam initio poenam luens.

13. *Audivi sanctum quemdam loquentem*. Haec ego quidem aspiciebam. Non tamen in hoc visu substiti, sed angelum quendam spectare mihi videbar. Hunc enim sanctum dicit utpote humana quavis infirmitate alienum. – Phelmoni cuiuslibet angeli nomen est.

14. *Usque ad vesperam et mane*. Tempus dicit quo verba illa ad exitum perducenda erant. Et aliis interiectis. Dicit annis tribus mensibusque sex fore ut praevaleat Antiochus. Tempus autem secundum lunae cursum numeratur: sic enim Hebraei solent tempora supputare. Mensis dies viginti novem complectitur; atque ita fiunt anni unius dies CCCLIIII; qui triplicati efficiunt dies MLXII. His addenda est quarta anni pars, id est tres menses, seu dies octo supra octoginta. Summa dierum fit MCL. Hi pariter duplicati fiunt MMCCC dies. Dicit autem vesperam et mane, pro die cum nocte: quia sic nobis numerandi sunt dies MMCCC. Sic enim conficitur decreti tempus, nocte haud secus, quam si dies esset, computata. Quem ritum nunc etiam ex legum formula servant ii magistratus qui exsilia decernunt; nocte scilicet instar diei computata, tempora praefiniunt.

Lustrabitur sanctuarium. Postquam Antiochus tamdiu Iudaeos vexaverit, rursus formam suam templum recuperabit.

15. *Dum ego observarem*. Praedicta, inquit, cernebam; sed quia vim dictorum non intelligebam, idcirco interpretationis cupiditate tenebar.

Intelligere avebam. Circumspicienti mihi num quis dubiorum solutionem exhiberet, repente quemdam aspexi figura hominis utentem. – Cernis angelorum archangelorumque cohortes; quorum ordinum alter altero maior videtur. – Alter, inquit, stabat; alter iuxta fluvium consistens vocabat adstantem, quem Gabrielem appellabat; atque hortabatur ut quaesitorum explanationem traderet. – Ille cito paruit, mihique appropinquavit mandata facturus.

17. *Dum ille accederet obstupescebam*. Mirabar eius qui mihi apparuerat pulchritudinem, pronusque occubui insperato visu perterritus.

Intellige fili hominis. Accipe dictorum explanationem.

(1) Non quod angelus quispiam ita vocetur, sed quia quilibet ex angelis hoc vocabulo designatur. Namque פלמוני itemque פלני est ὁ δεῖνα quilibet a פלא occultus. Sic porro dici etiam in cognato Syrorum sermone, testis est hoc loco Theodoretus, et ipse syriacus textus tum in polyglottis tum apud Ephraemum. Interpretum autem veterum varietatem exhibet Hieronymus. (2) De Hebraeorum post exitum ab Aegypto lunaribus mensibus tum plenis tum cavis, unde anni ratio constabat, haud ego heic repetam quae multi auctores luculenter tradiderunt. (3) Notabilis Polychronii locus; cui quidem quod attinet ad dies duplicatos connumeratis noctibus, adstipulatur Ephraemus syrus. Sane tres cum dimidio annos in-

A Ἔτι γὰρ εἰς καιροῦ πέρας ἡ ὅρασις. Ἔσται δέ φησι τὰ ῥηθέντα χρόνοις ὕστερον, ἡνίκα ἂν ὁ καιρὸς ὁ προειρημένος πληρωθῇ· καιρὸν δὲ λέγει τὸν τῆς βασιλείας μήδων, περσῶν, καὶ μακεδόνων, καὶ τῶν λοιπῶν βασιλέων τὴν δια-
B δοχήν.

Ἐν τῷ λαλεῖν αὐτόν. Τοῦτο ἐπανάληψίς τίς ἐστι τοῦ προῤῥηθέντος· βούλεται γὰρ εἰπεῖν ὡς οὐχ ἅμα πρὸς αὐτὸν ἀφίκετο κατέπεσεν, ἀλλ' ἐν τῷ ἄρξασθαι αὐτὸν λέγειν.

C Ἔστησέ με ἐπὶ τοὺς πόδας. Ἀλλ' ὅμως φησὶ παρεθάρσυνεν ἐγείρας κείμενον.

Ἐγὼ γνωρίζω σοι. Ἥκω φησὶ δηλῶσαί σοι ἃ συμβήσεται τῷ λαῷ διὰ τὴν τοῦ Θεοῦ ὀργήν· ἵνα γνῷς ὡς οὔτε ὑπὸ ἀσθενείας ἡττηθήσον-
D ται, οὔτ' Ἀντίοχος περιουσίᾳ δυνάμεως περιέσται, ἀλλὰ τοῦ Θεοῦ δίκας αὐτοὺς εἰσπραξαμένου τῆς παρανομίας.

Ὁ κριὸς ὃν εἶδες. Κριὸν μὲν λέγει τὴν βασιλείαν(1)· τὰ δὲ κέρατα, ἀμφοτέρους, Κῦρον τὸν
E πέρσην καὶ Δαρεῖον τὸν μῆδον· οὔτε γὰρ καθόλου διῄρηντο, οὔτε συνῆπτοντο πάλιν διόλου· ἀλλὰ τὴν μὲν βαβυλωνίων βασιλείαν διεδέξατο ὁ μήδων· ἐκράτει δὲ τῆς περσίδος ὁ Κῦρος· τούτου δὲ τελευτήσαντος, μετέστη εἰς πέρσας
F ἡ ἀρχή (2).

Ὁ τράγος τῶν αἰγῶν. Αὐτός ἐστι βασιλεὺς ὁ πρῶτος· μηνύει δὲ τὸν Ἀλέξανδρον· τῆς μὲν γὰρ μακεδονικῆς ἀρχῆς πλείους τὸν ἀριθμὸν οἱ βασιλεύσαντες· τῶν δὲ λοιπῶν πρῶ-
G τος ἦν ὁ Ἀλέξανδρος (3).

Τέσσαρες βασιλεῖς ἐκ τοῦ ἔθνους αὐτοῦ ἀναστήσονται. Οὐκ εἶπεν ἐξ αὐτοῦ, ἀλλ' ἀπὸ τοῦ ἔθνους, ἵνα εἴπῃ τῆς μακεδονικῆς ἀρχῆς.

Ἐκοιμήθην καὶ ἐμαλακίσθην. Τοσοῦτό με
H φησὶ φόβος κατέσχεν ἀπὸ τῶν δειχθέντων, ὥστε μηδὲ ἄμεινον διατεθῆναι τῶν ὑπὸ μακρᾶς ἀσθενείας κατεσκληκότων.

Ἀνέστην καὶ ἐποίουν τὰ ἔργα τοῦ βασιλέως. Τουτέστι τὰ ἐγκεχειρισμένα τὸν ὅμοιον τρό-
I πον ἐτέλουν, ἀνιώμενος μὲν ἐπὶ τοῖς δειχθεῖσιν, οὐκ ἐκφέρων δὲ εἰς ἑτέρους· εἰ γὰρ καὶ μὴ ἐν αὐτοῖς τοῖς βασιλείοις ἐτύγχανεν ὢν, ὡς ἐν τοῖς ἔμπροσθεν δέδεικται, ἀλλ' οὖν ἴσως ἀπὸ τῆς προτέρας εὐημερίας, ἣν ἀπὸ τοῦ
K Ναβουχοδονόσορ ἐκέκτητο, μοῖράν τινα διοικήσεως ἐγκεχείριστο· φυλάττειν τι καὶ τῶν τοῦ πατρὸς ἐσπουδακότος τοῦ Βαλτάσαρ, καὶ μάλιστα καὶ ἐπειδὴ ἐν τοῖς προγονικοῖς κατορθώμασιν ἐφρόνει μεγάλα· διὰ τοῦτο οὔτε πάνυ
L γνώριμος ἐτύγχανεν αὐτῶν ὁ ἀνήρ, ἅτε οὐδὲ ὑπ' αὐτοῦ προχειρισθεὶς εἰς ἀρχήν, μείνας δὲ ἐπί τινος δυναστείας ἀπὸ τῆς προτέρας συνηθείας.

Cap. VIIII. Συνῆκα ἐν ταῖς βίβλοις (4) τὸν ἀριθμὸν τῶν ἐτῶν. Ἐπεὶ τοίνυν ὁ λαὸς πρὸς τὴν αἴτησιν τῆς ἐπανόδου μὴ ἐγρηγόρει, αὐτὸς τὰ τοῦ λαοῦ

Adhuc enim in temporis fine visio. Posteris, inquit, temporibus supradicta evenient; nempe ubi praedictum tempus expletum fuerit. Dicit vero tempus regni Medorum, Persarum, atque Macedonum, reliquorumque regum successionem.

18. *Dum is loquebatur*. Repetitio quaedam superioris dicti. Significat haud se pronum corruisse dum ille adventaret, sed initio sermonis.

Erexit me in pedes. Ille mihi animos addidit, iacentemque excitavit.

Ego te certiorem faciam. Venio ostensurus quae populo accident ab ira Dei: ut scias, populum neque sua infirmitate victum iri, neque Antiochum virium excessu victorem fore, sed Deo poenas criminum reposcente.

20. *Aries quem vidisti*. Arietis nomine regnum appellat: cornu vero, utrumque, Cyrum videlicet persam et Darium medum. Nam neque prorsus discreti erant, neque rursus omnino coniuncti; sed babylonico regno successit medicum, Persidem Cyrus tenebat. Medo extincto, in Persas imperium cessit.

21. *Hircus caprarum*. Ipse primus est rex; nempe Alexander. Sane macedonici regni plures reges numerantur; sed tamen recentioris potentatus primus est Alexander.

22. *Quatuor reges ex eius gente exorientur*. Non ex ipso dixit sed ex gente, nimirum ex macedonico regno.

27. *Langui atque aegrotavi*. Tantus me terror invasit demonstratorum rerum, ut haud melius me haberem quam ii qui morbo diutino extenuati sunt.

Consurgens regia munera exsequebar. Officiis meis constanter fungebar, maerens quidem visionibus, nemini tamen easdem impertiens. Quamquam vero Daniel haud iam in regio palatio diversabatur, ut superius demonstratum est; videtur tamen ob priorem dignitatem, quam a Nabuchodonosoro acceperat, partem aliquam publici muneris retinuisse; Baltasare patris acta haud funditus antiquante, cuius quidem rebus gestis mangnopere gloriabatur. Quamobrem Daniel haud iam admodum illustris in aula erat, utpote quem rex novus non promoverat, sed priore iure partem aliquam dignitatis conservabat.

2. *Intellexi in libris numerum annorum*. Quoniam populus ad preces pro reditu fundendas minime incumbebat, ipse persona populi indu-

---

telligendos esse, non sex cum dimidio, colligunt critici ex Dan. VII. 25. et ex I. Maccab. I. 57. 62. IIII. 52. 53. Ceteroqui Hieronymus et Theodoretus sex cum dimidio annos dicunt; quae difficultas haud immerito torquet interpretes. (4) Codex uterque πραχθέν.

(1) Recole quae ex Hieronymo adtulimus p. 131. n. 1, ne forte heic putes Alexandrum pugnavisse cum vetere illo Dario medo, non cum Dario Arsami. (2) Theodoretus regum Persarum atque Medorum heic intelligit Darium ipsum Arsami, qui reapse utrique genti imperavit. (3) Hinc Maccab. I. 1. 1. *Alexander Philippi macedo, qui primus regnavit in Graecia*. (4) Nimirum ex oraculo Hieremiae XXV. 12. Alios prophetas idem spatium captivitatis tradentes profert Theodoretus.

A οἰκειωσάμενος, προσπίπτει Θεῷ, λαμβάνων
ἀφορμὴν τῆς αἰτήσεως τὸν ἀριθμὸν τῶν ἐτῶν.

Εἰς συμπλήρωσιν ἐρημώσεως. Οὐ γὰρ εἶπεν
ὅτι ἐπληρώθη, ἀλλ' εἰς συμπλήρωσιν, ὅπερ
ἐγγίζειν ὃ συμπεπληρῶσθαι σημαίνει. – Σφό-
B δρα περὶ τὸν λαὸν διακείμενος φαίνεται ὁ
προφήτης, οὐκ ἐκ τῶν προῤῥηθέντων μόνον,
ἀλλὰ καὶ ἐκ τῶν παρόντων· ὡς γὰρ ἑώρα λοι-
πὸν συμπληρούμενον τὸν ὁρισθέντα τῆς αἰχ-
μαλωσίας χρόνον, ἰουδαίους δὲ οὐδεμίαν ἔχον-
C τας σπουδὴν πρὸς τὴν ἄνοδον, οὐδὲ ἱκετεύοντας
τὸν Θεὸν, σκοπήσας ὡς τῆς προθυμίας παρ-
ελθούσης, καὶ τῶν περὶ τῆς ἐπανόδου ἐπαγγε-
λιῶν μὴ πληρωθεισῶν, αὖθις ἑτέραν ἀφορ-
μὴν οἱ παράνομοι λήψονται τῆς κατὰ Θεοῦ
D βλασφημίας, ὡς ψευσαμένου καὶ μὴ ἀναγαγόν-
τος τὸν λαὸν, αὐτὸς εἰς ἱκεσίαν ἐτράπη και-
νὴν, ὑπὲρ ἁπάντων ποιούμενος τὴν προσευχήν.

Ἡμάρτομεν, ἠδικήσαμεν, ἠσεβήσαμεν, καὶ
ἀπέστημεν, καὶ ἐξεκλίναμεν(1). Ἁμαρτίαν μὲν γὰρ
E λέγει τοῦ βίου τὸ διάφορον, ἀδικίαν δὲ τὴν
κατὰ τοῦ πλησίον πλεονεξίαν, ἀσέβειαν δὲ
τὴν εἰς Θεὸν ὕβριν, ἥτις ἐκρίνετο ἐν τῇ τῶν
εἰδώλων θρησκείᾳ· τὸ δὲ ἀπέστημεν, τὴν παν-
τελῆ ἀπὸ τοῦ Θεοῦ ἀναχώρησιν· τὸ δὲ ἐξε-
F κλίναμεν, ἐμφαντικώτερον εἴρηται, ὡς τοῦ
Θεοῦ προσκαλουμένου, ἐκείνων δὲ φευγόντων·
ἐντολὰς δὲ καὶ κρίματα λέγει τὰ νόμιμα·
ἐντολὰς μὲν ὡς προστάγματα, κρίματα δὲ ὡς
δικαίως κείμενα.

G Οὐκ εἰσηκούσαμεν. Οὐ γὰρ μόνον ἠρκέσθης
φησὶ δοὺς τὸν νόμον διὰ Μωυσέως, καὶ ποιή-
σας τὰ θαύματα· οὐδὲ ἔστης μέχρι τοῦ δοῦ-
ναι ἡμῖν τὴν γῆν, ἀλλ' ἐπειδὴ εἶδες ἡμᾶς πα-
ραφθείραντας τῶν νομίμων τὴν διάταξιν,
H τούς τε προφήτας ἀπέστειλας ἄγειν ἐπὶ τὸ
δέον ἡμᾶς βουλόμενος (2)· ἀλλ' οὐ γεγόναμεν
εὐγνώμονες πρὸς τὰ λεγόμενα, ἀλλ' ἀσυμ-
φώνῳ τῇ γνώμῃ τῆς χείρονος γεγόναμεν γνώ-
μης.

I Διέσπειρας αὐτούς. Ἐνταικότας ἡμᾶς φησὶ,
εἰς διαφόρους ἀποικίας ἔπεμψας· καὶ εἰ βούλει
πρὸς ἡμᾶς κριθῆναι, ὀφθείης μὲν αὐτὸς δί-
καιος, ἡμεῖς αἰσχύνην ὀφλήσομεν, ἐξ αὐτῶν
τῶν ἔργων πάσης παῤῥησίας ἐστερημένοι.

K Τῷ κυρίῳ Θεῷ ἡμῶν οἱ οἰκτιρμοί. Ἀλλὰ
τούτων φησὶ οὕτως ἐχόντων, ἐπὶ τὴν σὴν κα-
ταφεύγομεν φιλανθρωπίαν, ὁμολογοῦντες τὰ
οἰκεῖα πταίσματα, καὶ οὔτε τι τῶν νομίμων
ἐφυλάξαμεν, οὔτε παραινέσεσι τοῖς προφήταις
L ἐπειθαρχήσαμεν· οὐδεμίαν τοίνυν ὁρῶντες ὑπά-
σαν δικαιολογίαν, τοὺς σοὺς ἀναμένομεν οἰκ-
τιρμούς.

Ἐπῆλθεν ἐφ' ἡμᾶς ἡ κατάρα. Ποία κατάρα
αὕτη; βούλεσθε ἀνάγνωμεν αὐτήν(3); ἐὰν μὴ λα-
M τρεύσητε κυρίῳ τῷ Θεῷ ἡμῶν φησι, ἐπάξω ἐφ'
ὑμᾶς ἔθνος ἀναιδὲς· οὐκ ἀκούσῃ τῆς φωνῆς

ta, Deo supplex fit, capta a numero annorum occasione precum.

Ad vastitatem finiendam. Non ait finitam sed finiendam; rem propinquantem et mox absolvendam significans. – Magnopere de populo sollicitus propheta cernitur tam superioribus quam praesentibus actibus. Quum enim praefinitum captivitatis tempus iam iam absolvi videret, Iudaeos tamen de reditu non cogitare, neque huius causa Deum orare, prospiciens animo si illa alacritas extingueretur neque reditus promissio impleretur, fore ut hinc impii homines novam ansam caperent Deo maledicendi, ceu mendaci et qui populum non reduxisset, ipse novam adgreditur deprecationem, ac pro omni populo fit orator.

5. *Peccavimus, inique impieque egimus, recessimus ac declinavimus*. Peccatum dicit inordinatam vitam; iniquitatem, iniustitiam adversus homines; impietatem, contumeliam in Deum, quam idolorum superstitio declarabat. Recessimus, denotat omnimodum a Deo discessum: declinavimus, cum emphasi dicitur, tamquam Deo vocante, illis vero aufugientibus. Praecepta dicit quasi mandata legis munera; iudicia quatenus iuste lata.

6. *Non auscultavimus*. Non solum legem per Mosem scripsisti, prodigia edidisti, nobisque regionem incolendam attribuisti; sed ubi nos a legitimis ritibus desciscere nosti, prophetas mittebas qui nos ad officium reducerent. Verumtamen his beneficiis haud grati fuimus, sed contumaci mentis impetu deteriorem sententiam secuti sumus.

7. *Dispersisti eos*. Peccantes, ait, in diversa exsilia misisti. Sane si iudicio nobiscum contendas, causam tu obtinebis, nos ignominia obruemur, facinoribus nostris fiducia omni spoliati.

9. *Misericors Deus noster*. His ita se habentibus, ad tuam clementiam confugimus, peccata nostra fatentes, et quod neque legem observaverimus, neque prophetarum monitis auscultaverimus. Quamobrem omni excusatione carentes, misericordiam tuam praestolamur.

11. *Dirae nos corripuerunt*. Quaenam istae sunt dirae? Vultis eas a nobis praelegi? Nisi domino Deo nostro servieritis, immittam vobis gentem audacem, cuius loquelam non intellige-

---

(1) Photii sapientem regulam quaest. I. 37 heic adhibebis; nimirum ut a scelestorum numero eximas prophetam ipsum cum paucis ut puto aliis, qui Dei obedientiam minime abiecerant. (2) Confer Moppaeus ad Ionam p. 62. (3) Deuteron. XXVIII. 47.

A αὐτῷ· ϗ ἔσεσθε ἐν ἀριθμῷ βραχεῖς· τοῦτο οὖν αὐτὸ δηλοῦντες οἱ τρεῖς παῖδες (1), ϗ δεικνύνται ὡς διὰ τῶν ἔργων αὐτῶν ἐξέβη τὸ τῆς κολάσεως εἶδος· ϗ αὐτοὶ πρὸς τὸν Θεὸν ἐξομολογούμενοι περὶ τῶν κοινῶν ἁμαρτημάτων B ἔλεγον, παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων, ἀποστατῶν, ϗ τὰ ἑξῆς.

Κακὰ μεγάλα. Ποῖα δὲ ταῦτα; μητέρες παίδων ἐγεύσαντο· καὶ τοῦτο αὐτὸ προλέγει μὲν Μωυσῆς· δείκνυσι δὲ ἐκβεβηκὸς Ἱερεμίας (2)· C ὁ μὲν γὰρ φησὶν ὅτι ἡ ἁπαλὴ ϗ ἡ τρυφερά, ἧς οὐκ ἔλαβε πεῖραν ὁ ποὺς αὐτῆς ἐπιβῆναι ἐπὶ τὸ ἔδαφος διὰ τὴν ἁπαλότητα ϗ τὴν τρυφερότητα, ἅψεται παρανόμου τραπέζης, ϗ τῶν ἐκγόνων ἀπογεύσεται τῶν ἑαυτῆς· ὁ δὲ Ἱε- D ρεμίας αὐτὸ τοῦτο δηλῶν, ὅτι ἐξέβη, ἔλεγε· χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψαντο τὰ τέκνα αὐτῶν.

Οὐκ ἐδεήθημεν τοῦ προσώπου κυρίου (3). Ἀλλ' ὅμως φησὶ ϗ τούτων γεγενημένων, οὐδὲν ἀμεί- E νους διετέθημεν τῶν ἡμετέρων ἁμαρτημάτων.

Καὶ ἐγρηγόρησεν ὁ κύριος. Οὐδὲν φησὶ τῶν κακῶν τερπόμενος ὁ Θεός, ἀλλ' ἅγιός τε ὢν ϗ καθαρὸς τὸν τρόπον, προσιέναι αὐτῷ βουλόμενος, ἀπώσατο ἡμᾶς ἁμαρτάνοντας.

F Ὃς ἐξήγαγες τὸν λαόν σου. Ἀλλ' ὅμως φησὶ τούτων οὕτως ἐχόντων δέσποτα, ἐπειδήπερ ϗ πάλαι οἰκείᾳ ἀγαθότητι ἀπήλλαξας τῆς Αἰγύπτου δουλείας, οὐχ ἡμῶν ἀξίων ὄντων· ἡμάρτομεν γὰρ ϗ τότε, ἀλλ' ἀγαθό- G τητι οἰκείᾳ, μνήμῃ τε τῆς πρὸς τοὺς πατέρας ἐπαγγελίας· τὸν ὅμοιον τρόπον ϗ νῦν τῇ συνήθει φιλανθρωπίᾳ κεχρημένος σύγγνωθι ἡμαρτηκόσι, ϗ μάλιστα ἐπειδήπερ εἰσεπράχθημεν δίκας.

H Ἀπὸ τῆς πόλεώς σου Ἱερουσαλήμ. Ἐπειδὴ τοὺς ἀνθρώπους περιελθὼν, οὐδένα ἑώρα δυνάμενον ἵλεω ποιῆσαι τὸν Θεόν, πρὸς τὰ οἰκοδομήματα καταφεύγει, ϗ τὴν πόλιν αὐτὴν προβάλλεται (4), ϗ τὴν ἐρημίαν αὐτῆς προ- I τείνεται, ϗ ἐν τούτοις καταλύσας τὸν λόγον, ἵλεω τὸν Θεὸν ἐποίησεν.

Νῦν εἰσάκουσον. Τουτέστι δέξαι τῆς δεήσεώς μου τὰ ῥήματα.

Ἄνοιξον τοὺς ὀφθαλμούς (5). Καὶ θεασάμενος K φησὶ τήν τε ἡμετέραν ταλαιπωρίαν, καὶ τῆς πόλεως τὴν ἐρήμωσιν, ἐν ᾗπερ πρότερον σοι τοὺς ὕμνους ἀνεπέμπομεν, ἐπιγινώσκοντές σε δέσποτα εἰς πέρας ἀγαγεῖν τῆς ἱκεσίας.

Οὐκ ἐπὶ ταῖς δικαιοσύναις. Οὐκ ἀφ' ὧν L πράττομεν, ἱλεώ σε γενέσθαι βουλόμεθα, ἀλλ' οἶκτον ἐπὶ ταῖς συμφοραῖς λαβεῖν ἐθέλομεν. — Τουτέστι μὴ ἀπώσῃ ἱκετεύοντας. — Ἀντὶ τοῦ συγχώρησον τὰ πταίσματα. — Τουτέστι θέασαι ἐν οἷς ἐξεταζόμεθα κακοῖς. — Τὸ M δὲ τάχος φησὶ διὰ τὴν σὴν ἀγαθότητα παράσχου. — ὥστε φησὶ τὸ σὸν ὄνομα ὀνομάζεσ-

tis; atque exigui numero eritis. Hoc ipsum tres quoque pueri adfirmantes, poenam factis consentaneam dicebant: atque apud Deum communia crimina confitentes, tradidisti nos, aiebant, in hostium manus, impiorum, odiosissimorum, apostatarum; et reliqua.

12. *Magna mala*. Quaenam sunt haec? Natos voraverunt matres; id quod Moses praedixerat, Hieremias autem reapse factum testatur. Ait enim Moses: delicata et assueta deliciis mulier, cuius numquam pavimentum pes attigit nimia vitae mollitudine et luxu, scelestas dapes gustabit, suosque liberos comedet. Tum Hieremias rei ipsum eventum docens, ait: manus piarum mulierum natos suos cibum ori proprio admoverunt.

13. *Faciem Domini haud exoravimus*. Quae quum ita se haberent, haud tamen meliorem frugem, omisso scelere, sectati sumus.

14. *Evigilavitque Dominus*. Scelerum osor Deus, quippe qui sanctus purusque est, quum his mentem intendisset, peccatores nos repulit.

15. *Qui populum tuum eduxisti*. Nihilominus hoc rerum statu, quoniam et olim bonitate tua usus aegyptiacam captivitatem nullo nostro merito depulisti (nos enim tunc quoque in sceleribus versabamur, ideoque tibi opus fuit clementia tua, memoriaque bonorum priscis patribus promissorum) nunc pariter consueta misericordia exprompta reis ignosce; praesertim quia iam poenas dedimus.

16. *Ab urbe tua Hierosolymis*. Quoniam homines circumspiciens, nemo ei occurrebat qui Deo placando idoneus esset, ad aedificia sermonem transfert, urbemque ipsam producit, atque eius solitudinem prae se tendit: atque ita oratione conclusa, Dei clementiam expugnat.

17. *Nunc exaudi*. Orationis meae verba excipe.

18. *Oculos aperi*. Nostrum scilicet specta infortunium, atque urbis vastitatem, ubi quondam hymnos tibi cecinimus; satis, Domine, gnari te ad clementiam commotum iri.

Non iustitia nostra. Non nostris actibus te exoratum volumus, sed infortunii misericordiam poscimus. – Ne abigas supplices. – Delictis ignosce. – Cerne quaenam mala experiamur. – Sine mora clementiam exhibe. – Ut nomen tu-

---

(1) Dan. III. 39. (2) Deuter. xxviii. 56. Hierem. threa. IIII. 10. (3) Liceret etiam interpretari *iram Domini non sumus a nobis deprecati*. Nam פני commode intelligitur *ira*, praesertim ubi sermo est de Deo, veluti Ps. viiii. 4. xx. 10. xxxiii. 17. xxvii. 3. (4) Recole sis ea quae de hac re scribit Mopsuestenus ad Ionam p. 65. 66. (5) Ἀνθρωποπαθῶς, ut observat Hieronymus. Tu vero lege Photium quaest. I. 34.

A θαι, ϗ μὴ ἔχειν χώραν τοὺς κατηγορεῖν βουλομένους τῆς σῆς δυνάμεως.

Ἔτι μου λαλοῦντος. Οὐ διήμαρτον φησὶ τοῦ σκοποῦ, οὐδὲ ἀπέτυχον ἱκετεύων τὸν Θεόν· διαλεγομένου μου οὖν τὰ προειρημένα, ϗ ὁμο-
B λογοῦντος τὰ ἁμαρτήματα ἐμαυτοῦ ϗ τοῦ πλήθους, ϗ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ τὴν σωτηρίαν αἰτοῦντος, ἀπεστάλη πρός με ἄγγελος Θεοῦ· ἐῴκει δὲ πετομένῳ, οὐ γὰρ εἶδε σχῆμα· τοῦτο λέγει, οὐχ ἵνα διδάξῃ πτερὰ ἔχειν
C τὸν ἄγγελον, ἀλλ' ἵνα ἡμᾶς διδάξῃ, ὡς ταχεῖαί εἰσιν αἱ ἄνω δυνάμεις πρὸς τὴν διακονίαν τῶν ὑπὸ Θεοῦ προστατομένων.

Ἰδοὺ ἀνὴρ Γαβριήλ. Ἵνα εἴπῃ ὃς ὤφθη μοι ἐν τῇ τοῦ κριοῦ ϗ τοῦ τράγου ὁράσει· ὃς ϗ ἑρ-
D μήνευσεν ἐν τοῖς τότε ἀποδειχθεῖσι τὰ ἀπορούμενα.

Ὡσεὶ ὥραν θυσίας. Τουτέστιν ἢ κατὰ τὸν καιρὸν καθ' ὃν εἴρηται, ἢ καθ' ὃν εἰώθεισαν τὰς θυσίας κατὰ τὴν ἑσπέραν ἐκπληροῦν τῷ
E Θεῷ, ἡνίκα τὰ ἰουδαίων συνειστήκει.

Σύνες ἐν τῇ ὀπτασίᾳ. Τουτέστι πρόσεχε τοῖς λεγομένοις τῷ νῷ. — Τουτέστι λόγισαι οἵων ἠξιώθης, ὥστε ἄγγελον ἀπεσταλκέναι σοι διδάσκαλον τῶν ἀμφισβητουμένων.

F Ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν (1). Ἐπειδὴ γὰρ διὰ τῶν προτέρων ὀπτασιῶν ἐγνώκει ὡς χείριστα πείσονται μετὰ τὴν ἄνοδον, εἰς ἀθυμίαν καταστὰς ἱκέτευε τὸν Θεὸν μὴ μόνον αὐτοῖς παρασχεῖν τὴν ἄνοδον, ἀλλὰ καὶ
G πάντα τὰ κατὰ ἰουδαίους αὐτῷ δεῖξαι· ἴδιον γάρ ἐστι τῶν ποθούντων, πρὸ τῶν πραγμάτων ἐθέλειν λαμβάνειν τῶν ἐσομένων τὴν γνῶσιν· διὰ τοῦτο καὶ ὁ Θεὸς ἐπειδὴ μάλιστα τοῦ ναοῦ ἐμνημόνευσεν, ἅπαντα αὐ-
H τοῦ δείκνυσι τὰ μετὰ ταῦτα· ὅτι τε ἀνελεύσονται, ϗ ἐν πόσῳ χρόνῳ τὰ τῆς οἰκοδομῆς ἔσται τοῦ ναοῦ· πρὸς οἷς διδάσκει τὴν σωτηρίαν τῆς πόλεως, ϗ μέχρι ποῦ στήσεται τὰ ἰουδαίων· ὡς ἂν εἰδείη ὅτι εἰ ϗ τὰ ἰουδαίων
I καθαιρεθείη, ἀλλ' οὖν οὐκ ἐπὶ τούτοις ἕξει τέλος ἡ εὐσέβεια. Καὶ πάλιν. Τουτέστι υϞ ἔτη περιλέλειπται, ἄχρις ὅτου ὁ λαὸς τῆς οἰκείας δόξης ἐκπεσεῖται, ϗ ἡ πόλις καθαιρεθήσεται· κρείττονος δηλονότι καταστάσεως γενο-
K μένης, διὰ τὴν τοῦ μεγαλοδώρου Θεοῦ χάριν· εἰδέναι δὲ χρὴ, ὡς τὸν χρόνον καθολικῷ τινὶ τέθεικε λόγῳ· ἐν τοῖς ἑξῆς διακριβῶν τὰ καθέκαστον.

Τοῦ συντελεσθῆναι ἁμαρτίαν. Ἀντὶ τοῦ, φέ-
L ρει αὐτοὺς ἕως εἰς ἔσχατον ἁμαρτίας ἐλάσωσι, ϗ ἀνίατον σχῶσι τὴν νόσον.

Ἀπαλεῖψαι τὰς ἀνομίας. Ὃ δὴ παρέσχεν ἡμῖν διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας, ϗ δικαιοσύνην ἡμῖν παρέχει.

M Σφραγίσαι ὅρασιν. Ἀντὶ τοῦ περαιῶσαι τὰ τῶν

um celebretur, nemoque potentiam tuam vituperare queat.

20. *Adhuc me dicente.* Spe mea non excidi, neque non sum voti compos factus Deum exorans. Adhuc enim me supradicta eloquente, meaque et populi peccata fatente, atque a Dei clementia salutem expostulante, Dei angelus ad me mittebatur, volucri similis, ignota scilicet figura: quod cum ait, haud angelum aligerum docet, sed facit ut supernarum virtutum Dei iussibus obtemperantium celeritatem intelligamus.

21. *Ecce vir Gabriel.* Qui mihi se obtulerat in arietis quoque et hirci visione, quique spectra illa mihi explicaverat.

Circa sacrificii horam. Tempore praestituto, seu quo tempore mos erat vespertinum Deo sacrum faciendi, incolumi Iudaeorum re publica.

23. *Visionem intellige.* Dictis meis mentem adverte. — Animo fac reputes quanto te Deus honore dignatus sit, qui angelum arcanorum tibi interpretem mi-it.

24. *Septuaginta hebdomadae abbreviatae sunt*, Quia praecedentibus visionibus noverat fore ut gravibus infortuniis post reditum conflictarentur, exanimatus rogabat Deum non solum ut ipsis reditum concederet, verum etiam ut omnia Iudaeorum fata sibi revelaret. Est enim amantium ante rem notitia velle frui. Idcirco Deus, templi praecipue memor, quidquid huic postea eventurum erat demonstrat: nempe et quod Iudaei redituri essent, et quo tempore aedificatio templi curanda erat. Insuper prophetam certiorem facit de urbis incolumitate, et quatenus Iudaeorum res manebunt. Et quidem ei significat, etiamsi forte res iudaica antiquetur, non ideo finem religionis fore. Et rursus. Nimirum cccexc anni supersunt, ante quam natio gloria sua excidat, atque urbs deleatur: ita tamen ut melior rerum ordo exorturus sit Dei munifici beneficio. Sed enim sciendum est tempus heic generali quadam ratione tradi, in subsequentibus autem singillatim et accu:ate.

Compleatur peccatum. Patienter eos fert, donec in extremam improbitatem devenerint, atque insanabili morbo laboraverint.

Deleantur iniquitates. Id nempe nobis Deus praestitit lavacri regeneratione, cuius ope iustitiam redintegrat.

Sigillo muniatur visio. Compleantur prophe-

(1) Famosum hunc de LXX hebdomadis locum late illustrat Hieronymus, prolatis Africani, Eusebii, Hippolyti, Clementis alex., Origenis, Apolinarii, et Hebraeorum sententiis: quas inter illam Apolinaris, ut merito ipse arguebatur Hieronymus, vanam tempus coarguit. Quippe Apolinaris omni praeteritorum temporum se liberans quaestione, vota extenderat in posterum; dixeratque, post Christi nativitatem exactis septuaginta annorum hebdomadis antichristum esse adventurum. Legas huius vaticinii curiosus Tertullianum quoque in libro adversus Iudaeos cap. VIII; tum ob ipsam scilicet rem, tum variantium dictionum causa.

A προφητῶν ὁράματα (1)· ἀπὸ τῶν φησάντων, τὰ
εἰρημένα σημαίνων.
Χρῖσαι ἅγιον ἁγίων. Ἀντὶ τοῦ, τοῦ χρίσματος ἡμῖν μεταδοῦναι· ἅγιον δὲ ἁγίων ἔφη ὡς ὑπερβαίνοντος τοῦτον τὸν παρὰ ἰουδαίοις διὰ
B τοῦ χρίσματος ἁγιασμόν· ἢ ἵνα αὐτὸν χριστὸν σημάνῃ, χρίσασθαι αὐτὸν φάσκει τῷ ἁγίῳ πνεύματι· διὰ τοῦτο γάρ φησιν ὁ Δαβὶδ (2) ἔχρισέ σε ὁ Θεὸς σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· ὃ γὰρ ἐκεῖ ἐξαίρετον πα-
C ρὰ τοὺς λοιποὺς ἔφη, τοῦτο ἐνταῦθα ἅγια ἁγίων ἐκάλεσε· οὐ τῷ συνήθει ἐλαίῳ χρισμένον (3) τοῦ Θεοῦ, ἀλλ' ἐξαιρέτῳ δυνάμει τοῦ πνεύματος· οὐκ εἶπεν ἁγίῳ ἁγίων, ἀλλ' ἅγιον ἁγίων, αὐτὸν σημαίνων τὸν χριστὸν, τὸν ἁγιασμοῦ
D μὴ δεόμενον, ἀλλ' ἁγιασμοῦ χορηγὸν ὡς Θεὸν, χρισθέντα δὲ διὰ τὴν οἰκονομίαν.
Ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι. Λέγει πῶς προσήκει καὶ πόθεν τὰς ο ἑβδομάδας ἀριθμεῖν, τουτέστι τὰ υϙ ἔτη· ἀντὶ τοῦ σημειῶσαι ἀφ' οὗ
E ἠρξάμην λέγειν, ἀποκρινόμενος πρὸς τὴν ἐρώτησιν· ἦν δὲ τὸ πρῶτον ἔτος Δαρείου τοῦ μήδου· μᾶλλον δὲ τὸ ἕν, ὡς ἐν αὐτῷ ἐπεσημήνατο ἡ θεία γραφὴ (4), τοῦ μετὰ Βαλτάσαρ βεβασιλευκότος, ὡς δέδεικται. — Τοῦ οἰκοδομῆσαι
F Ἱερουσαλὴμ, καὶ ἕως χριστοῦ ἡγουμένου ἑβδομάδες ζ· πρόκειται φησὶ δύο διδάξαι· τὸν χρόνον τῆς τοῦ ναοῦ οἰκοδομῆς, καὶ τὸν ἕως τῆς χριστοῦ παρουσίας· ἐντεῦθεν γάρ τις φησὶν ἀριθμῶν, ἄχρι οὗ περαιωθῇ τοῦ ναοῦ ἡ οἰκο-
G δομὴ, καὶ εὑρήσει ἔτη μθ. αὐτοῦ μὲν γὰρ τοῦ Δαρείου ἐνιαυτὸν ἕνα τίθησιν ὁ προφήτης μόνον, διὰ τοῦ λέγειν ἔτει ἑνὶ τῆς βασιλείας αὐτοῦ· τὸ γὰρ ἓν λέγεται ὡς οὐκ ὄντος δευτέρου· διὰ τοῦτο ἐπὶ τοῦ Βαλτάσαρ οὐχ
H ὁμοίως ἐχρήσατο τῇ φωνῇ· ἐν τῷ πρώτῳ γάρ φησιν ἔτει Βαλτάσαρ βασιλέως χαλδαίων (5)· ὅπου μὲν γὰρ εὗρε δεύτερον, ἀναγκαίως πρῶτον εἶπεν· ὅπου δὲ δεύτερον οὐκ ἦν, ἁρμόζουσαν τὴν τοῦ ἑνὸς εὗρε λέξιν· οὐδὲ γὰρ ἐκεῖνο ἄν τις
I εἴποι, ὡς Μωυσῆς τὴν πρώτην ἡμέραν, μίαν κέκληκεν (6)· ὡς γὰρ οὔπω οὐσῶν τῶν λοιπῶν ἡμερῶν, μίαν ἔφη τὴν ἐν ἀρχῇ γενομένην· τῆς δὲ ἐφεξῆς μνημονεύσας, δευτέραν αὐτὴν ἀκολούθως ἔφη· ὥσπερ γὰρ ταύτης οὐκ οὔσης,
K μία ἐκείνη ἐκαλεῖτο, οὐκ ἔχουσα τὴν πρὸς ἐκείνην συνάφειαν· οὕτως ἑτέρας παραχθείσης, τῆς πρώτης ἐλάμβανε τὴν ἐπωνυμίαν, ἔχουσα τῆς γενέσεως τὰ πρεσβεῖα. Λογίζεται τοίνυν τοῦ Δαρείου ὁ προφήτης ἔτος ἕν· τὸ δὲ εὐθὺς
L ἐν ἀρχῇ κεῖσθαι ἐν τῷ πρώτῳ ἔτει, ταραττέτω μηδένα· ὡς γὰρ ἐπιδιορθούμενος τῆς φωνῆς τὸ ἀδιάφορον, προσέθηκε τὸ, ἐν ἔτει ἑνί· ἢ εἰ δεῖ τὸ ἀκριβὲς εἰπεῖν, ἑρμηνεύων τὸ ἀδιάφορον τῆς λέξεως· ἀμέλει ἐπὶ τοῦ Βαλτάσαρ
M εἰρηκὼς, ἐν τῷ πρώτῳ ἔτει Βαλτάσαρ (7), οὐκέτι

tarum visiones. **Dicentium nomine dicta denotat.**

Ungatur sanctus sanctorum. Vel potius unctionem nobis impertiatur. Sanctum autem sanctorum appellat, quia superat omnem quae apud Iudaeos fuit unctionis sanctitatem. Vel ipsum Christum significat, eumque sancto spiritu unctum adfirmat. Quare ait David, unxit te Deus tuus oleo laetitiae prae consortibus tuis. Nam qui in psalmo dicitur prae ceteris electus, hoc loco sanctus sanctorum appellatur; haud consueto Dei unctus oleo, sed peculiari spiritus virtute. Neque dixit sancto sanctorum, sed sanctum sanctorum, Christum ipsum significans, sanctificatione minime egentem, immo sanctitatis auctorem utpote Deum, unctum vero per incarnationem.

25. *Ab egressu sermonis respondentis.* Ait quomodo et unde LXX hebdomadae numerandae sint, id est anni CCCCXC. Dicit ab egressu sermonis, pro ex quo loqui coepi rogationi tuae respondens. Erat autem primus Darii medi annus; immo vero unus, ut ipsa iam significaverat divina scriptura, regis eius qui Baltasari successit, uti demonstratum est. — Ut aedificetur urbs, et usque ad Christum hebdomadae VII. Propositum, inquit, est duo docere, tempus quo templum aedificabitur, itemque intervallum usque ad Christi adventum. Hinc enim, siquis, ait, tempus supputet usque ad templi aedificationem expletam, inveniet annos XLVIIII. Darii quidem ipsius annum tantummodo unum ponit propheta, dum ait uno anno regni eius: unus quippe dicitur, ceu si secundus non esset. Idcirco de Baltasare loquens, haud eadem locutione usus est: nam primo ait anno Baltasaris Chaldaeorum regis. Ubi enim secundum inveniebat, ibi necessario primum dixit: ubi autem secundus non erat, idoneum existimavit vocabulum *unus*. Neque illud quisquam dicat, Mosem scilicet primum diem, unum appellavisse. Nam quia tunc reapse unicus dierum omnium erat, unum dixit qui principio fuit. Sed cum sequentem memoravit, secundum hunc consequenter dixit: tamquam si, hoc nondum existente, ille prior unus fuisset, nondum habens cum sequente nexum. Sic demum secundo adiecto, primi nomen obtinuit, primatum originis habens. — Propheta igitur Darii supputat annum unum. Quod autem statim initio capitis ponitur anno primo, neminem moveat: nam veluti emendans promiscuum vocis sensum, subdidit anno uno; vel sic potius, ut aequius dicam, intepretatus est locutionis suae ambiguitatem. Certe quum de Baltasare loquens dixisset, anno primo Baltasaris, haud adiecit

(1) Cod. ὀνόματα. (2) Ps. XLIV. 8. (3) Cod χρισμένος. (4) Dan. VIIII. 2. (5) Dan. VII. 1. (6) Gen. I. 5. (7) Atqui illo quoque initio non *primo* sed *uno* habet textus hebraicus חדה et syrus simplex ܚܕܐ, nec non graecus quidam in hexaplis ἑνί. Tu vero de hac re legesis disputantem Eudoxium in hac catena ad Dan. I. 21.

A προσέθηκεν ἐν ἔτει ἑνί· ἐπὶ δὲ τοῦ Δαρείου, ἐπειδὴ πλὴν τοῦ ἑνὸς οὐκ ἠπίστατο, ταχέως τῇ προσθήκῃ τοῦ ἑνὸς ἐσαφήνισε τὸ πρὸς αὐτοῦ ῥηθέν· Κῦρον δέ φησι διαδέξασθαι τὴν ἀρχήν, ὃς ἀπὸ τῶν χρονικῶν φαίνεται (1) βασιλεύσας ἔτη

B λ· μεθ' ὃν Καμβύσης ὀκτώ· μεθ' ὃν οἱ μάγοι δύο ἀδελφοὶ ἐνιαυτόν· οὕτω γὰρ Ἰώσηπος τίθησιν ἐν τῇ ἑνδεκάτῃ αὐτοῦ ἱστορίᾳ τῆς ἰουδαϊκῆς ἀρχαιολογίας (2)· μεθ' οὓς τὸν Ὑστάσπου Δαρεῖον ἀπέδειξαν βασιλέα· ἐφ' οὗ τοῦ ναοῦ

C οἰκοδομὴ γίγνεται, ἀρξαμένη μὲν τῷ δευτέρῳ ἔτει, καὶ κατὰ τὴν τῶν χρονικῶν σημασίαν (3), καὶ κατὰ τὴν τοῦ προφήτου Ζαχαρίου φωνήν (4). πληρωθεῖσα δὲ κατὰ τὸν ἔνατον ἔτος τοῦ αὐτοῦ Δαρείου κατὰ τὸν Ἰώσηπον (5)· συλλογίζεται

D τοίνυν οὕτως τὰ μθ ἔτη (6)· καὶ φράσας τῆς οἰκοδομῆς τὸν χρόνον, λέγει καὶ ὅπως τὸν ἕως τοῦ Χριστοῦ παρουσίας ἀπαριθμεῖν δεῖ· λέγει δὲ οὕτως, καὶ ἑβδομάδες ξβ, καὶ ἐπιστρέψει καὶ οἰκοδομηθήσεται πλατεῖα καὶ περίτειχος, καὶ ἐκκε-

E νωθήσονται οἱ καιροί· πάλιν φησίν· ἀρίθμησον ξβ ἑβδομάδας ἅπερ γίνεται ἔτη υλδ, ἀφ' οὗ ἂν πλατεῖα (7) καὶ μεγίστη ἡ πόλις γένηται ἐκ τῆς τοῦ ναοῦ περιβολῆς. Διὰ τοῦτο καὶ ἀκριβῶς ἔφη, καὶ ἐπιστρέψει καὶ οἰκοδομηθήσεται πλατεῖα καὶ

F περίτειχος, τουτέστιν ἡ πόλις· τὸ δὲ ἐπιστρέψει, ἵνα εἴπῃ ὅτι μετὰ χρόνον τῆς τοῦ ναοῦ οἰκοδομῆς τὰ τῆς πόλεως ἐγερθήσεται τείχη (8)· καὶ γὰρ οὕτως συνέβη, ἐπὶ μὲν γὰρ Κύρου τὸ θυσιαστήριον ᾠκοδομήθη μόνον, ἐπὶ δὲ Δα-

G ρείου ὁ ναὸς ἔλαβε πέρας· Ἀρταξέρξου δὲ τοῦ μακρόχειρος ἐπικληθέντος χρόνοις ὕστερον γενομένου, ἀφ' οὗ Νεεμίας ᾔτησε κατὰ τὸ εἰκοστὸν ἔτος τῆς αὐτοῦ βασιλείας οἰκοδομῆσαι τὰ τείχη τῆς πόλεως, καὶ ἐπιτραπεὶς ἐπεραίωσεν αὐτὰ

H κατὰ τὸ β καὶ λ ἔτος τῆς αὐτοῦ βασιλείας· καὶ μηνύει ταῦτα ἡ τοῦ Ἔσδρα γραφή· τοῦτο δὲ οὕτως ἔχον καὶ ἀπὸ τῶν χρόνων εὑρήσει τίς ἄν, ἐὰν ἀκριβῶς σκοπούμενος ἐντεῦθεν τὶς ψηφίζων ἀπὸ τῶν χρονικῶν εὑρήσει υλδ ἔτη περαι-

I ούμενα κατὰ τὸ λβ ἔτος τῆς βασιλείας Ἡρώδου· μνησθεὶς γὰρ τῆς προκειμένης ἱστορίας ἐν τοῖς χρονικοῖς Εὐσέβιος, τίθησι κατὰ τὴν πϛ ὀλυμπιάδα, δευτέρου ἔτους τῆς αὐτῆς ὀλυμπιάδος, τὸ λβ ἔτος τῆς Ἀρταξέρξου βασιλείας (9)·

K φησὶ δὲ τὸν Ἡρώδην βεβασιλευκέναι ρπϛ ὀλυμπιάδι, κατὰ τὸ δ ἔτος τῆς αὐτῆς ὀλυμπιάδος· ἅπερ συνάγεται ἔτη υ (10)· τὰ δὲ ὑπόλοιπα λβ ἔτη ψηφιστέον τῶν χρόνων τῆς βασιλείας Ἡρώδου· μεθ' ἃ δεσπότης Χριστὸς τὸ κα-

L τὰ σάρκα τεχθεὶς φαίνεται· τὰ μὲν γὰρ πάντα ἔτη ἐβασίλευσεν Ἡρώδης λζ· φαίνεται δὲ κατὰ τὸ λβ ἔτος τῆς αὐτοῦ βασιλείας τεχθείς (11)· οὕτω γὰρ καὶ ὁ Εὐσέβιος συνάγει τὸν χρόνον· τούτων τοίνυν οὕτως ἐχόντων, σκεπτέον λοι-

M πὸν τὰς λέξεις, ὅπως σύμφωνον τὴν ἔννοιαν ἔχουσι τοῖς ῥηθεῖσιν.

anno uno. Verum in sermone de Dario, quoniam nonnisi unum adhuc annum noverat, statim adiectione vocabuli *unius* declaravit se de illo loqui. Cyrum ait in imperium successisse; qui, ut chronica docent, annis XXX regnavit. Post quem Cambyses octo; deinde magi duo fratres anno uno. Sic enim Iosephus scribit undecimo iudaicarum antiquitatum libro. Hinc Darius Hystaspis creatus est rex, sub quo templi aedificatio fuit, anno secundo coepta; ut in chronicis adnotatur, nec non prophetae Zachariae oraculo; absoluta autem anno eiusdem Darii nono, ut Iosephus tradit. Sic ergo anni XLVIIII conflantur. Iamvero narrato aedificationis tempore, dicit etiam quonam pacto supputandum sit temporis usque ad Christi adventum spatium. Ait vero sic: et hebdomadae LXII, et revertetur, et aedificabitur platea ac murus, et evacuabuntur tempora. Rursus ait: numera LXII hebdomadas, qui sunt anni CCCCXXXIIII, ex quo ampla et maxima urbs facta fuerit propter templi ambitum seu ornatum. Quare vigilanter dicit revertetur, et aedificabitur platea murusque, id est urbs. Porro dicit revertetur, ut ostendat fore ut post conditi templi tempus, urbis moenia excitentur. Sic enim reapse contigit: nam sub Cyro altare tantummodo positum est, sub Dario autem templum absolutum. Ab Artaxerxe demum, cui cognomen longimano, posteriore adhuc tempore Nehemias anno eius regnantis vigesimo postulavit ut urbis moenia excitare liceret; copiaque facta, anno eiusdem regni secundo supra trigesimum coronidem operi imposuit: id quod etiam scriptura Esdrae demonstrat. Rei huius veritatem e temporibus quoque cognoscere licet: nam qui ex illa aetate diligenti studio tempora supputet, is inveniet annorum CCCCXXXIIII seriem in Herodis regnantis anno XXXII fuisse conclusam. Sane Eusebius praedicta historia in chronicis memorata, olympiadis LXXXVI anno altero scribit Artaxerxis regnantis annum XXXII. Tum ait ab Herode regnum initum quarto anno olympiadis CLXXXVI; ita ut fiant anni intermedii CCCC. Reliqui autem anni XXXII temporibus Herodis regnantis attribuendi sunt; post quos Christus in carne natus apparuit. Summa enim annorum regnantis Herodis XXXVII. Constat autem Christum anno regni eius XXXII natum. Sic enim ipse Eusebius tempus conficit. His itaque definitis, reliquum est ut verba considerentur, utrum scilicet consonam dictis rebus sententiam habeant.

---

(1) Cf. Eusebium chron. lib. II. ed. Mediol. p. 334.
(2) Corrigendus ergo vulgatus textus Iosephi XI. 2, qui regnantis Cambysis dicit annos sex. (3) Euseb. chron. ed. Mediol. p. 335. (4) Cap. I. 1. 7. (5) Antiq. XI. 4. (6) Ita tamen, ut Cyri dicas annos XXXI, ut alio loco p. 257. scribit Eusebius. (7) Apte Polychronius ex duplici vocis πλατεῖα sensu, *ampla* delegit pro *platea*. (8) Polychronii interpretationem non improbo. Ceteroqui is non videtur sensisse hebraicam hendiadyn *revertetur* et *aedificabitur* pro *iterum aedificabitur*; quam nec figuram videsis usurpatam gen. IIII. 2. VIII. 10, I. Esdr. VIIII. 14; Luc. XX. 11.; act. XV. 16. Vulgo nos quoque Ita-

*

A Τὸ οἰκοδομῆσαι Ἱερουσαλήμ. Τουτέστι πρόκειταί εἰπεῖν τὸν χρόνον τῆς οἰκοδομίας τοῦ ναοῦ, ὅσα ἐστὶν ἔτη ἄχρι τοῦ πληρωθῆναι αὐτὸν οἰκοδομούμενον.

Ἕως χριστοῦ ἡγουμένου. Τουτέστι καὶ ἀπὸ τῆς
B οἰκοδομῆς τοῦ ναοῦ πάλιν εἰπεῖν σοι βούλομαι τὸν χρόνον ἕως τῆς χριστοῦ παρουσίας· αὐτὸν γὰρ χριστὸν ἡγούμενον ἐκάλεσε· χριστὸν ὡς κεχρισμένον καθὼς προέφην· ἡγούμενον δὲ ὡς δεσπόζοντα τῶν ἁπάντων.

C Ἑβδομάδες ἑπτά. Τουτέστιν οὗτος ὁ χρόνος τῆς οἰκοδομίας, ἔτη μθ. ὡς δέδεικται.

Καὶ ἑβδομάδες ἑξήκοντα δύο. Τουτέστι υλδ ἔτη ἀριθμεῖται μέχρι τῆς τοῦ χριστοῦ παρουσίας, ὡς εἴρηται. – Ἀντὶ τοῦ ἀριθμήσονται ταῦ-
D τα τὰ ἔτη, μὴ ἀφ' οὗ ἀνῳκοδομήθη ὁ ναός, ἀλλ' ἀφ' οὗ ἂν τὸ τεῖχος γένηται τῆς πόλεως· διὰ τοῦτο φησὶν ἐπιστρέψει· τουτέστι χρόνοις δὲ ὕστερον τὸ τέλειον σχῆμα ἀπολήψεται ἡ πόλις.

E Ἐκκενωθήσονται οἱ καιροί. Τότε γάρ φησι ἀναλωθήσονται οἱ καιροὶ οὗτοι οἱ προειρημένοι· τουτέστιν ὁ τῶν υλδ ἐτῶν χρόνος· μεθ' οὓς αὐτίκα χριστὸς τὰς ἐν ἀνθρώποις ποιήσει διατριβάς.

F Ἐξολοθρευθήσεται χρίσμα. Τουτέστι πᾶσα ἡ ἰουδαϊκὴ κατάστασις ἀφανισθήσεται· χρίσμα μὲν γὰρ λέγει τὸν ἱερέα τὸν κεχρισμένον· ὡς γὰρ Μωυσέα καλεῖ τὸν νόμον(1), ἀπὸ τοῦ τεθέντος τὸ τεθὲν σημαίνων, οὕτω καὶ χρίσμα
G τὸν χριστὸν ἱερέα· ἀπὸ τοῦ μετεχομένου τὸν μετέχοντα γνωρίζων· ὁ γοῦν ἑβραῖος καὶ ὁ σύρος σαφῶς ἐξολοθρευθήσεται χριστὸς (2) λέγει, τῇ μνήμῃ τοῦ ἱερέως συναιρῶν τὰς θυσίας. – Συμβήσεται δέ φησι ταῦτα ἰουδαίοις οὐχ
H ἅμα τῷ πληρωθῆναι τοὺς καιροὺς τοὺς ἄχρι τῆς τοῦ χριστοῦ παρουσίας ὁρισθέντας, ἀλλὰ πλείστοις ὕστερον ἔτεσιν. – Ἵνα τὴν κατὰ ἰουδαίων διὰ τὰς αὐτῶν παρανομίας ἐμφήνῃ ὀργήν· τοὺς μὲν οὖν ἀμεταμέλητα πταίσαντας, ἔξω
I τῆς ἐπαγγελίας πεποίηκε, τρόπον δὲ σωτηρίας τῇ οἰκουμένῃ λυσιτελέστερον παρέδωκεν.

Κρίμα οὐκ ἔστιν ἐν αὐτῷ. Ἀντὶ τοῦ, δικαστήρια καὶ ψῆφοι καὶ νόμοι· ἅπερ πάντα τὴν βα-
K σιλικὴν εὐταξίαν δείκνυσιν καὶ τὴν πολιτικὴν κατάστασιν.

Ἐκκοπήσονται ἐν κατακλυσμῷ. Οὐδὲν τῇ δυνάμει διαλλάττειν νομίζω τῆς προφητικῆς φωνῆς τὴν τοῦ κυρίου ἀπόφασιν· ὅτι γὰρ προφή-
L της ἐκκοπήσονται φησί, πρόρριζον αὐτῶν ἀπώλειαν δηλῶν· καὶ ὁ κύριος μὴ μένειν λίθον ἐπὶ λίθου ἀπεφήνατο(3), τὴν κατακράτος τῶν πολεμίων ἐδίδασκεν ἰσχύν. – Οὕτως γὰρ αὐτῶν κατακράτος οἱ πολέμιοι περιέσονται ὥστε μη-
M δὲ ἐλπίδας αὐτοῖς ἀνακτήσεως ὑπολείπεσθαι· τὸ γὰρ ἕως τέλους δηλοῖ τὴν παντελῆ ἀπώ-

Ut aedificentur Hierosolyma. Fert animus tempus dicere quo templum aedificabitur, nempe quot anni effluent donec illud absolvatur.

Usque ad Christum ducem. Post templum conditum rursus tibi dicam quantum temporis interiectum sit usque ad Christi adventum. Christo ducis appellationem largitur. Iam Christum dicit ob chrisma, ducem propter omnium rerum dominium.

Hebdomadae septem. Hoc temporis spatio condetur templum, nempe annis XLVIIII, uti demonstratum est.

Et hebdomadae sexaginta duae. Nempe anni CCCCXXXIIII numerantur usque ad Christi adventum, ut diximus. – Numerabuntur hi anni non a templo condito, sed a moenibus urbi circumdatis. Idcirco ait revertetur; id est posteriore aliquantum tempore absolutam formam urbs obtinebit.

Evacuabuntur tempora. Tunc concludentur, inquit, praedicta tempora, nempe annorum CCCCXXXIIII spatium: post quos ilico Christus inter homines versabitur.

7. *Procidentes turbae*. Hippolyti. Partim quidem sibi a rege timentes: generatim vero populus idololatriae obnoxius morem gessit regiis iussibus.

12. *Sunt viri iudaei*. Anonymi. Memorato regis praecepto, mentem suam detegunt. Iudaei, aiunt, et quidem captivi, et summorum honorum compotes, quibus a te patriae cura mandata fuit; hi viri scilicet quos vel servitus sine periculo delectare posset, nunc ceu si regno huic minime essent subiecti, leges spreverunt, decretum tuum flocci fecerunt. Nam ne-

(1) Dictum fuit p. 171, somnium regi accidisse anno eius secundo. Ergo statua posterior est annis sexdecim, quandoquidem anno regni decimo octavo facta fuit. (2) Cuiusnam sit haec lectio, docet nos Hieronymus: *pro Dura Theodotio Deira transtulit*. (3) Audiendus hoc loco Theodosius grammaticus, cuius exigua ad Danielem scholia in alio vaticano codice occurrunt: τὸν Δανιὴλ δὲ οὐ διέβαλον διὰ τὴν προσοῦσαν αὐτῷ ἀρετήν· οὕτω γάρ ἐστιν ἀρετὴ καὶ παρὰ τοῖς ἐναντίοις αἰδέσιμος: *Danielem ipsum non accusaverunt, virtutem eius reveriti. Quippe virtus in adversariis quoque venerabilis est*;

A τρίους ὑμῶν τιμήσαντες θεοὺς, οὔτε τὴν παρὰ
σοῦ ςαθεῖσαν εἰκόνα προσκυνήσαντες.
Ἀμμωνίου. Τοῦτο ϗ ἐποίησεν αὐτοῖς τὸν
φθόνον, ὅτι καθαροὶ ὄντες ἐνδοκίμους ὑπὲρ τοὺς
ἄλλους.
B Ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ. Εὐ-
δοξίου. Πῶς γὰρ οὐκ ἔμελλεν ὑπὸ τριῶν ἡττώ-
μενος ὡς ᾤετο ἀνδραπόδων, ϗ τούτων αἰχμα-
λώτων, ϗ ὑπ' αὐτοῦ τιμηθέντων;
Ἀπολιναρίου. Θυμοῦται διὰ τὴν καταφρόνη-
C σιν, ϗ ἐγκαλεῖ ταῦτα ἅπερ ἤκουσεν· οὐχ ὁρμᾷ
δὲ ὅμως ἐπὶ τιμωρίαν, ἀλλὰ προτείνει τὴν
ἀσέβειαν, εἰ δέξοιντο, ἐπ' ἐλπίδι τοῦ μὴ κο-
λασθῆναι· σπεύδει γὰρ ἡ πονηρία συνεπισπά-
σασθαι τοὺς προκατειλημμένους (1).
D Ἐὰν δὲ μὴ προσκυνήσητε. Εὐδοξίου. Πρὸς τὴν
εὐσέβειαν δι' ἀσεβείας ἀνθίςαται· ἐπανιςά-
μενος τῷ ὄντως Θεῷ, ὡς ἑνὶ τῶν ψευδωνύμων
θεῶν· εἰδὼς ὅτι διὰ Θεὸν ἀπειθοῦσιν αὐτῷ.
Καὶ ἀπεκρίθησαν Σεδρὰχ, Μισὰχ, Ἀβδενα-
E γώ. Ἱππολύτου. Οἱ δὲ τρεῖς παῖδες ὑπόδειγμα
πᾶσιν ἀνθρώποις πιςοῖς γινόμενοι, οἵτινες οὐκ
ὄχλον σατραπῶν ἐφοβήθησαν, οὐδὲ τὰ τοῦ βασι-
λέως ῥήματα ἀκούσαντες ἐδειλίασαν, οὐδὲ τὸ πῦρ
τῆς καμίνου καιομένης εἰδότες ἔπτηξαν, ἀλλὰ
F πάντων ἀνθρώπων καὶ ὅλου τοῦ κόσμου κατ-
εφρόνησαν, τὸν φόβον τοῦ Θεοῦ μόνον πρὸ ὀφ-
θαλμῶν ἐσχηκότες· τούτους Δανιὴλ μακρόθεν
ἑςὼς (2) ϗ σιωπῶν θαρρεῖν τούτους ἐδίδασκε
μειδιῶν πρὸς αὐτούς· χαίρων δὲ ϗ αὐτὸς ἐπὶ
G τῇ τούτων μαρτυρίᾳ, ἑωρῶν τρεῖς παῖδας μέλ-
λοντας κατὰ διαβόλου στεφανοῦσθαι.
Οὐ χρείαν ἔχομεν. Ἀπολιναρίου. Πρὸς μὲν
τὸ προσκυνεῖν ἢ μὴ, ἀπεκρίναντο οὐδὲν, ὑπερ-
ορῶντες τῶν ἀπειλῶν· περὶ δὲ τῆς τοῦ Θεοῦ
H δυνάμεως φιλοσοφοῦσιν· οὐ χρήζει φασὶν ὁ
Θεὸς τῆς ἡμετέρας συνηγορίας· ἀρκεῖ γὰρ ἡ
κτίσις κηρύξαι τὸν δημιουργόν· ϗ τῶν ὁρωμέ-
νων δὲ χωρὶς, δύναται παραδόξως ἐκ περὶ
ἡμᾶς προνοίας τὴν ἑαυτοῦ παραςῆσαι δεσπο-
I τείαν.
Γνωςὸν ἔςω σοι βασιλεῦ. Ἄλλου. Τιμῶ-
σι τῇ προσηγορίᾳ ἀβλαβῶς, ϗ φασὶν, οὐ λό-
γων δεῖ, ἀλλ' ἔργου, δι' οὗ γνώσῃ ἡμᾶς οὐ
θρασεῖς ἀλλ' ἀμεταθέτους.
K Ἀπολιναρίου. Ἀπισχυρίζονται τὸ δεῖν(3) νῦν,
ἀνανεύοντες πρὸς τὰ προταθέντα αὐτοῖς ἁπλῶς
ϗ βραχέως· οὐ γὰρ δεῖ λόγων τῷ ὄντι πρὸς ἀπη-
νῆ ϗ τιμωρητικόν· βασιλέα δὲ πυκνῶς καλοῦσι,
θεραπευτικῶς μᾶλλον ἢ παροξυντικῶς, ἐπιεικῶς
L ἢ θρασέως· οὐ γὰρ παροξῦναι δεῖ ἀλλὰ μὴ
φοβηθῆναι.
Καὶ εἶπεν ἐκκαῦσαι τὴν κάμινον ἑπταπλασίως.
Ἱππολύτου. Κάμινόν γε εἶδεν παμμεγέθει λέγει
ἐκκαῦσαι ἑπταπλασίως (4), πάντως ὡς ἤδη ὑπ'
M αὐτῶν ἡττώμενος· ἐν μὲν οὖν τοῖς ἐπιγείοις ὑπερ-
ίσχυσεν ὁ βασιλεύς· ἐν δὲ τῇ πίστει τῇ πρὸς

que nostros honorant Deos patrios, neque propositam a te statuam venerantur.

Ammonii. Augebat invidiam, quod hi prae ceteris optimatibus puri scelere essent.

13. *Nabuchodonosorus in furore et ira*. Eudoxii. Quid ni excandesceret, tribus victus ut putabat mancipiis, captivis insuper, atque ab eo honorifice habitis?

Apolinarii. Irascitur ob contemptum, atque obiurgat audita: neque tamen ilico ad poenam ruit; sed impium cultum suadet, si forte obaudiant, spe vitandae poenae illecti. Quippe improbitas satagere solet ut praeoccupatos sibi adiungat.

15. *Nisi adoraveritis*. Eudoxii. Pietatem impietate oppugnat, adversaturque Deo, tamquam uni e mendacibus diis; gnarus videlicet, Dei causa Iudaeos sibi obsequium abnuere.

16. *Responderuntque Sedrach, Misach, Abdenago*. Hippolyti. Cunctis exemplo sunt credentibus hominibus adulescentes tres, qui neque satraparum multitudinem extimuerunt, neque audita regis oratione animis conciderunt, neque ferventis fornacis aspectum exhorruerunt: sed omnes homines totumque mundum, prae divino quem ob oculos unice habebant metu, aspernati sunt. Hos Daniel tacitus procul spectans atque arridens bono animo esse iubebat: simul ipse laetus horum confessionibus, quia tres pueros videbat lauream de diabolo victoriam relaturos.

Haud opus est. Apolinarii. Quod quidem ad adorandum attinet, nihil respondent, minis contemptis. Circa vero Dei potentiam philosophantur. Ope nostra, inquiunt, Deus non indiget; satis enim creator a creatura praedicatur: et praeter hunc spectabilem mundum, vel haec sola circa nos providentia dominium eius demonstrare mirabiliter potest.

18. *Scito o rex*. Anonymi. Honorant eum hoc vocabulo, citra noxam. Aiunt vero nihil opus esse verbis sed opere, quod sane te docebit nos haud audaces esse sed constantes.

Apolinarii. Pernegant officium, praeceptoque diserte et abrupte adversantur. Revera haud verbis opus erat apud efferum crudelemque hominem; quem tamen regem iterato vocitant, blande potius quam acerbe, benigne magis quam audacter. Neque enim ille exasperandus erat sed non extimescendus.

19. *Mandavit ut fornax inflammaretur septuplum*. Hippolyti. Immensae materiae rogum mandat septupla vi succendi, ceu iam prorsus ab illis victus. Terrenis quippe viribus praevalebat rex,

(1) Heu quam vetus est consuetudo improborum dandi operam, ut eos qui probi sunt, suae sectae adiungant! (2) Recole Theodosii grammatici scholion p. 180. n. 3. (3) Alius codex δεῖ. (4) Hieronymus epist. XXXVI. 7: *nonnulli septenarium numerum plenum et perfectum interpretantur, de multis scripturarum locis testimonia contrahentes*. Res satis nota est.

A θεὸν ὑπερίσχυσαν οἱ τρεῖς παῖδες. – Εἰπέ μοι Ναβουχοδονόσορ τίνι λόγῳ δεδεμένους κελεύεις βληθῆναι εἰς τὸ πῦρ; μήπως φύγωσιν, εἰ λελυμένοι τοῖς ποσὶν τὸ πῦρ κατασβέσουσιν; ἀλλ' οὐ σὺ εἶς ὁ ταῦτα ἐργαζόμενος ἀλλ' ἕτερος ἐν
B σοὶ ταῦτα ἐνεργῶν.

Ἑπταπλασίως. Ἄλλου. Τὸ τοῦ θυμοῦ ἴδιον· καὶ ἡ προτέρα γὰρ ἤρκει φλὸξ πρὸς ἀναίρεσιν τῶν νεανιῶν. – Ἀντὶ τοῦ εἰς τὸ ἀκρότατον τὴν φλόγα ἀγάγετε, ὡς μείζονα γενέσθαι οὐχ οἷόν
C τε· ᾠκονόμητο δὲ τοῦτο παρὰ Θεοῦ, ὥστε μήτε τῇ ἐλαχιστότητι τοῦ πυρός, μήτε τῇ ἀνθρωπίνῃ φειδοῖ λογισθῆναι τὸ θαῦμα, ἀλλὰ τῇ θείᾳ ψήφῳ κριθῆναι τὸ γενόμενον.

Ἄνδρας ἰσχυροὺς εἶπε. Ἄλλου. Γενναίους
D τὴν ῥώμην προσέταξεν ἀχθῆναι· εἶτα πέδας περιβαλεῖν τοῖς ποσί· καὶ οὕτω πρὸς ἀπώλειαν ῥῖψαι εἰς τὴν κάμινον.

Σὺν τοῖς σαραβάροις. Εὐδοξίου. Τὰ ἐκ κόκκου (1) κατασκευαζόμενα παρ' αὐτοῖς προσαγορεύ-
E εται, τὴν βρακίων ἔχοντα τάξιν, καὶ μηρεδίταις προσδεσμούμενα· ταῦτα δὲ ἐφόρουν ὡς ἐπίσημοι καὶ σατράπαι· τιάρας δὲ πάλιν ὡς τοιοῦτοι ἐφόρουν, γυμνὴν οὐκ ἀνεχόμενοι δεικνύναι κεφαλὴν (2).

F Ἄλλου. Ἀντὶ τοῦ σὺν τοῖς ὑποδήμασι· σαράβαρα (3) δὲ οἶμαι λέγειν τὸν προφήτην χαλδαϊκῇ γλώττῃ· σημαίνει δὲ τὴν περὶ τὰ σκέλη ἐσθῆτα, ἣν ὑποδυόμενοι ἐπιχωρίως τὰ γυμνὰ τοῦ σώματος κρύπτειν εἰώθασι· τινὲς δὲ σαράβαρα εἰ-
G ρήκασι τὰ μὲν παρὰ τῶν πολλῶν λεγόμενα μώκια (4), παρὰ δὲ τοῖς Ἕλλησιν ἀναξυρίδας προσαγορευόμενα.

Τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυσε. Ἄλλου. Σημαίνει ὥς τινες οἴκτῳ φερόμενοι ἀντέστησαν
H τῷ βασιλεῖ, θαυμάζοντες τῶν παίδων τὴν ἀνδρείαν, καὶ τῶν πατρίων νόμων τὴν φυλακήν· ἀλλὰ τὸ ῥῆμα φησὶ τοῦ βασιλέως ὑπερίσχυσε, καὶ νενίκηκε τῶν παρακαλούντων τὴν ἱκετείαν.

Περιεπάτουν ἐν μέσῳ τῆς φλογός. Εὐδοξίου.
I Οὐχ ὑφ' ἑαυτῶν, οὐχ ὑπὸ πυρός, ἀλλ' αὐτομάτως ἐκ χάριτος τῶν δεσμῶν ἐλύοντο, καὶ περιεπάτουν εἰς μέσον τοῦ πυρός, ἐμφιλοτιμούμενοι τῇ τοῦ Θεοῦ χάριτι, καὶ οὐδὲ ἑστάναι ἀνεχόμενοι, προσεξάπτοντες τὴν φλόγα, ὥσπερ ἐν βαλανείῳ,
K θερμότερον τὸν ἀέρα ποιῆσαι βουλόμενοι, καὶ δεικνύντες τὸ θαῦμα παράδοξον.

Εὐλογοῦντες τὸν κύριον. Εὐδοξίου. Τουτέστι, σχῆμα χοροῦ ποιησάμενοι, ὕμνουν τὸν Θεόν, τοῦ Ἀζαρίου τῆς ᾠδῆς ἀρξαμένου.

L Ἀνοίξας τὸ στόμα. Εὐδοξίου. Καινοπρεπῶς ἡρμήνευσε τὸ γεγενημένον· ἐπειδὴ γὰρ ἔθος τοῖς τὴν τιμωρίαν ταύτην δεχομένοις χανδὸν ἁρπάζειν τὸν καπνόν, ὡς μὴ κατὰ μέρος ἡ φλὸξ προσομιλοῦσα τοῖς σώμασι, χαλεπωτέραν τὴν ὀδύνην
M παράσχοι, τὸ ξένον τοῦ γεγενημένου παραστῆσαι βουλόμενος φησίν, ἀνοίξας τὸ στόμα αὐτοῦ,

sed fide in Deum superabant tres pueri. – Dic mihi, Nabuchodonosore, quamobrem iubes vinctis pedibus adulescentes in ignem coniici? num ne fugiant, si forte solutis pedibus extinguere incendium valeant? Sed enim haud tua sunt eiusmodi consilia, verum alterius haec in te operantis.

Septuplum. Anonymi. Furoris proprietas fingitur. Nam et consueta flamma extinguendis adulescentibus sufficiebat. – Nimirum incendium tantum efficite, quo maius nullum esse possit. Porro Deus id curabat, ne forte flammae exiguitati vel humanae clementiae prodigium imputaretur, quum divinae opi res foret adscribenda.

20. *Robustis viris mandavit*. Anonymi. Validos viros adesse iussit: his ut pedicas pedibus iniicerent imperavit, atque ita adulescentes in fornacem consumendos coniicerent.

21. *Cum sarabaris*. Eudoxii. Sic apud eos appellantur confectae cocco vestes, quae braccarum munere funguntur, feminibus alligatae. Has gestabant satrapae et nobiles: tiaris item dignitatis ergo utebantur, neque nudum caput habere patiebantur.

Anonymi. Cum calceamentis, quae *sarabara* a propheta dici chaldaico sermone arbitror. Significat crurum amictum, quo sic patria lingua appellato nudas corporis partes velare solent. Nonnulli *sarabara* dixerunt ea quae vulgo μώκια appellantur; quibus Graeci ἀναξυρίδας (subligacula) nomen fecerunt.

22. *Mandatum regis praevaluit*. Anonymi. Significat, nonnullos misericordia commotos obstitisse regi, dum adulescentium fortitudinem mirarentur et patriarum legum observantiam. Sed enim mandatum, inquit regis, praevaluit, et oratorum repulsa fuit deprecatio.

23. *Medio igne inambulabant*. Eudoxii. Neque vi propria neque igne sed spontanea gratia vinculis resoluti medio igne obambulabant, Dei beneficio gloriantes. Neque stare patiebantur, sed ignem circum se excitabant, veluti qui in balneis calidiorem aerem sibi curant: atque ita prodigium mirum ostentabant.

Laudantes Dominum. Eudoxii. Chori cuiusdam instar Deum celebrabant, Azaria hymnum praeeunte.

24. *Os aperiens*. Eudoxii. Rem locutione insolita declaravit. Nam sicuti mos est eorum, qui ignis supplicio addicuntur, ore hiante fumum attrahere, ne flamma corpus membratim pervadens diriorem efficiat cruciatum; ita rem novam oculis subiicere volens ait, *aperiens os suum*, ut

(1) Barbarorum ex insulis confectas e cocco non solum vestes sed variam suppellectilem in vaticanam bibliothecam his annis intulimus; haeque res satis artificiose elaboratae invisentium oculis quotidie prostant. (2) More adhuc apud orientales gentes vigente. (3) Omnino audiendus heic Hieronymus: *pro braccis quas Symmachus* ἀναξυρίδας *interpretatus est, Aquila et Theodotio saraballa dixerunt, et non, ut corrupte legitur, sarabara. Lingua autem Chaldaeorum saraballa, crura hominum vocantur et tibiae, quasi crurales et tibiales appellatae*

A εἶπεν· ἵν' ὁμοῦ τό τε τῶν παίδων τὴν ἀνδρείαν
σημάνῃ καὶ τοῦ Θεοῦ τὴν δύναμιν παραστήσῃ. —
Καὶ ἐπὶ μὲν τοῦ βασιλέως μετὰ παῤῥησίας πάν-
τες ἐφθέγγοντο· ὅτε δὲ ἔδει εὐχὴν ἀναφέρε-
σθαι, τάξιν ἐτήρουν.

B Εὐλογητός. Εὐδοξίου. Ὕμνων γὰρ εἶ ἄξιος σύ
φησιν, ὁ διὰ τοὺς πατέρας τὸ ἡμέτερον ἐκλεξάμε-
νος γένος· καὶ δοξάζειν σε δίκαιον, ἐπείπερ οὐδε-
νὶ χρόνῳ γηράσκει σου ἡ δύναμις· ὡς δὲ πρὸ
τῆς κτίσεως, καὶ διαμενεῖς ὁ αὐτός· τοῖς ἐπὶ
C σοὶ πεποιθόσι τῆς αὐτοῦ ἐξουσίας παρέχων τὰς
ἀποδόσεις.

Ὅτι δίκαιος. Ἄλλου. Δείκνυσι τὰ πράγ-
ματα, ὡς ἀξίαν τῶν πλημμελημάτων δίκην
ὑπέστημεν, ὑπὸ τοῖς ἐχθροῖς γενόμενοι· ἀλη-
D θῆ δὲ ἄρα φησὶ καὶ τὰ πάλαι γεγενημένα ἐπὶ
τῶν πατέρων ἡμῶν, τά τε κατ' Αἴγυπτον καὶ
κατὰ τὴν θάλασσαν, καὶ ὅσα ἐν τῇ γῇ τῆς
ἐπαγγελίας ἐπράχθη· οὐ γὰρ ἂν εἴπερ ἐκεῖ-
να ἦν ψευδῆ, τοσαύτης κατὰ τὸ παρὸν ἐπι-
E κουρίας παρὰ σοῦ τετυχήκασιν(1). — Τουτέστι τὰ
παρὰ σοῦ γενόμενα ἀνεπίληπτα. — Τὰ εἰς ἡμᾶς
φησὶ γεγενημένα, δικαίως ἔκρινας· τοὺς γὰρ
εἰς σὲ ὑβρίσαντας σωφρονεστέρους ταῖς συμ-
φοραῖς εἰργάσω. — Οὐδεὶς γοῦν φησιν ἔχει μέμ-
F ψασθαι οὐδενὶ τῶν γεγενημένων εἰς ἡμᾶς, οὐ
τῶν εἰς τὴν πόλιν γενομένων, ἢ τῶν εἰς τὸν
ναόν· ἐπείπερ φόνων μὲν τὴν πόλιν ἐνεπλή-
σαμεν (2) τὸν δὲ ναὸν εἰδώλων, αὐτοὶ δὲ ἑαυ-
τοὺς τὰ χείριστα διεθήκαμεν. — Οὐδεμίαν γὰρ
G φησὶν ἔχομεν συγγνώμην, εἰς ἐσχάτην παρα-
νομίαν χωρήσαντες, καὶ τοῦτο προφήτας ἔχον-
τες συνόντας, καὶ τοσαύτης παρὰ σοῦ τυχόν-
τες ἀνεξικακίας. — Τουτέστι μετὰ πολλῆς φι-
λοτιμίας τὸ κακὸν διεπραξάμεθα· πρὸς γὰρ
H τοῖς ἤδη παραδόξοις εἰς ἡμᾶς γεγενημένοις καὶ
μισθὸν ὑποσχόμενος τῆς τῶν νόμων εὐτηρησί-
ας, παρ' ἡμῶν οὐκ ἠκούσθης. — Ἀκριβῶς φύ-
σιν ἐξετάζων, τά τε παρ' ἡμῶν γεγενημένα,
τά τε ἡμῖν ἐπαχθέντα, ἀγασθείη ἄν σε τοῦ
I ὅρου τῆς ψήφου. — Ἄδικον μὲν οὖν ἐκάλεσαν,
ὡς τὴν τοῦ Θεοῦ ἁρπάσαντα τιμήν· πονηρότα-
τον δὲ ὡς καινόν τινα τρόπον πονηρίας τὴν τι-
μωρίαν κατὰ τῶν οὐδὲν ἐπταικότων ἐφευρόντα.

Ἀμμωνίου. Διὰ γὰρ τοῦτο ὁ Θεὸς παραγ-
K γέλλει ἡμῖν καλοποιεῖν, ἵνα καὶ τῶν ἀνεκφρά-
στων ἡμᾶς ἀξιώσῃ καλῶν. — Τουτέστιν οὐ δυ-
νάμεθα παῤῥησιάσασθαι ἐπὶ τοῖς ἤδη γεγενημέ-
νοις θαύμασιν· ἡ γὰρ συμφορὰ ἀφαιρεῖται τὴν
ἐπὶ τοῖς γεγενημένοις παῤῥησίαν· διὸ καὶ ὀνει-
L διζόμενοι ἄφωνοι διαμένομεν. — Ἀλλ' εἰσπρα-
ξάμενος ἡμᾶς φησὶ δίκας παράσχου ἔλεον. —
Εἰ γὰρ καὶ αὐτοὶ φησὶν οὐκ ἄξιοι τυχεῖν τῆς πα-
ρὰ σοῦ κηδεμονίας, ἀλλ' οὖν διὰ τὴν πρὸς τοὺς
M πατέρας ἐπαγγελίαν, μεταβολὴν παράσχου
τῶν κατεχόντων δεινῶν· ἀκριβῶς γὰρ ἐπιστά-
μενος τὰ μετὰ ταῦτα, ἰσαρίθμους τοῖς ἄστροις

simul et adulescentium fortitudinem et Dei potentiam ostenderet. — Et coram rege quidem audacter loquebantur; quum autem orandus Deus esset, modestiam prae se ferebant.

26 *Benedictus*. Eudoxii. Hymnis tu dignus, qui maiorum gratia genus nostrum elegisti. Laudibus ornandus es, cuius nullo tempore potentia senescit. Ante res creatas exsistis, idemque permanes: atque eos qui tibi confidunt, potestate tua remuneraris.

27. *Quia iustus*. Anonymi. Res ipsa demonstrat, nos dignas peccatorum poenas luere qui in hostium potestatem devenimus. Vere profecto sunt illa etiam quae maioribus acciderunt sive in Aegypto, sive in mari, sive in ipsa promissionis regione. Nam siquidem illa cassa veritate forent, ne nunc quidem tantam abs te opem essemus consecuti. — Quae facis ipse incomprehensibilia sunt. — Quae nobis acciderunt, ea tu recte decrevisti. Nam qui iniurii adversus te fuerant, eos modestiores calamitatibus reddidisti. — Nemo de nostris casibus queri potest, sive qui urbi sive qui templo acciderunt: nam et urbem homicidiis, et idolis templum replevimus, atque ipsi nobis pessima mala intulimus — Nulla digni venia sumus, qui in extremam malitiam venimus, quamquam prophetae inter nos versarentur, tuaque tanta uteremur clementia. — Studiose admodum scelera commisimus. Nam quum praeter prodigia vetera, mercedem quoque observantibus legem promitteres, prorsus tibi non auscultavimus. — Qui naturam accurate nosti, res item a nobis gestas et mala quae patimur; finem denique tuae sententiae facias. — Regem iniustum appellant, qui Dei honorem sibi vindicabat: pessimum, quia novum improbitatis genus in poena eorum excogitaverat qui nulla re deliquerant.

33. Ammonii. Idcirco nos Deus recte agere iussit, ut summis bonis adficiat. — Haud nobis gloriari licet priscis prodigiis: calamitas enim fiduciam rerum eripit: quare et conviciis lacessiti obmutescimus. — Qui poenam de nobis sumpsisti, nunc demum clementiam exsere. — Quamquam ipsi providentia tua digni non sumus, promissorum tu tamen patribus memor praesentia mala dispelle. Nam qui futura tempora noveras, parem sideribus et maritimae harenae po-

---

sunt. Hieronymus scribit *sarabella* etiam epist. I. 9, quamquam et ibi est varia lectio *sarabara*. (4) Notemus vulgaria vocabula βρίκια et μέκια.

(1) Praesenti miraculo utuntur pii adulescentes ut vetustiorum fidem confirment. Sed licet etiam praeteritorum miraculorum auctoritate uti, ut ea credibiliora existimentur, quae posterioribus temporibus homines vere sancti, Deo auctore, prae se tulerunt. Alioquin qui temere et inconsulte recentioribus cunctim prodigiis fidem derogant, antiquorum pariter fidem haud scio an labefactent. (2) Iudaeorum genus efferatum mutuisque caedibus deditum aetate saltem sua scribit Iosephus bell. iud. V. 10. Id alia quoque permulta documenta tradunt; et nunc etiam in hoc Azariae hymno cognoscitur.

A ϗ τῇ παραλίᾳ ἄμμῳ τὰς ἐκείνων ἀπογόνους ὑπέρχου ποιήσειν. – Πάντα ἡμῖν φησὶν εἰς τὸ ἐναντίον μεταβέβληται· ϗ ὔτε κατὰ τὴν ὑπὸ σοῦ ὁρισθεῖσαν τάξιν ἔχομεν βασιλέα· οὐ πνευματοφόρος παρ' ἡμῖν τὸ μέλλον λέγων (1)·
B ὐ τῶν κοινῶν πραγμάτων ἔχων τὴν διοίκησιν· ὐχ ἱερεὺς τοῖς ὁλοκαυτώμασι γνωρίζων τὴν δεσποτείαν· ὐχ ὑπὲρ ἁμαρτημάτων προφέρων θυσίας, οὐ γεραίρων ἑτέροις τισὶ δώροις, ὐ τῇ εὐωδίᾳ τὴν ὀφειλομένην ἀναπέμπων τιμήν.
C Οὐκ ἔστιν ἐν τῷ καιρῷ τύτῳ ἄρχων ϗ προφήτης ϗ ἡγύμενος. Εὐδοξίου. Καταψηφίζονται τῦ Ἰεζεκιὴλ, ἀτιμάζουσι τὸν Δανιήλ; ἀλλ' ὐκ ἔστι φησὶν ἄρχων ϗ προφήτης ϗ ἡγύμενος τὸ ἑαυτοῦ ποιῶν, τὸ ἔθνος συναγαγεῖν ἰσχύων,
D ϗ τῦτο συγκροτεῖν δυνάμενος, ϗ ἐν λιταῖς ἐξευμενίζεσθαι· ἀλλ' ἕκαστος ἐν αἰχμαλωσίᾳ ἐστίν· ἵνα δὴ τὰ ἐδωδότα τῶν κρεῶν ἄφθαρτα διαμένῃ (2).

Νῦν ἐξακολυθῦμεν ϗ ζητῦμεν τὸ πρόσωπόν
E συ. Ἀμμωνίυ. Ἐπειδὴ γὰρ κατακολουθῶν εἶπεν, εἰκότως ϗ νῦν προσώπου μέμνηται· ὁ γὰρ καλῶς κατακολουθήσας, ϗ προσώπου ἀξιῦται. – Εὐθέως γὰρ ἡ θέα τῦ σοῦ προσώπου εὐφραίνει τὰ πρόσωπα τῶν σῶν θεατῶν, ἀλλ'
F οὐ καταισχύνει. – Τουτέστι μὴ διαμάρτωμεν τῆς εἰς σὲ ἐλπίδος, ἀλλὰ συνήθως τῇ σαυτῦ φιλανθρωπίᾳ τῶν κινδύνων ἐξάρπασον, ϗ παραδόξως ἐλευθέρωσον τῶν κατεχόντων δεινῶν. Ὥστε ἅπαντας εἰς εὐφημίαν χωρῆσαι, ὡς ὐκ
G ἀφέντος ἐν δεινοῖς τὰς ἐπὶ σοὶ πεποιθότας. – Ἐκ δὲ τῶν ἐναντίων φησὶ τὰς ἐπιτρίβοντας ὑμῖν τὰς συμφορὰς, διαμαρτεῖν τῆς ἐν ἀνθρώποις παῤῥησίας ποίησον, ϗ μάταιοι ἐν τῇ παρύσῃ δυναστείᾳ ὀφθεῖεν.
H Ἐντραπείησαν. Εὐδοξίυ. Ἐπειδήπερ ἐκ ταύτης ἐπήρθησαν πρὸς θεομαχίαν, καταισχυνθείησαν ἐκ τῆς δυναστείας, ἵνα παύσωνται τῆς θεομαχίας.

Ἡ ἰσχὺς αὐτῶν συντριβείη. Εὐδοξίυ. Οὐ
I γὰρ ἐγένετο ὑποστήριγμα κόσμου ἀλλὰ καταφθορὰ κόσμου.

Γνώτωσαν ὅτι σὺ εἶ κύριος. Εὐδοξίυ. Ὥστε ἅπαντας ἐξ αὐτῶν τῶν πραγμάτων παιδευθῆναι ὡς ἀνόνητον μὲν ἡ τῶν εἰδώλων θρησκεία·
K σὺ δὲ εἶ ὁ τῶν ὅλων κύριος, ἅπαντα κατὰ τὸ λυσιτελὲς διαπραττόμενος, ϗ κρείττους τῶν κινδύνων τὰς ἐπὶ σοὶ πεποιθότας ποιῶν.

Οὐ διέλειπον αὐτὰς οἱ ἐμβάλλοντες. Εὐδοξίου. Τῦτο τῦ προστάγματος εἶχε τῦ βασι-
L λικοῦ· ἐπειδὴ γὰρ ἐκέλευσεν ἑπταπλασίως ἐκκαυθῆναι τὴν κάμινον, ὐκ ὡρκέσθησαν ἄχρι τῦ ῥῖψαι τὰς παῖδας τῦτο ποιῦντες, ἀλλὰ ϗ μετὰ ταῦτα μείζονα εἰργάζοντο τὴν φλόγα τῇ προσθήκῃ τῆς ὕλης.
M Καὶ διεχεῖτο ἡ φλόξ. Ἱππολύτυ. Ἐλασθὲν γὰρ φησὶ τὸ πῦρ ἔσωθεν ὑπὸ τῦ ἀγγέλυ, ἔξω ἐξέβλυσεν· ὁρᾶτε (3) πῶς αὐτὸ τὸ πῦρ φρόνιμον

sterorum numerum te effecturum recepisti. – Cuncta nobis retro sublapsa feruntur: neque pro tua civili constitutione regem habemus; neque aliquem spiritu instinctum qui futura nobis praecinat; neque rerum publicarum rectorem; neque sacerdotem qui tuum dominium sacrificiis denotet, vel qui victimas pro peccatis immolet, vel alia munera offerat, et thuris fragrantia debitum Deo impendat honorem.

38. *Non est hoc tempore princeps, neque propheta, neque dux*. Eudoxii. Num Ezecielem damnant, aut Danieli contumeliam inferunt? Immo aiunt, nullum esse principem aut prophetam aut ducem qui officio suo proprie fungatur, qui populum congregare valeat, et conflare remp., vel qui Deum precibus placare possit: sed omnes in captivitate versari, ita ut carnes sacrificiorum intactae maneant.

41. *Nunc te sequimur, tuamque faciem exquirimus*. Ammonii. Qui sequendi mentionem fecerat, recte faciem dicit. Nam qui officiose sectatur, is fruendi conspectus dignus fit. – Ilico enim faciei tuae visio cernentes beat, nedum pudore adficit. – Ne spe nostra excidamus, sed more tuo clementi periculis nos expedito, ac malorum pondere mirabiliter releva. – Sic omnes in tuas laudes effundemur, qui tibi confidentes haud perpetuis opprimi malis pateris. – Immo vero eos qui malorum nobis auctores sunt, a sua rerum humanarum fiducia dedepelle, vanamque ostende, qua nunc fruuntur, dominationem.

44. *Confundantur*. Eudoxii. Qui suis viribus ad oppugnandum Deum abutuntur, utinam imperium amittant, ut impio bello absistant!

Robur eorum conteratur. Eudoxii. Neque enim id fulcrum mundi est sed ruina.

45. *Noscant te esse dominum*. Eudoxii. Cuncti re ipsa edoceantur de cultus idolici vanitate. Tu vero omnium dominus, omnia ex utilitate nostra metiens, ac eos qui tibi confidunt a periculis protegens.

46. *Non cessabant qui eos coniecerant*. Eudoxii. Nimirum hoc a mandato regis fiebat. Nam quia septupla vi fornacem incendi iusserat, non adulescentes tantummodo coniecerunt, sed validiorem flammam aggerendo materiem efficiebant.

47. *Et effundebatur flamma*. Hippolyti. Perpulsa enim, ait, intrinsecus flamma ab angelo, extra emergebat. Cernitis ut ipse ignis sapienter agat,

---

(1) Sapienter observat Hieronymus, aliquando accidere ecclesiae, ut propter peccata populi, ea eorum virorum et magistrorum, qui in lege Dei doctissimi sunt, sustineat penuriam. (2) Recole Mopsuesteni comm. in Ionam p. 66. (3) Rursus hinc cognoscimus Hippolyti commentarium oratorio more recitari. Recole p. 178. n. 1; idque in fragmentis etiam chisianis animadvertit romanus eorumdem editor.

A ὑπάρχει, ἐπιγινώσκων καὶ κολάζων τοὺς αἰτίους· τῶν
μὲν γὰρ δούλων τοῦ Θεοῦ οὐχ ἥψατο, τοὺς δὲ ἀπί-
στους καὶ ἀθέους τῶν Χαλδαίων κατεφλόγησεν·
καὶ οἱ μὲν ἔσω ὄντες ἐν τῇ καμίνῳ ὑπὸ τοῦ ἀγ-
γέλου ἐδροσίζοντο· οἱ δὲ δοκοῦντες ἔξω τῆς
B καμίνου ἀμέριμνοι ἱστάναι, ὑπὸ τοῦ πυρὸς οὗ-
τοι διεφθάρησαν· τοὺς ἄνδρας τοὺς ἐνδιαβάλ-
λοντας τοὺς παῖδας ἐνεπύρισεν ἡ φλὸξ, κυκ-
λόθεν οἶμαι εὑρεθέντας πρὸς τὸν δεσμὸν αὐτῶν
τῶν παίδων χωρήσαντας.

C Ἐνεπύρισεν οὓς εὗρε. Ἀπολιναρίου. Ἅπτεται
οὖν τοῦ βασιλέως διὰ τῶν ὑπηρετῶν ἡ κόλασις.

Ὁ δὲ ἄγγελος κυρίου συγκατέβη. Εὐδοξίου.
Ὁ τῆς μεγάλης βουλῆς ἄγγελος ἄνω τε ὢν
καὶ κάτω παρὼν συγκατέβη, χρείαν μηνύων,
D οὐ κίνησιν ἐμφαίνων· ὁ δὲ ἄγγελος κυρίου·
καὶ οὐκ εἶπεν ἄγγελος κυρίου, ἀλλ᾽ ὡρισμένως καὶ
κατ᾽ ἐξοχὴν μηνυόμενος· οὐ γὰρ ἦν ἀγγελικῆς
δυνάμεως, οὐδὲ λειτουργικῆς ἰσχύος ταῦτα
δρᾶν (1)· τὸ μὲν γὰρ κωλύειν τὰ σώματα
E καυθῆναι τῶν πυρὶ ὁμιλούντων, οὐ καθάπαξ
ἀμήχανον· ὁρῶ μὲν γὰρ ταύτην τὴν τερατείαν
κατὰ τὸ ὀξύτατον τελουμένην, καὶ παρὰ τοῖς
τελοῦσι τὰς ἐναγεῖς αὐτῶν τελετάς· τὸ δὲ καὶ
μεταβαλεῖν τὴν τοῦ πυρὸς ἀκμὴν εἰς δρόσον·
F καὶ ὅλον ἐξ ὅλης ἐναντίαν ἐργάσασθαι, φυσιουρ-
γοῦ ἦν ἀμείβειν τὰ τῆς φύσεως δυναμένου· καὶ
τὸ ἐπάγειν ὡς ἐκεῖνος τὸ μέσον τῆς καμίνου
ὡς πνεῦμα δρόσου διασυρίζον, ἔδειξεν ὡς
ἀφῆκε μὲν ἔνδον εἶναι τὸ πῦρ, βουλήσει δὲ
G οἰκείᾳ ἤμειψε τὴν τούτου ἰσχὺν (2).

Εὐσεβίου Καισαρείας ῥητὰ προκειμένου, φωνὴ
κυρίου διακόπτοντος φλόγα πυρός. Διεκόπη μὲν
ἐν τῇ Βαβυλῶνι ἡ φλὸξ τοῦ πυρὸς διακοπεῖσα τῷ
προστάγματι τοῦ Θεοῦ· ἐδέξατο ἐν αὐτῇ ἡδί-
H στην ἀναπνοὴν καὶ ἀναψυχὴν, ὥσπερ ἐν σκιᾷ τι-
νὶ φυτῶν ἐν εἰρηνικῇ καταστάσει παρεχομένη
τοῖς παισίν· ἐγένετο γάρ φησι ὡσεὶ πνεῦμα
δρόσου διασυρίζον (3).

Ἄλλου. Οὐ κατά τινα φησὶ συντυχίαν τῆς
I σωτηρίας ἔτυχον, ἀλλὰ κατὰ Θεοῦ προστασίαν·
ἄγγελος εἰς βοήθειαν ἀποσταλεὶς, ἄπρακτον
κατ᾽ αὐτῶν τοῦ πυρὸς κατέστησε τὴν ἐνέργειαν·
ὥστε δοκεῖν πνεύματος σφοδροτάτου φορὰν με-
σολαβοῦσαν τοῦ πυρὸς τὴν φύσιν, εὐρυχωρίαν
K ἐργάζεσθαι τοῖς παισίν· οὐ γὰρ μόνον οὐκ ἀπέ-
θανον, ἀλλ᾽ οὐδὲ ὡς πυρὶ πλησιάσαντες αἴσ-
θησιν ἐλάμβανον· οὐκ εἶπε δὲ πνεῦμα δρόσου
διασυρίζον, ἀλλ᾽ ὡς πνεῦμα· τουτέστι τοιαύ-
τη τις αἴσθησις ἐγένετο· οἷον δή τι καὶ ἐν τῇ
L ἐπὶ τοὺς ἀποστόλους καθόδῳ τοῦ πνεύματος
ἐπιτελέσθη, πρὸς ἅπασαν διδασκαλίαν τοῦ
παραδόξου, ὡς ἂν μὴ μαγικῇ τινὶ τέχνῃ δό-
ξωσιν ἐλευθερῶσθαι τῶν κινδύνων, ἢ λόγοις
ἐπῳδῆς, οἷα φιλεῖ γίνεσθαι πρὸς ἀπάτην τῶν
M θεωμένων ὑπὸ τῶν θαυματοποιῶν.

dum novit punitque sontes. Nam Dei servos non attigit, incredulos autem et atheos Chaldaeos ambussit. Et illi quidem intra fornacem conclusi irrorabantur ab angelo, hi vero qui se extrinsecus securos arbitrabantur, igne consumpti sunt. Viros illos qui adulescentibus calumniam struxerant incendit ignis, circa eum locum ut puto versantes, dum vinciendis pueris operam darent.

48. *Ambussit quos reperit*. Apolinarii. Tangit regem ipsum ministrorum poena.

49. *Angelus autem Domini descendit*. Eudoxii. Magni consilii angelus superne simul existens et tamen inferne praesens aderat. Ministerium autem scriptor innuit, non motum ostendit. Neque dicitur ex angelis Domini unus, sed certus quidam et per antonomasiam demonstratus. Neque enim erat angelicae potestatis, aut famularum virium talia prodigia edere. Atque eorum sane corpora, qui attingunt ignem, ab ustione prohibere non omnino est impossibile. Nam id praestigium ab iis quoque expeditissime fit, qui sacrilegas faciunt initiationes. Sed enim ignis vim in rorem convertere, remque universam in contrariam mutare, id inquam naturae auctori adscribendum, qui naturam ipsam pervertere potest: quod sane patuit, dum media fornax rorido zephyro perflata est. Igitur ignis quidem relictus ibi est, verumtamen eius vim voluntate sua Deus immutavit.

Eusebii caesariensis, sacris verbis propositis, vox Domini intercidentis flammam ignis. Intercisa est Babylone flamma ignis. Intercisa Dei iussu, in iucundissimam versa est recreationem; ac veluti in umbra arborum quietaque statione adulescentulis exhibuit oblectationem. Facta est enim ceu roscidae aurae sibilus.

Anonymi. Non aliquo, inquit, casu salutem consecuti sunt, sed Dei tutela. Angelus ad opem ferendam missus, vanam reddidit ignis vim. Videbatur itaque vehementissimi spiritus impetus in mediam fornacem delatus, ignis naturam in amoenitatem adulescentibus convertisse. Non solum enim non sunt necati, sed ne ignis quidem propinquitatem senserunt. Non autem dixit spiritus roridi sibilum, sed veluti spiritum: id est nescio quis sensus eiusmodi accidit; qualis etiam spiritu in apostolos descendente contigit. Quod idcirco curatum est, ne forte crederentur adulescentes magica arte expediti periculo, aut cantilenae verbis; uti circulatores ad decipiendam coronam factitare solent.

---

(1) Notemus theologicam doctrinam, quod miracula proprie neque a sanctis viris neque ab angelis sed a Deo unice fiant. Intercessores enim atque ministri miraculorum homines angelique sunt, non auctores. (2) Consonat Hieronymus epist. I. 9: *hac hac mihi trium exempla puerorum, qui inter frigidos flammarum globos, hymnos edidere pro fletibus*. (3) Quin hic locus ex Eusebii commentario in psalmos sumatur, vix dubitare licet, adfirmante propemodum eclogario. Attamen tum in Corderii catena, tum, quod magis

A Ἀμμωνίου. Τὸ φωτιστικὸν ἐάσας τοῦ πυρὸς τῆς καμίνου, τὸ καυστικὸν ἐκοίμισεν.

Ὡς πνεῦμα δρόσου. Σεβήρου ἐκ τῆς πρὸς Μάρωνα ἐπίσκοπον ἐπιστολῆς(1). Ἧς μέσης τὸ πνεῦμα τῆς δρόσου διασυρίζον, κατὰ τὸ γεγραμ-
B μένον, τοὺς ἐν φλογὶ ϗ οὐ καταφλεγομένους κατέψυχεν ἀθλητάς· συνήθλει γὰρ αὐτοῖς ὁ τῶν ἄθλων ὑποθέσεις, ἴσως ὁ τοῦ Θεοῦ λόγος, ὁ ἐνανθρωπήσας Θεός, ὃς ϗ ἐν ἀνδρὸς εἴδει τοῖς τρισὶν ἐν τῷ πυρὶ συνεχόρευεν(2)· ὡς ϗ
C τὸν Ναβουχοδονόσορ προβλέπειν ϗ προαναφωνεῖν τὸ μυστήριον, ϗ φάσκειν ἐναργῶς, ϗ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ Θεοῦ. — Τουτέστιν οὐδὲ τοῦ τυχόντος λυπηροῦ ἔλαβον πεῖραν, ἀλλ' ὡς ἐπὶ νυμφῶνες εἰσελθόντας οὕ-
D τως ἐξελθεῖν ἀκεραίους, κατὰ μηδὲν βλαβέντας.

Εὐλογητὸς εἶ κύριε. Ἄλλου. Ὕμνων ἄξιος ὁ μὴ διαφθείρας τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν· ἀλλ' ἐκείνους τε ἐκλεξάμενος ϗ εἰς
E τοὺς ἐκγόνους τὴν αὐτοῦ παρατείνων ἐπικουρίαν. — Διδάσκει ἣν περὶ Θεὸν εἶχον γνώμην, ϗ ὅτι ἀΐδιον ἔχων τὴν φύσιν, ϗ πρὸς τὸ εὐεργετεῖν ἕτοιμος τυγχάνων, ὕμνων εἶ ἄξιος. — Εἰκότως φησί σοι πάντες τοὺς ὕμνους ἀνα-
F πέμπουσιν, ἐπείπερ ἐξαίρετον παρὰ πάντας τὴν φύσιν κεκτημένος, δεικνύεις ὅση τίς ἐστι ἡ πρέπουσα δόξα, ἀφ' ὧν περὶ τοὺς σοὶ προσήκοντας ἐργάζῃ. — Ἀλλ' οὔ τι γε τοσοῦτον ὑπερκείμενος τῶν ἀνθρωπίνων, παρορᾷς τὴν
G ἡμετέραν εὐτέλειαν, ἀλλὰ τὴν κατὰ πάντων ποιεῖς προστασίαν· τὸ δὲ καθήμενος ἐπὶ χερουβίμ, ἀντὶ τοῦ δεσπόζων ϗ τῶν ἀοράτων δυνάμεων, ϗ πάντα τῆς σῆς ἔχων ἐξημμένα κηδεμονίας. — Θρόνον βασιλείας νῦν τὸν οὐ-
H ρανὸν λέγει, κατὰ τὸ ὑπὸ τοῦ προφήτου εἰρημένον(3)· ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. — Δημιουργὸς εἶ τῶν ἁπάντων, ϗ τοῦτον τὸν φαινόμενον οὐρανὸν ἐξήπλωσας.

I Ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου. Εὐδοξίου. Τουτέστιν ἐν τῇ ἀξίᾳ τῇ σῇ· εἰ δὲ δεῖ ποτὲ ϗ ναὸν προσειπεῖν οὐράνιον ἔδαφος, ναὸν τῆς σῆς βασιλείας, οὗ οἱ σοὶ πρόσπολοι ἐνδιαιτῶνται.

K Εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον (4). Ἀμμωνίου. Ἴσως ἐάν τις τῶν ἀμυήτων ἀκούσας ταύτης τῆς δοξολογίας, γελάσει τοὺς ἁγίους τούτους ϗ θεοπνεύστους ἀνθρώπους λέγων, ὅτι τὸ μὲν εἰπεῖν εὐλογεῖτε ἄγγελοι
L κυρίου, ϗ δυνάμεις κυρίου, ϗ υἱοὶ τῶν ἀνθρώπων, ϗ ἱερεῖς κυρίου, ϗ δοῦλοι κυρίου, ϗ πνεύματα, ϗ ψυχαὶ δικαίων, ϗ ὅσιοι, ϗ ταπεινοὶ τῇ καρδίᾳ τὸν κύριον, ἀκόλουθον· τὸ δὲ εἰπεῖν εὐλογεῖτε οὐρανοὶ ϗ γῆ ϗ ὕδα-
M τα, ϗ τὰ ἐν αὐτοῖς, ἀλλόκοτον, οἷον ἥλιος, ἄστρα, δένδρα· ἄλογα γάρ ἐστι ταῦτα ϗ

50. Ammonii. Incolumi fornacariae flammae lumine, vis urens repressa est.

Ut roridus spiritus. Severi ex epistula ad Maronem episcopum. Media in fornace spiritus roridus sibilans, sicuti scriptum est, athletas in flamma illaesos recreabat. Certabat enim inter eos praemiorum ipse auctor, Dei fortasse verbum, incarnatus Deus, qui in hominis specie cum tribus pueris chorum exercebat. Quare et Nabuchodonosorus mysterium vidit praedicavitque, dixitque aperte, et species quarti similis filio Dei. — Nullam prorsus molestiam experti sunt, sed tamquam thalamo inlibati exierunt sine detrimento.

52. *Benedictus es Domine*. Anonymi. Laudandus es qui promissa patribus non pervertisti; sed quum eos elegeris, ad eorum usque posteros praesidium tuum extendisti. — Declarat adulescentium de Deo sententiam: quodque is aeterna atque benefica natura praeditus, hymnis sit celebrandus. — Merito omnes te collaudant, qui prae cunctis excellentem naturam habes; quantaque in gloria verseris, tutamine tuorum ostendis. — Quum tamen adeo res humanas excedas, vilitatem nostram non contemnis, sed omnium curam geris. Sedere super cherubim dicitur, pro dominatu potestatum invisibilium, et pro rerum omnium gubernaculo. — Thronum regni dicit hoc loco caelum; veluti apud prophetam, caelum mihi thronus, terra autem scabellum pedum meorum. — Tu creator omnium, tu spectabile hoc caelum explicasti.

53. *In templo gloriae tuae*. Eudoxii. Id est in dignitate tua. Quin adeo quandoque templum intelligere licet caeleste firmamentum; templum scilicet regni tui, ubi tui tecum ministri versantur.

57. *Benedicite omnia opera Domini Domino*. Ammonii. Fortasse profanus aliquis hunc audiens hymnum, sanctos hos atque a Deo inspiratos homines irridebit; quia nimirum dicere laudate angeli Domini, et virtutes Domini, et filii hominum, et sacerdotes Domini, et servi Domini, et spiritus atque animae iustorum, et sancti et humiles corde Dominum, rationi consentaneum sit. Dicere vero benedicite caeli et terra et aquae et quae sunt in eis, absurdum; veluti sol, astra, arbores. Haec enim ratione

---

refert, in integro ut creditur Eusebii commentario a Montfauconio edito haec verba non occurrunt. Num igitur Montfauconii codices defectu aliquo laborabant?

(1) Memoratur haec epistula etiam in bibliotheca coisliniana pp. 56. 263. et fortasse alibi. (2) Legesis Hippolytum v. 92. (3) Is. LXVI. 1. (4) Hunc hymnum agnoscunt etiam biblia syriaca teste Ebediesu in catalogo apud Assemanum bibl. or. tom. III. part. I. p. 6. Legesis ibidem Assemani adnotationem. Quid ergo dicendum de contrario Polychronii testimonio p. 1131? nempe quod is diversam editionem sequeretur. Itaque ne syrus quidem Ephraemus in hunc hymnum est commentatus.

A ἄψυχα καὶ ἀναίσθητα· οὐ γὰρ δεῖ πείθεσθαι
τοῖς λέγουσιν εἶναι τὰ στοιχεῖα ἔμψυχα καὶ λο-
γικά (1), κἂν ὡς πρὸς ἔμψυχα τὸν πρὸς αὐτὰ
λόγον ἐποιήσαντο οἱ προφῆται· κοινῶς γὰρ πρὸς
τὰ λογικὰ καὶ τὰ ἄλογα διαλέγονται, λέγον-
B τες· εὐλογεῖτε οὐρανοὶ καὶ εὐλογεῖτε ἄγγελοι·
πρὸς ὃ λεκτέον, ἐν ὅσῳ τὴν ἰδίαν τάξιν φυ-
λάσσει τὰ κτίσματα, εὐλογεῖν λέγεται τὸν Θεόν·
ἐὰν δὲ παρεξέλθῃ τὸν ἑαυτῶν ὅρον, δοκεῖ πως
ὀργὴν ὑποσημαίνειν Θεοῦ· οὕτως καὶ νῦν τὸ πῦρ
C οὐκ ἔστη ἐπὶ τῆς ἰδίας τάξεως, διὰ τὴν κατὰ
τῶν Βαβυλωνίων ὀργήν· εἰ καὶ ἐπὶ σωτηρίᾳ
γέγονε τῶν τριῶν ἁγίων παίδων· ὁμοίως καὶ
ἐπὶ τοῦ Σαμουὴλ ἐν καιρῷ θέρους, ὑετὸν αἱ
νεφέλαι παρὰ τὴν ἰδίαν συνήθειαν καταγαγοῦ-
D σαι ἐσήμαναν τὴν ἐπικειμένην κατὰ τοῦ Ἰσραὴλ
ὀργήν (2)· καὶ ὁμοίως ὅταν τι συμβῇ τοιοῦτον, δει-
λιῶσιν οἱ ἄνθρωποι ὡς ὀργῆς ἐπικειμένης.
ἐπεύχονται οὖν οἱ ἅγιοι σώζειν τοὺς ἰδίους κα-
νόνας τὰ στοιχεῖα· διὰ γὰρ τούτου μανθάνο-
E μεν ὅτι ὁ Θεὸς εὐιλατεύει ἡμῖν· οὐ μόνον δὲ
ἐπὶ τῶν ἀλόγων τοῦτο λεκτέον, ἀλλὰ καὶ ἐπὶ
τῆς λογικῆς κτίσεως· ὅταν γὰρ ὁ ἄνθρωπος
φυλάσσῃ τὴν οἰκείαν τάξιν, τὸ ἄκακον, τὸ
εὐθὲς (3), ὅπερ ἔσχεν ἐκ πρώτης δημιουργίας,
F καὶ τὴν τοῦ ἁγίου πνεύματος χάριν, καλῶς καὶ
εὐλογεῖ τὸν Θεόν· ὁμοίως δὲ καὶ οἱ ἄγγελοι·
ἐὰν δὲ παρατραπῶσι τοῦ καλοῦ, οὐ δοκοῦσιν
εὐλογεῖν τὸν Θεόν· διὸ καὶ ὁ κύριος λέγει (4),
οὐ πᾶς ὁ λέγων μοι κύριε κύριε, εἰσελεύσε-
G ται εἰς τὴν βασιλείαν, ἀλλ' ὁ ποιῶν τὸ θέ-
λημα τοῦ πατρός μου· ὁμοίως καὶ οἱ μετατρα-
πέντες ἄγγελοι εἰς κακίαν, καὶ γεγονότες δαί-
μονες, οὐκ ἐπαινέται εἰσί, κἂν προσπίπτωσι
τῷ Ἰησοῦ (5) ὡς Θεῷ, καὶ υἱὸν αὐτὸν λέγωσι τοῦ
H Θεοῦ· διὰ γὰρ τὴν καθ' ἑαυτῶν ὀργὴν ἔλεγον
ταῦτα· ἐβασανίζοντο γὰρ ἀοράτως· διὸ καὶ
ἔλεγον, ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς.

Ὅτι ἐξείλατο ἡμᾶς ἐξ ᾅδου, καὶ ἔσωσεν ἡμᾶς ἐκ
χειρὸς θανάτου (6). Ἄλλου. Ἅδην καὶ χεῖρα θανά-
I του τὴν κάμινον ἐκάλεσαν· ὡς γὰρ οὐχ οἷόν τέ ἐστι
τὸν ταφέντα ἀναστάντα τοῖς ἀνθρωπίνοις ἔργοις
χρήσασθαι ἄχρις οὗ Θεῷ δόξῃ, οὕτω οὔτε κα-
τὰ ἀνθρωπίνην ἀκολουθίαν ἐνεδέχετο τοὺς
εἰς τοσαύτην φλόγα ῥιφέντας ζῆν τε καὶ ἀβλα-
K βεῖς διαμεῖναι, μὴ τῆς θείας χάριτος ἅπαντα
πρὸς τὸ παράδοξον ἐργαζομένης.

Ἐξομολογεῖσθε. Ἄλλου. Προσήκει τοίνυν
ἅπαντας κατὰ ταυτὸν συνελθόντας, εὐχα-
ριστηρίους αὐτῷ ἀναπέμπειν ὕμνους, λογι-
L ζομένους ὡς οὐδεὶς χρόνος μειοῖ αὐτοῦ τὴν
εἰς ἀνθρώπους φιλανθρωπίαν. — Εἰς διδασ-
καλίαν τοῦ πλήθους κέχρηνται τοῖς λόγοις·
προσήκει γὰρ ὑμᾶς φασίν, ἐπειδήπερ ἁπάν-
των κοινὴ τιμὴ τὸ γεγενημένον, ἀποστῆναι
M μὲν τῆς πλάνης, ἔχεσθαι δὲ τῆς εὐσεβείας,
λογιζομένους τοῦ ἡμετέρου δεσπότου τὴν ἀξίαν·

carent et anima ac sensu. Neque enim credendum est iis, qui elementa dicunt esse animata et rationalia; quamvis ea prophetae ut animo praedita adloquantur. Indifferenter enim ad rationalia et ad bruta sermonem convertunt, dicentes: benedicite caeli et benedicite angeli. Cui contradictioni sic occurrendum est. Creaturae quatenus suum ordinem servant, benedicere Deum dicuntur: quod si fines suos excedant, videntur quodammodo Dei iram significare. Ita et nunc ignis in suo non constitit ordine, propter Dei contra Babylonios iram: etsi id in trium adulescentium salutem cessit. Sic etiam Samuelis aetate messis tempore pluviam nubes praeter morem adducentes, significaverunt impendentem Israeli iram. Similiter siquid aliud eiusmodi acciderit, timor homines occupat instantis caelitus irae. Orant igitur sancti adulescentes ut suos canones elementa conservent. Hoc enim argumento cognoscimus Deum nobis esse propitium. Neque id solum in brutis dicendum est, verum etiam in praeditis intellectu creaturis. Nam quoad homo suum ordinem servat, innocentiam, rectitudinem quam a primaeva conditione habuit, sanctique spiritus gratiam; bene se habet, laudatque Deum. Similiter etiam angeli. Quod si hae creaturae ab honesto dellexerint, iam non videntur Deum laudare. Quare et Dominus ait: non omnis qui dicit mihi Domine Domine, introibit in regnum; sed qui voluntatem patris mei facit. Angeli pariter qui ad malitiam delapsi daemones evaserunt, non sunt laudatores, etiamsi Iesu genu flectant ut Deo, eumque Dei filium confiteantur. Nam irae suae causa adversus semet saevientis sic loquebantur. Cruciabantur enim invisibiliter. Quare et aiebant, venisti ante tempus torquere nos.

88. *Quia eruit nos de inferis, et salvos facit de manu mortis*. Anonymi. Inferos mortisque manum nomen faciunt fornaci. Sicuti enim fieri nequit, ut mortuus ad vitam revocatus humanas actiones exerat, ante quam id Deo placuerit; sic extra humanarum rerum conditionem erat, ut qui in tantam flammam coniecti fuerant, viverent atque inviolati manerent, nisi id omne divina gratia prodigii ritu perageret.

89. *Confitemini*. Anonymi. Par est igitur omnes una voce eucharisticos hymnos Deo persolvere, reputantes benignitatem eius erga homines nullo tempore minui. — Ad plebis eruditionem verba convertunt. Decet vos, aiunt, quoniam hic eventus generalem utilitatem spectat, ab errore deficere, veramque sequi religionem, reputantes Domini nostri dignitatem, et quod

(1) Hinc etiam videmus quam antiqui sint de rationali psychologia errores, quos aetate nostra tamquam nova commenta quidam iactantissimi venditaverunt. (2) I. reg. XII. 17. Res ethnicis quoque nota. Lege Virgilium georg. I. 350, Horatium od. III. 6. (3) Ita cod. (4) Matth. VII. 21. (5) Matth. VIII. 29. (6) Notissimum est, in hebraicis canticis aut psalmis partem posteriorem hemistichii saepenumero repetitionem esse sententiae prioris.

A καὶ ὡς ἁπάντων κύριος καθέστηκεν, εἰ καί τι-
νες παρὰ τοῖς ἀλλοτρίοις εἰσὶν νενομισμένοι
θεοί (1).

Τὸν θεὸν τῶν θεῶν. Εὐδοξίου. Ἵνα καὶ ἄπι-
στοι κατακούσωσι, ὡς θεὸς ἁγίων ἐστὶν ὁ θε-
B ός, καὶ οἱ πιστοὶ κατακούσωσι, ὡς ἥττηται πο-
λυθεΐα τῇ τοῦ θεοῦ ἐπικρατείᾳ.

Οὐχὶ ἄνδρας τρεῖς ἐβάλομεν. Ἀπολιναρίου.
Οὐ δι' ἑτέρων μανθάνει, ἀλλ' αὐτὸς ἰδὼν
ἑτέροις ἀναγγέλλει. — Ὡς εἰς ἀπορίαν κατέστη
C τοῦ παραδόξου· διόπερ καὶ περὶ τῶν ὁμολογου-
μένων πυνθάνεται.

Εὐδοξίου. Ὅσῳ γὰρ ὡς παραβαίνοντας ἀπῄ-
τει δίκας, οὕτως ἐπὶ τῷ παραδόξῳ ἠγάσθη.

Ἄλλου. Διὰ τοῦτο ᾠκονομήθη μὴ ἐμβληθῆ-
D ναι τὸν Δανιὴλ τῷ πυρί, ὡς ἂν μὴ νομίσωσι
Βαβυλώνιοι ὅτι διὰ τὴν τοῦ θεοῦ αὐτῶν προσ-
ηγορίαν ἣν ἐπέθηκεν αὐτῷ ὁ βασιλεύς, τὸ
πῦρ οὐχ ἥψατο, καὶ ἐλαττωθῇ τὸ θαῦμα· φη-
σὶ γὰρ μετὰ τὴν τοῦ ἐνυπνίου ἀφήγησιν ἐκπλα-
E γεὶς τὸν δίκαιον ὁ Ναβουχοδονόσορ, ὡς τιμῶν
αὐτὸν Βαλτάσαρ ὠνόμασε, τοῦ παρ' αὐτοῖς
τιμωμένου θεοῦ τὴν προσηγορίαν αὐτῷ θέ-
μενος (2).

Ἐβάλομεν. Εὐδοξίου. Κοινοποιεῖ τὸ ἔγκλη-
F μα νῦν, ἐπειδὴ πέπτωκε τὸ φρόνημα, ἵνα
φύγῃ τὴν αἰσχύνην. — Παρὰ πᾶσι φησὶν ὁμο-
λόγηται, τίνες τε οἱ ἐμβληθέντες καὶ πόσοι·
ἀλλ' ὅμως οὐ τὰ παραπλήσια νῦν φαίνεται·
τέσσαρας μὲν γὰρ ἀντὶ τριῶν ὁρῶ· παράδοξον
G δὲ τοῦ τετάρτου τὴν θέαν· υἱὸν γὰρ θεοῦ οὐ
κατὰ τελείαν γνῶσιν ἔφη, ὡς ἄν τις οἰηθείη·
ὅπου γε οὐδὲ οἱ ἀπόστολοι πρὸ τῆς ἀναστάσεως
τοῦ χριστοῦ ἀκριβῶς ἠπίσταντο· υἱὸν οὖν εἶπε
θεοῦ, τὸ κατὰ συνήθειαν ἐξηλλαγμένον δι-
H δάσκων (3).

Καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ θεοῦ. Ἱπ-
πολύτου. Εἰπέ μοι Ναβουχοδονόσορ, πότε εἶδες
υἱὸν θεοῦ, ἵνα υἱὸν θεοῦ τοῦτον ὁμολογήσῃς; τίς
δὲ ὁ τὴν καρδίαν σου κατανύξας, ἵνα τοιοῦτον ῥῆ-
I μα ἀποφθέγξῃ; ποίοις δὲ ὀφθαλμοῖς ἠδυνή-
θης τοῦτο τὸ φῶς ἐνοπτρίσασθαι; διὰ τί δὲ
σοὶ μόνῳ καὶ οὐδενὶ τῶν ἄλλων σατραπῶν ἐπε-
δείχθη; ἀλλ' ἐπειδὴ γεγραμμένον ἐστί, καρ-
δία βασιλέως ἐν χειρὶ θεοῦ (4), αὕτη ἡ τοῦ θεοῦ
K χείρ, περὶ ἧς ὁ λόγος τὴν καρδίαν τούτου κα-
τένυξεν, ἵνα ἐπιγνοὺς τοῦτον ἐν τῇ καμίνῳ,
δοξάσῃ· καὶ τοῦτο δὲ οὐκ ἀργὸν τὸ ὑφ' ἡμῶν
νενοημένον· ἐπειδὴ γὰρ ἤμελλον οἱ υἱοὶ Ἰσραὴλ
τὸν υἱὸν τοῦ θεοῦ ἰδόντες ἐν κόσμῳ, μὴ πιστεύ-
L ειν, προαπέδειξεν ἡ γραφὴ ὅτι μελλουσι τὰ
ἔθνη τοῦτον ἔνσαρκον ἐπιγινώσκειν, ὃν πάλαι
ἄσαρκον ἰδὼν ἐπέγνω ἐν καμίνῳ ὁ Ναβουχο-
δονόσορ, καὶ υἱὸν θεοῦ εἶναι τοῦτον ὡμολόγησεν.

Ὁμοία υἱῷ θεοῦ. Ἀπολιναρίου. Νοείσθω
M ἡμῖν τύπος τοῦ υἱοῦ τοῦ θεοῦ ὁ ἄγγελος, τοῦ
συγκαταβάντος ἀνθρώποις εἰς ᾅδην, δεσμίοις

omnium ipse dominus sit, quamquam ab alienigenis quidam alii dicuntur dii.

Deum Deorum. Eudoxii. Ut increduli intelligant, Deum sanctorum adulescentium, hunc esse Deum: atque ut fideles simul noscant victam esse Dei potentia idololatriam.

91. *Nonne tres viros proiecimus?* Apolinarii. Ab aliis non discit, sed ipse quae vidit praedicat. — Prodigio attonitus, de re etiam notissima adstantes interrogat.

Eudoxii. Quantum antea poenarum a contumacibus rex reposcebat, tantumdem nunc prodigii admiratione defixus erat.

Anonymi. Idcirco a Deo provisum, quominus in ignem coniiceretur Daniel, ne forte Babylonii existimarent, propter eorum idoli nomen quod prophetae rex imposuerat, flamma non esse afflatum, ideoque prodigium extenuaretur. Ait enim scriptura post enarratum somnium, Nabuchodosorum iusti hominis admiratione correptum, honoris ergo Baltasarem appellavisse, nomenque ei a culto apud indigenas Deo fecisse.

Proiecimus. Eudoxii. Pacato animi tumore, nunc facinus commune dicit, infamiae causa vitandae. — Apud omnes, inquit, in confesso est quosnam et quot proiecerimus. Nunc tamen alia rerum species est; nam quatuor pro tribus video; et quidem admirabilem quarti formam. Porro Dei filium dixit, non perfecte agnitum, ut forte quisquam arbitrabitur: nam ne apostoli quidem rem ante Christi resurrectionem satis accurate noverunt. Ergo cum ait filium Dei, rem insolito ritu admirabilem denotat.

92. *Visio quarti similis filio Dei*. Hippolyti. Dic mihi Nabuchodonosore, num tu filium Dei vidisti, ut hunc veluti Dei filium fateri queas? Quisnam ita cor tuum compunxit, ut tale verbum effunderes? quibusnam oculis tantam lucem cernere potuisti? Cur porro tibi, neminique praeterea satraparum, id ostentum accidit? Enimvero quia scriptum est, cor regis in manu Dei; haec manus Dei est, cuius ope cogitatio mentis cor regis compunxit, ut Deo cognito in fornace honorem tribueret. Neque hoc otiose a nobis confingitur. Nam quia futurum erat ut Israelitae filio Dei in terra viso minime fidem adhiberent, heic portendit scriptura fore ut gentes eum carne indutum agnoscant, quem ipsum carne olim adhuc carentem noverat in fornace Nabuchodonosorus, eumque ut Dei filium confessus fuerat.

Dei filio similis. Apolinarii. Sit nobis angelus filii Dei typus, qui ad inferos cum ceteris descendit hominibus morte devinctis quam-

---

(1) Sic loquitur et sic est intelligendus Paulus I. Cor. VIII. 5. (2) בלשאצר chaldaice *Belus splendidissimus*. Vide Simonium onomast. p. 569. (3) Atqui plerosque interpretes heic intellexisse Dominum salvatorem (quos inter certe est Chrysostomus) testis praeclarus est Hieronymus: quamquam ipse de angelo cogitare maluit. (4) Proverb. XXI. 1.

A οὔσει θανάτου, καὶ τοῖς δικαιοτάτοις· καὶ αὐτοῦ
τε ὄντος ἀδέτου θανάτῳ καὶ ἀκατασχέτου,
κἀκείνοις χαρισαμένου.

Ἄλλου. Ἰστέον ὡς οἱ ἄλλοι ἑρμηνευταὶ
υἱοῦ θεῶν (1) εἰρήκασιν, Ἀκύλας δὲ υἱοῦ Θεοῦ·
B ὁ δὲ τῶν ο ἑρμηνεία ἀγγέλου Θεοῦ λέγει (2).

Προσῆλθε Ναβουχοδονόσορ. Ἄλλου. Θαυ-
μάσαι ἐστὶν ὅπως ἐν τοῖς ἀνωτέρω ἡ μὲν φλὸξ
διαδραμοῦσα τοὺς πόρρωθεν ἀνάλωσε, νῦν δὲ
προσιόντα τὸν βασιλέα οὐ καταβλάπτει· οὕτω
C δηλονότι ἅπαντα παρὰ τοῦ Θεοῦ ᾠκονόμητο·
κατὰ μὲν τῶν σκευασαμένων τοὺς δικαίους,
ἀνῆκε τὴν δίκην, κατὰ δὲ τοῦ Ναβουχοδονό-
σορ οὐ συνεχώρησε τὸ παραπλήσιον γενέσθαι·
πρῶτον μὲν ὅτι ᾔδει αὐτὸν εὐγνώμονα ἐσόμε-
D νον μετὰ τὴν τοῦ σημείου πρᾶξιν· ἔπειτα ὅτι
ἡ τοῦ βασιλέως διάταξις καὶ τοὺς λοιποὺς ἦγεν
εἰς ἐπίγνωσιν Θεοῦ.

Καὶ εἶπεν, Σεδρὰχ, Μισὰχ, Ἀβδεναγώ. Ἱπ-
πολύτου. Καὶ τῶν μὲν τριῶν τὰ ὀνόματα ἐκά-
E λεσεν· τοῦ δὲ τετάρτου οὐχ εὗρεν ἐξειπεῖν· οὐδέπω
γὰρ ἦν ἐκ τῆς παρθένου γεγεννημένος ὁ Ἰησοῦς (3).

Συνάγονται οἱ σατράπαι. Ἀμμωνίου. Ὡς
ὁρῶντες θαῦμα παράδοξον συνέτρεχον· σχεδὸν
γὰρ τοῦτο μεῖζον ἦν τοῦ ἐκ νεκρῶν ἀναστῆναι·
F ἐδόκουν γὰρ καὶ αὐτοῦ τοῦ θανάτου κατακεκρα-
τηκέναι, ὡς ἐν ἀθανάτοις ὄντες σώματι καὶ
ἀφθάρτοις, ὅπερ οὐκ ἦν· ἐν γὰρ θνητοῖς ὄν-
τες σώμασιν ἔφυγον τὴν διαφθορὰν, μὴ πει-
ραθέντες τὸ σύνολον τῆς τοῦ πυρὸς θέρμης.

G Ὀσμὴ πυρός. Ἀθανασίου. Μὴ δὲ ἐν τοῖς
ἡμετέροις ἐνδύμασι γενέσθω ὀσμὴ πυρὸς τοῦ
Ναβουχοδονόσορ· οἵτινές εἰσι φθαρτοὶ λογισ-
μοὶ τοῦ διαβόλου οἱ κατασβεννύμενοι (4).

Ἄλλου. Πρὸς ἔνδειξιν τῆς μεγάλης δυνά-
H μεως τοῦ Θεοῦ εἴρηκε, διδάσκων ὡς πορρωτά-
τω τῆς φλογὸς τυγχάνοντες, οὐδὲ αἴσθησιν
τῆς ἐγγύτητος παρείχοντο.

Ἀμμωνίου. Τὰ σημεῖα ἐπαγωγικά ἐστι·
I διὸ οὐ δοκεῖ γνήσιος εἶναι πιστὸς ὁ ἐκ σημείων
πεισθείς· ὅθεν ὁ κύριος ἔλεγε τοῖς μαθη-
ταῖς (5) ὑμεῖς ἑωράκατε καὶ ἐπιστεύσατε· μακά-
ριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες.

Ἄλλου. Οὐκ ἀπάτη οὐδὲ τὰ γεγενημένα,
K ἀλλ᾽ ἀληθῶς ὕμνων ἄξιος ὁ ὑμέτερος δεσπό-
της, ὅστις ἔδειξε τὴν ἑαυτοῦ δύναμιν ἐν τοῖς
εὐσεβέσι· φαίνεται δὲ ἑκάτερον θαυμάζων, καὶ
τῶν παίδων τὴν ἔνστασιν, καὶ τοῦ δεσπότου
τήν τε δύναμιν καὶ φιλανθρωπίαν· εἴπερ οἱ
μὲν τοσαύτην περὶ τὴν εὐσέβειαν ἐκέκτηντο
L τὴν εὔνοιαν, ὥστε μηδὲ φόβῳ θανάτου ἐκ-
στῆναι τῆς εἰς Θεὸν θρησκείας· τὸν δὲ Θεὸν
ὅτι τοσαύτην νέμει τοῖς αὐτὸν σεβομένοις τὴν
ῥοπὴν, ὥστε καὶ ἐξαρπάζειν κινδύνων.

Καὶ εἶπεν· εὐλογητὸς ὁ Θεὸς τοῦ Σεδράχ.
Ἀπολιναρίου. Θεοῦ γνῶσιν οἱ θεοσεβεῖς δι᾽
M ἑαυτῶν εἰς ἀνθρώπους φέρουσιν, ὡς καὶ ἐξ αὐ-

quam iustissimis; quum tamen ipse morte invictus esset et liber, quod ipsum illis quoque largitus est.

Anonymi. Alii interpretes similem *filio deorum* dixerunt; Aquila *filio Dei*; LXX interpretes *angelo Dei*.

93. *Nabuchodonosorus accessit*. Anonymi. Mirari licet quomodo antea flamma discurrens longinquos ambusserit, nunc accedenti regi minime nocuerit. Enimvero sic a Deo consultum est: in eos videlicet qui iustis insidias struxerant, poena detonuit: verum ipsi Nabuchodonosoro quominus idem accideret parcitum est: primo quia Deo exploratum erat fore ut ipse post patratum prodigium mentem bonam reciperet: deinde quia regis emendatio reliquam multitudinem ad Dei cognitionem perductura erat.

Et ait: Sedrac, Misac, Abdenago. Hippolyti. Trium quidem nomina appellavit rex; quartum tamen pronunciare non valuit: nondum enim natus erat de virgine Iesus.

94. *Congregantur satrapae*. Ammonii. Visuri mirum prodigium concurrunt. Nam hoc maius propemodum erat quam e mortuis resurgere. Etenim adulescentes mortem ipsam videbantur vicisse, quasi immortalia ac incorruptibilia corpora haberent; quod secus tamen erat. Nam mortalibus amicti corporibus corruptionem vitaverant, flammae ardore nullo modo contacti.

Ignis odor. Athanasii. Ne in vestibus nostris odor ignis babylonici sit: quae sunt pravae cogitationes diaboli et perniciosae.

Anonymi. Hoc dicit ob ostendendam Dei potentiam, docens eos proximi ignis nullum sensum habuisse, quasi longissime abessent.

95. Ammonii. Prodigia trahunt. Quare nec vera quodammodo fide praeditus videtur, qui persuadentibus signis credidit. Unde et Dominus aiebat discipulis: vos vidistis et credidistis; beati qui quum minime viderint, tamen crediderunt.

Anonymi. Nulla latet fraus in his quae acciderunt, sed vere laudibus dignus vester Dominus, qui suam erga pios vim exprompsit. Videtur autem rex utrumque admiratus, nempe et adversantem sibi adulescentium constantem animum, et Domini vim atque clementiam: siquidem adulescentes tantam erga Deum religionem amoremque prae se tulerunt, ut ne mortis quidem metu a Dei cultu sint prohibiti: Deus autem se timentibus tantum tribuit, ut etiam periculis eripuerit.

Dixitque: benedictus Deus Sedrachi. Apolinarii. Dei notitiam per se ipsi pii homines ad vulgus efferunt; ita ut ex his innotescat atque

---

(1) In his fuit Symmachus, qui teste Hieronymo interpretatus est *similitudo filiorum deorum*. Textus originalis לבר־אלהין. (2) Extat hoc scholium in variis lectionibus graecae Sixti editioni subiectis cura Flaminii Nobilii, qui patrum catenis egregie non semel usus est. (3) Notabilis admodum hic Hippolyti locus. Recole dicta ad Photium amph. XLIII. 17. cap. 2. (4) Rursus notare licet genus mysticum interpretationis quod alexandrinis maxime placuit. (5) Ioh. XX. 29.

A τῶν γνωρίζεσθαι καὶ ὀνομάζεσθαι τὸν Θεόν· ὅπερ ἐξ ἀρχῆς ἐπὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ γέγονε, τῶν πρώτων τοῦ θεοσεβοῦς ἔθνους· ἐφ' ᾧ δὲ ὠργίζετο, ἐπὶ τούτῳ θαυμάζει ὁ βασιλεύς· οὕτω καὶ πάντες οἱ διὰ Θεὸν
B ὀργιζόμενοι ἢ χλευάζοντες, θαυμάσονται· ἐπαινέτης ὁ ἀπειλητής· τὴν εἰκόνος προσκύνησιν ἀσεβῆ ὁμολογεῖ, μετάβασιν οὖσαν ἀπὸ τοῦ Θεοῦ προσκυνήσεως καὶ λατρείας (1)· οὐ θαυμάζειν δεῖ τὴν προσκύνησιν καὶ λατρείαν ἀκοι-
C νώνητον οὖσαν ἑτέρῳ παντί.

Κατὰ τοῦ Θεοῦ Σεδράχ. Ἀπολιναρίου. Ἐπ' ὀνόματος τῶν ἁγίων ἀνδρῶν κηρύττει τὸν Θεὸν οὐκ ἔχων ἑτέραν γνῶσιν αὐτοῦ· τιμωρεῖται δὲ φρονήματι βασιλικῷ τοὺς ἀσεβοῦντας· οὐκ εἰδὼς
D ὅτι μικρὰ δίκη πᾶσα ἡ δι' ἀνθρώπων ἐπ' ἀσεβείᾳ· διὸ καὶ οὐ κολάζει Θεὸς οὕτως, εἰ μὴ πρὸς καιρὸν ἐπὶ τοῦ νόμου, σωφρονιστικῶς οὐκ ἀνταποδοτικῶς· μακρᾶς γὰρ ἀνταποδόσεως δεῖ πρὸς τὴν κόλασιν τῶν Θεὸν βλασφημούντων ὃ ἔσται
E αἰῶνι ἐν μακρῷ· συγκρίσει δὲ τῇ πρὸς τὸ ἔργον προστίθησι τὸν Θεὸν ἁπάντων θεῶν, ὡς ὄντων μὲν καὶ ἑτέρων, οὐ μὴν καὶ τοσοῦτον δυναμένων· ὅτι ἀγνοῶν, ὅτι θεὸς Θεοῦ μᾶλλον οὐδείς ἐστιν, ὡς οὐδὲ ἄνθρωπος ἀνθρώπου μᾶλ-
F λον ἄνθρωπος· τὸ δὲ δυνατὸν καὶ ἰσχυρὸν Θεός ἐστιν· ὥστε οὐδὲ δυνατώτερος Θεοῦ Θεός· ἰσχυρὸν ἡ ἑβραίων γραφὴ κυριολογεῖ τὸν Θεόν (2)· καὶ ὁ υἱὸς δύναμίς ἐστιν, ἐν ᾗ γινώσκεται ὁ πατὴρ ὁ ἰσχυρός, οὐκ ἔχων διαφορὰν πρὸς υἱὸν
G κατ' ἰσχύν, ἀλλὰ κατὰ τὸ ἀρχικὸν καὶ γεννητικὸν υἱοῦ·

Τότε ὁ βασιλεὺς κατηύθυνεν. Ἱππολύτου. Ὥσπερ γὰρ αὐτὸν τὸν Θεὸν ἐδόξασαν ἑαυτοὺς τῷ θανάτῳ παραδόντες, οὕτω πάλιν καὶ αὐτοὶ οὐ
H μόνον ὑπὸ Θεοῦ, ἀλλὰ καὶ ὑπὸ τοῦ βασιλέως ἐδοξάσθησαν· καὶ τὰ ἀλλόφυλα καὶ βάρβαρα ἔθνη τὸν Θεὸν σέβειν ἐδίδαξαν.

Ἄλλου. Τουτέστιν οὐ μόνον αὐτοῖς ἐτήρησεν ἣν εἶχον ἀξίαν, ἀλλὰ καὶ αὔξησε τὴν δοθεῖσαν·
I πρότερον μὲν γὰρ φαίνονται ὀλίγων τινῶν προεστῶτες, νῦν δὲ τῶν ἁπανταχοῦ δέδωκεν ἄρχειν· ὥστε μὴ μόνον τὰ τῶν ἀλλοφύλων αὐτοὺς διέπειν ἀλλὰ καὶ τὰ τῶν Βαβυλωνίων.

Cap. IIII. Εὐθηνῶν ἤμην. Ἄλλου. Αἰνιττόμενος ἐμοὶ
K δοκεῖ τὰ κατ' Αἴγυπτον γενόμενα, καὶ τὰ μετὰ ταῦτα. — Τουτέστι περιρρέοντα εἶχον τὸν πλοῦτον. — Εὐφροσύνης ἤμην ἔμπλεως ὡς ἄμαχον ἔχων τῆς βασιλείας τὸ κράτος.

Ἐταράχθην. Ἄλλου. Ἀντὶ τοῦ ἐξεπλάγην
L τῷ δέει κατασχεθείς. — Ὅρασιν τῆς κεφαλῆς λέγει τοῦ ἐνυπνίου τὴν ὄψιν (3), διὰ τὴν σαφήνειαν τοῦ δειχθέντος· ἵνα εἴπῃ, γέγονέ μοι ἡ θέα ὡσανεὶ ἐγρηγορότι· τοῦτο γὰρ βούλεται· ὅρασιν λέγει κεφαλῆς, ἀπὸ τοῦ τὸ ὀπτικὸν
M ἀπὸ τοῦ ἐγκεφάλου φέρεσθαι.

Τὴν σύγκρισιν οὐκ ἐγνώρισαν. Ἄλλου. Τουτ-

appelletur Deus; quod reapse initio accidit Abrahamo, Isaaco, et Iacobo, religiosae gentis auctoribus. En in quo rex irascebatur, nunc idem admiratur. Sic omnes qui Deo irascuntur aut conviciantur, ad extremum admirabuntur. Laudator est qui minax fuerat. Idem nunc statuae cultum fatetur impium, siquidem a Dei cultu et veneratione avertit. Neque id mirum; namque adoratio et latria nemini praeter Deum impertienda est.

96. *Adversus Sedrachi Deum*. Apolinarii. Comite virorum sanctorum nomine Deum praedicat, quia nullam praeter hanc notitiam habet. Porro regalibus minis supplicium impiis constituit, neque novit quamlibet impietatis poenam quae inter homines exercitur valde esse exiguam. Quamobrem haud isto pacto Deus animadvertit; nisi quod in lege id temporaliter facit, freni iniiciendi causa, non digne retribuendi. Longa enim animadversione opus est in blasphemos contra Deum, cuiusmodi erit spatioso in aevo. Iam comparatione ex rebus gestis instituta, addit, Deum omnium deorum; quasi alii sint dii, haud tamen aeque potentes. Nescit scilicet Deum Deo diviniorem nullum esse, sicuti nec hominem homine humaniorem. Iam Deus potentia ipsa fortitudoque est: quare nec potentior Deo Deus est. Itaque Hebraeorum scriptura fortem propria locutionem appellat Deum. Sane et filius vis est ex qua pater cognoscitur potens, quia fortitudine a filio non differt, sed origine tantummodo et generatione.

97. *Tunc rex promovit*. Hippolyti. Sicuti enim Deum honoraverant, dum se morti dederent, sic ipsi rursus non a Deo solum verum etiam a rege honorem retulerunt: simulque alienigenas barbarasque gentes ad Dei cultum erudiverunt.

Anonymi. Id est non solum his veterem conservavit dignitatem, sed eandem auxit. Nam antea videntur exigua praefectura fuisse donati; nunc generalem his attribuit auctoritatem, ita ut non inter peregrinos dumtaxat verum etiam inter Babylonios ius dicerent.

1. *Beatus eram*. Anonymi. Innuere mihi videtur res in Aegypto gestas, et quae deinde consecutae sunt. – Opibus affluebam. – Laetitia redundabam, veluti invicta potentia praeditus.

2. *Perturbatus sum*. Anonymi. Attonitus fui, nempe metu correptus. – Visionem capitis dicit somnii visum, propter ostensae rei perspicuitatem – Dicit ergo hanc sibi visionem contigisse tamquam vigili. Est enim hic sensus. Visionem capitis dicit propterea quod videndi vis cerebro procedit.

4. *Interpretari somnium nequibant*. Anonymi.

(1) Hoc de sanctarum imaginum catholica veneratione nemo sanus dictum intelliget; tum quia agitur de impii regis statua, tum quia catholicus ritus ad Deum ducit, non ab eo avertit. (2) Intellige vocem אל. Ea quidem legere licet Hieronymum de nominibus Dei epist. XXV. (3) Sic fere loquitur Virgilius aen. II. 270: *In somnis ecce ante oculos maestissimus Hector – visus adesse*

A ἔστιν οὐ ἐπὶ τοῖς προτέροις ἠπόρησαν μόνον τὸ δειχθὲν λέγειν ἀπαιτούμενοι, ἀλλὰ κἀν τούτῳ· ἐφ᾽ ᾧ σαφῶς ἠλέγχθησαν, ὡς οὐδὲ τὰ εἰς ἐπίσκεψιν προκείμενα διακρίνειν δυνάμενοι.

Κατὰ τὸ ὄνομα τοῦ Θεοῦ μου. Ἄλλου. Φαί-
B νεται μὲν ὑπὸ τῶν θαυμάτων εἰς συγκατάθεσιν ἀγόμενος τῆς τοῦ Θεοῦ ὁμολογίας, οὐ μὴν τῆς προτέρας συνηθείας ἀφιστάμενος· ἀλλ᾽ ἔτι καὶ ἑτέρους νομίζων θεούς, παρὰ τὸν ἀληθῶς ὄντα· καὶ μηνύει τοῦτο τὸ κατὰ τὸ ὄνο-
C μα τοῦ Θεοῦ αὐτοῦ λέγειν εἶναι τὴν προσηγορίαν τοῦ δικαίου· οὐ γὰρ ἂν ἔτι ἕτερον θεὸν ἐνόμισεν, εἴπερ τὴν ἀκριβεστάτην γνῶσιν ἔσχε περὶ τοῦ Θεοῦ.

Βαλτάσαρ ὁ ἄρχων τῶν ἐπαοιδῶν. Ἀμμω-
D νίου. Ἐλέγχει τοὺς μάγους ὁ Ναβουχοδονόσορ μηδὲν εἰδότας· καὶ ἐπὶ τοῦ ὀνείρου τῆς εἰκόνος ψευδεῖς προβαλλομένους λόγους ἐν τῷ λέγειν, ὁ βασιλεὺς εἰπάτω τὸ ἐνύπνιον τοῖς παισὶν αὐτοῦ, καὶ τὴν σύγκρισιν ἀναγγελοῦμεν αὐτῷ·
E ἰδοὺ γὰρ νῦν ἀκούσαντες τὸ ὄναρ, οὐκ ἔλυσαν αὐτό.

Καρπὸς αὐτοῦ πολύς. Ἀμμωνίου. Διὰ τὴν ἐπικρατήσασαν εἰδωλολατρείαν, εἰ καὶ πολὺς ἀλλ᾽ οὐ γλυκύς· οὐ γὰρ εἶχε τὰ λόγια κυρίου·
F φύλλα δὲ εἶχεν εὐπρέπειαν μὲν ἐμποιοῦντα, οὐ τρέφοντα δὲ τὸ λογικόν, ἀλλὰ τοὺς κτηνωδεστέρους· τοιαύτη γὰρ ἡ ἔξω παιδεία, εὐειδὴς κατὰ τὸ φαινόμενον δοκοῦσα, κατὰ δὲ τὸ νοούμενον ἀνωφελής (1)· διὸ τὰ ἄλογα καὶ
G ἄγρια καὶ θηριώδη τῶν ἀνθρώπων γένη ἐπανεπαύετο· οὐ μὴν ὁ Ἰσραὴλ ὃς ἐστι νοῦς ὁρῶν θεόν, ἀλλ᾽ οὐ σαρκικόν.

Ἄλλου. Τὸ δὲ εἲρ οὐδὲν ἕτερον ἢ ἐγρηγορὼς καὶ ἀγρυπνῶν ἑρμηνεύεται. — Τὸ ἀκριβὲς τῶν
H ἐσομένων διδάσκων· εἲρ μὲν γὰρ τὸν τὸ κήρυγμα τῆς ἀποφάσεως ποιησάμενον λέγει· ἁγίους δὲ τοὺς τὸ δένδρον ἐκτεμεῖν προσταχθέντας· ἐπειδὴ γὰρ ὁ μὲν ἤγγελλε τὴν κατὰ τοῦ δένδρου ψῆφον, οἱ δὲ τὸ προσταχθὲν ἐτέ-
I λουν, θαυμάσαντες ἐπὶ τῷ παραδόξῳ τῶν ἐσομένων· καὶ ὡς τὴν ἡμετέραν ἐμπεπιστευμένοι κηδεμονίαν, καὶ ἀνιώμενοι μὲν ἐπὶ τοῖς ἡμετέροις κακοῖς, ἡδόμενοι δ᾽ αὖ πάλιν ἐπὶ τῇ σωτηρίᾳ· ἐπειδὴ γὰρ μὴ τὴν ἀπόφασιν κωλύ-
K ειν οἷοί τε ἦσαν· οἰκέται γὰρ ἦσαν πρὸς τὴν λειτουργίαν εὐγνώμονες· ἑώρων δὲ ὡς οὐ παντελῶς ἡ δίκη ἐνέχθη, ἀλλ᾽ ἦν τις ἐλπὶς σωτηρίας τῶν ῥιζῶν μενουσῶν· ὡς στέργοντες τὴν ἡμετέραν φύσιν, τὸν ὡρισμένον χρόνον ἀξιοῦ-
L σι μαθεῖν· ὁ δὲ οὐ τὴν τῶν χρόνων μόνον λέγει περίοδον, ἀλλὰ καὶ τῶν γινομένων τὴν αἰτίαν διδάσκει· — Ἐπειδὴ γὰρ ἐπὶ τῷ σφοδρῷ τῆς ἀποφάσεως ἐξενίζοντο οἱ ἄγγελοι, τὸ κέρδος τοῦ ἐσομένου διδάσκει· μὴ γάρ τοι
M φησὶ θαυμάζετε ἐπὶ τῷ γινομένῳ· ἔστι γὰρ ὡς κοινὸν τῶν τὴν ὑφ᾽ ἥλιον οἰκούντων ἔσται

Non solum in superiore somnio, cum ostentum sibi dici postulaverunt, verum etiam in hoc perplexitate laborant. Quamobrem manifeste convicti sunt, quod ne res quidem considerationi propositas discernere possent.

5. *Ex nomine Dei mei*. Anonymi. Videtur rex prodigiis ad fidem confessionemque Dei compulsus; ita tamen ut priorem consuetudinem non omitteret; sed alios quoque putaret esse, praeter verum, deos. Id innuit locutio, quod nimirum iusti hominis appellatio a nomine Dei babylonici fuisset deducta. Non enim alium praeterea Deum esse putaret, si accuratam Dei notitiam nactus fuisset.

6. *Baltasar incantatorum princeps*. Ammonii. Magos subsannat Nabuchodonosorus nullius rei gnaros: qui videlicet etiam in statuae somnio mendaci lingua dixerant, narret rex somnium servis suis, qui coniectationem eius faciemus. En modo auditum somnium non explicant.

9. *Fructus eius copiosus*. Ammonii. Hoc ait propter late dominantem idololatriam, cuius fructus etsi multus est, non tamen dulcis. Caret enim Domini oraculis. Erat autem arbor praedita foliis, pulchram quidem speciem exhibentibus, sed quae bruta nutrirent non mentem rationalem. Quippe eiusmodi est ethnicorum doctrina, pulchra aspectu, sed intimo sensu inutilis. Quamobrem sub illa arbore quiescebant sane bruta et effera hominum genera; non tamen Israel, cuius mens Deum, non rem carneam, spectat.

10. Anonymi. Eἲρ nihil aliud significat nisi experrectum et vigilem. — Sic ait, accuratam futurarum rerum notitiam tradens. Etenim εἲρ dicit auctorem praedicatoremque revelationis; sanctos autem, qui arborem succidi iubebant: quia scilicet ille sententiam in arborem ferebat, hi exsequendam curabant, futura portenta admirantes. Et quia nostrum illis commissa cura fuerat, malis nostris dolebant, rursusque salute data gaudebant. Quum decretum prohibere nequirent, utpote famuli ad ministerium seduli; cernerent tamen haud funditus perniciem indictam, sed spem aliquam salutis reliquam, radice manente; naturae nostrae amore commoti, definitum tempus cognoscere avent: ille autem non solam temporis periodum, verum etiam gerendarum rerum causam patefacit. — Quia gravitate sententiae stupebant angeli, ille rei futurae utilitatem docet. — Ne rem, inquit, miremini: ad commune enim hominum sub sole degentium emolumentum fit. Illud etiam mi-

---

mihi. Tom. III. 150: *visi ante oculos adstare iacentis, in somnis*.

(1) Vanitatem ethnicae doctrinae prae utilitate evangelicae luculenter demonstrat Hieronymus ad Matth. xiii. 32. Et quidem in hanc sententiam saepe loquitur v. gr. epist. xxi. 13. xxii. 29; ad Isai. xliii. 24; ad Ezech. xiii. 18; praef. ad Gal. lib. III; praef. ad Eph. lib. III.

A διδασκαλία· θαυμάσαι δέ ἐστι ὅπως ὡς ἐπὶ
βασιλικοῦ δικαστηρίου σχηματίζει τὸν λόγον·
τοῦ μὲν βασιλέως ἀποφαινομένου, τοῦ δὲ τῶν
λοιπῶν ἡγουμένου στρατιωτῶν διαγγέλλοντος
τὸ πρόσταγμα· τῶν δὲ ἔργον ἀγόντων τὸ
B κελευσθέν· ἐπειδὴ γὰρ ὑπὸ τῆς ἄγαν ἐξου-
σίας, καὶ τοῦ ἄμαχον ἔχειν τὴν βασιλείαν,
εἰς ἔσχατον ἀλαζονείας κατέπεσεν· οὐ μόνον
τῷ φόβῳ τῶν διεχθέντων, ἀλλὰ καὶ τῷ σχη-
ματισμῷ σωφρονέστερον αὐτὸν ἐργάζεται.
C Ἑπτὰ καιροὶ ἀλλαγήσονται. Ἀμμωνίου.
Τρία ἥμισυ ἔτη· οἱ γὰρ Πέρσαι ἕως τῆς νῦν
τὸν ἐνιαυτὸν εἰς δύο διαιροῦσιν, εἰς χειμῶ-
να καὶ θέρος· τὸ ἔαρ χειμῶνι συζευγνύντες,
καὶ τῷ θέρει τὸ μετόπωρον. — Ἀντὶ τοῦ εἰρ οἱ
D ο ἄγγελον ἑρμήνευσαν, οἱ δὲ λοιποὶ ἐγρή-
γορον (1).
Ἐξουδένωμα ἀνθρώπων. Ἄλλου. Μηνύει
μὲν ὡς ὑπὸ τῶν τυχόντων διοικηθήσεται ἡ βα-
σιλεία, οὐκ ἀρκούντων εἰς τοσαύτην ἐπιστασίαν
E πραγμάτων· τοῦτο γὰρ σημαίνει τὸ ἐξουδέ-
νωμα· ὡς γὰρ τοσούτου καταλαβόντος κακοῦ,
εἰκὸς τοὺς μὲν ἐν τέλει περὶ εὐσταθείας τρό-
πων τὰ κατὰ ἀνθρώπους λογισαμένους, εἰς
αὐτήν τε καταστῆναι καὶ πελάσαι πρὸς τὴν τῶν
F ὅλων διοίκησιν· τινὰς δὲ νεωτερίζοντας ἐπι-
δραμεῖν τοῖς πράγμασιν, οἳ τῆς μὲν εὐτα-
ξίας σωζομένης, οὐδὲν πρὸς τὸ κοινὸν συντε-
λοῦντες ὤφθησαν (2).
Τὸ σύγκριμα εἰπεῖν. Εὐδοξίου. Ἐκ διαμέ-
G τρου ἑκάστης λέξεως εἰπὲ τὴν ἐπίλυσιν.
Ἄλλου. Τουτέστι μετὰ ἀσφαλείας τὴν ἐξή-
γησιν πεποίημαι.
Εὐδοξίου. Ἀπηνέωται οὐ γνώσει τῶν ἀπο-
ρουμένων ζητῶν, ἀλλὰ τρόπον προσήκοντα τῇ
H μηνύσει τῶν σκυθρωπῶν.
Ἔστω τὸ ἐνύπνιον τοῦτο τοῖς μισοῦσί σε.
Εὐδοξίου. Οὐκ ἀπορῶ φησι πρὸς τὴν ἑρμηνείαν,
ἀλλ' ἐκπέπληγμαι τὸ φοβερὸν τῆς ὄψεως, καὶ
ἐβουλόμην εἰς τὴν κεφαλὴν τῶν σῶν ἐχθρῶν
I τραπῆναι τὸ δεινὸν, καὶ τοὺς πολεμίους τῆς
βασιλείας πεῖραν τῶν κακῶν λαβεῖν.
Ἀπολιναρίου. Οἰκείῳ τῷ λόγῳ οὗ μέλλει λέ-
γειν διατίθεται· οὕτω κινοῦντος τοῦ πνεύμα-
τος, ἵνα συμπάσχων φαίνηται καὶ μὴ ἐφηδό-
K μενος· διὸ καὶ λέγων μετὰ τοῦ ἀπεύξασθαι λέ-
γει, ὁ ὄνειρος τοῖς μισοῦσί σε.
Ἡ βασιλεία σοὶ μένει. Ἀμμωνίου. Ἔθος
προφητικὸν τοῦτο, ἀποτόμως μὲν λέγειν τὰ
συμβησόμενα δεινὰ, χρηστὰς δὲ ἐλπίδας ὑπο-
L φαίνειν τοῖς μετανοοῦσιν, ὡς ἐν ἐξουσίᾳ κει-
μένης τῶν ἀνθρώπων τῆς ἐκβάσεως.
Ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι (3).
Ἀπολιναρίου. Μεγάλη δὲ ἡ τῆς φιλανθρωπίας
ἐν τούτῳ παρίσταται δύναμις, κατὰ τὴν τοῦ
M προφήτου γνώμην, εἰ καὶ τὸ ὡρισμένον, ἀμε-
τακίνητον εὑρίσκεται· καὶ τοῦτο δὲ ἀναδεικνύ-

rum est, quod orationem suam propheta regii instar iudicii conformat: ubi rex sententiam dicit, dux militiae decretum vulgat, ministri rem exsequendam curant. Quoniam tanta potentia subnixus atque invicto imperio potiens, in summam superbiam rex venerat; non solum ostentorum terrore, verum etiam apparatu modestiorem eum reddit.

13. *Septem tempora immutabuntur*. Ammonii. Tres cum dimidio anni. Nam Persae adhuc annum bifariam dividunt, in hiemem atque aestatem: ver hiemi iungunt, aestati autumnum. — Vocabulum εἰρ LXX interpretes *angelum*, reliqui *vigilem* explicant.

14. *Humillimum hominem*. Anonymi. Innuit fore ut regnum administretur ab obscuris hominibus, qui tanto rerum ponderi minime pares erunt. Id enim significat vox ἐξουδένωμα. Atqui tantis ingruentibus malis, opus esset magistratus morum probitate et digna homine scientia praeditos ad reip. administrationem admoveri in eaque constitui. Contra aliqui novi homines negotia capessent, qui quidem, incolumi rerum statu, nihil reip. utile agere visi sunt.

Coniectationem edissere. Eudoxii. Diserte singulorum verborum solutionem enuclea.

15. Anonymi. Confidenter somnii narrationem exsequutus sum.

16. Eudoxii. Obstupuit, non dubiarum rerum scientiam vestigans, sed idoneam rationem tristia nunciandi.

Somnium hoc inimicis tuis. Eudoxii. Equidem de interpretando non ambigo, sed visionis terrore percellor, mallemque in caput inimicorum tuorum calamitatem convertere, ita ut regni hostes haec mala experirentur.

Apolinarii. Apto sermone ad rem dicendam adgreditur: sic eum movente spiritu ut misereri videretur non laetitia adfici. Quare cum imprecatione dicit, somnium inimicis tuis.

23. *Regnum tibi manet*. Ammonii. Mos prophetarum est, abrupte quidem eventura mala dicendi, simul tamen spem aliquam paenitentibus ostendere, ceu si rerum exitus in hominum arbitrio sit positus.

24. *Peccata tua eleemosynis redime*. Apolinarii. Grandis heic benivolentiae sistitur vis, de prophetae sententia: quamvis forte decretum immobile sit. Atque adeo demonstratur num-

(1) Angelus hic quidem est. Attamen eruditionis causa legenda quae de egregoris multa narrat Syncellus ed. paris p. 11. sqq. (2) Cum Ciceronis sententia adamussim congruit anonymus, nempe de rep. I. 6. 7: *isti enim palam dicere solent, se de rationibus rerum publicarum nihil didicisse umquam. — Qui convenit polliceri operam suam reip. tum denique, si necessitate cogantur? cum, quod est multo proclivius, nulla necessitate premente remp. regere nesciant*. Lectum ab anonymo graeco Ciceronem quis tuto adfirmet? Ceteroqui Alexandriae satis cognitum fuisse tullianum opus de rep., certissimi argumenti instar est Didymus, qui illi contradixit. (3) De hoc monito legendus Hieronymus ep. LXXVI. 6, nec non Cyprianus ab eodem laudatus

A ται, ὅτι οὐ χρὴ τῶν ἐξιλασμῶν ἀμελεῖν ποτὲ, ὡς κατακρίσεως γενομένης, καὶ μὴ οὔσης ἰάσεως· ὅπερ καὶ αὐτὸς ὁ κύριος ὑπέδειξε παρενεχθῆναι τὸ ποτήριον αἰτησάμενος, εἰ καὶ προεῖπεν αὐτὸ ἐπελευσόμενον· καλὸν γὰρ ἐν εὐ-
B χαῖς ὄντας καὶ ὑπὸ τῶν δεινῶν καταλαμβάνεσθαι· οὕτω γὰρ καὶ ἡ πεῖρα αὐτῶν ἀνεκτὴ γένοιτο, καὶ βράδιον ἐπιφερομένων, καὶ τάχιον παριόντων, καὶ πραότερον προσφερομένων, καὶ εἰς ἀγαθὸν μεταβαλλομένων, εἰ καὶ εὐχαὶ οὐχ
C οὕτως ἔχοιεν, ἀλλὰ περὶ παντελοῦς ἀποστροφῆς τοῦ κακοῦ· οἱονεὶ τὸν ἰατρὸν ἱκετεύοι τὶς μὴ καίειν αὐτὸν, ὁ δὲ ἀντὶ τῆς καύσεως φαρμάκῳ σφοδρῷ χρήσαιτο· πολλάκις δὲ καὶ αἱ παραιτήσεις ὅλως τῶν ὡρισμένων ἴσχυσιν, ὡς
D ἐπὶ τοῦ Ἐζεκίου ὁ θάνατος παρῆλθε, καίτοι προφητευθεὶς (1)· καὶ ἐπὶ Νινευιτῶν· μέγιστον δὲ, μὴ δεήσει χρήσασθαι μόνον, ἀλλὰ καὶ ἀγαθοεργίᾳ, καὶ τῇ πρὸς τοὺς ἐνδεεῖς φιλανθρωπίᾳ τὸν εἰς ἑαυτοὺς ἐπισπάσασθαι· κατὰ τὸ, μακά-
E ριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται (2)· καὶ δὲ καὶ οὐ ψευδὲς ἔσται περὶ τὸν οὐ πληρούμενον ὅρον, ἐὰν αἱ μετὰ ταῦτα δεήσεις καὶ πράξεις ἄξιαι φανῶσι συγχωρήσεως· ὥριστο γὰρ παρὰ Θεῷ τὰ ὡρισμένα κατὰ τῶν προτέρων
F ἔργων, οὐ κατὰ τῶν ὕστερον δεήσεων καὶ μετανοιῶν (3), εἰ καὶ τοῖς ἀκούουσιν οὐκ ἀπεκαλύπτετο τοῦτο χρησίμως εἰς φόβον ἐπιστρεπτικόν.

Ὠριγένους. Σύμβολον ἦν οὗτος ὁ Ναβουχοδονόσορ τοῦ διαβόλου (4) τοῦ ἀποθεώσαντος
G ἑαυτὸν, τοῦ καὶ τὴν κακίαν οἰκοδομήσαντος· οὗτος ἐξεδιώχθη ἀπὸ τῶν ἀνθρώπων, διὰ τῆς παρουσίας τοῦ κυρίου καταργήσαντος τὴν ἁμαρτίαν καὶ καταλύσαντος τὴν εἰδωλολατρείαν· ἐκδιωχθήσεται δὲ τέλεον ἀπὸ τῶν ἀνθρώπων,
H καὶ ὑπομενεῖ τὰ ἑξῆς ἐν τῇ μελλούσῃ παρουσίᾳ.

Ἄλλου. Καὶ παραχρῆμα διὰ τὸν τῦφον καὶ τὸν τῶν ῥημάτων κόμπον τῇ τῶν φρενῶν ἐκστάσει κατεδικάζετο· οὕτως ἱκανὰ ταῦτα καὶ τὸν βεβηκότα λογισμὸν ἀποσφῆλαι τοῦ δέοντος.

I Ἐπὶ τῷ ναῷ τῆς βασιλείας αὐτοῦ. Εὐδοξίου. Μὴ ἁπλῶς νόμιζε ἐνταῦθα ναὸν τῆς βασιλείας λέγεσθαι, ἀλλ᾽ ἐπειδὴ θεοποιεῖν ἑαυτὸν ἐπείγετο, ναὸν ἑαυτῷ βασιλείας κατεσκεύασεν· ἐπισημαίνεται γὰρ ὡς καὶ τὰ σκεύη τὰ ἐνεχθέντα
K ἐξ Ἱερουσαλὴμ ἐν τούτῳ τῷ ναῷ κατέθετο.

Οὐχ αὕτη ἐστὶ Βαβυλών; Εὐδοξίου. Αὐτόλαλος ὢν, οὐδενὶ προσφθεγγόμενος, ἀλλὰ τῇ ἀλαζονείᾳ ὡς παρούσῃ προσλαλῶν.

Ἔτι τοῦ λόγου ἐν τῷ στόματι τοῦ βασιλέως.
L Εὐδοξίου. Τουτέστι πέρας εἴληφε τὰ ἀπειληθέντα, καὶ ἑτέρῳ δίδοται ἐξουδενωμένῳ ἀνθρώπῳ, ἐν τῷ οἴκῳ σου· καὶ τοῦτο δὲ εἰς καθαίρεσιν τῆς ἐν ἰσχύϊ μεγαλαυχίας σου, τὸ ὑπὸ τοῦ ἀσθενεστάτου ἐκβάλλεσθαι, καὶ εἰς γνῶ-
M σιν τῆς θείας ἐξουσίας τῆς οὐ κατὰ δύναμιν ἀνθρωπίνην ἐπιτελούσης ἃ βούλεται· πάντα

quam esse precibus absistendum, quasi iam lata sententia fuerit neque medelae locus supersit. Doctrinam hanc confirmavit ipse Dominus qui calicis transitum postulavit, quem ipse adventurum sibi praedixerat. Alioqui utile est si mediis in precibus calamitate corripiamur. Sic enim tolerabilior eius sensus est: eaque serius venit, et celerius abscedit, et mitius invadit, et in rem bonam convertitur; quamquam preces fortasse non id spectent, sed de universo malo averruncando laborent. Veluti siquis medicum oret ne urat; is autem omissa ustione, vehementi pharmaco utatur. Quin adeo preces saepenumero decretis praevalent. Sic Ezeciae mors pepercit, quamquam vaticinio edicta; sic etiam contigit Ninivitis. Tum vero maximi momenti est non sola deprecatione uti, sed bonis quoque operibus; ita ut quam expromimus in egenos misericordiam, eam nobis ipsis conciliemus; iuxta illud, beati misericordes, quoniam ipsi misericordiam consequentur. Et quidem nullum erit mendacium, decreto ad exitum non deducto, si consecutae dein preces, cum operibus, dignae venia videbuntur. Etenim a Deo sanciuntur decreta secundum priora opera, non secundum preces et paenitentiam quae deinde est consecuta: quamquam id audientibus minime palam fit, ut salutari interim metu permoveantur.

25. Origenis. Symbolum erat hic Nabuchodonosorus diaboli qui se Deum fecit peccatique conditor fuit. Is ex hominibus exterminatus fuit per Domini praesentiam, qui peccatum evacuavit et idololatriam abolevit. Exterminabitur postremo ex hominibus, et reliqua patietur in futuro adventu.

Anonymi. Confestim propter superbiam et magniloquentiam, mentis alienatione punitus est. Adeo vitia eiusmodi firmum quoque ratiocinium ab officio abducere queunt!

26. *In regni sui templo*. Eudoxii. Cave arbitreris templum regni heic temere dici: sed quia se ipsum rex inter deos referre affectabat, idcirco sibi regni templum condiderat. Hinc etiam intelligere licet, vasa olim Hierosolymis translata, hoc in templo a rege fuisse deposita.

27. *Nonne haec est Babylon?* Eudoxii. Soliloquium hoc est: nam neminem rex alloquitur; sed cum superbia sua tamquam praesente fabulas nectit.

28. *Adhuc erant verba in ore regis*. Eudoxii. Minae in rem collatae fuerunt, traditumque regnum humillimo homini in palatio tuo: nempe ut confidentia virium tuarum extinguatur, dum ab infirmissimo eiiceris; atque ut divina potentia pateat, quae sua consilia aliter, quam humana vis solet, exsequitur. Cuncta haec quae

(1) Lege Photium amphiloch. CXLVIIII. 11–12. (2) Matth. V. 7. (3) Lege Photium amphiloch. CXLVIIII. 6. et 9. Eusebium quoque caesariensem in comm. ad pa. docuisse sententiam de praedestinatione post praevisa merita observavit Montfauconius praef. cap. V. (4) Heic fortasse Origenes scripserat errorem suum de futura diaboli paenitentia et de restituenda illi dignitate, prout accidit

A δὲ τὰ ἤδη εἰρημένα αὐτῷ ὑπὸ τοῦ ἀγγέλου κατὰ τοὺς ὕπνους ἔφη καὶ νῦν· ἀλλὰ τότε μὲν ὡς ἀπειλούμενα, νῦν δὲ ὡς εἰς ἔργον ἐκβαινόντων τῶν δοξάντων.

Ἀμμωνίου. Ὡς παραφρονήσας γὰρ ἐξεβλήθη τῆς ἀρχῆς.

B Ἐν τῇ δυνάμει τοῦ οὐρανοῦ κ.τ.λ. Ἀμμωνίου. Ἐν τοῖς ἀγγέλοις καὶ ἐν τοῖς ἀνθρώποις.

Μεγαλοσύνη περισσοτέρα προσετέθη μοι. Εὐδοξίου. Ἤμην γάρ φησιν ἐμαυτοῦ σοφώτερος

C ἐπανελθὼν, καὶ γνοὺς ὡς οὐκ ἐμῆς ἰσχύος ἔργον ἡ βασιλεία, ἀλλὰ Θεοῦ δώρημα· χάρις οὖν περισσοτέρα προσετέθη μοι, τουτέστι μετὰ γνώσεως δυναστεία παροῦσα.

Ἀμμωνίου. Ὡς δι' ὑπερηφανίαν ταπεινωθεὶς

D εἶπε τοῦτο, δι' ὧν ἔπαθε νουθετῶν τοὺς ἀκούοντας (1).

Cap. V. Κατέναντι τῶν χιλίων ὁ οἶνος. Ἄλλου. Ἔθος τοῦτο αὐτοῖς, ὥστε ἕκαστον ἰδίαν ἔχειν τράπεζαν (2).

E Εἶπεν ἐν τῇ γεύσει τοῦ οἴνου. Ἄλλου. Διαχυθεὶς τὴν διάνοιαν ἀπό τε τῆς τρυφῆς καὶ τοῦ πλήθους τῶν τιμῶν, ἐφυσιώθη τὴν γνώμην κατὰ τοῦ Θεοῦ, καὶ προσέταξε τὰ ἱερὰ σκεύη ἐνεχθῆναι· οὐδὲ τοῦ πατρὸς αἰδεσθεὶς τὴν περὶ ταῦ-

F τα εὐλάβειαν· καὶ ἐν τούτοις ἔπινε σὺν τοῖς μεγιστᾶσι καὶ παλλακαῖς αὐτοῦ (3).

Κυρίλλου. Τοῦτο δὲ ἦν ἕτερον οὐδὲν, πλὴν ὅτι μεγαλαυχεῖν κατὰ τῆς δόξης τοῦ Θεοῦ· κατεπαίρεσθαί τε τοῦ προϊσταμένου τῶν ἐξ

G Ἰσραὴλ, ὡς κατὰ μηδένα τρόπον ὀνῆσαι δεδυνημένου τὸν ἴδιον λαόν.

Ἀμμωνίου. Ἡ εἰς ἄκρον τοῦ Βαλτάσαρ ἀσέλγεια, καὶ ἡ οἰνοποσία εἰς τοσαύτην αὐτὸν εἵλκυσε βλασφημίαν· ἕπεται γὰρ τοῖς ἀκολάστοις

H τὸ φιλήδονον· ὥσπερ γὰρ αἱ ἀρεταὶ ἔχονται ἀλλήλων, οὕτω καὶ αἱ κακίαι ἀκολουθοῦσιν ἑαυταῖς.

Οἱ σύνδεσμοι τῆς ὀσφύος διελύοντο. Ἄλλου. Τουτέστιν οὔτε στῆναι ἐδύνατο, ἀλλ' ὡς παρ-

I ειμένος ἀθρόως κατέπιπτε· τὸ αὐτὸ καὶ οἱ δαιτυμόνες πεπόνθασιν, εἰς θόρυβον ἁπάντων καταστάντων, οὐ διὰ τὸ παράδοξον μόνον, ἀλλὰ καὶ διὰ τὴν τοῦ βασιλέως ταραχήν.

Ἄλλου. Ἐκάλει ὅσους ᾤετο συνετοὺς εἶ-

K ναι, τὴν χαλδαϊκὴν πεπαιδευμένους σοφίαν. – Οὐδὲν εἰς σπουδὴν παραλειφθῆναι βουλόμενος ὑπὸ τῶν κληθέντων, μισθὸν τῆς ἑρμηνείας ὑπισχνεῖται τῷ λέγοντι, καὶ τοῦτον οὐ τὸν τυχόντα.

L Οὐκ ἠδύναντο τὴν γραφὴν ἀναγνῶναι. Ἀμμωνίου. Διὰ τριῶν διαφόρων πραγμάτων θριαμβεύει τοὺς μάγους ὁ Δανιήλ. ὅτι οὐδὲν ᾔδεισαν ἀληθὲς εἰπεῖν, ἀλλὰ μόνον ἠπάτων διὰ ψευδολογίας τοὺς ἀκεραιοτέρους· διὰ τὸ

M μὴ δυνηθῆναι γνῶναι, τί εἶδε κατ' ὄναρ ὁ Ναβουχοδονόσορ ἐπὶ τῆς εἰκόνος· διὰ τὸ

pridem ab angelo in somniis regi dicta fuerant, nunc quoque propheta ait. Sed tunc minaciter dicta fuerant, nunc ut exitum iam habentia quae fuerant decreta.

30. Ammonii. Ob insaniam imperio depositus est.

32. *In caeli virtute etc.* Ammonii. In angelis et hominibus.

33. *Abundantior mihi magnificentia reddita.* Eudoxii. Post reditum sapientior eram, gnarusque haud meorum virium fructum esse imperium, sed Dei donum. Ergo gratia copiosior mihi est collata, nempe cum sapientia potestas.

34. Ammonii. Propter suam superbiam depressus, sic est locutus, casibus suis auditores erudiens.

1. *Vinum coram mille.* Anonymi. Hic erat mos apud illos, ut singuli suam mensam haberent.

2. *Inter potandum ait.* Anonymi. Mentis inops ob crapulam et honorum copiam, inflatus est contra Deum, vasaque sacra proferri mandavit, ne patris quidem reverentiam erga haec imitatus: atque his bibebat cum aulicis et concubinis suis.

Cyrilli. Nihil aliud hoc erat, quam contra Dei gloriam iactantia; dum adversus Israelis protectorem extollitur, quasi is populo suo nulla re prodesse potuisset.

Ammonii. Nimia lascivia et ebrietas tantam Baltasari suasit blasphemiam. Haeret quippe intemperantibus voluptatum amor. Nam sicuti virtutes invicem iuvant, sic vitia inter se mutuo sectantur.

6. *Renum compagines dissolvebantur.* Anonymi. Consistere non poterat, sed languidus ilico concidebat. Sic fiebat etiam convivis, tumultuantibus cunctis, non solum portenti causa, verum etiam ob regis perturbationem.

7. Anonymi. Convocavit quotquot ei videbantur sapientiam et chaldaicas edocti disciplinas. – Dum vult nullam sedulitatem a convocatis omitti, mercedem ingentem ei spondet qui faceret interpretationem.

8. *Scripturam legere nequiverunt.* Ammonii. Triplici modo magos Daniel superat: primo, quod nihil veri dicere poterant, sed meris mendaciis simpliciores decipiebant. Iterum quia divinare non valuerunt quid Nabuchodonosorus in statuae somnio vidisset. Tertio quia audito arboris som-

---

Nabuchodonosoro. Lege Hieronymum hoc loco, tum etiam in comm. ad Ionam cap. III. 6.

(1) In superiore versiculo 13 oblitus eram adscribere Theodosii grammatici non inutile scholium quod ita se habet: τοὺς ἑπτὰ καιροὺς, κα μῆνας φασίν· ὁ γὰρ καιρὸς τρεῖς ἔχει μῆνας: *septem tempora intelligunt menses* XXI; *nam quod dicitur tempus, mensibus tribus constat*. (2) Morem hunc apud orientales aliquot populos adhuc vigere scimus. (3) Hieronymus epist. XXII. 33: *Inter epulas et concubinarum greges (quia palma vitiorum est honesta polluere) Baltasar potat in phialis.*

A ἀκοῦσαι τὸ τοῦ δένδρου ἐνύπνιον, καὶ μὴ δυ-
νηθῆναι αὐτὸ λῦσαι· καὶ νῦν διὰ τοῦ μήτε
ἀναγνῶναι τὰ φαινόμενα γράμματα ἐν τῷ τοί-
χῳ· εἰ γὰρ τὰ ἐν ποσὶν οὐ βλέποντες, πῶς
ἐτερατεύοντο, λέγοντες ὁρᾶν τὰ ἐσόμενα; ὅπερ
B ἐστὶ μόνου Θεοῦ ἴδιον.

Ἄλλου. Ἡ τούτων ἀπορία μείζονα τὸν φό-
βον εἰργάζετο, ὥστε τῷ βασιλεῖ ἐπιταθῆναι
τὸ δέος.

Καὶ ὁ πατήρ σου (1). Ἄλλου. Ἵνα γὰρ μὴ
C ἁπλῶς πλάττεσθαι δόξῃ πρὸς ψυχαγωγίαν
τοῦ βασιλέως, ἐμνήσθη καὶ τῆς εἰς αὐτὸν γε-
γενημένης ὑπὸ τοῦ βασιλέως τιμῆς, ἤτοι τοῦ
Ναβουχοδονόσορ. — Σαφέστερον ἔφη νῦν, ἃ
πρόλαβοῦσα ᾐνίξατο. — Οὐ τοίνυν φησὶ δεῖ πό-
D νου, ἀλλ᾽ ἐκεῖνον εἰσελθεῖν πρόσταξον, αὐτί-
κα γὰρ ἕξεις τοῦ ἀμφισβητουμένου τὴν λύσιν.

Σὺ εἶ Δανιήλ; Ἀπολιναρίου. Οὐδὲ ᾔδει τὸν
σοφὸν ὁ ἀλαζών· οὐ γὰρ ζητεῖται τὸ ἀγα-
θὸν ὑπὸ τῶν κάτω παρὰ τὴν χρείαν νενευ-
E κότων· ὅθεν διὰ τὴν εὐεργεσιῶν καὶ ἐγνώσθη
καὶ γινώσκεται τὴν ἀρχήν. — Οἰκεῖα κατορθώ-
ματα κρίνων τὰ τοῦ πατρός, καὶ ἐπὶ τούτοις
φρονῶν μεγάλα.

Γρηγόρησις κ. τ. λ. Ἀπολιναρίου. Τὸ κεφά-
F λαιον τῆς διανοίας· σύνεσιν δὲ τὴν περὶ τῶν
προκειμένων ἀκριβῆ διάσκεψιν· σοφίας δὲ πε-
ρισσὸν τὴν ἐν παιδείᾳ, κατὰ σύγκρισιν τῆς
τῶν μάγων ὑπεροχῆς.

Πορφύραν ἐνδύσῃ. Ἀπολιναρίου. Φύσει βα-
G σιλικὸν τὸ κρεῖττον· διὰ τοῦτο οὐχ ἁρπάζε-
ται τὰ βασιλικά, ἀλλὰ προσάγεται αὐτῷ·
ἐτετίμητο μὲν οὖν καὶ πρόσθεν ἡγεμονικῇ τι-
μῇ, νῦν δὲ ἤδη καὶ βασιλικῇ.

Ὁ Θεὸς ὁ ὕψιστος. Ἀπολιναρίου. Τὸν
H ὕψιστον λέγει πρὸς τὸ ἀναγαγεῖν τὸν κάτω
ζητοῦντα θεούς· πρὸ δὲ τῆς ἀναγνώσεως καὶ
ἐπιλύσεως τῶν ἐγγεγραμμένων τῷ τοίχῳ, τὴν
αἰτίαν διδάσκει, δι᾽ ἣν αἰτίαν ἐγράφη· οὕ-
τω γὰρ ἂν ἐλέλυτο πᾶν τὸ ζητούμενον. —
I Οὐ πάντως κατὰ Θεόν, οὐ γὰρ δικαίως· ὅθεν
καὶ κρίνονται βασιλεῖς, ὅπως ἐχρήσαντο τῇ βα-
σιλείᾳ τῇ δοθείσῃ· δίδοται δὲ καὶ τοῖς μὴ κα-
λῶς ἄρχουσιν· ἐπεὶ τὸ ἄρξαι καλῶς τοῖς ἀν-
θρώποις οὐκ ἔστιν (2). — Οὐκ ἐσωφρονίσθης φησὶ
K πατρικῷ καὶ οἰκείῳ παραδείγματι· διὸ χαλε-
πωτέρα ἡ κόλασις.

Οὐ πάντα ταῦτα ἔγνως; Ἀμμωνίου. Δεί-
κνυσιν αὐτὸν πολὺ ἀσεβῆ, ὡς ἐν εἰδήσει πταί-
οντα.

L Οἳ οὐ βλέπουσι. Ἀπολιναρίου. Εἰ γάρ τι-
να δύναμιν εἶχον πρὸς ἀνθρώπους, πρότερον
ἂν ἐν αὐτοῖς αὐτοὺς ἐφαίνοντο· τουτέστιν ἐν
τοῖς εἰδώλοις αὐτῶν· ἐν τούτοις δὲ οὐκ αἴσ-
θησις οὐ γνῶσις φαίνεται.

M Τὸν δὲ Θεόν. Ἀπολιναρίου· Τὸν δημιουρ-

nie, explanare id nequiverunt. Nunc etiam vincuntur, dum litteras in pariete apparentes legere nesciunt. Nam qui obvia non vident, cur se futura cernere simulabant, quod unius Dei proprium est?

Anonymi. Horum perplexitas metum augebat, ita ut regi perturbatio accresceret.

11. *Pater quoque tuus*. Anonymi. Ne temere videretur mentiri ob solandum regem, meminit quoque honoris a rege Nabuchodonosoro in Danielem conlati. — Clarius nunc dicit regina quod ante innuerat. — Nullum res laborem postulat; introduc illum, ut celerem nanciscaris dubii solutionem.

13. *Tu es Daniel?* Apolinarii. Ne de facie quidem noverat sapientem superbus. Non enim res bona quaeritur ab his qui res terrenas praeter officium amplexantur. Quare Daniel nonnisi post beneficia tum olim tum etiam nunc est agnitus. — Patris res gestas putat suas, atque his valde gloriatur.

14. *Experrectum ingenium etc.* Apolinarii. Mentis acumen. Prudentiam vero dicit pro rei propositae accurato intellectu; sapientiae copiam intelligit eruditionem, cum magorum superbia comparatam.

16. *Purpura vestieris*. Apolinarii. Regium est ad maiora promovere. Quamobrem regia munera non eripiuntur prophetae sed cumulantur. Et quidem antea praefectorio honore auctus fuerat; nunc regium adsequitur.

18. *Deus altissimus*. Apolinarii. Altissimum dicit, quo revocet hominem deos inferne quaerentem. Porro ante legendum explicandumque ea quae parieti inscripta erant, causam eius scripturae tradit. Sic enim universi fit dubii solutio. — Haud omnino ex Dei voluntate regnasti, quia scilicet iniuste: quare et a regibus administrati regni ratio exigitur. Ceteroqui imperium malis quoque rectoribus permittitur: nam qui bene regant, nulli inter homines sunt. — Non es, inquit, patrio et tuo exemplo emendatus. Quare gravior te poena manet.

22. *Nonne haec omnia noveras?* Ammonii. Ostendit hunc valde impium, qui sciens peccaret.

23. *Qui nec vident*. Apolinarii. Siqua dii erga homines vi pollerent, hanc apprime in se ostentarent, id est in simulacris suis; quae tamen neque sensu neque intellectu praedita videmus.

Deum autem. Apolinarii. Creatorem provi-

---

(1) Theodorus: *ἀντὶ τοῦ εἰπεῖν ὁ πάππος· ἔγγονος γὰρ ἦν τοῦ Ναβουχοδονόσορ ὁ Βαλτάσαρ*: quibus verbis conspirat Theodorus cum Polychronio p. 117, qui adnotavit nepotem Nabuchodonosori fuisse Baltasarem. (2) Quo fere sensu Christus dixit, *nemo bonus nisi unus Deus*. Quare heic nihil contumeliosum in reges dicitur.

*

A γὸν καὶ προνοητὴν ἐμφανίζει, ἐν ᾧ ζῶμεν ὥς
φησὶ Παῦλος (1), καὶ κινούμεθα καὶ ἐσμέν.
Ἀπεστάλη ἀστράγαλος χειρός. Ἀπολινα-
ρίου. Ὡς ἐπὶ βασιλέως διά τινος τῶν δια-
κόνων ἐκπέμποντος τὸ δόγμα.
B Ἡ γραφὴ ἡ ἐντεταμένη. Ἀπολιναρίου. Ἐμ-
φαντικώτατα εἴρηται· τουτέστιν ἀσφαλῶς ὥρι-
σε τὰ ἐν τῇ θείᾳ γραφῇ ἐγκείμενα· καὶ κατ'
οὐδένα τρόπον μεταβολὴν δέχεται τὰ ἀπο-
φανθέντα.
C Ἀμμωνίου. Εἰ ὁ ἀνάξιος πίνων οἶνον ψι-
λὸν ἐν τοῖς ἡγιασμένοις σκεύεσι, τοιαύτης ἔτυ-
χε ποινῆς, ὥστε καὶ βασιλείας ἐκπεσεῖν καὶ ἀναι-
ρεθῆναι, πόσης ἄξιοι τιμωρίας εἰσὶν, οἱ ἀνα-
ξίως πίνοντες τὸν μυστικὸν οἶνον (2), τὸν ἁγιά-
D ζοντα καὶ αὐτὰ τὰ τίμια σκεύη; πρὸς γὰρ τὸ
ἐκπεσεῖν καὶ αὐτῆς τῆς τῶν οὐρανῶν βασιλείας,
καὶ ὁ ἀκατάπαυστος αὐτοὺς διαδέχεται θά-
νατος, τὸ τῆς γεέννης ἄσβεστον πῦρ (3)· οὕτω
γὰρ ὁ ἐπὶ τὸν Βαλτάσαρ τύπος δίδωσι νοεῖν.
E Ἐν αὐτῇ τῇ νυκτὶ ἀνῃρέθη Βαλτάσαρ. Εὐ-
δοξίου. Οὐκ ἐν αὐτῇ πάντως τῇ νυκτὶ ἐκ-
ληπτέον ἀνῃρῆσθαι τὸν Βαλτάσαρ. ἀλλὰ δι-
δάσκει σε ὁ λόγος ὡς καὶ τὰς ἀποφάσεις, πρά-
ξεις οἶδεν (4)· οὕτω γάρ σοι καὶ Μάρκος τρίτην
F ὥραν λέγει ἐσταυρῶσθαι τὸν κύριον, καί τοι
τῇ ἕκτῃ ὥρᾳ ἔτι μαστιγουμένου· ἀλλ' ὡς
τῆς ἀποφάσεως τῇ τρίτῃ ὥρᾳ δοθείσης.
Δαρεῖος ὁ μῆδος παρέλαβε τὴν βασιλείαν.
Εὐδοξίου. Καὶ ὁ μῆδος προστίθησι καὶ τὸν
G χρόνον λέγει· ἵνα μὴ πολλῶν Δαρείων γινο-
μένων καὶ διαφόρων, περὶ τὴν ὁμωνυμίαν δια-
σφαλῇ· οὗτος μὲν γὰρ κατὰ τοὺς ἔξωθεν ἱστο-
ριογράφους οὐ Δαρεῖος προσαγορεύεται ἀλλ'
ἕτερός τις (5)· ἐπίστανται δὲ καὶ οἱ ἔξωθεν ἱστο-
H ριογράφοι διαφόρους Δαρείους· ἡ γὰρ περσῶν
ἀρχὴ διήρκεσεν ἐπὶ ἔτη σλ, καθαιρεῖται ὑπὸ
Δαρείου τοῦ Ἀρσαμένου. Ἀλέξανδρος ὁ μακε-
δὼν τὴν καθαίρεσιν ἐποιήσατο· πρότερον μὲν
ἡττηθέντων αὐτοῦ τῶν στρατηγῶν ἐπὶ Γανίῳ
I ποταμῷ· ἐν Ἰσσῷ τῆς Κιλικίας πόλει· εἶτα
τούτου φυγάδος γινομένου, καὶ συλληφθέντος
καὶ ἀναιρεθέντος, καὶ τοῦ Ἀλεξάνδρου τῆς Βα-
βυλωνίας ἐπικρατήσαντος (6)· καὶ εἷς μὲν αὐτὸς
Δαρεῖος ὁ ἐπικληθεὶς νόθος· ἕτερος πάλιν ὁ
K Ὑστάσπου, ἐφ' οὗ ὁ ναὸς ᾠκοδομήθη.
Cap. VI. Ἄλλου. Ἀμπλάκημα τὸ ἀπὸ τῆς ἔξωθεν
ἐνεργείας.
Ἀμμωνίου. Ὁ ἐκτενῶς εὐχόμενος, ἐνώπιον
ἵσταται τοῦ θεοῦ· οὕτω καὶ ἡ Ἄννα ἡ τοῦ Σα-
L μουὴλ μήτηρ κατενώπιον στᾶσα τοῦ θεοῦ, ἤνυ-
σε τὰ τῆς δεήσεως (7). — Ὁ Δανιὴλ εἷς ὢν τῶν
ἐν Περσίδι δυνατῶν, τρίτον τῆς ἡμέρας ἐποι-
εῖτο τὴν τῆς εὐχῆς λειτουργίαν, ἵνα ἡμᾶς
τοὺς ἀργοὺς κατακρίνῃ μὴ ποιοῦντας τὰ ὅμο-
M ια· εἰ δὲ ἀπορήσει τις λέγων πῶς ἐνεχώρει
τὸν ἐν πράγμασιν ὄντα, καὶ τοῖς βασιλείοις

dumque denotat, in quo vivimus ut ait Paulus movemur et sumus.

Missus est articulus manus. Apolinarii. Ceu si rex decretum a ministro perferendum curet.

25. *Scriptura districta*. Apolinarii. Non sine emphasi hoc dicitur. Nimirum firmiter definivit quae divino scripto continentur. Nulli obnoxia sunt mutationi decreta haec.

Ammonii. Si indignus hic propterea quod naturale vinum sanctis calicibus bibit, tanta poena adficitur, ut regno excidat atque interimatur; quaenam eos animadversio manet, qui mysticum vinum indigne bibunt, quod ipsos sanctificat calices? Sane praeter quam quod regnum caelorum amittunt, sempiternus eos excipit interitus, id est gehennae nullo tempore extinguendus ignis. Haec enim omnia nobis in mentem revocat Baltasaris typus.

30. *Eadem nocte interfectus est Baltasar*. Eudoxii. Haud eadem prorsus nocte credendus est occisus Baltasar; verum hinc intelligimus decreta locum gestarum rerum obtinere. Sic Marcus hora tertia crucifixum Dominum dicit, qui tamen adhuc hora sexta flagellis caedebatur. Sed nimirum hora tertia dicta fuerat capitalis sententia.

31. *In imperium successit Darius*. Eudoxii. Et vocabulum *medus* addit, et tempus adnotat, ne quum multi diversique Darii fuerint, similitudo nominis errorem pariat. Hic tamen apud ethnicos historicos non appellatur Darius, sed alio nescio quo nomine. Nam et ethnici historici plures Darios noverunt. Persarum quidem imperium mansit annis ccxxx, desiitque sub Dario Arsamani filio, Alexandro macedone finem imponente. Nam primo Darii duces victi sunt ad Granicum flumen. Iterum apud Issum Ciliciae urbem; quo tempore Darius ipse in fugam versus, et deinde captus interfectusque est, Alexander autem Babylone potitus. Alius e Dariis dicitur nothus: alius Hystaspis filius, sub quo templum instauratum est.

4. Anonymi. Ἀμπλάκημα dicitur quod externa actione fit.

10. Ammonii. Qui impense orat, sistit se coram Deo. Sic etiam Anna Samuelis mater coram Deo stans precationem suam peregit. — Daniel quum esset unus e magistratibus persis, ter in die precum officium persolvebat, ut nos otiosos condemnet, qui paria non facimus. Quod siquis quaerat, quonam pacto liceret publico munere fungenti regioque in palatio versanti

(1) Act. xvii. 28. (2) Nisi intelligatur verus Christi sanguis, argumentum Ammonii nihil valet. (3) Lege Photium amphiloch. lxxiii. Et notemus praeterea testimonium de aeternitate poenarum. (4) Notabilis haec Eudoxii explicatio, canonis instar aliis quoque locis adhibenda. Ceteroqui quae sequitur Marci explicatio conferenda est cum Eusebio ad Marinum p. 92. (5) Nempe Cyaxares, ut ait Polychronius p. 131. (6) Recole dicta ad Polychr. p. 132. n. 2. (7) I. reg. I. 10.

A ἀναστρεφόμενον, πάντως ποιεῖν τοῦτο καθ' ἡμέ-
ραν ἀνενδέτως ϗ ἀπαραβάτως τρίτην, ἕκτην,
ἐννάτην (1), λεκτέον ὅτι ἢ ἐν λογισμῷ ἐποίει
τὰς εὐχὰς, ὅτε οὐκ ἦν δυνατὸν κατ' οἶκον
ἀπελθεῖν· ἢ ὅτε ἐνεχώρει λοιπὸν ὥραν ἕκτην
B ἐποίει οὐ μόνας τὰς τῆς ἕκτης προσευχὰς, ἀλ-
λὰ ϗ τὰς τῆς τρίτης ἃς ἐχρεώστει ποιῆσαι σω-
ματικῶς (2).

Εὐδοξίου. Βασιλικὸς ὢν ϗ πολυάσχολος
τρεῖς εἶχε καιροὺς ὡρισμένους τῆς εὐχῆς· ὄρ-
C θρον ἡνίκα τῆς κλίνης ἐξανίστατο, πρὶν τῶν
πολιτικῶν ἐφάψασθαι πραγμάτων· μεσημβρίαν
ἡνίκα πάλιν ἔμελλε προσφέρεσθαι τροφήν· πρὸς
ἑσπέραν ἡνίκα πάλιν ἀποτιναξάμενος τὸν
ὄχλον τῶν πολιτικῶν πραγμάτων, προσευ-
D καίρει ἑαυτῷ· διὰ τοῦτο ἦν ἀπερίπτωτος, ϗ
πλημμέλημα οὐχ εὑρίσκετο, ἐπειδὴ ἀρχὰς
χρόνου ϗ μέσα ϗ τέλη εὐχαῖς ἀνετίθετο.

Δόγμα μήδων ϗ περσῶν. Ἀπολιναρίου. Μή-
δων ϗ περσῶν φησὶν εἶπε, ἐπειδήπερ μία ἦν
E ἡ ἀρχὴ τότε ἀμφοτέρων (3)· ἀναντίῤῥητα φησὶ τὰ
δόξαντα, ϗ οὐκ ἐνδέχεται τὸν παραβάντα
μὴ δοῦναι δίκην· ὡς γὰρ κρατυνθείσης αὐτῷ
τῆς βασιλείας τῷ φόβῳ τῶν ὑπηκόων, οὐκ
ἐδέξατο μόνον τὸ ῥηθὲν, ἀλλὰ ϗ ἐβεβαίω-
F σε τὸ δόγμα. – Οὐχ ἁπλῶς τὰ κατὰ τὸν
δίκαιον λέγουσιν, ἀλλὰ μέμνηνται καὶ τῆς
συμφορᾶς· ϗ ὡς αἰχμάλωτος τὴν Βαβυλῶνα
οἰκῶν τυγχάνει, ἵνα μειζόνως παροργίσωσι
τὸν βασιλέα, εἴ γε τὴν ἀλλοτρίαν οἰκῶν, ϗ
G τῶν ἐν Βαβυλῶνι ἀγαθῶν ἀπολαύων, τυραν-
νικὸν κέκτηται τὸ φρόνημα.

Ἀμμωνίου. Ὅτε διὰ τῆς ὑποσχέσεως ἔσχον ἃ ἤθελον ἐνέχυρα, τότε ἐποιήσαντο ϗ τὴν κατηγορίαν.

H Ἄλλου. Οὐκ ἴσχυσέ φησιν ἐπὶ πολὺ μά-
χεσθαι, ἀλλ' εἶξε, δείσας μὴ σώζων ἕνα,
τῆς πάσης ἀρχῆς ἐκπέσοι· ϗ τοῦτο δὲ κατὰ
τὴν τοῦ Θεοῦ ἐγίνετο προμήθειαν, ὡς ἂν ὀφ-
θείη λαμπροτέρα ἡ τοῦ Θεοῦ βοήθεια.

I Ἐσφραγίσατο. Ἄλλου. Ἵνα μήτις αὐτὸν ἀπο-
κτείνῃ, ἀλλὰ δοκιμασθῇ ἐν τοῖς λέουσι (4).

Ἀμμωνίου. Ἐπιτηδὲς εἶπε τὸ ᾧ σὺ λα-
τρεύεις ἐνδελεχῶς, ἵνα δείξῃ ὅτι διὰ θεοσέ-
βειαν ἐμαρτύρησε, ϗ ὅτι τοῦτο ᾔδεσαν πάν-
K τες ὅτι συνεχῶς ἐδέετο τοῦ Θεοῦ· δι' ἣν αἰ-
τίαν ϗ ἐπεβουλεύθη.

Ὅτι ἐπίστευσε τῷ Θεῷ. Ἡσυχίου πρεσβυ-
τέρου. Τουτέστιν ἔγνω ὁ Θεὸς, ὅτι οὔτε δό-
ξης ἐπιθυμίᾳ οὔτε ἑτέρας ὑποκρίσεως τὴν προσ-
L ευχὴν ἔφερεν.

Ἀμμωνίου. Αὕτη τελεία πολιτεία, εὐα-
ρεστεῖν τῷ Θεῷ ἐν πίστει ϗ ἀρετῇ, πλὴν ϗ
ἄμεμπτον εἶναι παρὰ ἀνθρώποις.

Ἐνεβλήθησαν αὐτοί. Ἀμμωνίου. Τοῦτο γέ-
M γονε πρὸς φόβον τῶν πολλῶν, ἵνα μὴ τοῖς
ἁγίοις ἐπέρχωνται· πλὴν εἰκὸς ϗ χαρῆναι αὐ-

hanc omnino rem sine remissione constanterque tertia sexta nonaque hora peragere; dicendum est, vel preces mente tantummodo concepisse, siquando domum proficisci non licebat: vel tum denique cum vacabat, puta circa sextam, non sextae solum horae preces peregisse, verum etiam acervatim illas quas tertia debuerat.

Eudoxii. Vir aulicus et occupatissimus tria definita quotidie orandi tempora habebat; mane quum lecto surgeret, ante quam civilia negotia attingeret; meridie rursus quum esset cibum capturus; vespere demum, quum seposita urbanarum curarum turba, sibi ipsi vacabat. Hinc erat impeccabilis, quandoquidem temporis initium medium finemque precationi impendebat.

12. *Lex Medorum atque Persarum*. Apolinarii. Medorum atque Persarum ait, quia unum erat amborum imperium. Decreta immobilia dicit, nec fieri posse quominus violator poenas det. Ille vero regno suo timida subditorum obedientia firmato, non solum id dictum admittit, verum etiam legem confirmat. – Non simpliciter iustum hominem accusant, verum etiam calamitosam eius conditionem memorant; nempe quod captivus Babylone degat, quo sic regem magis exasperent; siquidem ille in alieno solo versans, et Babylonis bonis fruens, tyrannicos spiritus gereret.

Ammonii. Statim ac, regis promisso, potiendi voti sui certi fuerunt, tum denique accusationem intentarunt.

16. Anonymi. Non sustinuit, inquit, diu resistere, sed morem gessit, timens scilicet ne dum unum hominem conservare nititur, omne imperium amitteret.

17. *Sigillo munivit*. Anonymi. Hoc facit, nequis forte Danielem occideret; sed ut reapse hic leones experiretur.

Ammonii. Tempestive dixit *cui tu ingiter famularis*, ut hinc demonstraret, eum religionis ergo martyrium facere; quodque omnibus innotuisset, eum perpetuo Deum deprecari: quae causa eidem insidiarum fuit.

23. *Quia Deo credidit*. Hesychii praesbyteri. Notum Deo erat, Danielem neque gloriae cupiditate, neque alia hypocrisi preces obtulisse.

Ammonii. Haec est demum perfecti hominis vita; siquis videlicet fide ac virtute sic Deo placeat, ut ne in hominum quidem ullam reprehensionem incurrat.

24. *Proiecti sunt ipsi*. Ammonii. Hoc est factum ad multitudinem territandam, ne quis deinceps sanctos insectaretur. Praeterea veri-

(1) Confer Hieronym. epist. xxii. 26. (2) Sic intelligit etiam Theodosius grammaticus. (3) Confer Polychr. p. 120. 125. (4) Eleganter Hieronymus epist. I. 9. *huc beati Danielis revocetur historia, iuxta quem adulantibus caudis, praedam suam leonum ora timuerunt*.

A τοὺς, ὡς ἐκποδὼν γεγονότος τοῦ ἀντιζήλου
αὐτῶν.

Ἀπολιναρίου. Ὁ μὲν λαὸς ἐν ἀδοξίᾳ, ἡ
δὲ τοῦ Θεοῦ δόξα διὰ τῶν ἐναντίων κηρύττεται,
ἵνα φαίνηται δι' ἑαυτὸν ὁ λαὸς πεπονθὼς ἃ
B πέπονθεν· οὕτω γὰρ οὐκ ἔστιν εἰπεῖν ὅτι τὸν
ἑαυτοῦ λαὸν οὐ δεδύνηται κατασχεῖν, ὅπου
καὶ τὰ ἄλλα ἔθνη πρὸς τὴν δουλείαν αὐτοῦ
προσάγεται· μακάριος δὲ ὁ Δανιὴλ διὰ τοῦτο
γίνεται ὡς καὶ Θεὸν τούτου τὸν Θεὸν ὀνομά-
C ζεσθαι, καθάπερ τοῦ Ἀβραάμ.

Αὐτὸς γάρ ἐστιν ὁ Θεὸς ζῶν. Ἀπολιναρίου.
Ἐν τούτῳ καθαιρεῖ τὰ εἴδωλα ὡς οὐ ζῶντα.

Cap. VII. Ἐν τῷ πρώτῳ ἔτει Βαλτάσαρ(1). Ἄλλου. Πρό-
κειται μὲν αὐτῷ λέγειν ἃς αὐτὸς εἶδεν ὀπτα-
D σίας· μέμνηται δὲ τοῦ καιροῦ οὐχ ἁπλῶς,
ἀλλὰ τὴν αἰτίαν βουλόμενός σε διδάξαι, ἀφ'
ἧς τῶν μελλόντων ἐδέξατο τὴν γνῶσιν· εἰ
γὰρ αὐτῷ τὸ ἐνύπνιον ἁπλῶς λέγειν προῦ-
κειτο, δυνατὸν ἦν καὶ ἐκτὸς χρόνου τοῦτο ποι-
E ῆσαι· συνεβάλλετο γὰρ πρὸς σαφήνειαν τῶν
λεγομένων ὁ χρόνος οὐδέν· ἀλλ' ὥσπερ ἐπὶ
τῶν λοιπῶν προφητῶν οἱ χρόνοι προτάττον-
ται, ὥστε γνῶναι ὑμᾶς τοὺς καιροὺς καθ' οὓς
τὰς προφητείας ἐποιήσαντο, ἵνα τῶν πραγ-
F μάτων δήλων ὄντων, γνῶμεν τοῦ Θεοῦ τὴν
περὶ τοὺς ἀνθρώπους οἰκονομίαν, καὶ τῶν προ-
φητῶν τὴν πρὸς τοὺς παρανόμους ἔνστασιν·
οὕτως ἐνταῦθα τὸν καιρὸν ἐπισημαίνεται,
ἄγων ὑμᾶς ἐπὶ τὴν ἀκριβῆ τῶν λεγομένων
G σαφήνειαν· οὐδὲ γὰρ ὁ Θεὸς ἁπλῶς τὰς ἀπο-
καλύψεις ποιεῖται, ἀλλ' ἢ τῶν ἀπορουμένων
τὴν λύσιν παρέχων. Καὶ μετ' ὀλίγα. Πολ-
λὴν τοίνυν τὴν περὶ τοῦ λαοῦ ἔχων φροντί-
δα, καὶ ἐν ἐσχάτοις αὐτὸν ὁρῶν, αὖθις εἰς
H ἀθυμίαν κατέστη, χείρονα αὐτοὺς πείσεσθαι
καὶ εἰς τὰ μετὰ ταῦτα προσδοκῶν· ἐν τούτοις
τοίνυν ὄντι, καὶ ἀνιωμένῳ ὑπὲρ τῶν ὁμοφύ-
λων, καὶ ἐπιθυμοῦντι τὰ κατ' αὐτοὺς δια-
γνῶναι, δείκνυσι Θεὸς τῷ προφήτῃ ἅπαντα τὰ
I μετὰ ταῦτα.

Δανιὴλ ἐνύπνιον εἶδε. Εὐδοξίου. Μονονου-
χὶ λέγοντος τοῦ Θείου, ὡς τότε γρηγορεῖ τὰ
Θεῖα, ὅτε ἠρεμεῖ τὰ ἀνθρώπινα· ἕως μὲν ἐν
ὄχλῳ πραγμάτων ἦν Δανιὴλ, ἐν αὐτῷ τὰ
K τῆς χάριτος ἐναπολιτεύετο, ἵνα δόκιμος φα-
νῇ ἐν αὐλῇ τοῦ βασιλέως, καὶ μηδενὸς δεύτε-
ρος ἐν σοφοῖς ταχθῇ· ὡς δὲ ἐκεῖνα μὲν,
ἀχαριστίᾳ βασιλέως ἀργίᾳ παρεδίδοτο, πρεσ-
εχὴς τε ἦν ὁ βίος καὶ ἐπιμελὴς καὶ συνεσταμ-
L μένος ὅλος πρὸς ἑαυτὸν, ἡνίκα κατεφρονεῖτο
παρὰ ἀνθρώπων, ἐδεξιοῦτο παρὰ Θεοῦ· καὶ
ὁμιλίας αὐτὸν ἀξιοῖ Θεὸς τῆς δι' ὀνειράτων,
ἵν' ἐν προοιμίοις διὰ πόνων ἰδιωτικῶν συν-
ασκήσας τὸν ἄνδρα, μετ' ὀλίγον αὐτὸν ἀξιώ-
M σῃ καὶ θέας κρειττόνων καθ' ὕπαρ ὀπτασιῶν.
— Προθέσεως οὔσης τῷ προφήτῃ ἐπιδεῖξαι τὴν

simile est hos ante laetis oculis aspexisse homini adversario decretum supplicium.

26. Apolinarii. Populus quidem in ignominia versabatur: interim tamen Dei gloria ab adversariis praedicabatur; ut sui causa videretur ipse populus mala illa perferre. Sic hercle haud licet dicere, Deum saluti populi sui non potuisse consulere, quandoquidem interim et alias gentes ad sui obsequium pertrahebat. Beatus vero fit Daniel, quia Deus ipse, Danielis Deus appellatur, sicut Abrahami.

Ipse enim est Deus vivens. Apolinarii. His verbis idola, ceu vita carentia, de medio tollit.

1. *Primo Baltasaris anno*. Anonymi. Finis prophetae est exhibitas sibi visiones exponere. Nec tamen inconsulto tempus adnotat, verum uti nos causam intelligamus, cur futurarum rerum adeptus notitiam sit. Nam si is somnium tantummodo narrare vellet, id quidem etiam absque temporis notatione fieri poterat: namque ad narrationis perspicuitatem nihil confert tempus. Verum sicuti in aliorum prophetarum exordiis tempora quibus vaticinati sunt scribuntur, ut rebus quaquaversus innotescentibus, Dei erga homines providentiam agnoscamus, prophetarumque adversus impios susceptam contentionem; ita et nunc tempus definitur, quod ad accuratam rerum narraturum intelligentiam ducit. Etenim Deus eo tantum pacto revelationes facit, ut dubiorum solutionem exhibeat. Et paucis interiectis. Dum ergo multam populi sollicitudinem gereret propheta, quem extremis malis conflictantem videbat; animum plane despondebat, praesertim quia peiora adhuc futuro tempore passurum populum mente praesagiebat. Ergo prophetae haec animo volutanti, et suorum popularium causa maerenti, atque horum casus cognoscere percupienti, futuri temporis vices omnes Deus ostendit.

Daniel somnium vidit. Eudoxii. Videtur prope dicere Deus, tunc vigilare divina cum humana silent. Quamdiu in negotiorum turba versatus est Daniel, in hoc ei gratia opitulabatur ut gratus haberetur in aula regis, neminique sapientium inferior esset. Sed postquam munera illa, ob ingratum regis animum, in otium conversa fuerunt, prophetaeque vita obtigit meditabunda et composita et sibi vacans, quum iam ab hominibus sperneretur, Deo familiaris factus est: atque enim alloquio Deus in somniis dignabatur, ut initio laboribus propriis exercito homine, eundem postea conspiciendi maiores verissimasque visiones compotem faceret. — Quum prophetae sit propositum non tempora decla-

(1) Recte nos admonet Theodosius grammaticus hanc visionem praevertendam esse superiori. αὕτη ἡ ὅρασις πρὸ τῆς ἑβδόμης ἐστίν· ἀλλὰ συνήθως ἀναποδίζει ὁ προφήτης· λέγει ἡ ἀρχή, ἐν τῷ πρώτῳ ἔτει Βαλτάσαρ.

A ἐπὶ πᾶσι σοφὴν διοίκησιν τοῦ Θεοῦ, οὐ τὴν τῶν
χρόνων ποιεῖται συνάφειαν, ἀλλὰ τὴν τῶν
πραγμάτων συγγένειαν· πρὸ δὲ τούτων ἐκεῖ-
νο χρὴ γινώσκειν, ὅτι τετραχῆ διῄρηται τὰ
τῶν ὀπτασιῶν τοῦ προφήτου· καὶ δύο ὀπτασίαι
B δι' ὀνειράτων εἰσί· δύο δὲ δι' ἀγγέλων ἐπι-
φανείας· καὶ αἱ μὲν εἰσὶν ὕπαρ, αἱ δὲ ὄναρ.

Καὶ τὸ ἐνύπνιον ἔγραψεν. Ἱππολύτου. Ὅσα
μὲν οὖν ὑπὸ τοῦ πνεύματος δι' ὁραμάτων ἀπεκα-
λύφθη τῷ μακαρίῳ προφήτῃ, ταῦτα καὶ ἑτέροις
C ἀφθόνως διηγήσατο, ἵνα μὴ μόνον αὐτὸς ἑαυτῷ
προφητεύων τὰ μέλλοντα φανῇ, ἀλλὰ καὶ ἑτέροις
τοῖς βουλομένοις ἐρευνᾶν τὰς θείας γραφὰς,
προφήτης ἀποδειχθῇ.

Εὐδοξίου. Καὶ τῷ γράφοντι λέγων, καὶ σοὶ
D προσδιαλεγόμενος ὡς παρόντι, καὶ ἐγρηγορότα
σε πρὸς τὴν ἀκρόασιν τῶν λόγων καλῶν· ἵνα
μὴ ὡς ἀπόντι προσομιλῶν ἀμυδροῖς τοῖς λό-
γοις προσέχῃς, ἀλλ' ὡς κατὰ παρουσίαν τε-
ταγμένος, τὴν αἴσθησιν συντείνῃς καὶ τὴν διά-
E νοιαν.

Καὶ ἰδοὺ οἱ τέσσαρες ἄνεμοι. Ἱππολύτου.
Τὴν τετραπέρατον κτίσιν σημαίνει.

Τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ. Εὐδοξίου. Παν-
ταχόθεν πνέοντες προνοίας λόγοις, καὶ κόσμῳ
F ἐμβάλλοντες· ὅταν γὰρ βασιλεὺς ὁρᾷ, γῆν
τε ὁρᾷ, καὶ δένδρον ἐκ γῆς, καὶ πάντα τὰ φεύ-
γοντα στάσιμα· τῷ γὰρ ἄφρονι ἡ τῶν φευ-
γόντων φυγὴ ὡς ἀσάλευτος μόνη νομίζεται·
τῷ δὲ σοφῷ σειόμενον καὶ κλονούμενον· ἧς χά-
G ριν αἰτίας οὐ γῆν ἀλλὰ θάλασσαν ὁρᾷ ὁ
σοφός.

Καὶ τέσσαρα θηρία μεγάλα. Ἱππολύτου. Ἐπεὶ
οὖν διάφορα θηρία ἐπεδείχθη τῷ μακαρίῳ Δανιὴλ,
καὶ ταῦτα ἀλλήλων διαφέροντα, δεῖ νοῆσαι ἡμᾶς
H ὅτι οὐ περὶ θηρίων τινῶν ἡ ἀλήθεια διαλέγε-
ται, ἀλλ' ἐν τύπῳ καὶ ἐν εἰκόνι δείκνυσι τὰς
ἐν τῷ κόσμῳ τούτῳ ἐπαναστάσας βασιλείας ὥ-
σπερ θηρία διαφθείροντα τὴν ἀνθρωπότητα (1)· τὴν
γὰρ θάλασσαν τὴν μεγάλην τὸν σύμπαντα κό-
I σμον λέγει (2).

Τὸ πρῶτον ὡσεὶ λέαινα (3). Εὐδοξίου. Ὅνπερ
τρόπον ἐπὶ τῆς εἰκόνος τὴν ἡγεμονίαν εἶχε κε-
φαλὴ καὶ χρυσὸς, οὕτως ἐν τοῖς ζώοις ἡ ἀσ-
συρίων ἀρχὴ δύο βασιλικοῖς μέρεσιν ἐκοσμεῖ-
K το· λέαινα γὰρ ἦν, τὸ βασιλικὸν τῶν τετρα-
πόδων· καὶ πτερὰ ἀετοῦ, ὀξύτατον τῶν βασι-
λικῶν ἐν πτηνοῖς· οὐ λέοντα δὲ εἰσάγει, ἀλ-
λὰ λέαιναν διὰ τὸ τρυφηλὸν τῆς δυναστείας·
τεθηλυμένοι γὰρ ἀσσύριοι ἐν δυναστείᾳ· καὶ
L μάρτυς σοι Σαρδανάπαλος· πτερὰ δὲ ἀετοῦ,
ἵνα μετὰ τῆς ὀξύτητος ἐπιδειχθῇ ἡ πολυχρό-
νιος τῆς ἀρχῆς διαμονή (4). — Ἐθεώρουν αὐτῆς
φησὶ τὸ τέλος· καὶ γὰρ συνήκμασεν ὁ προφήτης
τῇ αὐτῇ βασιλείᾳ· ἕως οὗ ἐξετίλθη τὰ βασι-
λικὰ πτερὰ, τουτέστιν ἡ βασιλικὴ δόξα· καὶ
M ἐπὶ ποδῶν ἰδιώτου ἐστάθη· οὐκέτι τεθηριω-

rate, sed Dei sapientem in rebus omnibus providentiam, is non tam de temporum nexu, quam de rerum affinitate laborat. Atque in primis sciendum, quattuor esse prophetae nostri visiones; duas quidem per somnia; duas item per angelorum apparitiones. Illae, somnia sunt ὄναρ; istae a Graecis dicuntur ὕπαρ (verae visiones).

Et somnium scripsit. Hippolyti. Quaecumque spiritus per visiones beato prophetae revelavit, ea hic sine invidia aliis enarravit: nempe ne solus ipse sibi vaticinans futura aperiret, sed ceteris etiam, qui sacras scripturas scrutari vellent, propheta esse videretur.

Eudoxii. Et scribenti dicens: te alloquens ut praesentem, teque vigilem vocans ad sermones audiendos: ne veluti cum absente colloquens, obscurae orationi aurem praebeas; sed veluti coram constitutus, sensum mentemque intendas.

2. *Et ecce quattuor venti*. Hippolyti. Quadrifidam mundi fabricam significat.

Caelorum venti quatuor. Eudoxii. Undique flantes providentiae mandatis, orbique ingruentes. At vero cum rex videt, terram videt et arborem de terra surgentem, et transeuntia omnia instar immobilium. Nam stulto praetereuntium transitus plane immotus videtur: sapiens autem omnia concuti et commoveri existimat. Atque huius rei gratia non terram sed mare videt sapiens.

3. *Et quattuor magnae beluae*. Hippolyti. Quandoquidem variae ferae visae fuerunt beato Danieli, eaedemque inter se differentes, par est nos existimare, haud de aliquot beluis sacram loqui veritatem, sed typo hoc atque figura demonstrari ea quae conflantur in orbe regna, a quibus humanum genus, tamquam feris, male mulcatur. Porro magni maris nomine universus orbis significatur.

4. *Prima belua tamquam leaena*. Eudoxii. Quemadmodum in statua principatum tenebat caput et aurum, ita in animalibus assyriaca dominatio duabus regiis partibus ornabatur. Leaena erat, quae est quadrupedum regina: item alas habebat aquilae, quae est pennigerorum velocissima et regalis. Neque leonem sistit, sed laenam, propter imperii eius luxuriam. Effeminati enim assyrii dynastae, cuius rei testis idoneus Sardanapalus. Dicit autem aquilae alas, ut cum velocitate demonstretur pariter imperii eiusdem longaevitas. – Spectabam, inquit, beluae finem. Aequalis enim eius dominationis prophetae fuit. Donec evulsae sunt regiae pennae, id est gloria regalis: et humanis pedibus institit; haud

(1) Loquitur Hippolytus de ambitiosis iniustorum bellorum auctoribus, cuiusmodi multi fuerunt imperiorum fundatores. (2) Consonat Theodosius: θάλασσαν τὸν κόσμον φησί. (3) Theodosius: θηρία βασιλεῖς νόησον· τὸ πρῶτον, Ναβουχοδονόσορ. (4) Mansit annis plus mille et trecentis, ut ait Ctesias apud Eusebium chron. I. 14. ed. Mediol.

A μόνη κατὰ πάντων, ἀλλ' ὑποταττομένη ὡς
ἄνθρωπος. — Καρδία ἀνθρώπου ἐδόθη αὐτῇ·
πάντα γὰρ πρὸς τὸ ἀνθρωπινώτερον μεταστρέ-
φει, ἀφαιρέσει τῆς ἰσχύος καὶ δόξης.
Τίτου. Ἔχεις ἐκεῖ χρυσὸν, ὧδε λέαιναν·
B χρυσὸν δὲ τὸ τρυφηλὸν καὶ πλούσιον, λέαιναν
δὲ διὰ τὸ θηλυκὸν καὶ γυναικῶδες. — Πτερὰ
λέγει τὸν περὶ βασιλέα κόσμον· ὃ γάρ ἐστιν
ἐπὶ τῶν ὀρνέων πτέρωσις, τοῦτο ἐπὶ τῶν κρα-
τούντων ἡ περικειμένη φαντασία· εἰ γοῦν τις
C ἀφέλοι καὶ τοῦ ἄγαν γενναιοτάτου ὄρνιθος τὰ
πτερὰ, εὑρήσει αὐτὸν τῷ τυχόντι εὐχείρωτον·
τὸν ὅμοιον δὲ τρόπον καὶ ἐπὶ τῶν ἀνθρώπων
ἐν τοῖς ὑποτεταγμένοις ἐστὶν ἰδεῖν τὴν ἀρ-
χήν· οὔτε γὰρ βασιλεὺς ἂν γένοιτο τῶν ὑπη-
D κόων ἐκτὸς, οὔτε στρατηγὸς, οὐκ ὄντων τῶν
ὑποτεταγμένων· ἀλλὰ λέοντι μὲν παρέβαλε
διὰ τὸ κρατεῖν, ἀετῷ δὲ διὰ τὸ πάσης ἐλ-
πίδος ὀξύτερον τὴν βασιλείαν κατορθῶσαι·
ἵνα τὰ μὲν πτερὰ ᾖ αὐτὴ ἡ ἐξουσία, πτέ-
E ρωσις δὲ ὁ περικείμενος στρατός· καὶ διὰ τὸ
ἀλαζονικὸν καὶ ὑπέρογκον τοῦ φρονήματος τῶν
ἀσσυρίων, ἀετῷ παρεικάζει τούτων τὴν βα-
σιλείαν.

Ἕως οὗ ἐξετίλη τὰ πτερὰ αὐτῆς. Ἱππολύ-
F του. Τοῦτο γὰρ ὄντως ἐπὶ τοῦ Ναβουχοδονόσορ συν-
έβη, καθὼς ἐν τῇ πρὸ ταύτης βίβλῳ (1) σεσή-
μανται· καὶ αὐτὸ εὐθὺς τοῦτο οὕτως ἐπ' αὐτῷ γε-
Dolus in manu eius. Eudoxii. Heic Antiochi vituperat animum, qui urbem amici specie ingressus, hostem se Iudaeis exhibuit.

Magnificabitur. Eudoxii. Praeter humanam conditionem contra Deum insolescet.

Dolo multos corrumpet. Eudoxii. Non enim omnium mentes de sana sententia deduxit, sed

(1) Gen. XLVIII. 3. (2) Consentit prorsus Eudoxius cum chronicis tabulis Eusebii, cuius vide editionem mediol. p. 255 – 260. (3) Scilicet usque ad Philippum Syriae regem ultimum. Euseb. p. 260.

A λεὺς τῶν εὐσεβούντων κατέσφαξεν. – Σπουδάσει φησὶν ἅπαν ἐξαλεῖψαι.

Ἐπ' ἄρχοντα ἀρχόντων στήσεται. Εὐδοξίου. Ἵνα εἴπῃ τῷ Θεῷ μαχήσεται· ἄρχοντα γὰρ τῶν ἀρχόντων αὐτὸν τὸν Θεὸν λέγει.

B Ἀπολιναρίου. Πρὸς Θεόν φησι θρασυνεῖται, καὶ κατὰ τῶν ἁγίων αὐτοῦ τολμήσει.

Ὡς ᾠὰ ἐν χειρὶ συντρίψει. Ἀπολιναρίου. Ἵνα εἴπῃ ἀπονητὶ αὐτὸν καθέξει.

Ἡ ὅρασις τῆς ἑσπέρας καὶ τῆς πρωϊνῆς. Ἀπο-
C λιναρίου. Ταῦτα δέ φησιν ἐν τοσούτῳ χρόνῳ πληρωθήσεται ἐν ὅσῳ προλαβὼν ἐδείχθη σοι. καὶ ἐνταῦθα δὲ οὐκ εἶπε καὶ ἡ ὅρασις τῶν ἡμερῶν, ἀλλὰ τῆς ἑσπέρας καὶ τῆς πρωΐας, δεικνὺς ὡς ἐν τῷ ἀριθμῷ τῶν ἐτῶν, καὶ τὰς ἡμέ-
D ρας καὶ τὰς νύκτας ἀριθμεῖσθαι βούλεται (1).

Σφράγισον τὴν ὅρασιν. Ἄλλου. Τουτέστι μὴ ἔκπυστα ποιήσῃς τὰ δειχθέντα, ἐπεὶ μηδὲ κατὰ τὸ παρὸν ἔσται, χρόνοις δὲ πολλοῖς ὕστερα· ὅσα γὰρ ἐλυσιτέλει τῷ λαῷ μανθά-
E νειν παραυτίκα, ἐδίδασκε· δήλη γὰρ γινομένη ἡ κατὰ τῶν ἀσεβούντων τιμωρία, σωφρονεστέρους ἐποίει τοὺς ἀγνώμονας· ἐνταῦθα δὲ ἐπειδὴ ἐν τῇ αἰχμαλωσίᾳ ἐτύγχανον ὄντες, ἐπόθει δὲ ὁ προφήτης ἀκοῦσαι τὰ κατ' αὐτούς,
F ἐγνώσθη μὲν αὐτῷ τὰ χρόνοις ὕστερον ἐσόμενα· οὐκ ᾠήθη δὲ δεῖν γνῶναι τὸν λαὸν τὰ εἰρημένα, ἵνα μὴ εἰς ἀπόγνωσιν τῆς τῶν ἀγαθῶν ἐλπίδος καταστάντες γνωσιμαχήσωσι πρὸς τὴν ἄνοδον.

G Ἀνέστην. Εὐδοξίου. Φησὶ τὸ ἀνέστην καὶ ἐποίουν τὰ ἔργα τοῦ βασιλέως, ἐπὶ τοῦ μετ' αὐτὸν βασιλέως Δαρείου καὶ Κύρου· οὐκ εὐθὺς παρὰ πόδας, ἀλλὰ καὶ ἀνέστην φησί, καὶ ἐκοιμήθην, καὶ ἐμαλακίσθην, καὶ μυρίοις προσωμί-
H λησα πράγμασι· καὶ πολὺς ἐγένετο χρόνος ἐν τῷ μεταξὺ (2)· καὶ μετὰ τοῦτο πάλιν ἐν τοῖς βασιλείοις γενόμενος ἐποίουν τὰ ἔργα τοῦ βασιλέως· καὶ οὐδὲ οὕτως ἐξέφαινόν μου τὴν ὅρασιν· ἐπειδὴ μηδεὶς ἦν ὁ συνιέναι δυνάμενος·
I καὶ ἐθαύμαζον τὴν ὅρασιν· καὶ ταῦτα φησὶν ἔπραττον, ἄγαν ἐκπληττόμενος ἐπὶ τῷ παραδόξῳ τῶν ὀφθέντων· καὶ οὐκ ἦν ὁ συνιῶν· ᾔδει δέ φησιν οὐδεὶς ἕτερος πλὴν ἐμοῦ.

Cap. VIIII. Ἀπολιναρίου. Ἔδωκα τὸ πρόσωπόν μου, ἀν-
K τὶ τοῦ ἔκρινα καὶ ὥρμησα, ὡσανεὶ αὐτῷ τῷ Θεῷ προσιών. – Ὑπὲρ τοῦ γενέσθαι τοῦ Θεοῦ τὴν καταλλαγὴν δι' ἐλέους· ἐλέῳ γὰρ ὀργὴ παύεται· καὶ εἰ προείρηται παυσομένη, οὗτος ὁ τρόπος τοῦ παύσασθαι αὐτὴν καὶ οὐχ ἕτερος· οὐ
L τοίνυν ἄνευ τῶν δεήσεων καὶ νηστειῶν προσεδόκησεν ἔσεσθαι τὸ ὡρισμένον· ἐπειδὴ ἅπαξ ὥριστο, ἀλλὰ τὴν ὁδὸν τοῦ γενέσθαι αὐτὰ πορεύεται· οἱονεὶ παρρησίαν πρὸς τὴν αἴτησιν ἐκ τῆς προφητείας λαβών· ἐπεὶ πολλάκις καὶ ἀποτρέ-
M πει τὴν προσευχὴν ἡ κατάκρισις· λέγοντος τοῦ Θεοῦ τῷ Ἱερεμίᾳ (3), μὴ προσεύχου περὶ τοῦ

tamen pios multos interemit. – Dabit sedulam operam ut universum genus nostrum deleat.

Contra principum principem consurget. Eudoxii. Deum bello appetet. Principem principum dicit Deum.

Apolinariii. Adversus Deum sanctosque audacia efferabitur.

Sicut ova manu conteret. Apolinarii. Nullo eum labore cohibebit.

26. *Vespertini matutinique temporis visio*. Apolinarii. Haec inquit tanto intervallo, quantum dictum est tibi, complebuntur. Heic autem non dixit visionem dierum, sed vespere et mane, ut ostenderet se et dies et noctes numerare in annorum percensenda ratione.

Visionem sigillo muni. Anonymi. Ne in vulgus ostenta efferas, quia haec in praesenti non contingent, sed longo tempore post. Ceteroqui quae scire interim populum intererat, edocuit. Nam poena quae palam impiis decreta est, vecordes homines ad officium vocabat. Nunc cum gens in captivitate detinebatur, propheta autem futuros eius casus cognoscere avebat, haud libuit vaticinia ad populi notitiam protrahi, ne is forte spem bonarum rerum desperatione commutaret, atque ad reditum torperet.

27. *Surrexi*. Eudoxii. Ait surrexi regiisque officiis manum admovi, nempe sub aequalibus sui regibus Dario et Cyro. Non statim; sed surrexi, inquit, et decubui, et langui, permultisque negotiis operam dedi; multumque interim temporis elapsum est. Post haec rursus in regio palatio diversans regia munera exsequebar. Neque tamen visionem meam propalavi, quam nemo intelligere poterat. *Mirabarque visionem*. Atque haec, inquit, agebam admiratione visorum defixus. *Nec erat qui intelligeret*. Nemo me excepto rei guarus erat.

3. Apolinarii. Dedi faciem meam, id est decrevi et cucurri tamquam Deo obviam pergens. – Ut fieret Dei ad misericordiam commutatio. Is enim clementia iram placat. Quod si supra dixit placatam iram fuisse, placandi modus praeter iam dictum nullus est. Non ergo sine precibus et ieiuniis rem decretam perfectum iri sperabat. Quoniam id semel decretum erat, exsequendi eius viam insistit, fiduciam veluti ad deprecandum ex vaticinio capiens. Nam saepe lata sententia preces ipsas respuit; dicente Domino Hie-

---

(1) Lege Polychronium p. 133. (2) Danielem sub Cyro clarum diximus cum Hamartolo ad Polychron. p. 145. Illo autem Hamartoli loco dicitur Daniel, quo tempore cum Cyro collocutus est, fortasse iam senex et indicam regionem incoluisse γεγηρακὼς ἤδη εἰς τὴν ἰνδικὴν ἰδιάζει χώραν. (3) Cap. VII. 16. XIIII. 11.

A λαοῦ τούτου, ὅτι οὐκ ἀκούσομαι· καὶ πρότερον
τῷ Σαμουὴλ (1) ἕως πότε πενθεῖς ἐπὶ Σαούλ;
κἀγὼ ἀπώσομαι αὐτόν· ἀλλ' ὅταν τὴν ἀπό-
φασιν εἶδεν πληρωθεῖσαν, καὶ τὸν καιρὸν αὐ-
τοὺς καλοῦντα πρὸς τὴν ἐπάνοδον, τότε προσ-
B εύχεται· καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐν νηστείᾳ καὶ ἐν
σάκκῳ καὶ ἐν σποδῷ· καὶ ὅπερ ἐπ' ἀνθρώπων
συμβαίνειν ἔθος, τοῦτο καὶ ἐπὶ θεοῦ πεποίηκε·
καὶ γὰρ ἡμεῖς ἐπειδὰν τινὰς ἴδωμεν τοὺς αὐτῶν
οἰκέτας μετὰ πολλὰ καὶ μεγάλα ἁμαρτήματα εἰς
C δεσμωτήριον ἐμβαλόντας, οὐκ εὐθέως, οὐδ'
ἐν ἀρχῇ τῆς κολάσεως τὴν ἱκετηρίαν προσάγο-
μεν, ἀλλ' ἀφέντες ὀλίγας αὐτοὺς ἡμέρας σω-
φρονισθῆναι, τότε προσίεμεν τοῖς δεσπόταις,
ἔχοντες τὴν ἀπὸ τοῦ καιροῦ συμμαχίαν (2)· τοῦτο
D δὲ καὶ ὁ προφήτης ἐποίησεν.

Ὁ φυλάσσων τὴν διαθήκην σου. Ἀπολινα-
ρίου. Τί ποιεῖς ὦ προφῆτα, ὑπὲρ ἀνθρώπων
ἡμαρτηκότων καὶ προσκεκρουκότων πρεσβεύων,
τῶν φυλαττόντων τοὺς νόμους μέμνησαι; οὐκ
E ἀνάξιοι συγγνώμης οὗτοι, παραβαίνοντες αὐ-
τοῦ πανταχοῦ τὰς ἐντολάς; ἀλλ' οὐ διὰ
τούτους ταῦτα λέγω φησίν, ἀλλὰ διὰ τοὺς προ-
γόνους τοὺς ἄνωθεν· ἐκείνοις ἐπηγγείλατό φησι
καὶ ὑπέσχετο, οἳ καὶ τὰς ἐντολὰς ἐφύλαξαν.
F ἐπεὶ οὖν οὐδὲν ἔχουσιν οὗτοι δικαίωμα σωτη-
ρίας, διὰ τοῦτο μέμνημαι τῶν προγόνων.

Ἡμάρτομεν. Ἀπολιναρίου. Μία γὰρ τοῖς
ἁμαρτάνουσιν ἀπολογία μόνη μετὰ τὰ ἁμαρ-
τήματα ὑπολείπεται τὸ τὰς οἰκείας ἁμαρτίας
G ὁμολογεῖν (3)· σὺ δέ μοι σκόπει καὶ τοῦ δικαίου
τὴν ἀρετήν, καὶ τῶν ἰουδαίων τὴν ἀγνωμοσύ-
νην· ὁ μὲν γὰρ μηδὲν ἑαυτῷ συνειδὼς πονη-
ρόν, καταδικάζει μετὰ πολλῆς ἑαυτὸν σφο-
δρότητος· οἱ δὲ μυρίων γέμοντες κακῶν, τοὐ-
H ναντίον ἐποίουν, λέγοντες, ἐφυλάξαμεν τὰ
προστάγματά σου· καὶ νῦν μακαρίζομεν ἀλλο-
τρίους· καὶ ἀνοικοδομοῦνται ποιοῦντες ἀνομή-
ματα (4)· ὥσπερ γὰρ τοῖς δικαίοις ἔθος, μετὰ
τὰ δικαιώματα μετριάζειν, οὕτω τοῖς πονηροῖς
I μετὰ τὰ ἁμαρτήματα ἐπαίρεσθαι (5).

Ἐγρηγόρησε κύριος ἐπὶ κακίαν, καὶ ἐπήγαγεν
αὐτά. Εὐδοξίου. Ἐπειδὴ γὰρ ἡμεῖς ἐπικαθεύ-
δομεν τοῖς οἰκείοις κακοῖς, ὁ θεὸς ἐπεγρηγόρη-
σε τούτοις, φέρων ἐφ' ἡμᾶς τῶν κακῶν τὴν δί-
K κην· ἀλλ' οὐκ αὐτὰ τὰ κακά· καὶ ὁμωνύμως
κακὰ προσαγορευόμενα, ὡς ἐπώδυνα ταῦτα ἐ-
ποίησε θεός· οὐ χαίρων τῇ τιμωρίᾳ, ἀλλὰ
χρώμενος ὅροις δικαιοσύνης.

Εὐδοξίου. Τὸ ἔτι μου λαλοῦντος, εὐχαρι-
L στίας ἐστὶν ὑπόθεσις, καὶ ἔκφρασις τῆς τοῦ θεοῦ
φιλανθρωπίας.

Καὶ ἰδοὺ ἀνὴρ Γαβριὴλ πετόμενος· Ἱππολύτου.
Ὁρᾷς πῶς ὁ προφήτης τὴν ὀξύτητα τῶν ἀγγέλων
πετεινῷ πτερωτῷ ὁμοιοῖ διὰ τὸ κοῦφον καὶ ἐλα-
M φρόν, ἅτινα πνεύματα πεταμένα ταχέως πρὸς
τὰ κελευόμενα ὑπακούουσι.

remiae, ne ores pro populo hoc, quia non sum auditurus. Et olim Samueli, quamdiu Saulem flebis? ego eum sum reiecturus. Nunc ergo decretum iam exsequendum cernens, tempusque ad postliminium Iudaeos revocans, orat propheta; neque id perfunctorie, sed cum ieiunio et cilicio et cinere. Iam quod inter homines accidit, idem et apud Deum tunc factitatum est. Nos enim cum ab aliquibus servos in carcerem detrudi videmus ob multa et magna peccata, non statim neque sub poenae initio deprecationem adhibemus; sed transactis aliquot emendationis diebus, tum demum dominos deprecaturi adimus, ope temporis freti. Ita nunc se gessit propheta.

4. *Qui foedus tuum conservas*. Apolinarii. Quid agis propheta? pro peccatoribus contumacibusque hominibus supplicans, legis custodiam memoras? Nonne hi venia indigni sunt, qui praecepta illius usquequaque violant? Atqui, inquit, non horum causa sic loquor, sed maiorum veterum; quibus Deus revelationes promissionesque fecit, quique praecepta etiam observaverunt. Ergo quia hi nullum habent salutis ius, idcirco maiorum memini.

5. *Peccavimus*. Apolinarii. Unica peccantium defensio post peccata relinquitur culpae propriae confessio. Et vide, quaeso, iusti hominis virtutem, ac Iudaeorum vecordiam. Ille enim nullius criminis sibi conscius, magnopere se ipsum damnat: hi innumeris sceleribus pressi, secus agebant, dicentes: praecepta tua custodivimus; nunc vero beatos alienigenas dicimus, qui aedificantur dum peccatis indulgent. Nam sicuti iustorum consuetudo est post recte facta modeste se gerendi, ita impiorum post scelera superbiendi.

14 *Evigilavit Dominus super malitiam, et adduxit eam*. Eudoxii. Quoniam, inquit, in peccatis dormivimus, evigilavit adversus haec Dominus, ultionem de nobis capiens. Neque tamen malitia adducta, peccatum ipsum est; sed uno nomine, duplici significatu, *malitia* usurpatur. Heic autem rem molestam fecit Deus; haud equidem puniendo gaudens, sed clementiae potius moderatione utens.

Eudoxii. Locutio *adhuc me loquente* cum gratum beneficio celeri animum prodit, tum Dei erga homines benivolentiam declarat.

21. *Et ecce vir Gabriel advolans*. Hippolyti. Viden ut propheta angelorum pernicitatem pennatae avi comparet propter levem scilicet expeditamque naturam? Illi enim ceu volucres spiritus dicto celeriter obtemperant.

(1) I. reg. XVI. 1. (2) Laudabilis intercedendi pro servorum poenis mos! (3) Notabilis de confessione peccatorum sententia. (4) Malach. III. 15. (5) Sic etiam in litterarum republica sapientissimus quisque moderatissime de se plerumque opinatur, stultissimus superbissime.

A Πετόμενος. Ἄλλου. Τὸ τῆς πτήσεως σχῆμα τάχους ἐστὶ σύμβολον.

Ὡσεὶ ὥραν θυσίας ἑσπερινῆς. Εὐδοξίου. Ὅτι ἐπὶ τοσαύτην ὥραν διαμείνας ὁ ἄγγελος, μετὰ τὸ ἀφικέσθαι, ἐν ᾗπερ εἰκὸς ἦν θυσίαν ἐκπληρω-
B θῆναι, ἤρξατο τῶν πρὸς αὐτὸν λόγων· τὸ δὲ ἥψατο καὶ συνέτισε, βούλεται εἰπεῖν ὅτι προπαρεσκεύασέ με συνιέναι τὰ λεγόμενα.

Ἀμμωνίου. Ἐπειδὴ ἐπ' ἐσχάτων ἡμερῶν ἔμελλεν ἐλθεῖν ὁ χριστὸς, ἵνα γένηται ἡ ὑπὲρ
C τῆς τοῦ κόσμου σωτηρίας θυσία, εἰκότως καὶ ὁ Γαβριὴλ τοιαύτῃ ὥρᾳ ὤφθη τῷ Δανιὴλ, ὁ τῆς τοῦ λόγου σαρκώσεως εὐαγγελιστὴς καὶ κῆρυξ.

Νῦν ἐξῆλθον συμβιβάσαι σε σύνεσιν. Εὐδοξίου. Ἐντεῦθεν φησὶ ἤρξατο τῶν πρὸς ἐμὲ
D λόγων διδάσκων, ὡς οὐ νῦν ἀπεστάλη πρὸς ἐμὲ, ἀλλὰ πάλαι, ἡνίκα καὶ τῆς προσευχῆς ἡψάμην· Ταῦτα δὲ λέγει ὁ ἄγγελος, ἀπαλλάττων αὐτὸν τῶν λογισμῶν, καθ' οὓς τὴν αἰτίαν ἐζήτει, ὅτου περ ἕνεκεν Θεὸς μὴ δεξάμενος αὐ-
E τοῦ τὴν ἱκεσίαν εὐθέως αὐτῷ τοῦτο ἐγνώρισεν.

Ἦλθον τοῦ ἀναγγεῖλαι. Εὐδοξίου. Ἅμα γάρ φησι προσεύχεσθαι ἤρξω, καὶ ἀπεστάλην ἐγὼ μηνῦσαί σοι ἅπαντα τὰ κατὰ τὸν λαόν.

Ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ(1). Εὐδοξίου. Ἐ-
F παινεῖ γάρ σου ὁ Θεὸς ταύτην τὴν πρόθεσιν· ὁ γοῦν Σύμμαχος ἀνὴρ ἐπιθυμητὸς ἡρμήνευσεν· οὐδὲν γὰρ οὕτως εὐδοκιμεῖν ποιεῖ παρὰ Θεῷ ὡς ἡ περὶ τοὺς ὁμοφυεῖς πρόνοια (2).

Σφραγίσαι ἁμαρτίας. Ἀμμωνίου. Χριστοῦ
G παραγινομένου λύεται ἡ ἁμαρτία τοῦ κόσμου. — Χριστοῦ γὰρ ἐλθόντος οὐκέτι νόμῳ στοιχεῖ καὶ προφήτῃ· τέλος γὰρ νόμου χριστὸς εἰς δικαιοσύνην. — Διὰ τῆς τοῦ πνεύματος ἐπιφοιτήσεως σφραγίζονται οἱ χριστιανοὶ, ἀνακαινιζόμενοι εἰς
H τὸ κατ' εἰκόνα. — Διὰ τοῦ μυστικοῦ ὕδατος ἀπαλείφονται αἱ ἁμαρτίαι. — Διὰ μετανοίας ἱλασμὸς καὶ συγχώρησις γίνεται ἁμαρτιῶν, καὶ δικαιοῦταί τις ἐκ πίστεως ὁ μὴ δυνηθεὶς ἐξ ἔργων δικαιωθῆναι νόμου· — ἅγιος ἅγιος ὁ χρι-
I στὸς, χριόμενος οἰκονομικῶς διὰ τὴν σάρκα.

Ἐξολοθρευθήσεται χρίσμα. Εὐσεβίου. Τὸ ἄκριτον καὶ παράνομον αὐτῶν διαβάλλουσα(3)· οὕτως δὲ καὶ ἐπὶ τῆς θυσίας καὶ τῆς σπονδῆς συμβεβηκέναι φήσεις· ὀρθῶς μὲν καὶ κατὰ νόμον
K πρὸ τοῦ πάθους τοῦ σωτῆρος ἡμῶν ἐπιτελουμένης διὰ τὴν εἰς ἔτι τότε τὰ τῶν ἁγίων τόπων ἐφορῶσαν δύναμιν· περιῃρεθείσης δὲ αὐτίκα μετὰ τὴν αὐτοῦ τελείαν καὶ θεοπρεπῆ θυσίαν, ἣν προσενήνοχεν αὐτὸς ἑαυτὸν ὑπὲρ τῶν ἁμαρ-
L τιῶν ἡμῶν· αὐτός τε ὢν ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου εἰς θυσίαν πᾶσιν ἀνθρώποις (4)· κατὰ τὰ καινὰ μυστήρια τῆς καινῆς διαθήκης παραδοθείσης, τὰ τῆς παλαιᾶς περιῄρετο· ὁμοῦ γὰρ τὸ πληροῦσθαι τὸ φάσ-
M κον λόγιον, καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία, τὰ τῆς παλαιᾶς διαθήκης περιῄρετο.

Advolans. Anonymi. Schema volatus symbolum est celeritatis.

Circa horam sacrificii vespertini. Eudoxii. Quia usque ad tam serotinam horam manens post adventum angelus, quum sacrificium peragendum esset, coepit prophetam alloqui. Quod vero ait *tetigit et edocuit*, significat, ad ea quae dicebantur intelligenda me comparavit.

Ammonii. Quoniam extremis diebus venturus erat Christus, qui fieret pro mundi salute victima; apte hac hora Danieli apparuit Gabriel, qui Verbi quoque incarnationis nuncius ac praeco est.

22. *Nunc egressus sum ut intelligentia te imbuerem*. Eudoxii. Hinc nuncius initium mecum loquendi fecit, aitque se haud nunc sed multo ante ad me missum fuisse, nempe statim ac ego precari cepi. Haec autem dicit angelus, prophetae cogitationibus occurrens, qui causam sciscitabatur, cur Deus precibus eius haud statim exceptis, sibi rem patefecisset.

23. *Veni nunciaturus*. Eudoxii. Statim ac, inquit, orare coepisti, missus sum ad casus populi omnes nunciandos.

Quia vir desideriorum es tu. Eudoxii. Collaudat enim Deus hoc tuum consilium. Symmachus *vir desiderabilis* interpretatus est. Nihil adeo gratos Deo nos facit, quam providentia erga homogeneos.

24. *Ut signentur peccata*. Ammonii. Christo adveniente peccatum mundi solvitur. — Post Christi adventum nullus legis vel prophetae usus est. Finis enim legis Christus ad iustitiam. — Spiritus adventu signantur christiani, renovati secundum eius imaginem. — Mysticis aquis peccata eluuntur. — Per paenitentiam fit venia remissioque peccatorum, fideque iustificatur, qui lege non poterat. — Sanctus sanctus Christus, mystice unctus per incarnationem.

26. *Delebitur unctio*. Eusebii. Vanam iam et praeter legem unctionem coarguens: quod idem de sacrificiis et de foedere factum dices. Haec enim recte legitimeque peragebantur ante servatoris nostri passionem, quia virtus adhuc caelestis loca sancta obsidebat. Verum eadem mox sublata fuerunt, propter illud perfectum Deoque dignum sacrificium, quo semet ipse obtulit pro peccatis nostris. Est enim is agnus Dei, qui tollit peccatum mundi, hostia nimirum pro cunctis hominibus. Novis mysteriis novo foedere inito, antiquum exolevit. Simul ac enim oraculum illud completum est " et roborabit foedus multis hebdomada una ", antiquum foedus desivit.

---

(1) Duplex est huius loci interpretatio Hieronymi. ep. XXII. 10: *ideo desideriorum vir appellatus est, quia panem desiderii non manducavit, et vinum concupiscentiae non bibit*. Iterum ep. XLVII. 1: *legimus sanctum Danielem appellatum desideriorum virum et amicum Dei, quia mysteria eius scire desideravit*. (2) Sic ait etiam Cicero pro Ligario cap. XII. (3) Ita in utroque codice. (4) Confer Euseb. demonstr. ev. VIII. 2. p. 385. ed. Colon.

A Ἀμμωνίου. Ταῦτα εἰς τὸν ἀντίχριστον ὁρᾷ, ὃς μετὰ τὴν τοῦ χριστοῦ παρουσίαν, ἐπ' ἐσχάτων τῶν ἡμερῶν, οὐκέτι ἐᾷ χριστιανὸν ποιῆσαι βάπτισμα.

Ἐν κατακλυσμῷ. Ἀμμωνίου. Κατακλυσμὸν
B λέγει τὸ πλῆθος τοῦ ὄντος λαοῦ μετὰ τοῦ ἀντιχρίστου, τῶν πολεμούντων τοῖς ἁγίοις ἕως τῆς συντελείας.

Δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία. Ἀμμωνίου. Τοῦτο λέγει ὅτι πολλοὺς τῶν ἰουδαί-
C ων καὶ τῶν πιστῶν ἔχουσιν οἱ περὶ Ἐνὼχ, πεῖσαι μὴ πεισθῆναι τῷ πλάνῳ, ἀλλὰ δυναμωθῆναι εἰς τὸ ἀντιστῆναι αὐτῷ. — Ἑβδομάδα μίαν λέγει τὰ ἑπτὰ ἔτη, ἐν ᾗ Ἠλίας καὶ Ἐνὼχ ἔρχονται, καὶ μενοῦσι τρία ἥμισυ ἔτη· καὶ ἔρχεται ὁ ἀν-
D τίχριστος καὶ φονεύσει αὐτούς· καὶ μένει καὶ αὐτὸς ἄλλα τρία ἥμισυ ἔτη· καὶ τότε ἥξει ὁ χριστὸς, τέλος λαμβάνοντος τοῦ αἰῶνος. — Διὰ Ἠλίαν λέγει καὶ Ἐνὼχ, περὶ ὧν καὶ Ἰωάννης εἶπεν ἐν τῇ ἀποκαλύψει (1), καὶ δώσω τοῖς δυσὶ
E μάρτυσί μου. καὶ προφητεύσουσι ἡμέρας χιλίας σξ περιβεβλημένοι σάκκους (2).

Σευήρου. Βδέλυγμα τῆς ἐρημώσεως φαμὲν τὸν ἀνδριάντα ἐκεῖνον ὃν ἔστησεν Ἀδριανὸς ὁ βασιλεὺς ῥωμαίων ἔνδον ἐν τῷ ναῷ πολιορ-
F κήσας τὴν Ἱερουσαλήμ· βδελύγματα γὰρ ἔθος καλεῖν τῇ γραφῇ τὰς χειροποιήτους μορφὰς, καὶ τὰ τῆς ἑλληνικῆς δεισιδαιμονίας ἀγάλματα. καθὰ καὶ ὁ Μανασσῆς ἐν τῇ ᾠδῇ (3) λέγει, στήσας βδελύγματα, καὶ πληθύνας προσοχθίσμα-
G τα· ἄμεινον δὲ βδέλυγμα τῆς ἐρημώσεως τὸν ἀντίχριστον εἰρῆσθαι· ἐπειδὴ μὴ δὲ πάντα τὰ ἐν ἐκείνῳ τῷ τόπῳ τοῦ εὐαγγελίου κείμενα ῥήματα δυνατὸν ἑρμηνεῦσαι κατὰ τὴν τῆς ἱστορίας ἀπόδοσιν· περὶ ἐκείνου γὰρ καὶ ἀπόστολος
H Θεσσαλονικεῦσιν ἐπιστέλλων ἔλεγεν (4), ὡς ἀποκαλυφθήσεται ὁ ἄνθρωπος τῆς ἁμαρτίας ὁ υἱὸς τῆς ἀπωλείας ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα· ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ καθίσαι, ἀποδει-
I κνύντα αὐτὸν ὅτι ἐστὶ Θεός· τόπος γὰρ ἅγιος ὁ ναὸς ὁ ἐν τῇ Ἱερουσαλὴμ προσαγορεύεται· τὰ γὰρ αὐτὰ ῥήματα τοῦ εὐαγγελίου, δυνατὸν καὶ ἱστορικῶς λαβεῖν, ὡς περὶ τῆς ἐρημώσεως καὶ ἁλώσεως ἑρμηνεία τῆς Ἱερουσαλήμ.

K Ἀληθινὸς ὁ λόγος κ. τ. λ. Εὐδοξίου. Ἐπειδὴ λόγοι δυνάμεως ἀπούσης τὸ ἀσθενέστερον ἔχουσιν, ἔργα δὲ λόγων πίστις καὶ ἔργων νόμος σύνεσις, εἰκότως ὅλα λέγει· ὅτι καὶ λόγῳ κεχαρίτωτο, καὶ πράξει τετίμητο, καὶ συνέσει
L κεκόσμητο. — Μεγάλῃ γὰρ δυνάμει τετίμηται, καὶ δόξῃ κεχαρίτωται, καὶ συνέσει δεδόξασται, τῇ τῶν προλαβόντων, τῇ τε τῶν παρόντων, τῇ τε τῶν μελλόντων κοσμεῖσθαι· καὶ προγνώσει γεγραμμένῃ καὶ χρόνοις τὴν ἑαυτοῦ προφη-
M τείαν κοσμῆσαι ἀξιωθείς.

Ἄρτον οὐκ ἔφαγον. Ἀμμωνίου. Διδάσκει ὁ

26. *Delebitur chrisma*. Ammonii. Haec antichristum spectant, qui post Christi adventum, novissimis diebus, haud iam patietur christianum celebrari baptisma.

In inundatione. Ammonii. Inundationem dicit populi turbam quae antichristum sectabitur, quaeque sanctos usque ad finem bello lacesset

27. *Roborabit pactum multis hebdomada una*. Ammonii. Hoc ait quia multis Iudaeorum atque fidelium suadebit Enochus ne deceptori credant, sed animos adversus eum obfirment. — Hebdomadam dicit septennium, quo Elias Enochusque venient, manebuntque annos tres cum dimidio. Tum vero aderit Christus, et saeculi consummatio. Sic loquitur ob Eliam atque Enochum, de quibus etiam Iohannes in apocalypsi sic: dabo testibus meis duobus, qui diebus MCCLX prophetabunt induti saccis.

Severi. Abominationem desolationis dicimus statuam illam quam intra templum posuit Adrianus Romanorum imperator Hierosolymis captis. Namque abominationem appellare solet scriptura imagines manu factas, atque ethnicae superstitionis simulacra. Sicuti etiam Manasses in sua precatione ait: qui statui abominationes, et multiplicavi offensiones. Sed melius est abominationem desolationis antichristum intelligere. Nam neque omnia quae in illo evangelii loco dicuntur verba, explicare licet secundum historiae praeteritae traditionem. Nam de antichristo etiam apostolus ad Thessalonicenses scribens aiebat: revelabitur homo peccati, filius perditionis, qui adversatur, et extollitur supra omne id quod dicitur Deus aut quod colitur. Locus sanctus templum Hierosolymorum appellatur. Iam ipsa evangelii verba intelligere licet etiam historice, ita ut de vastitate et excidio Hierosolymorum sermo sit.

1. *Verus sermo etc.* Eudoxii. Quia sermones absque potentia infirmi sunt, factaque fidem verbis arrogant, operumque lex prudentia est, merito haec omnia dicit; nempe quod Daniel gratia sermonis donatus fuerit, et efficacia praeditus, et prudentia ornatus. — Magna potentia exornatus fuit, et gloria gratiosus effectus, et prudentia praeteritorum, praesentium, ac futurorum temporum cumulatus: qui tum scripta divinatione tum testimonio temporum ut vaticinium suum illustraretur, meruit. Cap. X.

3. *Panem non degustavi*. Ammonii. Docet

(1) Cap. XI. 3. (2) Indae christiani opus chronicum amisimus de LXX Danielis hebdomadis usque ad X. Severi annum supputatis, ut Eusebius nos docet hist. VI. 7. (3) De apocrypha Manassis precatione legat studiosus lector quae A. Fabricius in cod. pseudepigr. V. T. p. 1100. sq. praecipueque in bibl. gr. ed. nov. tom. III. p. 732. sq. eruditissime scripsit. Nunc autem accedit Ammonii auctoritas eam precationem laudantis: atque aio praeterea, me in graecis codicibus vaticanis saltem decem, haud recentis aetatis eandem deprehendisse; quorum in uno scholiis quoque brevissimis et anonymis declarabatur; in altero transferebatur etiam in latinam linguam, ita tamen ut a vulgato latino textu differret. Extat eadem precatio in bibliis quoque armeniacis. (4) Ep. II. 2.

A προφήτης ὅτι μεγάλη ἀρετὴ ἡ νηστεία ϗ ἡ κα-
κοπάθεια σὺν προσευχῇ (1) δι' ὧν τις ἀξιοῦται
ϗ ὀπτασιῶν ἔσθ' ὅτε.

Ἀνὴρ εἷς ἐνδεδυμένος βαδδίν. Σεβήρου.
Ταῦτα δὲ πάντα τὸ δυσδιάκριτον ϗ δυσέφικ-
B τον ἐνέφαινε τῶν ὁράσεων, καὶ τὸ διάφορον
τῶν ἐκβάσεων πρὸς πολλὰς βασιλείας, ϗ τοῦ
μέλλοντος χρόνου καιροὺς μεριζόμενον· τοῦτο
γὰρ ἥ τε ποικιλία τῶν ὑλῶν, ϗ ἡ συγκεχυμέ-
νη ϗ ἄσημος φωνὴ τοῦ ὄχλου συνίστη· διὸ ϗ
C συνέσεως ἐδεῖτο πρὸς τὰ λεγόμενα, ϗ ἤκου-
σε, σύνες ἐν τοῖς λόγοις οἷς ἐγὼ λαλῶ πρὸς
σέ· εἰ δὲ πρὸς τὰς ἐπιφαινομένας ὄψεις νο-
μίσωμεν εἶναι ϗ τὴν οὐσίαν αὐτῶν, ἀνάγκη ϗ
ποικίλους αὐτοὺς ὑπολαμβάνειν ϗ ὑλικούς· ϗ
D ταῦτα αὔλους ϗ ἁπλοῦς, ὡς ἀσωμάτους ὑπάρ-
χοντας· λειτουργικὰ γάρ εἰσι πνεύματα πάν-
τες εἰς διακονίαν ἀποστελλόμενοι διὰ τοὺς μέλ-
λοντας κληρονομεῖν σωτηρίαν (2).

Ἀμμωνίου. Τὸ βαδδὶν ποικίλον σημαίνει χι-
E τῶνα, οἷοί εἰσιν οἱ πιστοὶ οἱ ἐν τῷ ποικίλῳ
τῶν ἀρετῶν διαπρέποντες, οὓς ὁ χριστὸς φορεῖ
ὡς ἱμάτιον. – Ἐνδυσάμενος τοὺς πιστοὺς ὁ Θεός,
περισφίγγει αὐτοὺς τῷ εὐαγγελίῳ τῷ τιμίῳ καὶ
καθαρῷ, ὥστε πιστεῦσαι εἰς τὴν ἀνάστασιν·
F ὀφὰζ (3) γὰρ ἑρμηνεύεται καθαρόν.

Τὸ σῶμα αὐτοῦ ὡσεὶ θαρσεῖς (4). Εὐδοξίου. Ὡς
χρυσίον τὸ ἐκ Θαρσεῖς εὐδοκιμώτερον τοῦ ἄλ-
λου· διόλου δὲ τὸ παράδοξον γνωρίζει τοῦ ὀφ-
θέντος. – Τὸ θαρσεῖς χρυσόλιθον ἔφη· ὁ δὲ
G ἑβραῖος κυανὸν τὸ χρῶμα λέγει.

Τὸ πρόσωπον αὐτοῦ ὡσεὶ ὅρασις ἀστραπῆς.
Ἀμμωνίου. Ὡς κριτοῦ αὐστηρόν ἐστι τὸ πρό-
σωπον ϗ πυρῶδες· κατὰ γὰρ τοῦ ἀντικειμένου
καυστικὸν ὁρᾷ· ἢ ὅτι πλήρης ὢν πνεύματος
H ἁγίου, τὰ ἐν καρδίᾳ ὁρᾷ. – Οἱ βραχίονες τὰ
ἄνω μέλη δηλοῦσιν, ὅ ἐστι τοὺς προπάτορας· τὰ
δὲ σκέλη, τοὺς νῦν πιστούς· μία γὰρ ἡ τῶν
προπατόρων ϗ ἡ τῶν νῦν τάξις.

Καὶ ἡ φωνὴ τῶν λόγων. Ἱππολύτου. Πάντες
I γὰρ σήμερον οἱ εἰς αὐτὸν πιστεύοντες τὰ λόγια
χριστοῦ φθεγγόμεθα, ὡς διὰ στόματος αὐτοῦ
λαλοῦντες τὰ ὑπ' αὐτοῦ προστεταγμένα.

Καὶ ἴδον ἐγώ. Ἱππολύτου. Τοῖς γὰρ ἁγίοις
φοβουμένοις αὐτόν, αὐτοῖς μόνοις ἑαυτὸν ἀπο-
K καλύπτει· εἰ γάρ τις δοκεῖ ϗ ἐν ἐκκλησίᾳ νῦν
πολιτεύεσθαι, φόβον δὲ Θεοῦ μὴ ἔξει, οὐδὲν τοῦ-
τον ὠφελεῖ ἡ πρὸς τοὺς ἁγίους σύνοδος.

Ὑπελείφθην μόνος. Ἀμμωνίου. Οἱ γὰρ ἄπι-
στοι οὐ γνώσονται τὸν χριστόν, ἀλλὰ φεύξονται·
L οἱ δὲ πιστοὶ ὄψονται αὐτόν, φωτιζόμενοι ὑπ'
αὐτοῦ, ὡς ϗ ὁ πιστὸς Δανιήλ.

Ἰδοὺ χεὶρ ἁπτομένη μου. Ἀμμωνίου. Ἡ χεὶρ
σημαίνει τὴν ἐκ μέρους γνῶσιν τῆς ἀληθείας,
τὴν εὐαγγελικήν. – Αὐτὸς γάρ ἐστιν ὁ χριστὸς
M ὁ μέλλων ἀναστῆσαι πᾶν τὸ τῶν ἀνθρώπων
γένος.

propheta magnam esse ieiunii virtutem cum precatione coniunctam; quas ob res visionibus quoque fit interdum homo dignus.

5. *Vir indutus baddin*. Severi. Haec omnia difficultatem obscuritatemque visionum produnt. Item diversus complurium regnorum exitus, et futurorum temporum subdvisa spatia. Huc spectat etiam materiarum diversitas, et confusus atque indistinctus turbae clamor. Quamobrem intelligentia opus erat; audiitque, intellige sermones quos ego loquor tibi. Quod si ad apparentium visionum normam substantiam quoque angelorum exigeremus, opus esset eos varios materialesque existimare, quum tamen materiae sint expertes atque simplices et sine corpore. Sunt enim omnes ministri spiritus in eorum auxilium missi qui hereditatem capient salutis.

Ammonii. Baddin variegatam significat tunicam, cuiusmodi fideles sunt, qui varietate virtutum splendent, quos Christus vestis instar gestat. – Induens fideles Deus, ornat eos evangelio pretioso et puro, ut credant resurrectioni. Ophaz enim explicatur purus.

6. *Corpus eius ut tharsis*. Eudoxii. Ut aurum Tharsis delatum, quod ceteris probatius est. Generatim autem mirificam describit apparentiam. – Tharsis dicit pro chrysolitho. Hebraicus caeruleum colorem dicit.

Facies eius ut fulguris visio. Ammonii. Utpote iudicis, severus est vultus et flammeus: nam iudex reum acerbe intuetur. Vel quia quum sancto spiritu plenus sit, corda rimatur. – Brachiis denotantur superiora membra, id est patriarchae; cruribus huius temporis fideles. Unus est autem patrum posterorumque ordo.

Et vox sermonum. Hippolyti. Universi modo, qui in eum credimus, Christi oracula effamur, ore veluti eius dicentes quae ab eodem fari iubemur.

7. *Videbam ego*. Hippolyti. Solis enim, qui se reverentur, sanctis semet revelat. Quod siquis nunc in ecclesia versari videtur, quum sit Dei timore alienus, nihil huic proderit sanctorum sodalitas.

8. *Solus relictus sum*. Ammonii. Namque increduli Christum non agnoscent sed fugient: fideles eum cernent, lumine eius illustrati ut fidelis Daniel.

10. *Ecce manus tetigit me*. Ammonii. Manus significat partiariam veritatis agnitionem, nempe evangelicam. – Ipse enim est Christus, qui universum hominum genus a morte revocaturus est.

(1) Legendus est Hieronymus epist. XXII. LIIII. 6, quarum posterius Theophili alexandrini est. (2) Hebr. I. 14. (3) *Ophaz* Hieronymo aurum est ep. XXXVII. 6. Et quidem is septem auri vocabula apud Hebraeos esse adfirmavit ep. XXV. 14, et comm. in Hierem. lib. II. cap. X. (4) Hieron. ep. XXXVII. 1: *tharsis Aquila chrysolithum, Symmachus hiacynthum interpretatur*.

A Κακωθῆναι ἐναντίον κυρίου. Ἀπολιναρίου.
Ἡ πρὸς τὸν Θεὸν παραμονὴ κάκωσιν ἔχει σώ-
ματος ἀμελουμένου· δεκτὴ δέ ἐστι, καὶ δεκτὴν
ποιεῖ τὴν ἐπιθυμίαν τοῦ μένοντος, καὶ ἐπὶ σω-
τηρίαν ψυχῆς ἡ παραμονή· οὐκ εὐθὺς εὑρίσ-
B κεται τὸ ζητούμενον, κἂν εὐθὺς ὁ τῆς ζητή-
σεως ἀκουσθῇ λόγος, τοιούτου ὄντος τοῦ οἰκέ-
του εἶπεν ὁ Δανιήλ.

Ἠκούσθησαν οἱ λόγοι σου. Ἱππολύτου. Ὅρα
πόσον ἰσχύει εὐλάβεια ἀνδρὸς δικαίου, ἵνα τὰ
C μήπω μέλλοντα φανερωθῆναι ἐν κόσμῳ, τούτῳ
μόνῳ ὡς ἀξίῳ ἀποκαλυφθῆναι.

Ἀμμωνίου. Ἐπειδὴ ἠκούσθη ἡ δέησίς σου,
ὥστε ἀποσταλῆναι τὸν λαὸν, βουλὴ ἐγίνετο
περὶ τούτου· καὶ πάντων λεγόντων μὴ ἀποστα-
D λῇ ὁ λαὸς, μόνος ὁ Μιχαὴλ ἀντέστη, ὃς ἦρ-
χεν ὑμῶν ἐν γῇ Αἰγύπτου.

Καὶ ἰδοὺ Μιχαήλ. Ἱππολύτου. Τί δέ ἐστι Μι-
χαὴλ, ἀλλ᾽ ἢ ὁ ἄγγελος ὁ τῷ λαῷ περιδεδομέ-
νος; ὡς λέγει τῷ Μωυσεῖ, οὐ μὴ πορευθῶ μεθ᾽
E ὑμῶν ἐν τῇ ὁδῷ, διὰ τὸ τὸν λαὸν σκληροτρά-
χηλον εἶναι· ἀλλ᾽ ὁ ἄγγελός μου πορεύσεται
μεθ᾽ ὑμῶν.

Ἦλθον συνετίσαι σε. Ἀπολιναρίου. Τὰ μὲν
τῆς ἀνόδου φησὶν ἀναντίρρητα ἔσται, τοῦ Θεοῦ
F τοῦτο κελεύσαντος· ἐπειδὴ δὲ ὑπὸ πολλῆς τῆς
περὶ τὸν λαὸν ἐπιθυμίας καὶ τὰ μετὰ ταῦτα
μανθάνειν ἐσπούδακας, ἰδοὺ σοι διδάσκαλος
τῶν ἀγνοουμένων παρέστηκα. — Τὰ γὰρ μέχρι
συντέλειαν ἦλθε δηλώσων αὐτῷ· οὐχ ὡς οἱ
G ἄφρονες φασὶ τὰ ἕως Ἀντιόχου (1)· ὅτι ἰδοὺ ἡ
ὅρασις εἰς ἡμέρας· ἴσθι δὲ φησὶν ὡς τὰ ῥη-
θησόμενα οὐκ αὐτίκα τέλος ἕξει, ἀλλὰ χρό-
νοις ὕστερον ἀποβήσεται.

Ἐν τῷ λαλῆσαι αὐτόν. Ἀπολιναρίου. Τοῦτο
H ἐπανάληψις τῶν προκειμένων ἔοικεν εἶναι.

Ὡς ὁμοίωσις υἱοῦ ἀνθρώπου. Ἀμμωνίου.
Προθεωρεῖ τὴν σάρκωσιν τοῦ μονογενοῦς, υἱὸν
ἀνθρώπου ὀνομάζων τὸν μέλλοντα γενέσθαι
υἱὸν τῆς ἁγίας Μαρίας καὶ ἐνανθρωπῆσαι.

I Ἥψατο τῶν χειλέων μου. Ἀπολιναρίου. Τουτ-
έστι δέδωκέ μοι παῤῥησίαν πρὸς τὸ φθέγξασ-
θαι· τὸ γὰρ ὁμοιογενὲς ὑπὲρ τὸ θαῤῥῆσαι φαί-
νεται αὐτῷ.

Ἐστράφη τὰ ἐντός μου. Ἱππολύτου. Ἔδει γὰρ
K ἐπὶ τῇ παρουσίᾳ τοῦ κυρίου τὰ ἄνω κάτω γίνεσθαι·
ἵνα καὶ τὰ κάτω εἰς τὰ ἄνω ἐλθεῖν δυνηθῇ (2). —
Χρόνου φησὶ δέομαι εἰς τὸ ἀναλαβεῖν ἐμαυτὸν,
καὶ δυνηθῆναι ἀρκέσαι τὰ πρὸς τοὺς λόγους, καὶ
ἀποκρίνασθαι πρὸς τὰ λεγόμενα. — Ἀλλ᾽ ἐν
L τούτοις φησὶ ὢν, παρ᾽ ἐλπίδας ἐῤῥωννύμην· ὁ
μὲν γὰρ ὀφθεὶς ἥπτετο· αὐτίκα δὲ μάλα ἡ
μὲν ἀσθένεια ἀπηλαύνετο, εἰς δὲ τὴν προτέ-
ραν καθιστάμην ἰσχύν. — Ὁπότε γὰρ παρέλθῃ
πᾶσα ἡ τοῦ βίου ἡμῶν ἰσχὺς καὶ δόξα, τότε
M δυναμούμεθα ὑπὸ τοῦ χριστοῦ ὀρέγοντος χεῖ-

12. *Affligi coram Domino*. Apolinarii. Perseverantia precum ad Deum molestiam habet, quia corpus interim negligitur. Nihilominus Deo grata est, grataque facit vota perseverantis, animaeque confert saluti. Ceteroqui haud statim quaesita res invenitur, quamquam quaerentis oratio audiatur: idque contigit etiam tanto Dei famulo Danieli.

Auditi sunt sermones tui. Hippolyti. Videsis quantum valeat iusti hominis pietas; quandoquidem quae mundo adhuc obscura sunt, huic uni dignanter aperiuntur.

Ammonii. Quandoquidem exandita est oratio tua, ut populus dimittatur, concilium de re celebratum fuit: in quo quum omnes contra populi dimissionem sententiam dicerent; solus restitit Michael, qui et olim tutelam vestri gerebat in Aegypto.

13. *Et ecce Michael*. Hippolyti. Quis est Michael, nisi angelus populo tuendo destinatus? Sicuti Mosi dictum fuit, haud ego vobiscum iter faciam, quia durae cervicis populus est; verumtamen angelus meus viam vobiscum carpet.

14. *Ut te docerem veni*. Apolinarii. Reditum populi sine dubio futurum ait, Deo ita iubente. Sed quia magnopere cupis res quoque post reditum eventuras cognoscere, en tibi arcanorum magister adsum. — Res usque ad consummationem pansurus venit; non ut stulti autumant, usque ad Antiochum. Ecce enim visio in dies. Scito autem, ea quae dicentur, non statim exitum habitura, sed posteris temporibus.

15. *Dum ille loquebatur*. Apolinarii. Haec videtur praecedentium repetitio.

16. *Veluti similitudo filii hominis*. Ammonii. Praevidet incarnationem Unigeniti, dum filium hominis appellat eum, qui futurus est filius Mariae, humanitate assumpta.

Labia mea tetigit. Apolinarii. Imbuit me fiducia ad loquendum. Nam similitudo hominis Danieli est oblata ad confidentiam excitandam.

Conversa sunt interiora mea. Hippolyti. Quippe futurum erat ut in Domini adventu superiora descenderent, ut inferiora ascendere possent. — Spatio temporis mihi opus est, ut animum recipiam, ut loqui queam et dictis respondere. — Interim vero, ait, praeter spem roboratus fui. Is enim qui apparuerat, me tetigit, statimque infirmitate depulsa pristinas vires recuperavi. — Postquam enim, inquit vitae nostrae vis et gloria dilapsa fuerit, tunc a Christo manum porrigente recreabimur, qui mortuos evo-

---

(1) Atqui hanc Apolinarii confidentem adfirmationem castigabat Polychronius p. 126. (2) Mysticus sine dubio hic sensus, uti et sequens Ammonii; quem ne facile contemnamus, audiatur Hieronymus ep. XVIII. 1: *praemissa historia, quia talis sequitur intellectus, cuius causa historia ipsa replicata est*. Copiosius huic methodo patrocinatur Hieronymus ep. XXI. 13.

A μα, ϗ ἐγείροντες ἐκ νεκρῶν ζῶντας, ϗ ὡς ἀπὸ
ᾅδου εἰς ἀνάστασιν ζωῆς.
Ἐστράφη τὰ ἐντός μου. Ἀμμωνίου. Ἐπει-
δὴ τροχῷ παρείκασται ὁ βίος, δεῖ τὸν ἔσω
τῶν ἁγίων ἄνθρωπον, τουτέστι τὴν ψυχὴν τὴν
B ἀναστρεφομένην ἐν τῷ βίῳ, τὰ μὲν κακὰ ἐᾶν
κάτω, τὰ δὲ καλὰ ἃ ἐστι τὰς χρηστὰς πρά-
ξεις, ἀπὸ τῶν γηΐνων ἀνάγειν ἐπὶ τὰ ὑψη-
λὰ ϗ οὐράνια.
Καὶ ἐνίσχυσέ με. Ἱππολύτου. Ὁπότε γὰρ
C εὐέλπιδας ἐποίησεν ὑμᾶς ὁ λόγος πρὸς τὰ μέλλον-
τα, εὐκόλως ϗ τὰς τούτου φωνὰς ἀκούειν δυνάμεθα.
Ἴσχυσα. Ἀμμωνίου. Ὅταν γὰρ παραλυθῇ
ἡ τοῦ βίου ὑμῶν ἰσχὺς, ϗ πᾶσαν δόξαν ἐπί-
γειον καταλίπωμεν, μηκέτι ἰσχύοντες ἐν αὐ-
D τῇ, τότε τὴν δύναμιν τὴν παρὰ Θεοῦ λαμβά-
νομεν, Χριστοῦ ὀρέγοντος τὴν χεῖρα ὑμῖν, καὶ
λέγοντος, ἀνδρίζου ϗ ἴσχυε.
Τοῦ πολεμῆσαι μετὰ ἄρχοντος περσῶν. Ἱππο-
λύτου. Ἀφ᾽ ἧς γὰρ ἡμέρας ἔδωκας τὸ πρόσωπόν
E σου κακωθῆναι ἐναντίον κυρίου τοῦ Θεοῦ σου, ἠκούσθη
ἡ δέησίς σου, ϗ ἀπεστάλην ἐγὼ τοῦ πολεμῆσαι με-
τὰ ἄρχοντος περσῶν· βουλὴ γάρ τις ἐγένετο
μὴ ἀποστέλλειν τὸν λαόν· ἵνα οὖν ἐν τάξει τὸ
αἴτημά σου γένηται, ἀντέστην τούτῳ ἐγώ.
F Ἐπιστρέψω τοῦ πολεμῆσαι. Ἀπολιναρίου. Ἡ
μὲν μείζων ἐνέργεια τῶν ἀγαθῶν ἀγγέλων πα-
ρὰ Θεῷ καθαιρετικὴ τῆς πονηρίας τῶν ἐναν-
τίων· δευτέρα δὲ ἡ πρὸς ἀνθρώπους διδασ-
καλική· ἐπὶ ταύτην ἥκειν φησὶ μετὰ τὸ ἀπώ-
G σασθαι τὸν περσῶν ἄρχοντα· εἶναι δὲ αὐτῷ
ϗ δεύτερον ἀγῶνα πρὸς τὸν Μακεδόνων ἄρχον-
τα προϊστάμενον τῆς μακεδονικῆς ἐξουσίας κα-
τὰ τοῦ Ἰσραήλ.
Ὁ ἄρχων τῶν ἑλλήνων. Ἀμμωνίου. Ἕκα-
H στον ἔθνος ἔχει ἄγγελον προστατοῦντα αὐτῶν,
ἵνα μὴ ὑπὸ δαιμόνων βλαβῶσι· κατὰ τὸ,
ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων
Θεοῦ· παρῆν οὖν ἐνώπιον τοῦ Θεοῦ ϗ ὁ ἄρχων
τῶν ἑλλήνων ἵνα ϗ αὐτὸς ἀκούσῃ τὰς ῥηθη-
I σομένας προφητείας περὶ Ἀλεξάνδρου ϗ τῶν
μετ᾽ αὐτὸν, οἵ τινες ἤμελλον κρατῆσαι τῆς
οἰκουμένης.
Σεβήρου. Καὶ γὰρ ϗ ἔθνεσι ϗ πόλεσι, ϗ
τοῖς καθέκαστον ἀνθρώποις, ϗ μάλιστα τοῖς
K φοβουμένοις τὸν κύριον, ἄγγελοι καθάπερ πι-
στοὶ ταξίαρχοι ϗ στρατιῶται παρὰ τοῦ μεγά-
λου βασιλέως φύλακες δέδονται (1)· παρεμβαλεῖ
γάρ φησιν ἄγγελος κυρίου κύκλῳ τῶν φοβου-
μένων αὐτὸν, ϗ ῥύσεται αὐτούς.
L Οὐκ ἔστιν εἷς ἀντεχόμενος. Ἀπολιναρίου.
Ὡς οὐδενὸς ἑτέρου τῶν ἐν πέρσαις ἀρχόντων,
ὑπὲρ τοῦ θείου σεβάσματος ἱσταμένου· διὰ γὰρ
τοῦτο τῆς ἄνωθεν ἐδέησε δυνάμεως τῆς ἐφεστώ-
σης τῷ Ἰσραὴλ, ὃς ἐγένετο Θεοῦ μερίς· τῶν
M δὲ πρώτων καὶ ἀνωτέρω τεταγμένων ὁ Μι-
χαήλ.

cabit tamquam ex inferis ad vitae resurrectionem.

Conversa sunt interiora mea. Ammonii. Quia rotae vita similis est, oportet interiorem sanctorum hominum partem, id est animam, dum in hoc saeculo versatur, vitia infra ponere; virtutes autem, seu actus bonos, a terrestribus ad excelsa et caelestia dirigere.

18. *Et roboravit me*. Hippolyti. Namque ubi spem nostram futurarum rerum sermo divinus erexerit, tunc facile vocem quoque eiusdem percipere possumus.

19. *Valui*. Ammonii. Quum saecularis vitae nostrae vis cessaverit, omnemque terrestrem gloriam dimiserimus, haud ei diutius fidentes, tunc a Deo vim accipiemus, Christo nobis manum porrigente, dicenteque, forti animo bonoque esto.

20. *Ad proeliandum cum Persarum principe*. Hippolyti. Ex quo die temet coram domino Deo tuo coepisti affligere, exaudita est oratio tua, atque ego sum missus qui cum principe Persarum proeliarer. Quaedam enim coniuratio inita fuerat, ne populus libertati restitueretur. Ut ergo bene eveniret petitioni tuae, Persarum ego principi adversatus sum.

20. *Revertar ad bellandum*. Apolinarii. Praecipua bonorum angelorum vis a Deo data pertinet ad destruendam adversariorum malitiam; secunda spectat ad erudiendos homines. Ad hoc alterum officium se venisse ait angelus, postquam Persarum principem repulerat. Nunc se proficisci dicit ad alteram pugnam contra Macedonum principem, praepositum scilicet macedonicae potestati contra Israelem.

Princeps Graecorum. Ammonii. Singulae gentes angelum custodem habent, ne a daemonibus detrimentum accipiant; iuxta illud, statuit terminos gentium iuxta numerum angelorum Dei. Aderat igitur coram Deo princeps quoque Graecorum, ut et ipse audiret dicenda vaticinia de Alexandro eiusque successoribus, qui orbe terrarum potituri erant.

Severi. Nam et gentibus et urbibus et singulis hominibus, praecipueque timentibus Dominum, angeli ceu fideles tribuni vel milites a magno rege custodes dati sunt. Castrametatur enim, inquit scriptura, angelus Domini circa timentes eum, tutelae causa.

21. *Nemo est adiutor*. Apolinarii. Nemine iam de Persarum principibus Dei religioni favente. Idcirco autem supernam vim imploravit praesidentem Israeli, qui est Dei hereditas. In praecipuis autem a divino nutu praepositis Michael est.

---

(1) In Georgio Hamartolo adhuc inedito multa bona cognituque digna inesse dixi superius p. 145. Et quidem in eius codice vat. p. 36, tum vero etiam p. 63. et sqq. copiose disseritur de custodibus hominum angelis, prolatis non solum biblicis sed patrum quoque testimoniis, Chrysostomi, Epiphanii, et Nicephori patriarchae constantinopolitani.

A Ἐγὼ ἐν ἔτει πρώτῳ Κύρου. Εὐδοξίου. Μὴ τοῦ προφήτου νομίσῃς εἶναι τὴν φωνήν· ἀλλὰ γίνωσκε ὡς τοῦ ἀγγέλου ἐστί, τοῦ προσδιαλεγομένου τῷ προφήτῃ· προοίμιον ἔστω σοι φησὶ τῆς ἐπηγγελμένης νίκης τὰ γινόμενα ἐν τῷ πρώ-
B τῳ ἔτει Κύρου· ἔσχον γὰρ εἰς κράτος καὶ ἰσχὺν, τότε περιγενόμενος τοῦ ἐναντίου, καὶ ἀπολέλυται τῆς αἰχμαλωσίας.

Ἔτι τρεῖς βασιλεῖς. Ἀπολιναρίου. Καμβύσην, καὶ τὸν μάγον (1) καὶ Δαρεῖον.

C Ἀλήθειαν ἀναγγελῶ σοι. Ἀμμωνίου. Ἀντὶ τοῦ τὰ ὁρισθέντα παρὰ Θεοῦ προλέγω σοι, ἃ καὶ ἔχει ἐκ σοῦ γραφῆναι· καὶ ἀληθῶς ἔχει πάντα ἀποβῆναι.

Ὁ τέταρτος πλουτήσει. Ἀπολινάριος τὸν Ξέρ-
D ξην λέγει. Πολυχρόνιος (2) τὸν Δαρεῖον, ἐφ' οὗ ὁ ναὸς ᾠκοδομήθη.

Ἐπαναστήσεται πάσαις βασιλείαις. Ἀπολιναρίου. Τὴν μεγάλην ἔφοδον ἐπὶ τοὺς Ἕλληνας λέγει τοῦ Ξέρξου.

E Ἀναστήσεται βασιλεὺς δυνατός. Εὐδοξίου. Ὥσπερ γὰρ οὗτος φησὶ πλουτήσας πλούτῳ μεγάλῳ, ἐπιβήσεται πάσαις βασιλείαις ἑλλήνων, οὕτως πάλιν ἐξ ἑλλήνων ἀναστήσεται βασιλεὺς ὅστις ταῦτα δράσει· οὐ σκοπὸς ἦν ἐν αὐτῷ
F πάσας τὰς βασιλείας ἐξαριθμῆσαι, ἀλλ' ἐκείνας ἐν αἷς ἦν ἡ κωλυσιεργία, καὶ ποῦ καταλήξει ἡ οἰκοδόμησις τοῦ ναοῦ, περὶ ἧς ἐφροντίζετο τῷ προφήτῃ.

Ἐκτιλήσεται ἡ βασιλεία αὐτοῦ. Ἀπολινα-
G ρίου. Προφητεύει τῆς Ἀλεξάνδρου βασιλείας τὸ μηδένα κατ' ἀξίαν αὐτοῦ γίγνεσθαι διάδοχον. καὶ ὅτι μὴ εἰς υἱὸν ἦλθεν ἡ διαδοχὴ, ἀλλ' εἰς Φίλιππον ἀδελφὸν τὸν καὶ Ἀριδαῖον, καὶ ὑπασπιστὰς τρεῖς τοὺς ἐπιφανεῖς, Ἀντίγονον, Σέ-
H λευκον, Πτολεμαῖον· καὶ ἑτέρους ἀφανεστέρους τρεῖς, Περδίκκαν, Κρατερὸν, Λυσίμαχον.

Ὁ βασιλεὺς τοῦ νότου. Ἀπολιναρίου. Πτολεμαῖον λέγει τὸν βασιλέα τὸν Λαου (3) τῆς αἰγυπτιακῆς πρῶτον βασιλέα, τῆς μετὰ Ἀλέ-
I ξανδρον ὑπομερισθείσης· πάντων τῶν ἀπὸ Ἀλεξάνδρου διενεγκόντα φρονήματι καὶ ἀνδρείᾳ, καὶ πλείστους καταστρεψάμενον.

Παραδοθήσεται αὐτῇ. Εὐδοξίου. Ἡ μὲν κόρη παραδοθήσεται πρὸς γάμον· κατακρατήσεται
K δὲ καὶ αὐτῆς τῆς κόρης καὶ τοῦ φέροντος αὐτήν, τουτέστι τοῦ πατρὸς αὐτῆς (4).

Ἀναστήσεται ἐκ τοῦ ἄνθους. Εὐδοξίου. Ἄνθος ἔμφασιν μὲν ἔχει, καρπὸς δὲ οὐκ ἔστιν· ἐπεὶ οὖν οὐκ αὐτῆς παῖς ἀλλ' ἀδελφὸς αὐτῆς
L ἔμελλεν ἐπανίστασθαι τῷ βασιλεῖ τοῦ βοῤῥᾶ, ἄνθος εἶπε καὶ οὐ καρπόν· ἀναστήσεται γὰρ ἐκ τοῦ ἄνθους τῆς ῥίζης αὐτῆς τῆς ἑτοιμασίας αὐτοῦ· τουτέστιν ἐκ τοῦ γένους αὐτῆς, καὶ ἐκ τῆς ἑτοιμασθείσης βασιλείας αὐτῷ· ἀντὶ τοῦ τῆς
M παρὰ τοῦ πατρὸς αὐτῷ παραδοθείσης.

Οἴσει εἰς Αἴγυπτον. Ἀπολιναρίου. Αὐτὸν

1. *Ego Cyri anno primo*. Eudoxii. Cave putes haec a propheta dici; sunt enim angeli verba prophetam alloquentis. Prohoemium tibi promissae victoriae sint ea quae primo Cyri anno evenerunt. Potentia, inquit, viribusque suffultus adversarium tunc devici, et soluta captivitas est. Cap. XI.

Adhuc tres reges. Apolinarius. Cambysen, magum, et Darium dicit.

2. *Veritatem tibi dicam*. Ammonii. Nempe decreta Dei tibi revelabo, quae et a te scribi debent, vereque omnia ad exitum perducenda sunt.

Quartus opibus abundabit. Apolinarius Xerxem dicit; Polychronius Darium, quo regnante templum aedificatum est.

Regna cuncta bello lacesset. Apolinarii. Magnam dicit Xerxis adversus Graecos expeditionem.

3. *Consurgens rex potens*. Eudoxii. Nam sicuti hic ingentibus opibus exaggeratus cuncta Graecorum regna adgredietur, ita vicissim e Graecia consurget rex qui paria faciet. Non est ergo prophetae propositum regna singula numerandi, sed illa quorum aetate vel opus impediendum erat vel eidem coronis imponenda, quod prophetae in votis erat.

4. *Evelletur regnum eius*. Apolinarii. Vaticinatur fore ut nemo successor Alexandri sit dignitati eius par: et quod non ad huius prolem successio deveniet, sed ad Philippum Aridaeum fratrem, atque ad eius claros satellites tres Antigonum, Seleucum, Ptolemaeum; tresque alios obscuriores, Perdiccam, Craterum, Lysimachum.

5. *Rex austri*. Apolinarii. Ptolemaeum Lagi dicit Aegypti regem primum, quae ei post Alexandrum in regnum cessit. Hic prae omnibus Alexandri successoribus consilio, fortitudine, et victoria de plurimis lata, claruit.

6. *Tradetur ipsa*. Eudoxii. Puella quidem nuptui tradetur: sed tamen et huius et eamdem ducentis potietur, id est patris.

7. *Surget e flore*. Eudoxii. Flos speciem habet, neque tamen fructus est. Quoniam ergo non ipsius filius sed frater consurrecturus erat adversus aquilonarem regem, florem dixit non fructum. Surget enim e flore radicis ipsius, praeparationis eius; id est ex genere ipsius paratoque regno eius; nempe regno eidem a patre tradito.

8. *Transferet in Aegyptum*. Apolinarii. Ip-

---

(1) Immo duo magi fuerunt. Quare rectius dixit Polychronius p. 146. (2) Ergo hic locus reddendus est Polychronio p. 146. (3) Etiam alibi vidi sic scriptum nomen hoc. (4) Ergo Eudoxius intelligit Ptolemaeum philometorem, qui pugnavit contra Alexandrum genotum. Atque ita diserte scribit p. 219.

A εἰς τὴν ἑαυτῦ βασιλείαν ἐπανιόντα τὸν Πτο-
λεμαῖον δηλῶν.

Στήσεται ὑπὲρ βασιλέα τῦ βοῤῥᾶ. Εὐδοξίυ.
Οὐ στήσεται φησὶ μέχρις αὐτῦ τὰ τῆς ἔχ-
θρας. ἀλλὰ ϗ παῖδες διαδέξονται τὸν Πτο-
B λεμαῖον· ϗ πάλιν ἐπελεύσεται τῷ βασιλεῖ τῦ
βοῤῥᾶ μετὰ τοσούτου πλήθους, ὥστε χειμάῤ-
ῥου δίκην καταλῦσαι τὴν Συρίαν.

Εἰς τὴν βασιλείαν τῦ βασιλέως τῦ νότου.
Εὐδοξίου. Τουτέστιν Ἀντιόχειαν. ϗ καθίσεται
C ἐν αὐτῇ, δύο διαδήματα τιθεὶς ἐπὶ τῆς κε-
φαλῆς αὐτῦ, ὥστε εἶναι τῦτο σύμβολον τῆς
ἑκατέρων τῶν δυνάμεων ἀρχῆς.

Ἕως τῆς ἰσχύος αὐτῦ. Εὐδοξίυ. Τουτέστι
σὺν πάσῃ τῇ δυνάμει αὐτῦ, ἤτοι ἕως πᾶσαν
D τὴν δύναμιν αὐτῦ κενώσει.

Ἄξει ὄχλον πολὺν ὑπὲρ τὸν πρότερον. Εὐ-
δοξίου. Τουτέστιν ἐν τοῖς τελευταίοις τῶν και-
ρῶν, μετὰ πολλῆς δυνάμεως εἰσελεύσεται εἰς
τὴν Αἴγυπτον· λέγει δὲ Ἀντίοχον τὸν ἐπιφα-
E νῆ, ὃς ἐπελθὼν τῇ Αἰγύπτῳ, πολλοὺς τε
αὐτῶν ἀποσφάττει, ϗ πλεῖστα αὐτοὺς χειρω-
σάμενος, ὕστερον ἐπεχείρησεν τὴν Ἀλεξάνδρειαν
παραλαβεῖν· ϗ δὲ παρέλαβεν ἂν εἰ μὴ ὑπὸ
ῥωμαίων διεκωλύθη (1).

F Οἱ υἱοὶ τῶν λοιμῶν. Ἄλλου. Τῶν παρα-
βάσεων ἀνοικοδομῆσαι τὰ πεπτωκότα τῦ ἔθ-
νους σου (2).

Εὐδοξίυ. Οὐ μὴν ἀλλὰ καί τινες τῶν ἰου-
δαίων ἑαυτοὺς φησὶ παραθέσθαι Ἀντιόχῳ βου-
G λόμενοι, προσελεύσονται τούτῳ. ὁμολογοῦντες
μὲν ἀποστῆναι τῆς πατρῴας θρησκείας, μετα-
διῶξαι δὲ τὴν τοσούτου δεισιδαιμονίαν.

Καὶ στῆσαι ὅρασιν· Τουτέστιν ἐπὶ τῷ στά-
σιν ποιῆσαι ϗ τέλος τῇ θρησκείᾳ.

H Ἐκχεῶ πρὸς χῶμα κ. τ. λ. Εὐδοξίυ. Ἀντὶ
τῦ φανεῖται τῶν ἐν τῷ λαῷ ἡ γνώμη. — Του-
τέστιν ὁ Ἀλέξανδρος θελήσει κρατῆσαι τῆς
τῶν προγόνων ἀρχῆς· ἦν δὲ παῖς Ἀντιόχου
ἐπιφανῦς. — Τουτέστιν Ἀντίοχος τὴν πόλιν
I τὴν ὀχυράν· πόλεις πολλὰς τῶν ἰουδαίων. τι-
νὰς δὲ αὐτῶν ϗ χειρώσεται, ϗ ἐπὶ τοσῦτον
κακώσει, ὥστε μηδὲ τὴν δύναμιν τῦ βασιλέως
τῆς Αἰγύπτου αὐτῷ ἀντισχεῖν· ἀλλ' ὅμως οὐ
στήσονται οὐδὲ ἰσχύσουσιν.

K Ὁ γὰρ ἀποσταλεὶς φησι πρὸς αὐτὸν πρεσβύ-
της παρὰ ῥωμαίων, ποιήσει κατὰ τὸ θέλημα
αὐτοῦ· εἰσῆλθε γὰρ κωλύων αὐτὸν τῆς κατ'
Αἴγυπτον ἐφόδου. ϗ μέχρι τινὸς ὐ βουλομέ-
νου ἀφίστασθαι, ῥάβδον λαβὼν ὁ πρεσβύ-
L της, καὶ τὸν τόπον ἐν ᾧ εἱστήκει περιχαράξας,
οὐκ ἐξελεύσῃ φησὶν ἐντεῦθεν, εἰ μὴ τὸ ἕτερον
ἀποκρίνῃ, πότερον ἐξέρχῃ τῆς Αἰγύπτου. ἢ
πολεμεῖς ῥωμαίοις· τούτου οὖν φησὶν εἰσελθόν-
τος πρὸς αὐτὸν, ϗ ποιήσαντος κατὰ τὸ θέ-
M λημα αὐτῦ, οὕτως οὐ ἔσται ἑτοίμως κατὰ πρόσω-

sum in regnum suum redeuntem denotat Ptolemaeum.

Stabit contra regem boreae. Eudoxii. Odium, inquit, haud in hoc uno consistet, sed ad Ptolemaei filios manabit: rursusque expeditionem suscipiet contra boreae regem tantis copiis, ut torrentis instar Syriam sit obruturus.

9. *Ad regnum regis austri*. Eudoxii. Nempe Antiochiam, in qua sedebit, duo diademata capiti suo imponens, ut sit symbolum se utriusque regni potestatem tenere.

10. *Usque ad fortitudinem eius*. Eudoxii. Congredietur cum omnibus illius copiis, sive cum omni sua potentia spoliabit.

13. *Copias prioribus maiores ducet*. Eudoxii. Postremis temporibus Aegyptum magnis viribus invadet. Loquitur de Antiocho illustri, qui suscepta adversus Aegyptum expeditione multos ibi mortales occidit, multosque cepit; et Alexandriam postremo adortus est, quam sane cepisset, nisi eum Romani prohibuissent.

14. *Filii pestiferi*. Anonymi. Apostatae, qui gentis potentiam redintegrare nitentur.

Eudoxii. Nonnulli quoque Iudaei Antiochi partibus studebunt, eumque adibunt, patria sacra abiurantes, eiusque superstitioni adhaerentes.

Ut sistant visionem. Eudoxii. Ut religionem inhibeant eique finem imponant.

15. *Dissipabit aggerem*. Eudoxii. Id est nonnullorum e populo mens revelabitur. Alexander maiorum suorum recuperare imperium nitetur. Erat hic Antiocho illustri genitus. — Antiochus urbem munitam capiet. Multas Iudaeorum urbes expugnabit, ac tantopere adfliget, ut ne regis quidem aegyptii vires ei resistere possint. Hi tamen minime diu manebunt neque valebunt.

Eudoxii. Nam missus, inquit, a Romanis ad eum legatus, pro suo libito aget. Hic enim venit Antiochum ab Aegypto invadenda prohibiturus: quo statim nolente recedere, legatus virga accepta, locoque in quo rex consistebat circumscripto; haud hinc, ait, abscedes nisi alterutrum responderis, nempe utrum Aegypto abeas an Romanis bellum indicas. Tum rex ad legatum accedens, eique morem gerens, ...

(1) Nota sunt haec in romana graecaque historia: quamquam et ego hoc bellum prolatis Porphyrogeniti, seu potius historicorum veterum, novis excerptis magis adhuc illustraturus sum. (2) Corruptus videtur vel potius abruptus hic anonymi locus; quamquam ita se habet in utroque codice. Nam et biblicus ipse contextus, et mox Eudoxius, contradicunt.

A που αὐτοῦ· τουτέστιν οὗτος οὐκ ἀντιστήσεται αὐ-
τῷ, οὐδὲ πολεμῆσαι θέλῃ ῥωμαίοις, ἀλλ' οὕ-
τως αἰσχρῶς ἀναχωρήσας ἐκεῖθεν θυμομαχῶν.
Ἐν τῇ γῇ τοῦ σαβείρ. Εὐδοξίου. Τουτέστιν
ἐν τῇ γῇ τῇ ἐκλεκτῇ τῆς Ἰουδαίας· καὶ οὐ μό-
B νον φησὶ θελήσει, ἀλλὰ καὶ συντελέσει ἐν χει-
ρὶ αὐτοῦ· τουτέστι πληρώσει πολλῶν(1) ὧν προέ-
θετο κατὰ τῶν ἰουδαίων.
Ἐν γῇ τοῦ σαβείρ. Ἄλλου. Ἐν γῇ τῆς θε-
λήσεως τῇ ἐξόδῳ τῆς δυνάμεως.
C Εὐθεῖα πάντα μετ' αὐτοῦ ποιήσει. Εὐδοξίου.
Ἀντὶ τοῦ ὁ Πτολεμαῖος ἑτοίμως δέξεται τὴν
παρὰ Ἀλεξάνδρου πρεσβείαν, καὶ κατεγγυήσει
αὐτῷ τὴν αὐτοῦ θυγατέρα.
Ἐπιστρέψει. Εὐδοξίου. Φησὶ μεταβαίνει ἀπὸ
D Ἀντιόχου ἐπὶ Πτολεμαῖον καὶ(2) φιλομήτορα. —
Ἀλλ' αὕτη φησὶν αἰτία καταστήσεται τῷ Ἀλε-
ξάνδρῳ θανάτου· ὁ γὰρ πενθερὸς αὐτοῦ μετ'
ἀδείας ἐπῄει ταῖς πόλεσιν, καὶ κατὰ μέρος ἐγ-
κρατὴς πάσης τῆς βασιλείας ἐγένετο.
E Θυμωθήσεται ἐπὶ διαθήκην ἁγίαν. Ἀπολι-
ναρίου. Σχῆμα μὲν γὰρ ὑποδύσεται κατ' ἀρ-
χὴν ὡς ἀντιποιούμενος νόμου· θυμῷ δὲ παρα-
νόμῳ πράξει τὰ κατὰ τῆς διαθήκης, καταλι-
πὼν αὐτὴν(3) ὑπὲρ ἧς ἵστασθαι προσεποιεῖτο· τοῦ-
F το δὲ οὐδαμῶς ὁ Ἀντίοχος· οὐ γὰρ κατέλιπε
τὴν διαθήκην, ἧς ἐξ ἀρχῆς ἀλλότριος ἦν, καὶ
τὰ πολεμίων διεπράξατο.
Οἱ συνετοὶ τοῦ λαοῦ ἀσθενήσουσιν ἐν ῥομ-
φαίᾳ. Ἀπολιναρίου. Ὁ μὲν λόγος περὶ τῶν
G ὑπὸ τοῦ ἀντιχρίστου πολεμουμένων, ἁρπαγαῖς
τε χρημάτων καὶ φόνοις καὶ πυρὶ καὶ ἀπαγωγαῖς·
καὶ οὐκ ἀβοηθήτων περιεσομένων, ἐπ' ὀλί-
γων δὲ βοηθουμένων, ἵνα καὶ διαγωνίσωνται καὶ
δοξασθῶσιν· ὡς δὲ ἐν ὑπογραφαῖς τοῖς μακ-
H καβαίοις ταῦτα θεωρεῖσθαι δυνατόν (4).
Ἔσται καιρὸς θλίψεως. Ἱππολύτου. Τότε γὰρ
ἔσται θλίψις μεγάλη, οἵα οὐ γέγονε τοιαύτη ἀπὸ
καταβολῆς κόσμου, ἄλλων ἀλλαχῆ κατὰ πᾶσαν
πόλιν καὶ χώραν εἰς τὸ ἀναιρεῖσθαι τοὺς πιστοὺς
I πεμπομένων· καὶ τῶν ἁγίων ἀπὸ δύσεως εἰς
ἀνατολὴν πορευομένων, καὶ τῶν δὲ ἀπὸ ἀνα-
τολῶν εἰς μεσημβρίαν διωκομένων, ἄλλων δὲ
ἐν τοῖς ὄρεσι καὶ σπηλαίοις κρυπτομένων· παν-
ταχοῦ δὲ αὐτοὺς τοῦ βδελύγματος πολεμοῦντος,
K καὶ διὰ θαλάσσης καὶ διὰ ξηρᾶς τούτους διὰ
τοῦ προστάγματος ἀναιροῦντος, καὶ κατὰ πάντα
τρόπον ἐκ τοῦ κόσμου ἐκθλίβοντος· μὴ δυνα-
μένων αὐτῶν μηκέτι τῶν ἰδίων πωλῆσαι, μήτε
ἀγοράσαι παρὰ τῶν ἀλλοτρίων, χωρὶς ἐὰν μή
L τις τὸ ὄνομα τοῦ θηρίου ἔχῃ καὶ περιφέρῃ, ἢ
τὸ τούτου χάραγμα ἐπὶ μετώπου βαστάσῃ· πάν-
τες γὰρ τότε ἐκ παντὸς τόπου ἐκδιωχθήσον-
ται, καὶ ἐκ τῶν πόλεων ἐξελασθήσονται, καὶ ἐκ
τῶν οἰκείων κατασπασθήσονται, καὶ ἐν τῷ δη-
M μοσίῳ συρθήσονται, καὶ πάσῃ κολάσει κολασθή-
σονται, καὶ ἐκ παντὸς κόσμου ἐκβληθήσονται.

contra imperata non obfirmavit, neque ei restitit, neque belligerari cum Romanis voluit: sed infenso acerboque animo turpiter Aegypto discessit.

In regione sabir. Nempe in eximia Iudaeae regione. Neque solum, inquit volet, sed manu perficiet. Id est multa faciet quae adversus Iudaeos iamdiu machinatus fuerat.

16. *In regione sabir*. Anonymi. Ad regionem optatam cum copiarum agmine progressus.

17. *Optimas ei conditiones faciet*. Eudoxii. Legationem Alexandri libenter Ptolemaeus excipiet, suamque filiam ei despondebit.

18. *Convertet etc.* Eudoxii. Ab Antiocho ad philometorem Ptolemaeum deficiet. Ceterum haec, inquit exitii causa Alexandro erit. Nam socer eius secure admodum urbes illius occupavit, pedetemptimque universi regni dominus evasit.

30. *Irascetur foederi sancto*. Apolinarii. Simulabit quidem initio se legem protegere; ceterum impia rabie exstimulatus testamentum nostrum pessime vexabit, omissa re cui studere simulaverat. Heic de Antiocho sermo non est, qui sane testamentum iudaicum non dereliquit, cui semper alienus fuit et hostiliter nocuit.

εἰδῆτε, ὦ ἄνδρες ἀθηναῖοι, καὶ γνῶτε ὅσον τῷ νόμῳ τοῦ βελτίστου περίεστι, καὶ ὡς, C
εἴπερ τις ἀνθρώπων, Λεπτίνης δημοτικὸς καὶ περὶ τὴν πόλιν χρηστός.

ζ. Πᾶσα τοίνυν πολιτεία καὶ δυναστεία καὶ ὅλως οἱ τῶν ἀνθρώπων καθένα, οὐκ
εἴ τι πράξουσι μόνον σκοποῦσιν, ἀλλ' εἰ συμφέρον τοῦτ' αὐτοῖς ἔσται καὶ διὰ πάν-
των ὡς εἰπεῖν πρὸς αὐτῶν· βούλονται μὲν γὰρ, ὦ ἄνδρες ἀθηναῖοι, καὶ μάλα βέ-
λονται, καὶ τοῦ δικαίου τυγχάνειν ἐν τούτοις, καὶ μηδὲν ἐλλείπειν τούτου τοῦ μέ- D
ρους· ὡς μόνην ταύτην οὖσαν πρᾶξιν ἀρίστην· ἂν δ' ἄρ' ἀμφότερα μὴ ἐξῇ, καὶ
δίκαια πράττειν καὶ συμφέροντα αὐτοῖς, οἱ δ' αἱροῦνται συμφέροντα μᾶλλον ἢ δί-
καια πράττειν· μᾶλλον δὲ οὐδὲ τὴν ἀρχὴν πράττειν οἴονται δεῖν, ὅταν ἃ μέλλουσι
πράττειν, ἢ μὴ συμφέροντ' αὐτοῖς αἴσθωνται ταῦτ' εἶναι, ἢ κατὰ σφῶν αὐτῶν.
τὸ μὲν γὰρ μανία σαφὴς ἑκόντα τινὰ καθ' αὑτὸν πράττειν αἱρεῖσθαι· τὸ δ' ὡς E
ἀληθῶς κουφότητος καὶ ἀνοίας, καὶ τῆς περὶ τὸν μαργίτην ὡς εἰπεῖν συμμορίας,
εἰκῆ πονεῖν καὶ πράττειν διακενῆς, καὶ εἰς οὐδὲν δέον. Λεπτίνης τοίνυν οὐ μόνον δί-
καιον, ἀλλὰ καὶ συμφέροντα καὶ προσέτ' αἴτιον τῇ πόλει δόξης εἰσήνεγκε νόμον, τῶν

rem publicam, haec una vel maxime communis est et perutilis, sufficientemque ac firmam et generalem utilitatem perpetuo suppeditans. Igitur militiam obire, sumptus conferre ad triremes, legationes mittere et excipere, socios bellorum adsciscere, pacisci cum hostibus, eosdem propulsare, patriam tueri ac servare, atque in his hercle cum civibus consentire, unamque mentem gerere, atque ut uno verbo dicam, quaecumque urbi tantae totque gentium atque insularum dominae opus sunt, haec inquam omnia expedite et commodissime deliberare et facere, ex hac vobis lege cum Minervae nutu feliciter licebit: idque ego pro viribus demonstrare conabor, perspicuumque omnibus facere, ut affatim cognoscatis, o Athenienses, summam esse legis huius praestantiam, Leptinem vero quam qui maxime popularem urbique benivolum.

VII. Omnis sive libera sive regia respublica, immo singuli homines, non solum quid acturi sint considerant, verum etiam an id sit utile ipsis, atque omnia fere ad se referunt. Et summopere quidem optant, o Athenienses, in gerendis rebus aequitatem sequi, neque hac in parte deficere, quam optimam solam existimant. Quod si utrumque non possint, nempe et iusta facere et utilia sibi, ipsi quidem utilia iustis antevertunt. Immo vero ne principio quidem quicquam adgrediuntur, si forte id quod facturi sunt, aut sibi non utile aut adversum cognoverint. Furor enim manifestus est, siquis sibi nocua sponte facere eligat: porro levissimum ac stultum et fatuorum societate dignum est, siquis frustra laboret, et futilia faciat ac nulli rei congruentia. Iam vero Leptines legem attulit non solum iustam et utilem, verum etiam civitati honorificam, nulli legum primitivarum atque priscarum infe-

A μὲν ἐξ ἀρχῆς ϗ πάλαι κειμένων οὐδὲν ἐλάττω, εἰ μὴ ϗ μείζω, ὅσον δ' ᾽κεῖνοι πα-
ρεῖσαν, οὗτος ἐξεῦρε ϗ διωρθώσατο· ἄξιον δὲ οὐ παρὰ τοῖς τῆς Ἀθηνᾶς τροφί-
μοις μόνοις ἡμῖν, ἀλλὰ ϗ πᾶσιν ὡς εἰπεῖν ἀνθρώποις εὐδοκιμεῖν· δίκαιον μὲν
ἀνθ' ὧν κοινῇ πάντας λειτουργεῖν ἀναγκάζει, ὅπέρ ἐστι δημοκρατουμένων ὡς ἀλη-
θῶς, ϗ τὴν ἰσότητα διὰ πάντων τιμώντων, ἀλλὰ μὴ δι' ἀτελείας τὴν ἀναγ-
B καίαν καὶ δημοτελῆ ταύτην εἰσφορὰν παραιτεῖσθαι, ὥσπερ δεδιότας μὴ δόξωμεν
εὖ ποιεῖν τὴν ἡμῶν αὐτῶν· καί τοι πῶς οὐκ ἄτοπον, καὶ τοῦ δικαίως ἔχοντος
πόῤῥω, τῶν μὲν παρ' αὐτῆς ἀγαθῶν ἐξίσης ἡμᾶς ἀπολαύειν ἔχειν, ἡμᾶς δ' οὐκ
ἐξίσου τὰ πρὸς αὐτὴν διακεῖσθαι; ἀλλὰ τοὺς μὲν λειτουργεῖν, τοὺς δὲ μή· ϗ
παραπλησίους ἀλλήλοις ὄντας τῇ πρὸς ταύτην εὐνοίᾳ, ἐνταῦθα μόνον τὴν ἰσότητα
C φεύγειν· καὶ πολέμου μὲν ἐπιόντος, πάντας ὑπὲρ αὐτῆς κινδυνεύειν αἱρεῖσθαι, ϗ
τῆς αὐτῆς ἔχεσθαι προθυμίας· ἐν δὲ τοῖς ἐλάττοσι τῶν πραγμάτων, καὶ κίνδυνον
μὲν οὐδοντινοῦν οὐδὲ πόνον, ὠφέλειαν δ' ὅτι πλείστην τῇ πόλει καὶ ἡμῖν προξενοῦ-
σιν, ἔπειτα πολίτας, ὡς εἰπεῖν, ἐξημιστίας ὁρᾶσθαι· συμφέροντα δὲ, μὴ μόνον
τῷ συςάσεις ἀτεχνῶς πολιτειῶν τὰς λειτουργίας εἶναι, καὶ θαυμαστὰς καὶ μεγίσ-
D τας πρὸς ἐπίδοσιν ἀφορμὰς, ἀλλὰ καὶ ὅτι μηδενὸς μὲν ἀτελοῦς ὄντος, ὡς ἔφην,
πάντες λειτουργήσουσιν· ἐὰν δὲ ἀτελείας μετέχωσι τινὲς, οὐδὲ εἷς· εἰ τοίνυν ᾧ
μὲν χείρω τὰ τῆς πόλεως εἶναι συμβαίνει, καὶ πρὸς φθορὰν αὐτῇ μᾶλλον ἢ δό-
ξαν ἑτέροις, τοῦτο τοῦ μηδενὸς ἄξιον χρῆσθαι, ὁ δὲ μείζω ταύτην ἐπιφανῶς καὶ
βελτίω ποιεῖ καὶ τοῖς ἅπασιν εὐθηνοῦσαν, τοῦτ' ἀνάγκη πᾶσα περιπάνυ τοι πολ-
E λοῦ πεποιῆσθαι, εἴγ' ἡμῶν αὐτῶν λόγος ἡμῖν, οὔτ' ἀτελεῖς τινας εἶναι τὸ πα-
ράπαν προσῆκεν, ὡς οὐ μικρὰν ταύτην οὖσαν τοῖς πράγμασι βλάβην, ὅ τε νό-

riorem : nisi forte maiorem etiam, propterea quod quae in illis praetermissa sunt, haec invenit vel emendavit. Quae sane lex haud solum apud nos Minervae alumnos, sed apud omnes ut ita dicam gentes laudem meretur : iusta enim est, quae communia cunctis civibus officiorum imponit onera ; id quod liberarum civitatum et aequo iure utentium maxime est proprium; et certe multo magis quam, interposita immunitate, defugere, necessarium hoc et popu are tributum ; ita ut vereri videamur quominus bene patriae faciamus. Nonne enim absurdum est atque a iure magnopere alienum, nos ab urbe aequis partibus bona recipere, nosmet autem ipsos erga illam haud aequaliter cunctos officiis certare ? sc l alios munera obire, alios minime : cumque omnes in patriam simus aeque benivoli, in hoc uno aequabilitatem vitare ? et si forte bellum ingruat, omnes pericula pro patria adire, concordique audacia uti ; in minoribus autem officiis, periculoque ac labore expertibus, et tamen nobis urbique maxime utilibus, dimidiam tantummodo civium partem versari ? Est autem utilitas non solum quia munerum exercitationes remp. omnino continent, et mirum quantum ad rerum incrementa valent ; verum etiam quia si nemo immunis fuerit, ut dixi, cuncti munera obibunt ; sin aliquot immunitate potiantur, ne unus quidem oneribus publicis perfungetur. Si ergo non expedit uti re, quae peiorem civitatis conditionem efficit, quaeque ad huius potius detrimentum quam ad gloriam quorumvis confert ; et si id quod civitatem maiorem insigniter ac meliorem atque omnibus copiis refertam facit, fieri non potest quin plurimi aestimemus ; nisi nos certe nostrum curam abiicimus, neminem profecto esse immunem patiemur, quia non modicum id detrimentum reip. est ; lex autem haec adeo nobis ad om-

μος οὕτω διὰ πάντων ἡμῖν συμφορώτατος ὤν, ὡς ἐξ Ἀπόλλωνος ἥκων, δίκαιος A
ἂν εἴη μετὰ παντὸς τοῦ συγκεχωρηκότος κύριος εἶναι καὶ τοῖς πᾶσι κρατεῖν.
η. Χωρὶς δὲ τούτων, ἐκ μὲν ἀτελείας οὐδ᾽ ὁτιοῦν ἔνεστι κέρδος τῇ πόλει,
πλὴν τοῦ χάριν ἔχειν ἐντεῦθεν ἀποδιδόναι· ἀλλ᾽ οἱ ταύτην εἰληφότες τρυφῶσιν,
αἱ δὲ λειτουργίαι αὐτῇ τε ταύτῃ τὰ μέγιστα πάντων λυσιτελοῦσιν, ἐξ ὧν αὔξε-
ται συγκροτοῦσαι, τοῖς τε δρῶσιν αὐτοῖς, ἰδίαν παρέχουσι δόξαν τὴν ὑπὲρ τῆς B
ἐπιγνούσης σπουδήν· καὶ μὴν εὐεργέτας μὲν ἔστι καὶ ἄλλως ἀμείβεσθαι, πόλιν δὲ
δίχα λειτουργιῶν σωζομένην, οὐδ᾽ ἐν τοῖς μύθοις ἐγνώκειν· ἀλλὰ κἂν ἥρως οἰκή-
τορας ἴσχῃ, κἂν τὴν ἀγαθὴν τύχην συναιρομένην, οὐδὲν αὐτῇ πλέον ἔσται, μὴ ταυ-
τησὶ τῆς ξυμμαχίας ἐνούσης· εἰ γὰρ μήτε δημαγωγεῖν δεῖ, μήτε στρατεύεσθαι,
μὴ τριηραρχεῖν, μήτε μηδὲν τῶν πάντων ποιεῖν, ἃ λειτουργιῶν μὲν ἐστὶν εἴδη, συ- C
στάσεις δ᾽ ὡς ἀληθῶς τῶν πόλεων οὐδὲν ἀλλ᾽ ἢ σώματι δόξομεν ἐοικέναι χειρῶν
τε καὶ ποδῶν καὶ προσέτ᾽ αἰσθήσεων ἀποροῦντι· ὃ γὰρ πάντα ταῦτ᾽ ἐστ᾽ ἐκείνῳ,
τοῦτο τῇ πόλει τὸ δι᾽ ὧν ἔφην ὑπηρετεῖσθαι· οὐ μὴν ἀλλ᾽ εἰ καὶ μηδ᾽ ὁστισοῦν μὲν
τὸ παράπαν ἐλείπεθ᾽ ἕτερος ἀποδόσεως τρόπος, ἀλλ᾽ εἰς ἀτέλειαν πάντ᾽ ἦγε, καὶ
τοῦτ᾽ ἦν μόνον γέρας τοῖς εὖ πάσχειν ἀξίοις, ὧν εἵνεχ᾽ ὑπὲρ ἡμῶν προτεθύμηνται, D
βεβλάφθαι δ᾽ ἂν οὐ μικρῶς ἐντεῦθεν ἡ πόλις ἐδόκει, οὐδ᾽ οὕτως ἄν μοι δοκοῦ-
μεν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ τοιαῦτ᾽ ἀνασχέσθαι, οὐδὲ διὰ τὴν πρὸς τὸν δεῖνα
ἢ τὸν δεῖνα χάριν, αἴτιοι ζημίας καθιστάναι τῇ πόλει· ἀλλὰ τῶν ὑπὲρ αὐτῆς δι-
καίων καὶ τοῦ κοινῇ λυσιτελοῦντος πάντα θέμενοι λόγον, τὸ κατ᾽ αὐτοὺς τούτους εἰ-
κότως ἐᾶται· ἱκανὴν ἔχοντας χάριν τὸ πόλεως τοιαύτης εὐεργέτας φανῆναι· ἐπεὶ E
καὶ οὕτω τιμᾶσθαι μᾶλλον περιέσται αὐτοῖς, τῷ δοκεῖν μὴ τὴν ἀρετὴν ὥσπερ ὤνιον
πεπεῖσθαι, μηδοτουοῦν ἑτέρου, ἀλλὰ μεγαλοψυχίας εἵνεκα τῆς αὐτῶν καὶ τῆς

nia perutilis, quasi Apolline auctore, digna profecto erit, quae nemine repugnante iubeatur, atque in omnes valeat.

VIII. Praeterea lucrum certe nullum ex immunitate percipit civitas, nisi quod hinc habet quo gratiosa sit. Atqui hac gratia potiti luxuriantur; munerum vero functiones civitati maxime prosunt, quia bonis eam exaggerant, propriamque ipsis fungentibus gloriam comparant propter eorundem iuvandae patriae studium. Et sane beneficos licet aliter quoque remunerari; at civitatem sine munerum functione incolumem ne in fabulis quidem usquam reperi. Verum etiamsi heroas habeat incolas, etiamsi bonam fortunam adiutricem, nihilo melius erit illi, nisi ministeria civium praesto sint. Nam si neque urbanos magistratus gerere libet, neque militiam capessere, neque triremium impensas tolerare, neque omnino quicquam facere ex omni munerum numero, civitatum quidem congregationes nihil aliud esse putabimus quam veluti corpus sine manibus pedibusque, praetereaque sensibus destitutum. Quod enim corpori ab his omnibus accidit, idem civitati praedicta munera praestant. Quin adeo etiamsi forte nullus alius superesset remunerandi modus, sed omnia ad immunitatem reciderent, idque unicum eorum hominum esset praemium, quibus benefacere oporteret, quia pro nobis fortiter rem gessissent; nihilo tamen minus, si hinc civitas non parvo damno videretur adfici, ego tum sane, Athenienses, censerem non esse id ferendum, neque committendum, ut ob paucorum captandam gratiam detrimenti aliquid resp. caperet: sed omnino ratione habita officiorum reip. debitorum et communis utilitatis, singulorum hominum curam esse seponendam: ita ut hi satis gratiae recepisse se putent, quod erga tantam urbem benefici comperti sint. Sic enim copiosius gloriari possunt, quia videntur virtutem haud venalem exercuisse, nec ob aliud quicquam quam ob suam fortitudinem et benivo-

A πρὸς τὴν πόλιν εὐνοίας, ταῦτ' ἐνδεδεῖχθαι· καθάπερ ἐπὶ τοῦ μηδικοῦ πολέμου Θεμιστοκλεῖ τῷ Νεοκλέους ὑπῆρξε, καὶ Παυσανίᾳ τῷ Κλεομβρότου, καὶ ἔτι πρὸ τούτων τῷ γ' Εὐφορίωνος Κυναιγείρῳ, καὶ Καλλιμάχῳ τῷ Πολεμάρχου· οὗτοι γὰρ πάντες, οὔτε πρὶν ἅψασθαι τῆς μάχης πρὸς ἀριστείων μέγεθος ἀφεωρακότες ἐθάρρησαν τὸν ἀγῶνα, οὔτ' ἐπεὶ μηκέτ' εἶναι κινδυνεύσαντα διεσώσαντο τὴν Ἑλλάδα,
B ἔτυχον ὧν περ εἰκός· ἀλλ' ἀποχρῶσαν σφίσιν αὐτοῖς ᾤοντο δόξαν, τό τε μείζω στεφάνων εἰργάσθαι, τό τε δι' αὐτῶν τὴν Ἑλλάδα σεσῶσθαι.

Θ. Οὐ μὴν ἀλλ' εἰ καὶ δοίημεν εἶναί τι παρ' ἀτελείᾳ συμφέρον, ὡς ἔγωγ' οὐκ οἶμαι, ἀλλὰ πρῶτον μέν, οὐχ' ὅσον ἐκ λειτουργίας, οὐδ' ὥς τε καὶ παραβεβλῆσθαι, οὐδ' ἐγγύς· ἔπειτα τὸ μέν, εἰς πᾶσαν ἥκει τὴν πόλιν, τὸ δ' εἰς
C ὀλίγους δή τινας· καὶ τὸ μὲν ἥκιστ' ἂν λυμήνηται παροφθέν, ἐκ δὲ τῶν μὴ λειτουργούντων, τὰ μέγιστ' ἂν αἱ πόλεις βλαφθεῖεν· καὶ νὴ Δία γε τὸ μέν, ταυταισὶ ξυνυπέστη· ἅμα γὰρ πόλις, ἅμα καὶ λειτουργεῖν· μᾶλλον δὲ ἢν ἀκριβῶς ἐξετάσῃς, εὑρήσεις καὶ τὸ τὰς πόλεις ἐξ ἀρχῆς γεγενῆσθαι, λειτουργίαν ἄντικρυς οὖσαν, καὶ οἷόν τινα κοινὴν τῶν ἀνθρώπων ἐπὶ συστάσει τῆς οἰκουμένης δήπουθεν
D εἰσφοράν· ἀτέλεια δέ τισιν ὕστερον κατὰ τὸ τῆς γνώμης ἐπινενόηται δέξαν, ὥσπέρ τι φιλοτιμίας φάρμακον· ὅσον δὴ καὶ μέγιστον καὶ ἀναγκαιότατον τοῦτο καὶ τοῖς ἅπασιν ὑπεραῖρον, τοσοῦτο δεῖ καὶ ἡμᾶς παντὸς μᾶλλον προστίθεσθαι καὶ σεμνύνειν· καὶ μὴν εἰ τῶν πραγμάτων ἐκεῖνα πλείονος ἄξια καὶ τούτοις ἐπαίνων διαφερόντως προσῆκεν ὧν ἡγεμόνες θεοί, οὐκ ἂν φθάνοιμεν εὖ ἴσθι τὸ λειτουργεῖν
E ὅτῳ τις ἂν εἴποι μεῖζον τιθέντες· μὴ γὰρ οὖν οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὥσπερ τὰ ἄλλα καὶ τοῦθ' ἡμῖν ἐξευρῆσθαι, μὴ δ' ἐντεῦθεν τὴν ἀρχὴν ἐσχηκέναι· ἀλλ' εἴπερ τι παρ' ἀνθρώποις διοπετές, καὶ τοῦτ' ἐκεῖθεν ἀφῖχθαι· εἴπερ οἱ τῶν

lum erga urbem animum talia facinora edidisse. Qualis videlicet extitit medico bello Themistocles Neoclis, et Pausanias Cleombroti, et ante hos Cynegirus Euphorionis, et Callimachus Polemarchi. Hi quippe omnes haud equidem ante proelium ineundum spectata praemiorum magnitudine ad certamen exacuti sunt: nec postquam Graeciam de suprema salute periclitantem expediverunt, digna praemia consecuti sunt; sed hac gloria contenti fuere, quod maiora coronis merita prae se tulerunt, quodque Graecia per eos conservata est.

VIIII. Sed enim etiamsi forte concedamus aliquam esse immunitatis utilitatem, quod ego non puto; ea tamen primo quidem haud tanta est quanta munerum functio, neque huic comparari potest, neque proxime accedit. Deinde munerum functio ad communem urbis commoditatem redundat, immunitas ad paucorum. Et haec quidem si praetermittatur, minimum oberit; verum si ministeria deficiant, summopere urbs laborabit. Certe per Iovem haec simul existunt, urbs videlicet et munerum ministeria. Immo si altius vestigaveris, causam manifestam cur civitates congregatae sint invenies officiorum exercitationem, quae fuit quaedam hominum communis symbola ad gignendam mundi civilem constitutionem. Contra immunitas consecutis temporibus ingenii arbitrio excogitata fuit, ceu quoddam pharmacum ambitionis. Iam functio munerum quo maior est, magisque necessaria, ceterisque rebus antestans, eo impensius a nobis coli debet plurisque fieri. Sane si ea facinora nobiliora habentur ac laudabiliora, quorum dii nobis auctores sunt, sine dubio necesse est civilia ministeria rebus omnibus anteponere. Cavete enim putetis, o Athenienses, nos ut cetera sic munerum functiones excogitavisse, vel a nobis initium huius rei fuisse: nam si quicquam inter homines versatur a Iove delapsum, illae quoque indidem sunt. Siquidem rerum omnium domini dii ac genii non so-

ὅλων κύριοι θεοί τε καὶ δαίμονες οὐ μόνον οἷς τὸ πᾶν ἐξ ἀρχῆς ὑπεστήσαντο, μεγά- A
λην καὶ θαυμαστήν τινα ταύτην εἰσήνεγκάν τε καὶ προὔφηναν λειτουργίαν τῷ βίῳ, ἀλ-
λὰ καὶ νῦν, οὐχ ἥκιστα τοῦτο δρῶσιν, οἷς ἡμῶν τοσοῦτ' αὐτοῖς ἑκάστοτε μέλει, καὶ
οὕτω κηδομένως ἔχουσιν, ὡς μηδὲν τῶν εἰς ἡμετέραν σύστασιν καὶ σωτηρίαν ἡκόντων,
μηδὲ καθ' ὄντινα δήποτε τρόπον ἐλλείπειν, ἀλλ' ἀπὸ πολλοῦ τοῦ μείζονος, ἢ
ὥστε καὶ προσδοκᾶν ἐξεῖναι, τὰ παρ' ἑαυτῶν χορηγεῖν· δι' ἀλλήλων ἄμφω δεικνύν- B
τες, διὰ μὲν τῆς ἀκαμάτου καὶ συνεχοῦς ταύτης προνοίας, τὸ δημιουργοὶ γεγε-
νῆσθαι· διὰ δ' αὖ τοῦ γενέσθαι δημιουργοὶ, τὸ καὶ πρὸς ἀνάγκην ἔχειν, ἡμῶν
ὅσαι ὧραι φροντίζειν· ἵνα μὴ τῆς δίχα τούτων προνοίας εἰς τὸ μηδὲν ἥκωμεν, κα-
θάπερ τι σκάφος κυβερνητῶν ἀποροῦν.

ι. Καίτοι ὅταν ἐξ ἀτελείας, ὦ Δημόσθενες, τὰ τῶν λειτουργιῶν κατὰ μικρὸν C
ὑποῤῥέῃ, καὶ τούτων αὐτὸς ᾖ σπουδαστὴς, πῶς οὐκ ἀτεχνῶς τοῖς θεοῖς πολε-
μεῖς, ἃ 'κεῖνοι καλῶς ἔθεσαν, ταῦτ' αὐτὸς οἷς ποιεῖς διαφθείρων, καὶ τήν γε χά-
ριν αὐτῶν, τὸ κατὰ σαυτὸν ἀνατρέπων; εἰ τοίνυν τοῖς τὸ νόμισμα διαφθείρουσι,
κατὰ τὸν σὸν λόγον (1), θάνατος ἡ ζημία, τινός ποτ' ἆρ' αὐτὸς δίκαιος ἂν ἡμῖν εἴης
τιμᾶσθαι, δι' ὧν ἀτελείας ἀντέχῃ, τά τε τῶν θεῶν ἀτιμάζων, τήν τε πόλιν ἅπα- D
σαν διαφθείρων; “ναί φησι, ὑπὲρ γὰρ ὑμῶν καὶ τῶν ὑμετέρων αὐτοῖς προσηκόν-
„ των διαταστῆναι, καὶ ὧν ἑκάστοτ' ἀπολαύοντες διαγίγνεσθε· οὐδὲ γὰρ οὐδ' ἂν
„ εἷς ἔτ' ἀξιώσαι, τοῦ νόμου κρατοῦντος, μεγαλοψυχίᾳ πρὸς τὴν πόλιν ἐν τῷ τῶν
„ πραγμάτων ἀπαιτοῦντι κεχρῆσθαι, καὶ φιλοτιμήσασθαι τὰ εἰκότα· ἀλλὰ τῆς
„ ἀτελείας ἀναιρουμένης, συναναιρήσεται πάντως, καὶ τὸ ὑπὲρ αὐτῆς ἐθέλειν ὁντινοῦν E
„ προθυμεῖσθαι· τὸ δ' οὐ μόνον κέρδους ἡμᾶς ἀλλὰ καὶ δόξης ἀποστερεῖ, ὧν χά-
„ ριν πάντα καὶ ποιεῖν καὶ λέγειν οἴεσθε δεῖν· εἰ τοίνυν μέλει τούτων ἡμῖν, καὶ

lum quod a principio universam rerum naturam crearunt, magnum hoc et praeclarum invexerunt docueruntque vitae ministerium: sed quia nunc etiam in eo instituto manentes, tantam nostri curam providentiamque semper prae se ferunt, nihil ut eorum quae ad conservationem nostram salutemque pertinent ullo modo desit; immo vero etiam uberius, et supra quam expectare liceret, sua nobis bona communicent. Quare et vicissim utramque rem demonstrant: nempe hac incessabili perpetuaque providentia creatores se esse confirmant: hoc ipso autem quod creatores sunt, satis ostendunt, necessitate quadam se cogi ad gerendam singulis horis nostri curam: ne scilicet deorum providentia nudati ad nihilum redigamur, vel cymbae instar iactemur gubernatoribus destitutae.

X. Age vero quandoquidem immunitatum causa, o Demosthene, publica ministeria paulatim defluxerunt, atque ipse eius rei te auctorem praebes, nonne aperte diis adversaris, dum quae illi praeclare instituerunt, rebus tuis gestis disturbas, beneficiaque illorum pro virili parte subvertis? Si ergo ii qui pecuniam adulterant, capite prout ipse dicis multantur: quanam tu demum poena nobis dignus videberis, qui pro immunitate pugnas, deorum dona contemnens, universamque urbem corrumpens? “Utique ait, se pro vobis vestrisque necessariis causam orare, proque
„ bonis quorum fructum perpetuum nacti estis. Nemo enim iam volet, si haec
„ lex perrogetur, magnitudine animi in rebus urgentibus uti, neque officium cer-
„ tatim exserere. Verum immunitate perempta, commorietur penitus studium prop-
„ ter eam quidvis audendi: id quod non lucro solum, verum etiam gloria vos
„ spoliat; quarum causa rerum facienda omnia ac dicenda esse putatis: quae si

(1) In clausula demosthenicae orationis.

A „ ἀτελείας ἐξ ἀνάγκης μελήσει „. Ὅτι μὲν οὖν, ὦ Δημόσθενες, οὐδένες τῶν πάν-
των, ὡς σὺ φῄς, ἵν' ἀτελεῖς ὦσιν φιλοτιμίας ἅπτεσθαί μοι δοκοῦσιν, ἀλλὰ δό-
ξης εἵνεκ' αὐτῶν, καὶ τῦ πρὸς τὴν πόλιν ζήλου καὶ φίλτρου, δῆλον ἔκ τε τῶν με-
τὰ τὸ πάνυ τοι πεφιλοτιμῆσθαι, οὐδὲν οὐδοτιοῦν τοπαράπαν λαβεῖν βυληθέν-
των, ἀλλ' αὐτὸ τῦτο μόνον ἀποχρῆν ἡγουμένων, ὅτι περ οὕτως αὐτοῖς τὰ πρὸς
B τὴν πόλιν ὑπῆρξεν· ἔκ τε τῶν ἄλλυ δή τινος, ὄντων μυρίων οἷς τοὺς ὑπὲρ αὐτῆς
ἡ πόλις δωρεῖται, ἀλλ' οὐκ ἀτελείας ἠξιωμένων· ὅτι δ' εἰ καὶ τῦτ' ἦν, προτε-
τιμῆσθαι ἔδει τὸ τῇ πόλει ξυμφέρον, καὶ τούτυ μάρτυς αὐτὸς, παντὸς ὁτουοῦν
τὸ συμφέρον ἀεὶ προτιθεὶς, καὶ τούτῳ τὰ πρεσβεῖα διδούς· ἐπεὶ καὶ Κερκυραίους
ἐκσπόνδους ὄντας, συμμάχους εἱλόμεθ' ἡμῖν αὐτοῖς (1)· συμφέρειν κρίναντες, ἐπει-
C δήπερ ἴσχυον.

ια. Ἴσως τοίνυν κἀκεῖνο Δημοσθένης ἤτις ἄλλος ἐρεῖ, ὡς εἰ μὲν ἐστι λυσι-
τελὲς καὶ μάλιστα πολιτείᾳ προσῆκον ἐπὶ μηδενὶ τῶν πάντων ἀτελείας μετεῖναι, τί
μὴ μετὰ τῶν ἄλλων καὶ τῦτο τοῖς παλαιοῖς ὥρισαι νόμοις τὸ κοινῇ συμφέρον σκο-
ποῦσιν; νῦν δ' οἷς πολλὰ καὶ καλὰ διεξιόντες, τῦτ' οὐκ ἠξίωσαν λόγου, φαίνον-
D ται τῦθ' ὡς ἀλυσιτελὲς παρεικότες· εἰ τοίνυν ἃ κελεύουσιν οὗτοι, ταῦτα δεῖ πε-
ρικλεέςυ ποιεῖσθαι, καὶ ὧν μνησθέντες οὐκ ἔγνωσαν· οὐδ' ἡμᾶς μεμνῆσθαι προ-
σήκει· ἵνα μὴ νόμους τιμῶντες, νόμους ἀτιμάζειν δόξωμεν· ἀλλ', ὦ τὰν, πρῶτον μὲν
οὐ πάνθ' ἁπλῶς ἃ δεῖ, τοῖς νόμοις ἐντέτακται· οὐδὲ διὰ πάντων χωροῦσιν, ὡς
μηδὲν ἔξω τῆς τούτων διαγνώμης ἑςάναι· ἀλλ' ἴσθ' ἃ καὶ τούτους ἐκφεύγει· ἐξεῖ-
E ναι γοῦν αὐτῶν ἀφελεῖν καὶ προσθεῖναι ἐάν τι μὴ καλῶς ἔχον ᾖ, ἐν αὐτοῖς τού-
τοις εἴρηται· τὸ δ' ἐςι σφόδρα διατεινομένων μὴ διὰ πάντων ἀφῖχθαι· ἔπειτα,

„ cordi nobis sunt, immunitatis quoque curam nos gerere necesse est „. Sed enim quod non sicuti tu, Demosthene, ais, soleant homines ob impetrandam immunitatem laboribus indulgere, sed gloriae caussa, ut mihi videtur, et erga civitatem studii atque amoris, id patet primum ex iis viris qui post multos exantlatos labores nihil accipere passi sunt; sed sibi sufficere existimarunt, quod ita fortuna civitatis per eos constituta esset. Res deinde ex iis constat, qui aliud quidvis quam immunitatem sibi poposcerunt; quandoquidem alia innumera sunt, quibus urbs bene de se meritos donat. Atque haec utcumque se habent, certe urbis utilitas praeferenda est, te suffragante, o Demosthene, qui utilitatem cunctis rebus semper praetulisti, atque huic primatum attribuisti. Profecto etiam Corcyraeos foedifragos ad belli societatem adscivimus, quia vires eorum nobis commodas fore putavimus.

XI. Fortasse et illud Demosthenes aut quivis alius dicet; nimirum si utile est ac tantopere reip. interest neminem esse immunem, cur inter cetera a priscis legibus commune bonum spectantibus immunitas non est vetita? Nunc quum illae tot egregia contineant, caput autem hoc ne verbo quidem attigerint, omnino apparet id vetitum ceu supervacaneum fuisse omissum. Si ergo quae leges iubent, ea oportet plurimi facere; illa item quorum eae studiose mentionem nullam fecerunt, ne a nobis quidem commemorari par est: ne dum leges reveremur, legibus contumeliam facere videamur. Sed, o bone, primum quidem non omnia, quae oportet, legibus imperata fuerunt: neque hae per omnia discurrunt, ita ut nihil praeter earum praescripta reliquum sit; immo capita aliquot leges fugiunt. Quod ergo detrahere liceat vel addere, siquid in his minus recte se habet, id adeo in ipsis legibus dictum est. Porro mos est valde occupatorum, ne ad omnes rerum partes

(1) Confer ex. gr. Ulpianum praefat. ad Olynth.; sive potius Thucydidem I. 44.

ὦ ἄνδρες ἀθηναῖοι, οὐχ' ὅτι μηδεισισοῦν τοῦτ' ἔφη τῶν νόμων, σκοπεῖσθαι δεῖ, A
ἀλλ' εἰ καὶ κάλλιστα καὶ δικαιότατα ἔχει, καὶ ταύτῃ τὰς ψήφους τίθεσθαι· οὕτω
δ' αἰεὶ καὶ κάλλιστα ἔχει αὐτό τε ἑαυτοῦ καὶ τῶν ἄλλων, ἔκ τε ὧν αὐτὸς ἔφην, ἔκ
τε ὧν ὁ πολὺς καὶ παντοδαπὸς ἔδειξε χρόνος, ὥστε δέδοικα μὴ καὶ τῶν νόμων
αὐτῶν τιμιώτερον δόξῃ, αὐτῷ τε τούτῳ καὶ τῷ πρεσβύτερον εἶναι, καὶ πρὶν ἢ νό-
μους γενέσθαι, τοῦτ' ἐν ἀνθρώποις ἐνεῖναι· ἔτι τοίνυν οὐ πᾶν ὃ τούτοις παρεῖται, B
τοῦτ' ἤδη καὶ φαῦλον εὐθύς, οὐδὲ παρὰ τοῦτο τῶν ἀπειρημένων κεχρῆσθαι· ἀλλ'
ὃ λυμαίνεσθαι τοῖς πράγμασι πέφυκεν ἀτεχνῶς, καὶ προσεγκαλοῦντας ἅπαντας
ἴσχει, ὥσπερ αὖ τοὐναντίον πολλοῦ τινος ἄξιον· ὅθεν ἡμῖν περίεστι κέρδος, ἐάν
τε φάσκωσι τοῦθ' οἱ νόμοι, ἐάν τε καὶ μή.

ιβ. Εἰ δὲ ταῦθ' οὕτω καὶ τὸ συνοῖσον πανταχῇ δεῖ ζητεῖν, περίεργον ἂν εἴη, C
ὅταν περὶ ὁτουοῦν ἐξέτασις ᾖ, παρέντας ὅπως τοῦτ' ἔχει ζητεῖν, ἔπειτα νόμων
μεμνῆσθαι· ὡς ἔστι γε, ὦ ἄνδρες ἀθηναῖοι, καὶ νόμων ἐνίους ἀλυσιτελεῖς δή τι-
νας εὑρηκέναι, νόμων δὲ ἄλλως σώζοντας τάξιν, καὶ πράγματα ἄττα, νόμων μὲν
ἐκτὸς ὄντα, νόμων δὲ οὐδὲν ἧττον πρὸς τὴν ἀγαθὴν ἡμῖν συμπράττοντα τύχην·
καὶ δεῖ περὶ βελτίονος ταῦθ' αἱρεῖσθαι τῶν μὴ συμφερόντων νομίμων· ἐπεὶ καὶ τὸ D
γεωργεῖν καὶ φυτηκομεῖν καὶ τέχναις κεχρῆσθαι, οὐχ ὅτι μὴ τὴν ἀρχὴν ἐξεῦρον οἱ νό-
μοι, διὰ τοῦτο καὶ ἡμᾶς τούτων ἀπέχεσθαι δεῖ, ἀλλ' ὅτι μόνα ταῦτα τὸν τῶν ἀν-
θρώπων συνίστησι βίον, καὶ τῶν καθ' ἡμᾶς πραγμάτων ἔχει τὰς ἀφορμάς, καὶ τού-
των χωρὶς περιεῖναι καὶ ζῆν ὅλως οὐχ οἷόν τε· διὰ τοῦτο καὶ προσέχειν τούτοις παν-
τὸς μᾶλλον ᾠόμεθα χρῆναι, καὶ μηδοντινοῦν ἀφίσασθαι τρόπον, εἴ γε σώζεσθαι E
μέλλοι ἡμῖν, καὶ μὴ φανερῶς θανατῶμεν· τί οὖν εἰ καὶ τὸ λειτουργεῖν οὐκ ἐγγέγρα-
πται νόμοις καθάπερ ἐκεῖνα, καὶ προσέτι τὸ τρέφεσθαι, καὶ καθεύδειν, καὶ ὅσα κοι-

pertingant. Praeterea, o Athenienses, non quod lex nulla aliquid memoret spectandum est, sed num id egregium et aequissimum sit: atque hoc suffragiis comprobari par est. Iamvero, sicut dixi, atque ut universi temporis tractus iamdiu declaravit, per se ipsa adeo et prae ceteris excellit immunitas, ut verear ne vel ipsis legibus commendabilior videatur; si nihil aliud, certe quia antiquior est, quodque ipsa ante conditas leges inter homines versabatur. Insuper non omne quod legibus praetermittitur, id continuo est ineptum, neque idcirco est interdictum: verum id tantummodo quod naturaliter reip. nocet, quodque omnium vituperatione damnatur, et cuius contrarium plurimi fit. Quare nobis commodum accidit sive de immunitate loquantur leges sive secus.

XII. Quod si haec ita se habent, et si utile semper quaerere oportet, vanum est, siquando de re aliqua quaeritur, omissa de natura eius inquisitione, leges memorare. Licet vero, o Athenienses, leges quoque aliquot inutiles deprehendere, et quae legum ordinem frustra tenent. Sunt item actus exleges, qui tamen haud minus legibus bonam nobis conficiunt fortunam. Atque eiusmodi actus potiores habendi sunt, quam illi inutiles quamvis legitime perpetrati. Nam nec agrorum arborumque cultura neque ceteris artibus idcirco abstinendum credimus, quia legibus non sunt inventae: immo quia his solis vita hominum sustentatur, eaedemque habent adiumenta rerum gerendarum, nec sine his valere aut omnino spirare licet, ideo his potissimum dandam operam existimamus, easque numquam dimittendas, siquidem vita cordi nobis est, neque in manifestum exitium tendimus. Quid ergo refert, publicorum officiorum functionem minime legibus fuisse imperatam? item ut artes praedictas, et nutriri atque dormire, et quaecumque communia sunt, ac na-

A νετάτα καὶ τῷ τῆς φύσεως ἐνέχεται νόμῳ; οὐ μὴν ἀλλ' εἴτις, ὦ ἄνδρες Ἀθηναῖοι,
ἀκριβῶς ἐξετάσει, καὶ πάντας ὡς ἀληθῶς εὑρήσει τοὺς νόμους οὕτω περὶ τὸ λει-
τουργεῖν ἔχοντας, ὡς μὴ ὅτι τοὺς ἄλλους ἐξ ὧν ἑκάστοτε παραινοῦσι, καὶ τῆς πολι-
τείας ὅπως ἄριστα ἔχῃ ποιοῦνται λόγον, μετὰ πολλοῦ τοῦ περιόντος ἐνταῦθα πα-
ρακαλεῖν, ἀλλὰ καὶ τούτους αὐτοὺς τῷ ταῦτα ποιεῖν, εἰς λειτουργοῦντας ὡς ἂν
B τις φήσαι τελεῖν.

ιγ. Καὶ τί δεῖ νόμους λέγειν; ὅταν καὶ Δημοσθένης αὐτὸς ὁ δι' ὧν ἀτελείας
φροντίζει, τὸ λειτουργεῖν πολεμῶν, φαίνεται μάλιστα πάντων τουτὶ βεβαιῶν· νῦν
μὲν δημηγορῶν καὶ γράφων καὶ συμβουλεύων, νῦν δὲ πρεσβεύων καὶ χορηγῶν, καὶ
διὰ πάντων τουτωνὶ λειτουργῶν, καὶ οὔτε πώποτ' αὐτὸς ἀτέλειαν αἰτησάμενος,
C οὔτε ταύτης πέρι λόγον ποιησάμενος ὀντινοῦν, πλὴν ἐν τῷ παρόντι, διὰ τὸν ἑαυ-
τοῦ καὶ Χαβρίου παῖδα Κτήσιππον τουτονί· ἄνευ δὲ τούτων, εἰ κατ' αὐτοῦ τοῦτ' ἰσχυ-
ρὸν ἔχειν νομίζεις, ὅτι μὴ τοῖς νόμοις ἐγγέγραπται, λανθάνεις οὐδὲν ἧττον καὶ
τά γε σὰ παιδικὰ ταύταις ὑποβάλλων ταῖς ψήφοις· καὶ τί τούτου μᾶλλον ἐντεῦ-
θεν ἢ τῆς σῆς ἀτελείας κατηγορεῖ; οὐ γὰρ ἡ μὲν κατὰ νόμους, τὸ δ' οὔ, ἀλλ'
D ἐξίσης καὶ ἄμφω τῶν νόμων ἀποστατεῖ· καὶ οὐδὲν παρὰ τοῦτ' οἶμαι βελτίω
ταῦτ' εἶναι καὶ χείρω καὶ αὐτὰ καθ' αὑτὰ καὶ πρὸς ἄλληλα· ἐπεὶ ἄλλως γε
τοσοῦτον ἀτελείας μεῖζον τὸ λειτουργεῖν, ὡς μὴ δὲ παραβάλλειν ἐξεῖναι· τὸ μὲν
γὰρ καὶ δίκαιον καὶ συμφέρον ὅτι μάλιστα πόλει, καὶ τῆς καλλίστης καὶ γιγνο-
μένης αἰτιώτατον τύχης, καὶ προσέτ' ἐξαρχῆς καὶ παρὰ πάντα δήπου τὸν χρόνον
E κεκρατηκός· ἀτέλεια δὲ, μὴ μόνον χθὲς καὶ πρώην εὑρέθη, ἀλλὰ καὶ τοιοῦτον
ἐστ' οὐδὲν τοπαράπαν, τά γε πρὸς πόλιν, πλὴν αὐτὸ τοῦτο μόνον, ὡς ἔφην, εἰς
ὄνησιν μὲν τοῖς χρωμένοις, τῇ πόλει δὲ πᾶν τοὐναντίον· ὥστ' εἶναι πᾶσιν ἐντεῦ-
θεν εἰκότως περὶ αὐτῶν ἀποφαίνεσθαι, τὴν μὲν οὕτως ἔχουσαν, εἰ δὲ τοῖς νό-

turae lege tenentur? Quin adeo siquis altius, Athenienses, vestiget, cunctas deprehendet reapse leges ita ministeriis favere, ut non homines tantummodo perpetuis adhortationibus, curaque illa, quam de prosperitate reip. gerunt, summopere ad functiones invitent, verum semet ipsas, dum haec faciunt, videantur quodammodo inter fungentes adscribere.

XIII. Sed quid opus est de legibus loqui? quando ipse Demosthenes, dum ministeria oppugnando immunitatem protegit, nihilominus videtur civilium munerum exercitationem quam qui maxime confirmare: modo verba ad populum faciens, modo leges ferens atque suadens, legationes etiam obiens, et ludorum apparatum suppeditans: his, inquam, omnibus officiis defungens, nulla numquam immunitate petita, neque huius facta mentione, nisi nunc propter suum et Chabriae filium Ctesippum hunc. Verum et his sepositis, si contra immunitatem idcirco te corroboras, quod ea legibus minime est vetita, nescis a te pusionem tuum eodem hoc suffragio damnari. Quid enim hinc sequitur nisi immunitatis a te protectae accusatio? Neque enim immunitati favent leges, ministeriis vero secus: sed ambo haec aeque legibus extranea sunt: nihilque momenti in legibus est, quo haec bona vel mala sint, aut ipsa per se aut invicem comparata. Ceteroqui munerum functio adeo praestat immunitati, ut sit nullus comparationi locus. Prior enim iusta est, utilis apprime civitati, pulcherrimaeque et verae fortunae fons certissimus: insuper omni tempore inde usque ab reip. initiis valuit: at immunitas non solum nuper excogitata est, sed nihil omnino civitati confert, nisi quod fruentibus solis commoda, illi autem contraria est. Quare cuique licet hinc arguere, immunitatem, quum sit eiusmodi, si forte in-

μοις ἐνῆν, διαγεγράφθαι χρῆναι καθάπαξ τῶν νόμων· τὸ δ᾽ ὅτι τοιοῦτον, ἐξαν- A
τιστρόφου πᾶσιν ἐγγεγράφθαι τοῖς νόμοις, καὶ πλείστων ὅσων ἠξιῶσθαι τῶν ψηφισ-
μάτων, μᾶλλον δὲ νόμον αὐτὸ γεγενῆσθαι· ὃ πάλαι προσῆκον, νῦν ὁ βέλτισ-
τος οὑτοσὶ Λεπτίνης τοῦτο μὲν ὑπὸ θεῶν κινηθεὶς, τοῦτο δὲ καὶ τούτοις εἴξας τοῖς
λογισμοῖς, ἅθ᾽ ὑπὲρ πάντας φιλόπολις ὢν, ὥσπερ ὄφλημά τι κοινὸν ἀποδεδώ-
κει τῇ πόλει, γράψας μηδένα τῶν πάντων ἀτελείας μετέχειν, κἂν εἰ πολλάκις B
εὐεργετῶν εἴη τὴν πόλιν· οὐ μόνον ἵνα καὶ τῆς ἐκ τούτων προσαπολαύοι συντελείας
ἡ πόλις καὶ τὸ λειτουργεῖν ἐξ ὁλοκλήρου γίγνοιτ᾽ αὐτῇ, ἀλλ᾽ ὅτι καὶ δέος οὐ μικ-
ρὸν ἐντεῦθεν ὑφεώρα, μὴ προϊόντος ἄρα τοῦ χρόνου, καὶ τῆς ἀτελείας οὕτω διὰ πάν-
των χωρούσης, ἐκλίπῃ καθάπαξ τὸ λειτουργεῖν· καὶ τί πλέον τηνικαῦτ᾽ ἔσται τῇ
πόλει, περὶ τὰ μείζω βλαφθείσῃ, καὶ ὧν ἄνευ οὐχ οἷόν τε σεσῶσθαι; ψυχὴ γὰρ C
πόλει τὸ λειτουργεῖν· καὶ ὡς οὐ περιεῖναι καὶ ζῆν πέφυκε σῶμα, ψυχῆς μὴ παρού-
σης, ὡς δὲ καὶ πόλις μοι δοκεῖ, λειτουργιῶν ἀποροῦσα· εἰκότως· εἰ γὰρ χρειῶν
οὐδένες ἀνθρώπων ἐλεύθεροι, πλὴν θεῶν, αὗται δὲ τὰς λειτουργίας ἀναγκαίας
ὡς οὐκ οἶδ᾽ εἴ τι ποιοῦσι· τηνικαῦθ᾽ ἡμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, λειτουργιῶν οὐ
δεήσει, ἡνίκα μὴ δὲ χρειῶν· εἰ δὲ χρειῶν ποτ᾽ οὐχ οἷόν τε, πῶς οἷόν τε λειτουρ- D
γιῶν, συνιδεῖν οὐκ ἔχω· ὧν διὰ τὰς Δημοσθένους ἀτελείας ἡ πόλις ἐκπεσεῖν κιν-
δυνεύει.

ιδ. "Ἀλλ᾽ ἔδει φησὶν ἀναμεμενηκότα τὸ μέλλον, καὶ τὴν τοῦ λειτουργεῖν
„ ἀπορίαν, τηνικαῦτα εἰσάγειν τὸν νόμον· νῦν δ᾽ οἷς πρὶν ἢ τοῦτο γενέσθαι νο-
„ μοθετεῖ, ἔοικεν οὐκ ἐν καιρῷ προὔχεσθαι ταῦτα„· τί οὖν κωλύει καὶ ἡμᾶς, ὦ E
Δημόσθενες, τοῖς αὐτοῖς πρὸς σὲ τούτοις ἐξαντιστρόφου χρήσασθαι λόγοις καὶ δι-
καιότερόν γε ἢ σύ; ὡς ἔδει καὶ σέ γ᾽ αὐτὸν ἀναμεμενηκότα τὸ μέλλον, εἴ γε
καὶ τοῦθ᾽ ὅλως ἐπὶ τῶν αὐτόθεν μάλιστα δήλων λέγειν ἐχρῆν, τηνικαῦτ᾽ ἐπιχειρεῖν

ter leges fuisset relata, delendam penitus fore: e contrario functionem munerum cunctis legibus esse inserendam, maximo suffragiorum numero comprobandam, denique legis instar habendam. Quae res quum iamdiu fieri deberet, nunc demum optimus hic Leptines partim a diis commotus, partim his rationibus obsequens, ob suum summum erga cives amorem, hoc tamquam commune debitum civitati persolvit, iubens neminem esse immunem, ne si multoties quidem civitatem iuvisset. Idque egit, non solum ut civitas bene merentium quoque hominum tributis frueretur, atque omnium ordinum officiis cumularetur, verum etiam quia non mediocris timor impendebat, ne lapsu temporis immunitate longe lateque diffusa, ministeria prorsus deessent. Quid vero tum urbi accideret, hoc maximo detrimento accepto, atque iis subsidiis carenti quibus nititur eius salus? anima quippe urbis ministeria sunt. Iam ut corpus manere et vivere sine animae praesentia nequit, ita et urbs sine ministeriis in eadem mihi conditione versari videtur. Et merito. Nam si adiumentis nullus homo non indiget, praeter deos; haec vero indigentia apprime officiorum necessitatem efficit; tum denique nobis, Athenienses, ministeriis opus non erit, cum adiumenta non desiderabimus. Quod si hoc postremum fieri non potest, ne illud quidem prius, quantum ego saltem intelligo. Quibus tamen ministeriis periclitatur civitas, ne propter caras Demostheni immunitates, spolietur.

XIIII. " Atqui oportebat, inquit, expectato rerum eventu et ministeriorum de-
„ fectu, tunc demum legem perferre: nunc quia fert ante ullam necessitatem, non
„ videtur tempestive facere „. Quid porro vetat nos, o Demosthene, quominus his vicissim contra te verbis utamur? immo adeo potiore iure quam tu? Nempe oportuisse te, legis eventu expectato (si tamen sic loqui licet in re manifesta) tum

A ἀντιλέγειν τῷ νόμῳ· νῦν δ᾽ οἷς αὐτὸν πρὶν ἢ τοῦτο γενέσθαι διώκεις, ἔοικας οὐκ
ἐν καιρῷ τὴν γραφὴν πεποιῆσθαι· εἶτα θαυμάζειν ἔπεισί μοι πῶς οἴει, ὅτι σοι
ταῦτ᾽ ἔπεισι λέγειν, οὐ μόνον ὅτι τοῖς οἰκείοις πτεροῖς καὶ λόγοις ἁλίσκῃ, ὃ δυ-
στυχέστατόν ἐστι πάντων καὶ συμφορὰ τοῖς χρωμένοις, καὶ προσέτ᾽ αὐτὸς διαφερόντως κα-
κίζεις, τὸ μετὰ τὰ πράγματα λέγω τῷ βουλεύεσθαι χρῆσθαι, τούτου νῦν ἡμᾶς
B ὡς δὴ χρηστοῦ τινος ἔχεσθαι πείθων· ἀλλ᾽ ὅτι καὶ δεινὸν εἶναι φάσκων, λανθά-
νεις σαυτὸν, ἃ μὴ ἔξεστι φάσκων· οὔτε γὰρ οὐδεὶς οἶμαι τῶν πάντων φρενῶν κύ-
ριος ὢν, ἐξὸν ὅπως μὴ πείσεται κακῶς, εὖ βεβουλεῦσθαι, ὃ δ᾽ ὅπως πείσεται
κακῶς πρόσθεν ἐάσας, ἔπειθ᾽ ὑπὲρ ἀπαλλαγῆς ἕλοιτ᾽ ἂν βεβουλεῦσθαι, ὅτ᾽ οὐ-
δὲ τοῦτ᾽ ἴσως ἔξεσται· οὐθ᾽ ἡμεῖς τὴν κάκιστ᾽ ἀπολουμένην ἀτέλειαν νῦν ἔχοντες ἐκ-
C ποδὼν πεποιῆσθαι, εἶτα διὰ τοὺς σοὺς λόγους ἀναμενοῦμεν τὸ μέλλον, ὥσπερ
ὅ τί ποτ᾽ ἐστὶν ἀγνοοῦντες, καὶ διὰ τοῦτο τῆς ἐκεῖθεν δεόμενοι πείρας· ἄνευ γὰρ
τοῦ τῆς ἐσχάτης παραπληξίας τοῦτ᾽ ἄντικρυς εἶναι, περὶ ὧν μάλιστα ἴσμεν, ταῦτ᾽
ἀφέντας, ἃ οὐκ ἴσμεν διώκειν, οὐδὲ τοὺς λόγους καθ᾽ οὓς ἔδει ταῦθ᾽ αἱρεῖσθαι, γι-
γνώσκειν ἔχω· εἰ μὲν οὖν ὡς μηδὲν μηδέπω περὶ ἀτελείας σαφὲς εἰδότας παρα-
D πέμπεις τῷ χρόνῳ καὶ ταῖς ἔπειτα ψήφοις, ἔοικας ἀγνοεῖν ὅτου χάριν τοὺς κατ᾽ αὐ-
τῆς ἤδη κεκινήκαμεν λόγους· εἰ δ᾽ ἐπιστάμενος (a), ὡς ἀληθῶς, οὐδὲν ἄλλο μοι
δοκεῖς συμβουλεύειν, ἢ ἡμῶν αὐτῶν, μετὰ τὸ καθάπαξ ἐφθάρθαι, πεποιῆσθαι
φροντίδα· ἀλλ᾽ οὔτε σύ γ᾽ αὐτὸς εὖ ἴσθι, ἄν σέ τις ἀνέλῃ, ἔπειτ᾽ εἰς ἄρειον πά-
γον οἷός τ᾽ ἂν εἴης τουτονὶ προκαλεῖσθαι· οὐ μᾶλλον γε ἢ οἱ μηκέτ᾽ ὄντες τοὺς
E ἔτ᾽ ὄντας ἀδικίας εἰσάγειν· τῆς τ᾽ ἀτελείας ὡς ἔφην ἀνατετραφυίας τὴν πόλιν, οὐ-
δὲν πλέον ἔσται πρὸς τὸ τὴν μὲν ἐξελεῖν βεβουλῆσθαι, ἡμᾶς δ᾽ αὐτοὺς ἀνασώ-
σασθαι· ἀλλὰ μεθ᾽ ἡμῶν ἀνάγκη καὶ ταύτην ἐφθάρθαι, καθάπερ τινὰ νόσον

demum adgredi intercessionem. Nunc quoniam ante quam quicquam eiusmodi fiat expostulas, non videris in tempore accusationem instruere. Deinde miror quomodo tibi sic loqui in mentem venerit, non solum quia tuis pennis verbisque irretitus caperis (quod summopere calamitosum est, tuque ipse non mediocriter vituperas) dum re gesta consilium capis, idque nobis tamquam egregium quiddam sequi suades; verum etiam quia quum absurdam legem esse dicas, nescis te ipsum incongrua dicere. Nemo enim, qui modo mentis compos sit, si ei liceat bene deliberando haud male rem agere, ante sinit pessum ire negotia, tum de malo avertendo deliberat, cum iam fortasse id non liceat. Quamobrem nos, qui perniciosissimam hanc immunitatem semel antiquavimus, haud verborum tuorum causa futura tempora praestolabimur, quasi eventurae rei nescii, experientia egeamus. Nam praeter quam quod maximus is esset stupor, omissis cognitis, incognita sectari; ne rationem quidem, quamobrem id consilii capiamus, intelligere queo. Itaque si nos tamquam immunitatis naturam omnino nescientes ad posterum tempus atque ad futura suffragia reiicis, nescire videris qua de causa hanc adversus immunitatem susceperimus disputationem. Quod si ex inscitia, ut res est, non agis, nihil aliud facere mihi videris, nisi nostri postquam funditus periimus curam gerere. Nam ne tu quidem, si ab aliquo occisus fuisses, hunc magis posses ad areopagum pertrahere, quam mortui cum vivis iniuriarum expostulare. Similiter quum immunitas civitatem, ut dixi, evertat, nihil sane proficeremus, si hanc asserere manu vellemus, nosmet tamen incolumes conservare: opus enim esset hanc pariter nobiscum pessumdari, ceu morbum quen-

(a) Cod. ἐπισταμένους; quae lectio sententiam immutat. Mihi vero potius emendanda levissime locus videbatur.

συνοιχομένην σώματι· ὥς τ' ὐχ ὁρῶ τίν' ἔχει λόγον ὁ περὶ τοῦ μέλλοντος λό- A
γος· διὸ καὶ τὸ νῦν ἀπολέσομεν, κἀκεῖνο οὐχ ἕξομεν· οὐδὲ γὰρ οἷόν τε, ὡς αὐ-
τὸς λέγεις, ἂν τὰ παρόντα τὶς ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων εὐπορῆ-
σαι πρὸς ἃ δεῖ· ἀλλ' ἕως ἂν σώζεται τὸ σκάφος, ἄν τε μεῖζον ἄν τε ἔλαττον
ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντ' ἄνδρα ἐφεξῆς πρόθυμον εἶναι,
καὶ ὅπως μηδεὶς μήθ' ἑκὼν μήτ' ἄκων ἀνατρέψῃ τοῦτο, σκοπεῖσθαι· ἐπειδὰν δὲ B
ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή· εἰκότως· φαρμάκων γοῦν καὶ ποτῶν καὶ
σιτίων πρὶν μὲν ἡμῖν πεπονηρεῦσθαι τὸ σῶμα, μετέχειν οἰόμεθα δεῖν, εἰς τὸ μη-
κέτ' ἂν ἐνταῦθ' ἐμπεσεῖν· ἂν δ' ἄρα πρότερον ἡ νόσος ἐπίῃ, οἱ δὲ πῶς οἴει καὶ
τύχην καὶ ἡμᾶς αὐτοὺς δυσχεραίνομεν; καί τοι ὅταν, ὦ Δημόσθενες, σωμάτων
καὶ νεῶν καὶ τοιούτων δή τινων ὅπως αἰεὶ κάλλιστα ἔχῃ τοσοῦτον ποιώμεθα λόγον, C
ἦπου γε πόλεως τοσαύτης καὶ τηλικαύτης, καὶ οὕτω διὰ πάντων κρατίστης, ὡς καὶ
θεοὺς, ἵνα μηδὲν πλέον εἴπω, περὶ αὐτῆς ταύτην πρὸς ἀλλήλους ἐρίσαι (1), οὐδ'
ἔστιν εἰπεῖν ὅσον ὀφείλομεν.

ιε· Ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὲν ἦν καὶ ἀτελείας ἀντιποιεῖσθαι,
καὶ μηδὲν εἰς τὸ λειτουργεῖν βεβλάφθαι τὴν πόλιν, μανία σαφὴς ἂν ἦν, ταῦτα D
κωλύειν αἱρεῖσθαι, ἃ μήτε τῷ κοινῷ λυμαίνεται, καὶ τοῖς μετασχοῦσιν ἔνεστι κέρ-
δος· ὅτε δ' ἀνάγκη διὰ τὰς ἐν μέρει χάριτας, κοινὴν ἡμᾶς ὑποστῆναι ζημίαν,
πότερον βέλτιον καὶ λυσιτελέστερον, πάντων ὁμοῦ, ἢ λόγον ὀλίγων δή τινων σχεῖν;
ἄνευ δὲ τούτων, ἀτελειῶν μὲν ἐκποδὼν γενομένων, οὐδ' ἡτισοῦν ἔσται ταῖς πόλε-
σι βλάβη, ἀλλὰ καὶ κέρδος οὔ τοι μικρὸν, τὸ πλείους ἂν ἐντεῦθεν τὰς λειτουρ- E
γίας γενέσθαι, ἐξ ὧν αἱ πόλεις συνίστανται· εἰ δ' αἱ λειτουργίαι τοῦτ' αὐτὸ πό-

dam corpori haerentem. Quare non video qua ratione fretus sit de futuro tempore sermo: nam et rem praesentem amittemus, et posteram non adsequemur. Neque enim fieri, te ipso teste, potest ut qui rem praesentem absumpserit in incongruos usus, idem absenti re abundet ad congruos. Et quamdiu navigium, sive maius id sit sive minus, incolume erit, tamdiu remiges et gubernatorem et vectores ex ordine sedulos esse decet, dareque operam nequis volens aut nolens id evertat: verumtamen ubi mare praevaluerit, vana sedulitas est. Et merito. Nam et pharmacis et potionibus atque cibis ante quam corpus nobis aegrotet utendum esse censemus, ne in aegrotationem scilicet incidamus; sed si forte morbus praeoccupaverit, cur iam fortunae et nobis ipsis succenseamus? Et quoniam, o Demosthene, et corporum et navium, et aliarum eiusmodi rerum tantam gerimus sollicitudinem ut quam optime valeant; profecto urbi tali ac tantae atque in omni re praestantissimae, ita ut etiam dii, ne quid amplius dicam, de illa inter se certaverint, dici vix potest quanta cura impendenda sit.

XV. Insuper, o Athenienses, si liceret immunitatem ita tueri, ut tamen circa ministeria nullum caperet detrimentum civitas, manifesta insania esset, hanc de medio velle sublatam, quae neque reip. noceret, et habentibus lucro esset. Sed quum necesse sit propter gratificandum nonnullis, commune nos pati damnum, utrum melius utiliusque est, omnium simul, an paucorum, habere rationem? Praeterea, immunitate sublata, nihil nocuum civitatibus accidet: immo non modicum lucrum erit, propterea quod plura ministeria fient, quibus civitatum societates con-

(1) Apollodor biblioth. III. 14; Ovid. metam. VI. 70; Hygin. fab. CLXIIII. Visitur haec deorum contentio in antiquo lapide chalcedonio (praeter alios recentiores) musei gemmarum vindobonensis, quorum omnium ectyporum formas affabre expressas munificentia augustissimi FRANCISCI Caesaris bibliotheca vaticana nuper donatas habet.

A σεῖται, οἰχήσονται μὲν αἱ πόλεις, οἰχήσεται δὲ καὶ τὰ τῶν πόλεων ἆθλα· οὐ
γὰρ μόνον ἐξ ἀτελειῶν οὐδὲν αὐταῖς ἔπειθ' ὑπάρξει, ἀλλὰ καὶ τὸ τάχιστ' ἐφ-
θάρθαι μᾶλλον αὐταῖς προσυπάρξει· εἴπερ ἐκ μὲν ἀτελειῶν ταῖς πόλεσιν σωτηρία,
ἐν δὲ τῷ ταύτας εὖ ἔχειν καὶ τὸ ταῦτ' ἔχειν διδόναι προσέσαι· εἶτα τούτων οὕ-
τως ἐχόντων, καὶ τοσαύτης ἑκατέρων οὔσης διαφορᾶς, ὡς τὸ μὲν, πλείστην ὄνη-
B σιν ἔχειν, τὸ δὲ, πᾶν τοὐναντίον, ἔπειθ' ἡμεῖς Δημοσθένει πεισθέντες, ἢ οὐκ οἶδ'
ὅτῳ καὶ φῶ, οὐχ ὃ πρὸς ἡμῶν ἐστιν ἀτεχνῶς, ἀλλ' ὃ καθ' ἡμῶν αἱρησόμεθα;
καὶ ὃν ἐξ ἀρχῆς ὑπὲρ τῆς ἡμετέρας αὐτῶν ἀσφαλείας τε καὶ προνοίας ἔδει νό-
μον τεθεῖσθαι, καὶ νῦν αὐτῷ τὰ πλείστου φασὶν ἄξια χρῆσθαι, τούτῳ χαίρειν εἰ-
πόντες, τὴν ἐπὶ καθαιρέσει τῆς πολιτείας ἀτέλειαν, ὡς πάνυ λυσιτελὲς νομιοῦμεν;
C δι' ἧς οὐδ' αὐτὴν ταύτην, ὡς ἔφην, ἔτ' ἔχειν τοῖς βουλομένοις ἐξέσται, ἀλλὰ πρὸς
σφίσιν αὐτοῖς, καὶ ταύτην δὲ προσαπολοῦσιν· καὶ τίσιν οὐκ ἂν δόξαιμεν κακοδαι-
μονᾶν, εἰ τὸ συμφέρον ἡμῖν παντὸς μᾶλλον εἰδότες, ἡμεῖς δ' ἐξεπίτηδες δρῷμεν,
ἃ παντὸς ἡμᾶς μᾶλλον ἐκτρίψει.

ιϛ. Ὅλως δὲ εἴ τις ἔροιθ' ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, πότερον τοῖς μὲν ἔχου-
D σι μείζονος καὶ περιφανεστέρας καθέστηκε δόξης, τῇ δὲ πόλει μηδ' ὁτουοῦν δυσχε-
ροῦς, πότερον ἀτέλεια καὶ τὸ μὴ λειτουργεῖν ἔτ' ἔχειν, ἢ τὸ τυγχάνειν εἰκόνων καὶ
μεθ' Ἁρμοδίου καὶ Ἀριστογείτονος τὸν ἀεὶ πρεσβεύεσθαι χρόνον, εὖ οἶδ' ὅτι τοῦτ'
ἂν φήσαιτ' εἰκότως· τί γὰρ δὴ βλάβος τῇ πόλει, ἐὰν οὐχ ὁ δεῖνα ἢ ὁ δεῖνα
λέγω, ἀλλ' ὁμοῦ πάντες Ἀθηναῖοι, ἢ εἰ βούλει πάντες ὡς εἰπεῖν ἄνθρωποι, εἰ-
E κόνων ἢ στεφάνων μετάσχωσι παρ' αὐτῆς; μᾶλλον μὲν οὖν καὶ δύο τὰ πάντων κάλ-
λιστ' ἐντεῦθεν προσγίγνεται, οὐ μόνον ἔπαινός τε καὶ δόξα τοῖς τε ταυτὶ τιμωμέ-
νοις, τῇ τε τιμώσῃ πόλει, ἀλλὰ καὶ θαυμαστή τις ἐπὶ τὰ ἴσα παράκλησις ἔσται·
ὅτε τοίνυν καὶ ἄλλως ἔνι τῇ πόλει καὶ μεγαλοψυχίᾳ πρὸς οὓς ἔδει κεχρῆσθαι, καὶ

flantur. Si vero ministeria tollantur, corruent civitates, corruent item civitatum praemia. Non solum enim ob immunitates nihil eis reliquum erit, verum etiam celerrimum exitium superveniet: quandoquidem in ministeriis nititur civitatum salus; quae si diligenter praestentur, erit etiam facultas praemia impertiendi. Quum hae res ita se habeant, tantaque sit differentia earum, ut altera plurimum utilitatis adferat, altera damni; num ut Demostheni vel nescio cui obsequamur, manifesto bono incommodum praevertemus? et quam a principio pro nostra utilitate et tutela oportuit legem scribi, quaque etiam nunc uti aiunt esse operae pretium; huic, inquam, vale dicto, exitium reip. immunitatem, tamquam insigniter utilem, lege sanciemus? quod si fiat, ne hanc ipsam quidem, ut iam dixi, hi quantumvis volentes retinere poterunt, sed se ipsos et illam perdent. Quis vero nos furere haud existimarit, si utilitatum nostrarum apprime gnari, nihilominus de industria id agemus, unde nobis certissimum impendet exitium?

XVI. Sane, siquis vos rogaret, o Athenienses, utra res possidentibus maiori atque illustriori gloriae esset, reip. autem quam minimo incommodo; utrum, inquam, immunitas et perpetua ministeriorum vacatio, an imaginum adeptio, et cum Harmodio atque Aristogitone aeternae laudis societas; novi equidem vos hoc alterum iure meritoque malle. Quodnam enim contingeret urbi damnum, si non hic vel ille, sed cuncti simul Athenienses, immo ut ita dicam omnes homines, imaginibus vel coronis ab ea donarentur? Quin potius duo hinc pulcherrima existerent, nempe non solum laus et gloria tum honoratis ipsis tum urbi honoranti, sed etiam mira quaedam ad paria studia excitatio. Quum ergo aliter quoque liceat urbi liberalitatem suam erga bene me-

*

μὴ δὲ ταύτην μηδενὶ τοπαράπαν βεβλάφθαι, τίς ἀτελείας ἀνάγκη καὶ τοῦ τοῖς A
ἡμετέροις αὐτῶν ἐντεῦθεν λυμαίνεσθαι; ὥστε καὶ ἃ Δημοσθένης λαμπρῶς ἄγαν ὑπὲρ
ἀτελείας προΐσχεται, τῶν ἀτοπωτάτων εἶναι φάσκων καὶ τῆς ἐς ἅπαντ' ἀνάξιον με-
γαλοψυχίας ἡμῶν, ἐὰν ἃ δεδώκαμεν ἀφελώμεθα, ταῦτ' εἰς κενὸν αὐτῷ καθεστή-
κει τοῦτον τὸν τρόπον· οὐ γὰρ μόνον τοὺς εὖ παθόντας ἀφαιρησόμεθα τοῦθ', ὡς
αὐτὸς οἴεται, οὐδ' ἧς παρ' ἡμῶν ἀπέλαυσαν δόξης, ταύτης ἐκπεσοῦνται διὰ τὸν B
νόμον, ἀλλὰ καὶ καλλίω καὶ περιφανεστέραν ταύτην νῦν κομιοῦνται, ἀντ' ἀτελείας
θαυμαστῶν τινων ἐπιγραμμάτων καὶ εἰκόνων τυχόντες, καὶ κατὰ παντὸς εἰσέπειθ'
ἑστήξοντες δημοσίᾳ τοῦ χρόνου (1)· ὡς καὶ τοῖς ἐπιγιγνομένοις σαφῶς μανθάνειν ἐξεῖναι,
ὁποῖόν τι τούτοις ἡ πόλις τῆς ἐς αὐτὴν εἵνεκ' εὐνοίας ἐχρῆτο· ὃ τίνος ἀτελείας οὐ
μεῖζον; εἴπερ ἡ μὲν οὐ διηνεκὴς οὐδὲ διὰ πάντων ἥκιστα τῷ γιγνώσκεται (a), C
τὸ δ' ἀθάνατον ὡς εἰπεῖν καὶ οὐδένα τῶν πάντων οἷόν τε λανθάνειν, οὐ μᾶλλον
γε ἢ τὴν πόλιν ὁντινοῦν ἐστι λανθάνειν· οὐκοῦν καὶ Ἐπικέρδης καὶ Λεύκολος (b) καὶ
ὅστις ἕτερος, εἰ ὅτ' αὐτοὺς ἡ πόλις ἐτίμα, δυοῖν αἵρεσις ἦν, ἢ ἀτελείας ἢ ἀνδριάν-
των μετέχειν, οὐκ ἄν μοι δοκοῦσι μὴ δ' ὅσον περὶ ἀτελείας ἀκοῦσαι δεδέχθαι,
ἐξὸν πολλῷ τινι μείζονι τετιμῆσθαι, καὶ ὃ τοὺς μετασχόντας παραπλησίους εἶναι D
δοκεῖν ποιεῖ τοῖς θεοῖς· τοὺς τοίνυν τότ' ἂν οὕτω διατεθέντας καὶ ὅλῳ θυμῷ πρὸς
ταῦτ' ἐσχηκότας, εὖ οἶδα καὶ νῦν μὴ μόνον τῆς προσούσης ἀτελείας περὶ πλεί-
στος ἂν πεποιῆσθαι τὴν ἐν ταῖς εἰκόσιν ἐπιτιμίαν, καὶ αὐτοὺς καὶ τούς γ' αὐτῶν
παῖδας, ἐάν γε μὴ τεθνῶσιν, ἀλλὰ καὶ τοσοῦτον ἡσθῆναι, ὡς καὶ πλείστην
χάριν ὁμολογῆσαι δήπου τῇ πόλει, τοῦ τε ταυτὶ διανενοῆσθαι, τοῦτ' ἐψηφίσθαι, E
συμφέροντα μὲν ἑαυτῇ, συμφέροντα δὲ καὶ σφίσιν αὐτοῖς.

rentes expromere, quin eadem quicquam detrimenti patiatur: quae iam est immunitatis necessitas, aut damni ex hac rebus nostris capiendi? Quare et illa quae Demosthenes splendide admodum pro immunitate iactavit, absurdissimum esse dicens, nostraque erga omnes liberalitate indignum, si quae dedimus auferamus, haec inquam frustra apud eum feruntur. Non solum enim beneficiis nostris homines non spoliabimus, secus ac ipse putat, neque hi gloria quam a nobis retulerunt excident legis huius causa, sed pulcriorem etiam et clariorem iam impetrabunt; dum pro immunitate admirandis titulis atque imaginibus potientur, atque omni aevo publice prostabunt; ut etiam posteri probe discant, qualem se civitas praebuerit erga sibi benivolos. Quae res nonne qualibet immunitate maior est? siquidem haec neque perpetua neque universalis cuiquam decernitur; ceteri autem honores quodammodo immortales neminem civem latent: non magis, inquam, quam nostra urbs neminem mortalem latere potest. Quare et Epicerdes et Leucolus et quivis alius, si quo tempore eos urbs ornatura erat, alterutrius electio fuisset, nempe vel immunitatis vel statuarum potiendi, videntur mihi ne nomen quidem immunitatis audituros fuisse, quum eis copia esset honorificentiae maioris, quae sui participes diis quodammodo similes facit. Qui igitur tunc ita affecti fuissent, totumque animum ad statuas transtulissent, ii profecto non solum nunc pluris facient statuarum honorem quam impetratam immunitatem, tum ipsi tum liberi eorum, si forte iam parentes obierint; sed etiam adeo laetitia efferentur, ut plurimam gratiam civitati habituri sint consilii huius atque decreti utrimque utilis.

(a) Cod. γιγνώσκεσθαι. (b) Apud Demosthenem Λεύκων; qui de hoc et de Epicerde multa dicit.

(1) Hanc a Leptine exceptionem sibi opponit studiose notavit Aristides, qui sibi patroni pro Demosthenes (ed. Wolf. p. 550.) Locum autem Leptine personam induit.

A ιζ. « Ἀλλ' ὅταν φησὶ ταῦτα δῶμεν, οἱ τούτων παῖδες, ὅτι μὴ κἀνταῦ-
„ θα κοινωνεῖν ἕξ' ἕξουσι τοῖς πατράσιν, ὥσπερ ἐν ἀτελείᾳ, ἅτε τὰ μέγις' ἠδι-
„ κημένοι βοήσονται „· πρῶτον μὲν οὖν, ὦ οὗτος, οὐκ οἶμαί τιν' αὐτῶν τοπαράπαν δυσχεραίνειν, διὰ τὸ καὶ τοῖς υἱέσιν εὖ μάλα προσεῖναι τῶν γεγεννηκότων τὴν δόξαν, ἀλλ' ὡς εἰκὸς αὐτοὺς ἀγαπήσειν, εἰ μόνον τηλικούτων πατέρων προσα-
B γορεύοιντο παῖδες· ὡς γὰρ τὸ πατρὸς ἢ μητρὸς κακὰ συνειδέναι, κατὰ τοὺς ποιητὰς (1), καὶ τοὺς γε θρασυσπλάγχνους δουλοῖ, οὕτως ἡ τούτων εὔκλεια καὶ λαμπρότης, ζηλωτοὺς ἄγαν παρασκευάζει τοὺς ἐξ αὐτῶν· ἔπειτ' εἰ μὲν ἁπάντων ὧν ἀξιοῖ τοὺς εὐεργέτας ἡ πόλις, καὶ τοῖς ἐκ τούτων ἀνάγκη μετεῖναι, καὶ ταῦθ' ὥσπερ τις κλῆρος εἰς τοὺς ἐκγόνους κάτεισιν, εἰκότα ἂν καὶ οὗτοι λέγειν δοκοῖεν,
C τούτων στερόμενοι· εἰ δ' ἐπὶ μόνης μὲν ἀτελείας ταῦτ' ἦν, ἑτέρου δὲ οὐδενός, αὕτη δὲ νῦν καθάπαξ ἀνῄρηται, οὔτ' ἔχει λόγον τὰ τοιαῦτα ζητεῖν ἐθέλειν, τῶν τε τῆς ἀτελείας κἂν τοῖς ἄλλοις μεμνῆσθαι· καὶ σύν γε ἔτι παραπλήσιον ἐστὶ, ὥσπερ ἂν εἴτις ὀλυμπιονίκου (a) πατρὸς ὤν, ἔπειτ' ἀξιοῖ διὰ τὴν φύσιν καὶ τοῦ κοτίνου μετέχειν· ἀλλ' ἀκούσεται πάντως ὅ γε τοιοῦτος, ὡς οὐ γένους, ἀλλ' ἄθλων
D ἐστὶ τὰ γέρα· καὶ ὁ τούτων ἐπιθυμῶν, ἐκείνοις ἐπαποδύσεται πρῶτον, καὶ θ' οὕτω καὶ πρὸς ταῦτα χωρήσει· εἰ τοίνυν τὰ μικρά, καὶ οὐ τοσούτου δή τινος λόγου (τί γὰρ δὴ πρὸς ἀνδριάντα θαλλός, εἴπερ ὁ μὲν διαρκὴς (b), θαλλὸς δὲ κατ' αὐτὸν δὴ μόνον τὸν τοῦ προσίεσθαι χρόνον ἔχει τὸ κέρδος·) εἰ τοίνυν ἐξ ἄρα τοῦ πεφυκέναι ταῦτ' οὐχ οἷόν τε λαβεῖν, μὴ καὶ πόνων ἡγησαμένων, πῶς οἷόν
E τε ἀκονιτὶ κεκαρπῶσθαι τὰ μείζω; καὶ μὴν εἰ ἃ τοῖς πατράσιν δίδοται γέρα, τούτων ἔπειθ' οἱ παῖδες ἀξιοῦσιν μετέχειν διὰ τὴν φύσιν, τί μὴ καὶ τῶν αὐτοῖς ἀτυχημάτων ἀξιοῦσι μετέχειν ἀπὸ τῆς αὐτῆς ταύτης αἰτίας; οὐ γὰρ ἐν μὲν τοῖς

XVII. „ Atqui, inquit Demosthenes, si bene meritis statuas atque inscriptiones de-
„ derimus, horum liberi, quibus hae communes cum parentibus, aeque ac est im-
„ munitas, esse nequeunt, summam sibi fieri iniuriam conquerentur „. At enim, mi homo, non puto quemquam horum aegre id omnino laturum; propterea quod parentum gloria perbelle ad liberos manat; hique satis meritoque beati sunt, quia tantorum patrum filii appellantur. Nam sicuti matris patrisve mala fama, ut aiunt poetae, etiam audaces inhibet, sic illorum gloria et celebritas beatam admodum facit eorundem stirpem. Deinde si omnium quae urbs benivolis suis tribuit, necesse esset etiam liberos fieri participes, eaque bona, ut hereditas quaedam, ad posteros permearent, merito queri possent, qui his largitionibus privarentur. Quod si in sola id privilegium contingit immunitate, eaque nunc funditus aboletur, nulla iam ansa superest expetendi praemiorum perpetuitatem, neque etiam in reliquis meminisse licebit immunitatis. Namque id consimile esset ac siquis patre olympionica natus aequum putaret nativitatis suae gratia etiam oleastri esse participem: quem quidem omnes admonebunt, praemia non generis esse sed certaminum: quae siquis ambit praemia, certamina prius obeat, tum illa obtineat. Si igitur exigua neque tantae aestimationis (quae enim comparatio frondis cum statua? siquidem haec stabilis, frons autem eo tantum quo percipitur tempore aemolumento est) si inquam generis merito haec impetrare non licet, nisi labor praecesserit: qui licet per otium lucrari maiora? Profecto si quae parentibus dantur praemia, eadem filii generis causa sibi vindicant, cur adversis item eorum casibus communicare ob eandem causam nolunt? ne-

(a) Cod. ὀλυμπιονίκους. (b) Cod. διαρκὲς.

(1) Euripidis sententia est Hippol. v. 424.

βελτίστοις εἰσὶ παῖδες, ἐν δὲ τοῖς πονηροτάτοις, οὐκέτι· ἀλλὰ καὶ πολὺ μᾶλ- A
λον ἐνταῦθα δεῖ τούτους τὸ πεφυκὸς ἐνδεδεῖχθαι, εἰ μὴ μέλλοιεν ἔλαττον ἔχειν
τῶν φίλων, οὓς αἱ συμφοραὶ παριστᾶσιν· εἰ δ' οὐδ' ἂν ἐν ὀνείροις συνατυχεῖν αὐ-
τοῖς ἕλοιντο, οὔκουν γε ἑκόντες εἶναι, ὥς γε ἐγὼ νομίζω, πῶς ταῖς τούτων εὐ-
πραγίαις δεῖν οἴονται χρῆσθαι; πῶς δ' οὐ σφίσιν αὐτοῖς περιπίπτουσιν, ὅταν
ταῦτ' ἀξιῶσιν; εἴπερ ἐπὶ μὲν τῶν φαυλοτάτων ἀρνοῦνται τὴν φύσιν, ἐπὶ δὲ τῶν εὖ B
ἐχόντων ἄνω καὶ κάτω ταυτησὶ λόγον ποιοῦνται; ὅλως δὲ εἰ μὲν ὀρθῶς καὶ δι-
καίως ταύτην προΐσχονται, δεῖ δήπου ταύτης διὰ πάντων ἔχεσθαι, καὶ μὴ νῦν μὲν,
νῦν δ' οὔ· εἰ δὲ κέρδους εἵνεκα μόνου πρὸς αὐτὴν καταφεύγουσιν, ἄλλως δὲ οὐ-
δαμῶς, λανθάνουσι σφᾶς αὐτοὺς, ταύτης οὐδὲν ἧττον ἀλλοτριοῦντες, ἢ συνιστάν-
τες· οὔκουν οὐδὲ προσέχειν τὸν νοῦν αὐτοῖς δεῖ τὰ τοιαῦτα προκαλουμένοις. C

ιη. Ἔτι τοίνυν κἀκεῖθεν, ὦ ἄνδρες Ἀθηναῖοι, μάλιστ' ἔχοιτ' ἂν συνιδεῖν ὃ
λέγω, καὶ τὸ συμφέρον ἐξ ἀνάγκης νομοθετεῖν· ὅτι πλὴν ἀτελείας, πάντα τ' ἄλλα
πρὸς τοὺς εὐεργέτας ἐσθ' ἡμῖν ποιητέα, ἂν τοὺς ἡμετέρους προγόνους ὁποῖοί τινες περὶ
ταῦτ' ἦσαν ἐνθυμηθῶμεν, ὅτε καὶ τὰ τῆς πόλεως ὡς μάλιστα ἤνθει, καὶ τὸ πρὸς ταύτην
ἐπιδείκνυσθαι καὶ φιλοτιμεῖσθαι, φιλοτιμότερόν πως καὶ μετὰ μείζονος ἀπήντα παρα- D
σκευῆς· ἐκεῖνοι τοίνυν καὶ ἀγχινοίᾳ καὶ συνέσει καὶ τοῖς ἄλλοις ἀγαθοῖς τῶν ἁπανταχῇ πάν-
των κρατοῦντες, καὶ πᾶσαν πολιτικῆς ἀρετῆς ἐπιστήμην ἐν τῇ ψυχῇ φέροντες, μᾶλλον
δ' αὐτὸ τοῦτο ψυχὴ τῶν πραγμάτων καὶ δοκοῦντες καὶ ὄντες, οὐ μόνον ὅπως ἑαυ-
τῆς ἀξίως ἡ πόλις εὖ πράττει καὶ διαγίγνοιτο, ἀλλ' ὅπως καὶ τῶν παρὰ τῆς
τύχης εὐποιιῶν μειζόνων αἰεὶ διὰ πάντων πειρῷτο, τοῦτ' ἔχοντες προύργου, αὐτοί τε E
πάνθ' ὑπὲρ αὐτῆς καὶ ποιεῖν καὶ λέγειν ᾤοντο χρῆναι, μηδὲν τῶν ὅσα πρὸς εὐδαι-
μονίαν τοῦ κοινοῦ φέρει μηδοπωστιοῦν παριέντες· τούς τε πρὸς αὐτὴν ὁτιοῦν ἀγα-

que enim in prosperis filii sunt, in adversis nequaquam. Immo vero magis tunc ab his exseri oporteret stirpis suae documenta, nisi degeneres esse volunt necessariorum suorum, qui in calamitatem inciderunt. Quod si ne in somniis quidem communicare adversis illorum casibus vellent, neque ut arbitror sponte paterentur, quonam iure felicitatem eorum ad se quoque pertinere arbitrantur? Nonne secum ipsi pugnant, dum haec sibi bona vindicant? qui quidem in rebus infimis genus negant, in prosperis usquequaque id clamitant. In summa si recte et iuste genus praetendunt, constantia tenenda est, non alternis utendum vicibus. Quod si lucri tantum gratia ad generis claritatem confugiunt, aliter eam non adserunt, non vident se potius ab ea recedere quam illuc tendere. Nulla igitur habenda est hominum ratio, qui ad haec privilegia provocant.

XVIII. Quamquam aliunde quoque, o Athenienses, cognoscere vobis apprime licet rei de qua loquor veritatem, et quae vobis conferunt, prout opus est, sancire. Nam una excepta immunitate, cetera omnia erga bene merentes officia sunt a nobis expromenda, si certe reputabimus quinam in his fuerint maiores nostri temporibus illis, quibus et summe urbs florebat, maiorque erat atque splendidior hominum concursus ad ostentandum patriae studium, honoresque ab ea consequendos. Nostri ergo maiores ingenio et prudentia et aliis dotibus prae ceteris ubique mortalibus excellentes, omnemque politicae virtutis scientiam in animis habentes, immo ipsi gerendarum rerum anima non immerito crediti; quum hanc rei summam existimarent, si urbs non solum condigna felicitate uteretur, sed maiora quoque fortunae munera semper experiretur, nihil eius rei causa non sibi faciendum dicendumve putabant, nihilque omittendum quod reip. prosperitati conferret:

A θὸν διαπραξαμένους, καὶ πολίτας λέγω καὶ ξένους, καὶ γενομένους τοῖς πράγμα-
σιν ἐν καιρῷ, ὁμοῦ μὲν ἀμειβόμενοι τῆς σπουδῆς, ὁμοῦ δὲ καὶ πρὸς τὸ μέλλον
καὶ αὐτοὺς καὶ τοὺς ἄλλους ἐπὶ τὰ ἴσα καὶ μείζω παρακαλοῦντες, μεγίσταις ὅτι μά-
λιστα καὶ φιλοτιμοτάταις ἐδωροῦντο τουτουσὶ ταῖς τιμαῖς, τοῦτο μὲν χαλκοῦς ἐπ'
ἀγορᾶς ἱστάντες, τοῦτο δὲ παρέδρους τοῖς ἐν ἀκροπόλει θεοῖς καθιστάντες, τοὺς
B δὲ μεγάλων καὶ θαυμαστῶν καὶ τῶν αὐτῶν τοῖς θεοῖς ἀξιοῦντες τῶν προσρημάτων·
ἔστι δ' οἷς καὶ χρήματα ὅτι πλεῖστα διδόντες, καὶ γὰρ πλέθρα τῆς μὲν πεφυτευ-
μένης, τῆς δὲ καὶ ψιλῆς· οἱ δὲ σίτησιν ἢ στεφάνους ᾐροῦντο, καὶ ἄττα τοιάδε·
ταῦτ' ἦσαν αἱ τηνικαῦτα τῆς πόλεως ἀμειβαὶ πρὸς τοὺς ἑκάστοτ' εἰς αὐτὴν κα-
λοὺς κἀγαθούς· οὕτως Ἐρεχθεὺς (1) ὁ τῆς Ἀθηνᾶς, οὕτως Ἁρμόδιος καὶ Ἀριστο-
C γείτων. Περικλέα δὲ τὸν Ξανθίππου τίς οὐκ οἶδε τῶν πάντων ὀλύμπιον προσρη-
θέντα κατὰ ταὐτὰ τῷ Διὶ (2); ἀτελείας δὲ οὐδ' εἱστισοῦν μὰ τοὺς θεοὺς λόγος τότ'
ἦν οὐδ' ἐξέτασις, οὐδ' ἠξίουν ἐντεῦθεν δήπου ποιεῖσθαι τὰς δωρεάς· οὐχ ὅτι ταύτην
ἠγνοοῦν, ἀλλ' ὅτι σαφῶς ᾔδεσαν, ὡς ἐν μὲν τῷ ταῦθ' ἅπερ ἔφην διδόναι, οὐδ' ὁτιοῦν
ἔσται βλάβος τῇ πόλει, ἐν δὲ τῷ τοὺς δεῖνας ἢ τοὺς δεῖνας εἰς ἀτέλειαν ἄγειν,
D οὐ μικρά τις ζημία· ἡ γὰρ τῶν λειτουργιῶν κατὰ βραχὺ δήπουθεν σπάνις, καὶ
τὸ ταῦθ' ἅπερ ἔφην ἔχειν διδόναι προϊόντος ἀναιρήσει τοῦ χρόνου, πάντων ἀτε-
λῶν καταστάντων· ἔπειτα κἀκεῖνο προσῄδεσαν καὶ σφόδρα γε πεφυκὸς ἐν ἀτόποις,
εἰ ὧν ἐνεδείξαντό τινες ἀγαθῶν εἰς τὴν πόλιν, τούτων ἕνεκ' αὐτῇ παραίτιοι κα-
ταστῶσιν ζημίας διὰ τὰς ἀτελείας· δέον, εἰ ταῦτ' ἔπειτ' ἔμελλον ἔσεσθαι, μηδὲ
E τὴν ἀρχὴν εἰς εὐεργέτας τελέσαι· πῶς οὖν οὐκ ἄτοπον τοὺς μὲν οὕτω διακειμένους
τῶν πάλαι μηδεμίας μὲν ἡστινοσοῦν ὑπερβολῆς ἐν ταῖς ἀμοιβαῖς ἀποσχέσθαι, ἀτε-

quicumque autem civitati quomodolibet bene fecissent, sive cives sive peregrini, quique operam tempestivam aliquando praestitissent, eos pro suo studio simul remunerabant, simulque eosdem et alios in posterum ad paria vel maiora officia excitabant, maximis et ambitiosissimis donatos honoribus: et modo aereos in foro statuebant, modo in arce in deorum consessu reponebant: alios vero magnis atque mirificis et divinis insigniebant titulis: aliis opes etiam plurimas largiebantur, iugera nimirum partim consiti soli partim nudi: alii denique alimenta aut coronas aut alia eiusmodi impetrabant. Haec tum dabantur ab urbe praemia iis qui semper erga eam fuissent benivoli et utiles. Sic Erectheo contigit Minervae filio, sic Harmodio et Aristogitoni. Periclem vero Xantippi quis nescit appellatum olympium pari cum Iove nomine? Verum enimvero immunitatis nulla per deos tunc mentio erat neque petitio: neque id sibi donum tribui volebant; non quod rem ignorarent, sed quia certo noverant, eas quas supra dixi donationes nullo fieri cum civitatis damno; in hoc vero et illo ad immunitatem promovendo non mediocrem inesse labem. Ipsa enim ministeriorum brevi facta penuria, facultatem quoque lapsu temporis perimet dandi ea quae ante dixi, postquam scilicet omnes immunitatem adepti fuerint. Insuper noverant valde esse absurdum, si nonnulli ob ea beneficia quae civitati contulissent, causa damni eidem fierent impetratis immunitatibus: quos homines oportebat, si tales postea evasuri erant, ne principio quidem in beneficis numerari. Cur ergo non sit absurdum, maiores nostros ea mentis excellentia praeditos nullum finem neque modum remunerandi fecisse, et tamen immunitatis nullam umquam

(1) Erechtheum apud Homerum scribi pro Erichthonio, eundemque Minervae esse natum, praeclare observat Eusebius chron. lib. II. ed. Mediol. p. 284. Consonat huic Aristides.

(2) Causas huius epitheti varias legere licet apud Plutarchum in Pericle cap. VIII.

λείας δὲ μηδαμοῦ τοπαράπαν μηδοπωστιοῦν μνημονεῦσαι, ἡμᾶς δὲ τοὺς τἀ- A
κείνων μάλιστα πάντων ϗ στέργοντας ϗ θαυμάζοντας, ϗ νόμον τοῦ τί δεῖ ποιεῖν
ταῦθ' ἡγουμένους, ἔπειτα ταύτῃ κεχρῆσθαι, ϗ τὰς τιμὰς ἐντεῦθεν ὁρίζειν, ὥσ-
περ ἐκείνων κατεγνωκότας, ὅτι μὴ τοῦτο συνεῖδον, ἢ συνιδόντες ὑπὸ βασκανίας
ἀπεῖπον· καίτοι ὅταν μὲν τούτους ὡς διὰ πάντων κρατίστους θαυμάζωμεν, ϗ μι-
μεῖσθαι διὰ πάντων ὀφείλομεν τούτους, ἵν' ἃ τοῖς λόγοις κοσμοῦμεν, βεβαιῶμεν B
τοῖς ἔργοις· ὅταν δὲ ἃ 'κείνοις εἰκότως ὡς μὴ καλῶς ἔχοντ' ἀπείρηται, ταῦθ' ἡμεῖς
ὡς ἔχοντα καλῶς ἀσπαζώμεθα, θατέρῳ δυοῖν ἐνεχόμεθα, ἢ τῷ περὶ τὰς κρί-
σεις ἐσφάλθαι, ἢ περὶ τὰς μιμήσεις ἐψεῦσθαι.

ιθ. Ὅλως δὲ εἰ μὲν ἀτέλεια κάλλιστον ϗ λυσιτελέστατον καὶ πολιτικῇ μά-
λιστα πρέπον, οὐχ ἡμᾶς ἔδει μόνους, ὦ ἄνδρες ἀθηναῖοι, ἀλλὰ ϗ πάντας τοὺς C
ἄλλους ταυτησὶ λόγον ποιεῖσθαι, ὡς ἄν τινος κοινωφελοῦς ϗ διὰ πάντων χω-
ροῦντος· εἰ δ' οὐδένες ἄχρι τοῦ δεῦρο πλὴν ἡμῶν ἐπὶ ταῦτα προήχθησαν (μηδ'
ἔτ' ἔπειτα προαχθεῖεν ὦ δέσποινα Ἀθηνᾶ) τί μόνοι τῶν πάντων ἡμεῖς τὰ τοιαῦ-
τα νοσοῦμεν (1); ἐκτὸς εἰ μόνοι τῶν πάντων ἡμεῖς μισεῖν ἡμᾶς αὐτοὺς ἀξιοῦμεν· " οὐ-
" δήπου φησίν· οὐδὲ ταῦθ' ἡμᾶς ἐγκαλεῖσθαι χρεών· εἰ μὲν γὰρ τῶν αὐτῶν D
" ἐθῶν τε ϗ νόμων ἅπασιν ὄντων, ἔπειθ' ἡμεῖς μόνοι τῶν πάντων ἀτελείας εἰ-
" χόμεθα, πονηροί τινες ἂν ἦμεν εἰκότως, οἷς οὐκ ἐξῆν ἐγχειροῦντες, ϗ παρὰ
" τὸν κοινὸν πολιτευόμενοι νόμον· εἰ δὲ πολλή τις ἐνταῦθα διαφορὰ, ϗ τοὺς
" μὲν τούτοις, τοὺς δ' ἐκείνοις ἴσμεν χρωμένους, ϗ πάντας ἁπλῶς οἷς ἐκ
" πολλοῦ δοκιμάσειαν, τί δεινὸν, εἰ παρ' οὐδέσι τῶν ἄλλων ἀτελείας νομι- E
" ζομένης, μόνοις ἡμῖν ταύτης ἔνεστι λόγος; οὐδὲ γοῦν λακεδαιμονίοις οὐδὲ θη-
" βαίοις, οὐδ' οἷς τισιν ἄλλοις ἐγκαλεῖν ἔχομεν διὰ ταῦτα, ἀλλὰ τῷ τῶν

mentionem intulisse; nos autem qui facta veterum summopere colimus et suspicimus, normamque agendi putamus; nihilominus immunitatem usurpare, atque hanc honoris instar habere? ita scilicet eos damnantes, vel quod rem nesciverint, vel quod cognitam bene merentibus inviderint. Attamen si hos per omnia optimos admiramur, eos quoque imitari debemus, ut quod verbis ornamus, idem operibus confirmemus. Interim dum ea quae illi ut prava abnuerunt, nos ut egregia amplectimur; alterutrum sane peccamus, id est vel iudiciis fallimur, vel ab imitatione recedimus.

XVIIII. Denique si forte immunitas pulcherrimum quid esset atque utilissimum et politicae valde aptum, haud nos Athenienses solos opus esset, sed cunctos populos, rationem eius habere ceu communis commodi et omnia pervadentis. Quod si nulli mortales, praeter nos, hoc more hactenus usi sunt (utinam vero et numquam deinde utantur, o Minerva potens!) cur soli nos hoc morbo laboramus? nisi nos soli nosmet volumus ipsos odisse. " Minime vero, inquit Demosthenes, neque hanc
" nobis impingi dicam licet. Nam si forte cunctis gentibus iidem mores legesque
" essent, tum soli nos hanc immunitatis consuetudinem usurparemus, improbi merito
" videremur, qui rem iniquam sectaremur, et praeter legem universalem res
" nostras publicas gereremus. Nunc quoniam multa est morum varietas, atque alios
" aliis usibus delectari videmus, omnesque fere vetustis apud se consuetudinibus
" adhaerere; quid mirum si immunitati, quam nulli alii populi agnoscunt, apud
" nos solos locus est? Neque sane Lacedaemoniis neque Thebanis neque aliis qui-
" busvis gentibus ritus suos exprobramus, verum hos ei tribuimus, qui primus rem

(1) Hoc quoque argumentum ait Demosthenes cuius oratione. Rei memor Aristides hanc ve- ed. cit. p. 556. extitisse in adversarii nescio ri similitudinem declamationi suae adstruxit.

A „ πραγμάτων ἐξ ἀρχῆς ἐσχηκότι, διδόναι „· ὡς μὲν οὖν, ὦ Δημόσθενες, ἕκα-
στοι πρὸς ἀλλήλους ταύτῃ διέστανται, ὁμολογῶ καὶ αὐτός· ἐπεὶ μὴ δὲ νομοθέτας
κέκτηνται τοὺς αὐτούς· ἀλλ᾽ οἱ μὲν τούς, οἱ δὲ τούς, ὅπως ἡ τύχη καὶ ὁ συμπί-
πτων χρόνος ἑκάστοις παρεσκευάκει· σοῦ δ᾽ ἂν ἡδέως πυθοίμην, εἰ ἐν οἷς οὗτοι
διέστανται, πότερα τῶν λυσιτελούντων ταῦτ᾽ ἐστὶν, ἢ τῶν ἰδίᾳ καὶ κοινῇ λυμαινο-
B μένων τοῖς πράγμασι; εἰ μὲν γὰρ τῶν λυμαινομένων ἐρεῖς, πρῶτον μὲν ἐπιεικῶς
ἄτοπον καὶ δεινὸν, διὰ τούτων ἡμᾶς ἐπὶ τὰ ἴσα πείθειν ἐπιχειρεῖν, καὶ κακῷ τὸ
κακὸν ὡς λόγος ἰᾶσθαι· ἀλλὰ μὴ διὰ τῶν βελτίστων ἐντεῦθεν ὡς μάλιστ᾽ ἀπά-
γειν, καὶ τούτοις ὡς οἷόν τε προσάγειν· ἔπειτα μετὰ τῆς ἀτελείας καὶ ταῦτ᾽ ἐξαί-
ρειν ὥσπερ τινὰς κῆρας προσήκει τοῦ βίου, καὶ παραπέμπειν εἰκότως εἰς τὸ τῶν ποι-
C ητῶν ὄρος καὶ κῦμα (1)· μὴ γὰρ οὖν εἴη μηδὲν τὸ παράπαν, ὃ δημοσίαν ἴσχει τὴν
βλάβην· εἰ δὲ ταῦτα μὲν κοινοῦ τινος κέρδους εἵνεχ᾽ εὑρέθη, καὶ τοῦ τὰ γιγνό-
μενα δύνασθαι συντελεῖν, ἀτελείας δὲ οὐδὲν μᾶλλον ταῖς λειτουργίαις ἐχθρὸν
(ὅταν δὲ ταύτας λέγω, τὴν πόλιν λέγω, δι᾽ ὧν ταύτῃ τὸ σώζεσθαι) τί πε-
ριττὰ συλλογίζῃ, καὶ σοφιστὴς ὧν οὐκ ἔξεστι γίγνῃ, τὴν μὲν πρὸς ἃ μὴ χρὴ πα-
D ραβάλλων, ἡμᾶς δ᾽ ἐντεῦθεν ὡς ἀγαθοῦ τινος ταύτης ἀντέχεσθαι πείθων· τὸ δ᾽
ἐστὶν ἀτεχνῶς ἐπίβουλον, καὶ πειρωμένου τὴν πόλιν ἐσχάτοις περιβάλλειν κακοῖς·
ὥσπερ γὰρ τὸ τοῖς ἀδικοῦσιν ἐπεξιέναι καὶ πολεμεῖν διὰ πάντων αἱρεῖσθαι οὐδ᾽ ἂν
εἷς φαίη μὰ τοὺς θεοὺς μὴ οὐχὶ τιμῶντος τοῦτ᾽ εἶναι τοὺς νόμους, οὕτως ἐάν τις
τοῖς λυμαινομένοις τῇ πόλει μετὰ πολλοῦ τοῦ περιόντος συνηγορῇ, τεκμήριον ἐναρ-
E γὲς παρέχεται γνώμης οὐχ ὑγιοῦς, καὶ τὰ δεινότατα καθ᾽ ἡμῶν τεχνωμένης·
καίτοι ὅταν διὰ τὴν ἐξ αὐτῶν βλάβην ἐκτρεπώμεθα σφᾶς, τίνος ἂν εἰκότως
ἄξιος εἴη, ὁ δι᾽ ὧν τούτοις συνηγορεῖ, αὐτός τε τοιοῦτος ὤν, καὶ τοὺς γ᾽ ἄλ-
λους ἐπὶ τὰ ἴσα παροτρύνων; ἐπεὶ καὶ τὸ συκοφαντεῖν, καὶ δωροδοκεῖν, καὶ ἀσελ-

„ publicam in quaque gente constituit „. Tibi equidem, Demosthene, adsentior de populorum variis consuetudinibus, propterea quod alios atque alios legum latores sortiti fuerunt, prout fortuna aut aetas incidens tulit. A te vero libenter rescirem, num ea in quibus populorum inter se ritus differunt, sint e numero utilium, an potius publice ac privatim perniciosorum? Si perniciosa dices, primum quidem satis est absurdum et improbum, per haec nos ad aequalitatis studium impellere, ac malum malo, ut aiunt, mederi; et non potius per optima ab illis maxime avertere, atque ad haec pro viribus advocare. Tum opus esset, perniciosa illa quae dixi, una cum ipsa immunitate ceu fata quaedam ex hominum vita eximere, atque ad poetarum montem et fluctum merito amandare; nequid iam superesset, quod publicis rebus noceret. Verum si illa varietas rituum publicae commoditatis causa excogitata est, atque ut cuique genti congrua perfici queant; nihil autem immunitate inimicius officiis est (porro officia cum dico, civitatem dico; nam haec illis continetur) cur iam cavillaris, atque artificem haud recti sermonis agis? dum immunitatem ad dissimilium comparationem vi trahis, atque hinc nobis auctor es retinendi eam, quasi aliquid frugi sit. Utique hae viri insidiae sunt conantis urbem obstringere summis malis. Nam sicuti nemo per deos negabit, reverentem eum esse legum qui persequi iniustos atque oppugnare studet; ita siquis nocuos civitati multo conatu adiuvet, manifestum edit indicium mentis vesanae, et pessima in nos molientis. Iam si homines illos propter labem inde manantem aversamur, quanam hic poena dignus est, qui dum improbis eiusmodi opitulatur, talem se ipse praebet, et alios ad paria facinora incitat? Iam et sycophantia, et do-

(1) Heliconem et Hippocrenen.

γαίνειν, καὶ λάθρα τοῖς πολεμίοις κεχρῆσθαι, καὶ φάρμακα καθοτουοῦν συντι- A
θέναι, καὶ νὴ Δία γε λησταὶ, καὶ τοιχορύχοι, καὶ τοῦ πονηροῦ κόμματος ὁστισοῦν,
τότε μᾶλλον μισοῦνται καὶ δίκην ὑπέχουσιν μείζω, ὅταν οἷς δρῶσιν ἐγκαλύπτεσ-
θαι δέον καὶ τρέμειν, οἱ δ' ἐπὶ τούτοις τοσοῦτο φρονῶσιν, ὡς καὶ σεμνύνειν ταῦτ'
ἐθέλειν πρὸς πάντας· διττὰ δήπου νοσοῦντες, κακίαν καὶ θράσος· καὶ μὴ δ'
ἑκάτερον συνιέντες, ἀλλὰ καὶ δίκην τείνοντες ταύτην, τὸ δημοσίᾳ σφᾶς αὐτοὺς B
ἐξελέγχειν.

κ. Καὶ μὴν οἷς ἡμᾶς κἀκείνως φενακίζειν ἐπιχειρῶν οἴει λανθάνειν, τούτοις
οὐδὲν ἧττον ἁλίσκῃ πονηρευόμενος, καὶ κατ' αὐτὸς σαυτοῦ μᾶλλον, ἢ ἡμῶν αὐ-
τῶν· οὐ γὰρ ὡς ἔννομόν τι καὶ τῆς ἐκεῖθεν ἐξημμένον ἀνάγκης ἔχων ἀτέλειαν δεῖ-
ξαι, οὐδὲ τοὺς ταύτης πέρι διαγορεύοντας νόμους εἰς μέσον θεῖναι, κἀντεῦθεν ὡς C
νομίζεις ἐξελέγξαι Λεπτίνην, σὺ δὲ καὶ οὕτως οὕτω σφόδρ' ἑτέρως ποικίλλεις καὶ
περιάγεις τὸν λόγον, ὡς καὶ πείθειν ἔχειν ἐκ τοῦ παραχρῆμα δοκεῖν, καὶ τοὺς μὴ
πάνυ τοι προσεσχηκότας ἑτοίμως χειροῦσθαι· εἰ γὰρ οἱ μὲν νόμοι κελεύουσι φὴς
διαρρήδην βεβαίας εἰς τέλος εἶναι τοῖς εἰληφόσι τὰς δωρεάς, καὶ μὴ δὲ καθόν-
τινα δήποτε τρόπον ταυτασὶ κεκινῆσθαι, ὁ δὲ ἃς δεδώρηταί τισιν ἀτελείας ἡ πό- D
λις ἐν παντὶ τῷ παρασχόντι (1), ταύτας δι' ὧν νομοθετεῖ νῦν, ἀκύρους καθάπαξ
ποιεῖ καὶ νῦν καὶ εἰσαῦθις, πῶς οὕτω παραβαίνων τοὺς νόμους, καὶ κατὰ τοῦτο
δίκαιος ἂν τὴν τῶν παρανομούντων καὶ αὐτὸς ὑποσχεῖν, ἔπειθ' οἷός ἐστι περὶ ὧν
συμβουλεύει παρ' ἡμῶν πεπιστεῦσθαι; οὐ ταῦτα λέγεις ἄνω καὶ κάτω στρέφων,
καὶ συνεχῶς ἐρωτῶν, εἰ μὴ δίκαιον τοὺς εὖ πεπονθότας διὰ τέλους εὖ πάσχον- E
τας εἶναι, καὶ μετέχειν ἐσάπαν τοῦ γέρως; ἔχε δὴ καὶ σκοπῶν· ἐπέταξεν ὁ τοὺς
νόμους τιθεὶς, μὴ χρῆναι τὰς δωρεὰς ἀφαιρεῖσθαι· ἀτελείας δὲ οὐδοντινοῦν το-

norum acceptio, et lascivia, et clandestina cum hostibus foedera, et venenorum propinationes, et per Iovem latrones, parietumque effossores, et pessimae quispiam notae, tum maxime odio habentur, maioresque poenas dant, cum quae agunt, nedum ut par esset occulunt atque exhorrent, sed tanta audacia efferuntur, ut iis gloriari palam non dubiteut: duplici labe laborantes, malitia atque impudentia: neque saltem alterutram intelligunt, sed causam suam gravant, dum se publice reos arguunt.

XX. Porro autem qui isto pacto fucum nobis clandestino facere putas, hinc adeo maleficus argueris, et quidem ipsi tibi quam nobis magis. Cum enim haud queas immunitatem demonstrare legitimam, neque ulla iuris necessitate fretam, neque tabulas proferre possis quae de illa loquantur, quibus nixus Leptinem, ut certe putas, coargueres; tu nihilominus tam adulterino colore varias versasque orationem, ut hac improvisa specie persuadere etiam videaris, et eos qui minus circumspecti sunt decipere. Nam si leges, inquis, diserte iubent, ut his, qui acceperunt, rata in perpetuum dona sint, neque sinunt ea ullo pacto commoveri; qui quas dedit nonnullis civitas ad omnem eventum immunitates, has decreto suo irritas omnino et nunc et perpetuo reddit; is inquam tantus legum effractor, ideoque dignus qui legiruparum poenas luat, tamen poterit suadere nobis consilia quorum auctor est? Nonne tu ais, permultis verbis circumloquens ac saepe auditorem rogitans, aequum esse ut qui praemium impetraverunt, eo perpetuo fruantur? Esto tibi ratum hoc votum. Cavit legislator, ne dona cuipiam eripiantur; de immuni-

(1) Vulgo apud Italos *in ogni dato*.

A παράπαν ποιεῖται λόγον, ἀλλ' ἁπλῶς οὑτωσὶ δωρεῶν· πλὴν εἰ λάθρᾳ αὐτὸς λέ-
γοντος ἤκουσας· τί οὖν ἃ μὴ 'κεῖνος ἐμνήσθη, ταῦτ' αὐτὸς κακῶς ὑφαρπάζεις,
καὶ τὰ μὴ δοκοῦντα τοῖς νόμοις, ὡς νόμοις δοκοῦντα λέγεις· ὁμοῦ μὲν τούτους
ἐντεῦθεν συκοφαντῶν, ὁμοῦ δὲ καὶ ἡμᾶς ἐλέγχων, μηδὲν εἵνεκα νόμων ἐπισα-
μένους.

B κα. Εἰ δὲ τοῦτο λέγεις, ὡς ἐν τῷ δωρεὰς εἰρηκέναι, συμπεριειλῆφθαι καὶ ταύ-
την, δῶρον γὰρ δήμου καὶ τοῦτο, ἐκεῖνο πάντως ἐροῦμεν, ὡς οὐχ ὃ τοὺς μὲν
εἰληφότας ἰδίᾳ ὀνίνησι, τῷ δὲ παρασχόντι κοινῇ λυμαίνεται δήμῳ, τοῦθ' ὡς
ἀληθῶς δωρεά, ἀλλ' ὃ καὶ τούτοις κἀκείνοις πρὸς κέρδους ἐστίν· ὡς ἐκεῖνό γε, δω-
ρεὰ μὲν τοῖς λαβοῦσι, πρὸς δὲ τὴν πόλιν ζημία· ταύτην δῆτα καὶ πάντες οἱ
C νόμοι φασὶ δωρεάν, καὶ ὅπως μηδεὶς ἐκπεσεῖται ταύτης, ἐφρόντισαν, ἅτε κοινοὶ
παιδευταὶ καὶ κηδεμόνες τῶν ἡμῖν προσηκόντων· ἀτέλεια δὲ εἰ μὲν τῇ πόλει
ξυμφέρει, δωρεὰ προσειρήσθω, καὶ τῶν ἐχόντων ἀναφαίρετος ἔστω· εἰ δὲ λυμαί-
νεται καὶ διαφθείρει καὶ πάντα ποιεῖ, τί παραλογισμοῖς τισι κεχρημένος, ὥσπερ
παρεγγέγραπτόν τινα καὶ ὑποβολιμαίαν, φιλονεικεῖς ταύτην εἰσποιῆσαι τοῖς νόμοις·
D ὁρᾷς ὅπως διὰ σαυτοῦ τὸ ξίφος ἐπὶ τοὺς ἄλλους ὠθεῖς, καὶ παίειν ἑτέρους δοκῶν,
αὐτὸς ὑφίστασαι τὰς πληγάς; ὑπὸ τοῦ θρασυτάτου τῆς γνώμης καὶ τοῦ φιλονεικεῖν ἔχειν
ἀσχέτως, μὴ ὅτι τοῖς σοῖς λόγοις παρὰ τῶν ἄλλων ἀπαντήσεται ξυνιείς· ὁποῖον
δὴ κἀκεῖνο, καὶ ταῦτα φασὶ γυμνασίου· οὐ γὰρ ἀνέχεται Δημοσθένης ὡς ἔοικεν,
ὦ ἄνδρες ἀθηναῖοι, εἴ γέ τῳ καὶ δυοῖν δόξαι κακός, ἀλλ' ἐκ περιουσίας τοῦ-
E το ὢν ἐληλέγχθαι· πρὸς γὰρ αὖ τοῖς ἄλλοις, οἷς κατὰ Λεπτίνου χρησάμενος
ἔγνω πᾶσαν μὲν αἰτίαν ἐπενεγκών, ἐκ δ' ἄρα πασῶν ταῖς ἀληθείαις ἀποκρουσ-
θείς, ὁ δὲ καὶ παρανόμων ἀξιοῖ τοῦτον γεγράφθαι, ἐφ' ᾧ καὶ αὐτὸς νῦν μᾶλλον
ἢ πρόσθεν τ' ἀληθοῦς καταψευδόμενος ἔσται· "τί γάρ φησι; χρὴ τοίνυν Λεπτίνην

tate tamen nullum verbum facit, sed unice de donationibus; nisi tu forte clam loquentem audisti. Cur ergo quae legislator non commemoravit, haec tu improbe tibi vindicas? et quae legibus minime definita sunt, ea tu legitima appellas? leges simul calumnians, simulque nos vituperans, quasi nullam legum scientiam teneamus.

XXI. Quod si forte ais, cum donum dicitur, immunitatem simul intelligi, quod item populi donum est; aio confidenter, haud illud esse donum, quod privatis quidem hominibus prodest, danti autem populo generatim nocet; sed illud potius quod huic et illis emolumento est: aliter enim quod accipientibus donum est, civitati in multam cedit. Iam prius illud leges cunctae donum appellant, et ne quisquam ab eo excidat cavent, tamquam magistri quidam et curatores bonorum nostrorum. Porro immunitas si forte civitati prodest, dicatur sane donum, neque eam potientibus eripere liceat; sin usquequaque nocet et vastat, cur diu cavillando laboras ut hanc ceu reiectaneam quandam et spuriam inter leges adoptes? Viden ut gladium per tuum latus in alios traiicias? dumque alios ferire existimas, ipse plagam excipias? qui scilicet propter summam audaciam tuam perpetuumque digladiandi morem, non consideras quid orationi tuae ab aliis opponetur: veluti illud; atque haec aiunt demosthenicae palaestrae sunt. Neque vero satis est Demostheni hac et illa re videri improbo, sed talem se quaquaversus ostendit. Nam praeter argumenta cetera, quibus fretus contra Leptinem sententiam dixit, omne quidem criminationum genus attingens, sed tamen undequaque veritate exclusus; nunc audet violatarum quoque legum Leptinem accusare; qua in re multo adhuc magis quam antea a veritate se abhorrentem docet. Quid ergo ait? "Opor-

*

,, μὴ πρότερον τιθέναι τὸν ἑαυτοῦ νόμον, πρὶν τὸν παλαιὸν τοῦτον ἔλυσε γραψάμενος· A
,, νῦν δὲ μαρτυρίαν καθ' ἑαυτοῦ καταλιπὼν ὅτι παρανομεῖ, τουτονὶ τὸν νόμον ὅμως
,, ἐνομοθέτει· καὶ ταῦτα ἑτέρου κελεύοντος νόμου, καὶ κατ' αὐτὸ τοῦτο ἔνοχον εἶναι
,, τῇ γραφῇ, ἐὰν ἐναντίος ᾖ τοῖς πρότερον κειμένοις νόμοις (1) ,,· χρὴ μὲν οὖν, ὦ
ἄνδρες Ἀθηναῖοι, καὶ μάλιστα χρὴ, τὰ τοιαῦτ' οὕτως περαίνειν, καὶ τοῦτον τὸν τρό-
πον αἱρεῖσθαι νομοθετεῖν· καὶ τὸν μὴ ταύτῃ γε παρεσκευασμένον, ἀλλ' ὁμόσε χω- B
ροῦντα, πρῶτος ἔγωγ' αὐτὸς ἕλοιμ' ἂν παρανόμων, ὅτι μὴ συνίδοι τὸ δέον·
ἀλλ' οὐ Λεπτίνης τοιοῦτος· πόθεν; πολλοῦ γε καὶ δεῖ· εἰ μὲν γὰρ ἀτέλειαν ὁ
νόμος ἐκέλευεν εἶναι, ὁ δ' οὐ προσεῖχεν, ἀλλὰ καὶ πρὶν ἢ λελυκέναι τὸν νόμον καὶ
δεῖξαι μὴ καλῶς εἰρηκότα, τἀναντία νομοθετεῖν αὐτὸς ᾤετο χρῆναι, μαρτυρίαν
καθ' ἑαυτὸν καταλείπει, ὅτι παρανομεῖ· νῦν δὲ οὔτε νόμος ἦν ὁ κελεύων, οὔθ' C
οὗτος δήπου παρανομεῖ, τοιαῦτα νομοθετῶν· οὐ μᾶλλον γε ἢ Σόλων ὁ πα-
λαιός· ἀλλ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὁ τἀναντία τοῖς φανεροῖς φρονῶν· καὶ τὸ μὲν
κοινῇ σῶζον τὴν πόλιν, οὐ μὰ Δία σκοπῶν· ὁ δὲ πρὸς ὀλέθρου ταυτῃὶ καθει-
στήκει, πᾶσαν εἰσφέρων ὑπὲρ τούτου σπουδήν· καὶ τῷ τοῖς λόγοις ᾗ βούλεται
δύνασθαι χρῆσθαι, νῦν μὲν πρὸς τὸ δοκοῦν ἑαυτῷ μεμνημένος τῶν νόμων, νῦν D
δὲ τοὺς οὐκ ὄντας νόμους εἰς νόμους τιθείς· ὁποῖος αὐτὸς εἶ· ὥς θ' ὅταν ταῦτ'
ὦ Δημόσθενες, λέγεις, σαυτοῦ κατηγορεῖς οὐ Λεπτίνου· εἴ γε ὁ μὲν οὐ νόμου δή
τινος περὶ ἀτελείας κειμένου, ἀλλ' ἔθους χθὲς καὶ πρώην, ὦ Ζεῦ, εἰσκεκωμακό-
τος τῇ πόλει, τὸν ὑπὲρ τῆς πολιτείας τοῦτον εἰσήνεγκε νόμον, [ὃν] κάλλιστον καὶ
δικαιότατον πάντες ἂν φαῖεν· σὺ δ' αὐτὸν ἐλέγχειν ἐπιχειρῶν, οὐ νόμῳ τοῦτο ποι- E
εῖς, ἀλλὰ κενοῖς τισι λόγοις καὶ μύθοις παράγων, νόμων μὲν καὶ ἀληθείας κα-
θάπαξ ἀποστατοῦσι, ψεύδους δὲ καὶ παρανομίας μεστοῖς· κἂν χρησμῶν οὐδὲν
ἧττον τούτοις αὐτὸς ἰσχυρίζῃ.

,, tet Leptinem haud prius suam legem ferre, quam hanc aliam veterem accusatam abrogaverit. Nunc ille aperte profitens se facere contra legum praescripta, suam hanc legem obtrudit. Et quidem alia lege iubente, ut ea lex ob id ipsum quaestioni obnoxia sit, si forte veteribus legibus adversetur ,,. Interest saue Athenienses, plurimi inquam interest, haec ita peragere atque hoc pacto velle legibus ortum dare: atque eum qui non hac sed contraria ratione utatur, ego in primis reum faciam laesarum legum, quia officium negligit. Sed valde abest ut Leptinis causa eiusmodi sit. Nam si immunitas lege fuisset decreta; is autem hoc iure neglecto, et lege nondum antiquata, neque eiusdem iniquitate demonstrata, contrariam legem scribendam iudicavisset, prorsus ipsemet reum se faceret laesi iuris. Sed revera neque ulla lex immunitatem iubet, neque Leptines huic contradicit dum suam fert: non magis inquam peccat quam vetus ille Solo: sed ut vere dicamus ille peccat cuius sententia contra evidentiam est: qui quod publicam civitati salutem parit haud hercle spectat; quod autem ad illius exitium natum est, id omni ope tuetur: qui verbis pro libito utitur; et modo ad leges provocat si secum conspirare videantur; modo quae nullae sunt recenset in legibus. Atque haec facinora tua, Demosthene, sunt. Quare cum sic loqueris, temet potius accusas quam Leptinem: siquidem hic nulla quum esset scripta lex de immunitate, sed consuetudo quaedam heri aut nudiusterius, o Iupiter! illapsa in urbem, hanc pro libertate legem tulit, quam egregiam atque iustissimam omnes fatebuntur; quamque tu non lege aliqua oppugnas, sed vanis quibusdam sermonibus atque fabulis, lege omni ac veritate alienis, mendacio et iniquitate scatentibus: quamquam his tu haud minus quam oraculis niteris.

(1) Demosth. ed. Wolf. p. 555.

A κβ. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ταύτῃ μάλιστα καταψεύδῃ Λεπτίνου, ὡς
ἐν τῷ δυσμεναίνειν ἰδίᾳ τισὶν, οὐ τῷ τῆς πόλεως προνοεῖσθαι τεθεικότος τὸν νό-
μον· ἐπεὶ ὅτι γε τοῦτ᾽ ἐστι, καὶ οὐχ ὧν αὐτὸς εἵνεκα φάσκεις, ἐπὶ ταῦτα προήχ-
θη, δῆλον ἐντεῦθεν· πρῶτον μὲν ὅτι πᾶς ὁτῳοῦν χαλεπαίνων, κατ᾽ αὐτοῦ μόνου
χρῆται τοῖς λόγοις, καὶ τοῦτ᾽ ἀντὶ πάντων ἐσπούδακεν, ὅπως βέλτιστον μὲν ἑαυ-
B τὸν διὰ πάντων, ἐκεῖνον δὲ παμμίαρον καὶ κάκιστον ἀνθρώπων ἀποφανεῖ, ἐλέγχων,
ἐγκαλῶν, διαβάλλων, πᾶσιν οἷς ἔξεστι κατατρέχων· οὐ μέντοι μὰ Δία νομο-
θετῶν· οὐ γὰρ οἷόν τε ταῦθ᾽ ὁμοῦ συνελθεῖν, νόμον καὶ τὸ γεγράφθαι· τὸ μὲν
γὰρ ἔλεγχός ἐστι καὶ διαβολὴ πονηρίας, καὶ τοῦ κακόν τινα εἶναι· ὁ δὲ κοινή
τις πρὸς μὲν τὰ βέλτιστα προτροπὴ, τῶν δὲ χειρίστων ἀπαγωγή· ὡς τὰ μὲν φεύ-
C γειν, τὰ δ᾽ αἱρεῖσθαι· πῶς οὖν ἤμελλε δήπου Λεπτίνης, ἀφεὶς οἷς ἐγκαλεῖν εἶ-
χεν ἐπεξιέναι, τούτοις ὅπως ἔσονται βέλτιστοι παραινεῖν; καὶ οὓς κακῶς πεπονθό-
τας ἥδιστ᾽ ἂν εἶδε, τούτων ὡς ἑταιροτάτων τε καὶ φιλτάτων ἀντιποιεῖσθαι; οὐκ
ἔστι ταῦτα οὐκ ἔστιν· εἰ δ᾽ ὁ μὲν, ὅπως μηδεὶς ἀτελὴς εἴη τῶν πάντων θέμενος
νόμον, αἰτιώτατος ἄλγους τοῖς ἀτελείας κεκτημένοις κατέστη, σὺ δ᾽ ἐντεῦθεν ῥᾳ-
D στα συλλογίζῃ τὸ μῖσος, ὥρα σοι καὶ περὶ πάντων ὡς εἰπεῖν τῶν νομοθετῶν ταῦτ᾽
ἐψηφίσθαι· καὶ δίκην ἀπεχθείας καὶ τούτοις λαχεῖν, ὅτι σωφροσύνης πέρι καὶ δι-
καιοσύνης καὶ τῶν ἄλλων διεξιόντες, οὐ πᾶσιν ἁπλῶς εἰσὶ δήπου κεχαρισμένοι,
ἀλλὰ τοῖς εὖ ἥκουσι τρόπων· ὡς τούς γε πονηροτάτους καὶ τἀναντία τοῖς νενομισ-
μένοις φρονοῦντας, οὐδ᾽ ἔστιν εἰπεῖν ὅπως ἀηδῶς ἔχουσι τούτοις.

E κγ. Ἔπειτα εἴ σε τις, ὦ Δημόσθενες, ἔροιτο, τίνες ποθ᾽ οὗτοι, οὓς δυσ-
χεραίνων Λεπτίνης τὸν νόμον ἔγραψεν, οὐκ ἂν μοι δοκεῖς ἔχειν εἰπεῖν· ἀλλ᾽ ὅτι
μὲν εἰσί τινες ἁπλῶς, οὕτως εἰρήκεις, τίνες δὲ οὗτοι, λέγειν οὐκέτ᾽ ἀξιοῖς· οὐ

XXII. Neque id solum, sed aliud quoque mentiris contra Leptinem; nempe quod ob privatam in aliquos simultatem, non ut urbi consuleret, legem scripserit. Sed enim quod urbis iuvandae causa, non ob ea quae tu ais, hoc Leptines consilium capessiverit, declarare sic licet. Primo quidem quia quivis cuipiam iratus, contra hunc unum orationem intorquet, praecipueque dat operam ut se optimum, adversarium autem scelestissimum hominum pessimumque demonstret, arguendo, accusando, obloquendo, omni ope ac viribus incessendo, non autem mehercule legem aliquam scribendo. Neque enim simul fieri potest et legis latio et hominis accusatio: quippe haec fit criminatione scelerum et patefactione quod aliquis improbus sit; illa est communis quaedam ad virtutem cohortatio, atque a vitiis abductio; nempe ut haec fugiamus, illam amplectamur. Qui ergo fieri poterat ut Leptines omissa persecutione eorum quos erat accusaturus, hos potius ad virtutem cohortaretur? et quos miseros libentissime aspiceret, eosdem ut amicissimos et carissimos lege sua tueretur? nonne incredibile id est? Quod si Leptines legem scribendo nequis omnino officiorum onere vacet, magnum immunibus inussit dolorem, tuque hinc facile odii coniecturam facis, superest tibi ut cunctos prope legum latores hac incessas criminatione; hique etiam odii culpam sustineant, qui iustitiae, pudoris, aliarumque virtutum causam orando, non omnibus generatim rem gratam fecerunt, sed bene moratis. Secus autem pessimi quique et patrii iuris osores, dici non potest quam huic legi infensi sint.

XXIII. Deinde siquis a te sciscitaretur, Demosthene, quibusnam iratus Leptines hanc legem scripserit, neminem ut arbitror nominares. Verum ubi aliquot esse nude adfirmasti, quinam hi reapse sint, dicendum non putas: non quod no-

τῷ μὴ βούλεσθαι Λεπτίνην ἐκ περιουσίας ἐλέγχειν, ἀλλὰ τῷ μηδέν τι περὶ αὐ- A
τῶν σαφὲς ἔχων εἰπεῖν, ἔπειτ᾽ ἐκ περιουσίας αὐτὸς ἐληλέχθαι βούλεσθαι· οὐ
γὰρ ἂν εἶχες ὀνόμασι τούτων μεμνῆσθαι, σιγᾶν ἠνέσχου· οὐδ᾽ ἂν παρόντων ἐφ-
είσω, ὃ καὶ μὴ παρόντων ὡς ἂν παρόντων εἰς τοὺς περὶ τούτων λόγους ἐμπίπ-
των· οὐ μόνον ὅτι πάντων μάλιστα τὰ τοιαῦτ᾽ αὐτὸς ἑτοιμότατος εἶ, ἀλλ᾽ ὅτι
σοι καὶ τοῦτο πρὸς τὸν ἀγῶνα τὸν σὸν συνῆρατ᾽ ἂν οὐ μικρῶς· νῦν δ᾽ οἷς ἀνω- B
νύμως προήνεγκας, οὐ μόνον ἀπειθοῦντας ἅπαντας ἔχεις, ἀλλὰ καὶ δόξαν παρέ-
χεις μηδόλως τούτους αὐτοὺς εἶναι, ἀλλ᾽ ὑπὸ σοῦ συντεθεῖσθαι· οὕτω διὰ μὲν
τοῦ μεμνῆσθαι μόνον, προστρίψασθαι δόξαν οὐ καλὴν ἐθέλων Λεπτίνῃ, διὰ δ᾽
αὐτοῦ μὴ πρὸς ὄνομα φάσκειν, αὐτὸς τὸν ἔλεγχον φεύγων, ἔλαθες, ὦ Δημόσθενες,
καὶ σαυτὸν ὡς οὐκ ἀληθῆ λέγεις ἐλέγξας, καὶ Λεπτίνην ὡς ἀληθῶς ἀλλ᾽ οὐχ C
ἡττώμενος πάθους εἰσῆχε τὸν νόμον. Καὶ τὴν μὲν ἐκ Μυλίτου φασὶ Διοτίμαν (1) ἐπεὶ δέ-
κα ἔτη ἀναβαλέσθαι τῇ πόλει δυνηθῆσα τῆς νόσου, οὐχ οἵα θ᾽ ὑπῆρξε καὶ τὸ
πᾶν ἐξειργάσθαι, οὐδὲ τοῦτ᾽ εἰργάσθαι νομίσαι, οὐδὲ γενέσθαι τοῖς πράγμασιν
ἐν καιρῷ· ὥς τε διχόθεν αὐτὴν βεβοῆσθαι, ἔκ τε ὧν ἐδυνήθη τοσοῦτον, ἔκ τε
ὧν ὅπως οὐ τὸ πᾶν ἐδυνήθη· ἡ δ᾽ ὥσπερ μηδὲν ἐπιδεδειγμένη, οὕτω δυσχε- D
ραίνουσα ἦν· σὺ δὲ τοσοῦτον χρόνον νοσοῦσαν ἐξ ἀτελείας τὴν ἐνεγκαμένην ὁρῶν,
οὔτ᾽ αὐτὸς ᾤου δεῖν ταύτης ἀπαλλάξαι τῆς νόσου, καὶ ταῖς τῶν λόγων ἐπῳ-
δαῖς ὡς εἰκὸς ὑπὲρ ταύτης κεχρῆσθαι; ῥᾴδιον ὂν παντὸς μᾶλλον· τόν τε καλὸν
κἀγαθὸν τουτονὶ Λεπτίνην κάλλιστα πάντων καὶ τῇ τῶν θεῶν τοῦτ᾽ εἰργασμένον προ-
νοίᾳ, ἥδιστα ἄν, εἴπερ ἦν, εἰς τοὺς σικελικοὺς ὤσας κρατῆρας· πανταχόθεν ἐπι- E
χειρῶν τοῦτον ἐλαύνειν, καὶ πᾶσιν οἷς ἔξεστι διαβάλλων, ὅπως τὸν μέν, ὦ θεοὶ

lis Leptinem copiosissime coarguere, sed quod nihil exploratum de his dicere habeas: quo fit ut ipse calumniator luculentissime convinci velis. Neque enim si haberes quem nominatim appellares, silere patereris: neque existentibus hominibus parceres, qui quidem etiam fictos pro existentibus habens, mentionem horum intulisti: idque ageres non solum quia paratissimus ad rem eiusmodi es, sed quia haec non parum causae tuae prodesset. Nunc quoniam de anonymis loqueris, non solum incredulos audientes habes, verum etiam opinionem iniicis nullos prorsus esse hos, sed confingi a te. Sic dum ista tua fugitiva mentione haud bonam famam aspergere Leptini vis, dumque interceptis nominibus, quominus ipse coarguaris caves, non sensisti, o Demosthene, te haud veriloquum a te ipso prodi, Leptinem autem veraciter nullisque simultatibus victum legem tulisse. Aiunt Diotimam Myliti civem quum ab urbe nostra pestilentiam annis decem averruncasset, neque hanc tamen prohibere in perpetuum potuisset, nihil se fecisse opinari solitam, neque commodam reip. opem tulisse. Quare dupliciter celebrata fuit, tum quia tantopere potuerit, tum quia non omnia potuerit: ipsa tamen, tamquam nihil confecisset, aegro animo erat. Tu vero quum tamdiu laborantem immunitate patriam videas, haud parem operam dandam existimas, quo morbum ab ea depellas? neque ad hanc curam praestigiis orationis, ut par est, uteris: id quod tibi facillimum esset? Quin potius praeclarum hunc Leptinem, qui egregio consilio suo providentiaque deorum dux facti fuit, tu libenter admodum, si fieri posset, in siculos crateras eiacularerís: quem scilicet undequaque propellis, omnique nisu calumniaris, ut ab eo

(1) Rem narrat Plato convir. p. 201. tom. III. ed. Serr. Luxatam porro lectionem μαντινὴ et μαντινικὴ (quasi a Mantinea) apud Platonem et Maximum tyrium or. VIII, videmur nunc ex Aristide posse corrigere, veramque Diotimae patriam agnoscere.

A καὶ νόμοι, δοῦναι δίκην παρασκευάσῃς, ὡς δι' ὧν εἰσηγεῖται τοῖς πράγμασι δυσμενῆ· ἀτέλειαν δ' ὥσπερ τινὰ φυγάδα καὶ ὑπερόριον καταγαγεῖν αὖθις τῇ πόλει, προπίνων ἐντεῦθεν Κτησίππῳ τὸ ταύτης συμφέρον.

κδ. „ Ἀλλὰ γὰρ τὸ προσγράψαι, φησὶ, μὴ δὲ τὸ λοιπὸν ἐξεῖναι δοῦ-
„ ναι, ἢ θανάτου τὸν τἀναντία γεγραφότα τιμᾶσθαι, οὐ μόνον τυράννου δίκην
B „ τὸ ταῦτ' ἔχειν συνήθως ἐν τῷ τοῦ καιροῦ φιλοτιμεῖσθαι καλοῦντι, ἀλλὰ καὶ
„ τὸ κατ' ἐξουσίαν ἀντειρήκει τῇ πόλει (1)· εἰ μὲν οὖν καθάπαξ ἡμᾶς, ὦ ἄνδρες ἀθηναῖοι, Λεπτίνης μεγαλοψυχίας ἀπείργει, ὡς μή τι τοὺς εὐεργέτας ἀντευποιεῖν οἵους τ' εἶναι, μήθ' ὅλως τοὺς εὖ πάσχειν ἀξίους τοῖς γιγνομένοις δωρεῖσθαι, ἀγνωμοσύνης ἂν εἰκότως φέροιτο μέμψιν, καὶ τοῦ μηδέν τι τῶν δεόντων συμ-
C βεβουλευκέναι δύνασθαι· καὶ δεῖ τοῦδε τῷ νόμῳ, νόμων ἐξούλης (2) λαχεῖν· εἰ δὲ πλὴν ἀτελείας πάντων εἶναι λέγει κυρίους, καὶ σίτησιν ἐν πρυτανείῳ καὶ συνοικίας καὶ ἀρχὰς, καὶ γῆς πλέθρα καὶ πάντα τὰ τοιαῦθ' οἷς ἔξεστι νέμειν, ποῦ ταῦτ' ἐστιν ἐγκαλεῖσθαι δίκαιος; ὥσπερ ἂν εἰ καὶ ἰατρὸν ἠξίους κακίζειν, ὡς ἀσιτίαν παντελῆ τοῖς κάμνουσιν ἐπιτάττει, παρὰ τὸ μὴ συγχωρεῖν τοῖς βλάπτουσι χρῆσ-
D θαι· ἢ καὶ γεωργὸς ἐδόκει σοι φαῦλος, καὶ ταῖς ἀρούραις παντάπασι πολεμῶν, ὁ τῶν λυμαινομένων ἐκκαθαίρων τὴν βλάστην· ἐγὼ δὲ καὶ τοῦτο λέγω, ὡς εἰ μὲν παρανόμων, ὦ Δημόσθενες, γράφῃ τὸν νόμον, τί περὶ τοῦ μέλλοντος δυσχεραίνεις; αὐτὸ γὰρ τοῦτο τὸ παρανομοῦντ' αὐτὸν εἶναι, τὸ μὴ δὲ τοπαράπαν εἶναι τοῦτον ἐστί· μάταιον οὖν περὶ τοῦ μὴ νῦν ὄντος, ὡς ἔτ' ἐσομένου φροντίζειν· εἰ δ'
E εὖ ἔχειν τοῦτον ὁμολογεῖς, καὶ τὸ μηκέτ' ἂν ἐξεῖναι λελῦσθαι τοῦτον, οὐδὲν ἧττον προσωμολόγηκας· οὐ γὰρ δὴ νῦν μὲν φήσεις τοῦτον λυσιτελεῖν, ὕστερον δὲ οὐκέτι·

poenas (o dii et leges !) reposcas, quasi ob ea, quorum auctor est, hostili in remp. animo sit. Immunitatem vero ceu exsulem et extorrem in urbem postliminio revocas, ut eius commoda Ctesippo propines.

XXIIII. " Age vero, inquit, legi adiicere, ut ne in posterum quidem immu-
„ nitas concedatur, aut morte eum qui contraria decreverit multare; id non mo-
„ do tyranni instar civitati interdicit quominus ipsa more suo certet, ubi res tu-
„ lerit, bene merendi studiis, verum etiam eius rei abnegat facultatem „. Profecto, Athenienses, si nos Leptines liberalitate omnino prohiberet, ut iam neque beneficos remunerari liceret, neque bona re dignos congruentibus praemiis adficere, iure meritoque in ingrati animi reprehensionem incurreret, nihilque officiosum suadere videretur; atque oporteret huic legi iudicium de vi contra alias leges intendere. Sin vero, praeter immunitatem, leges omnes ratas habet, nempe et victum in prytaneo, et contubernia, et primatus; praeter quam quod et agros et alia quaevis cuipiam assignare licet; quonam iure Leptines vituperatur? Veluti si medicum reprehendendum putares, quasi aegrotis omni cibo interdiceret, quia non sineret uti nocuis: aut si malus tibi videretur agricola atque arvis infestissimus, quia noxia germina depasceretur. Ego vero etiam hoc dicam: si certe hanc legem contra ius scriptam, o Demosthene, criminaris, cur de futuro tempore laboras? Nam ideo quia contra fas est, nulla ipsa est. Stultum sit igitur quod in praesenti non est, tamquam iam futurum pertimescere. Quod si legem recte se habere fateris, ne dissolvi quidem posse haud minus confessus fueris. Neque porro dicas hanc modo prodesse, postea non item:

(1) Confer Demosth. orat. exord. (2) De hac locutione docte disputat Morellius in sua aristidea p. 326. n. 1.

ἀλλὰ τὸν αὐτὸν διὰ τέλους εἶναι προσήκει, εἴ γε μέλλει ταῖς ἀληθείαις τὸ πρόσ- A
ρημα σώζειν.

κε. Ἐκεῖνο δ' ἴσως ἐρεῖς, ὡς εἰ τῷ νόμῳ τὸ δίκαιον πρόσεστι, ϗ σύνοιδε Λεπτίνης βεβαίως ϗ ἀσφαλῶς ἔχοντι, τοῦ χάριν ϗ τῆς εἰσέπειτ' ἀσφαλείας προσδεῖν τούτῳ νομίζει; οὐδεὶς γὰρ τῶν νομοθετῶν περὶ ὧν ἔθεσαν νόμων ταύτην ἔσχον τὴν γνώμην, οὐδ' ἐγγύς· ἀλλ' ἀποχρῆν ᾤοντ' αὐτοῖς, εἰ μετὰ τοῦ δικαίου B πᾶσι προσφέροιντο· νῦν δ' εἷς αὐτὸς μόνος τὰ τοιαῦτα διανοῇ, ἔοικας οὐκ ἀγαθὴν περὶ τοῦ νόμου δόξαν κεκτῆσθαι· ὡς μὲν οὖν ὁ νόμος κάλλιστα ϗ δικαιότατα ϗ ἀσφαλέστατα πάντων ἔχων κοινωφελές ἐστιν ἀγαθὸν, οὐ μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, ἐξ ὧν ἔφην γέγονε δῆλον, ἀλλὰ ϗ οἷς ἐδείξαθ' ὑμεῖς, τῷ τοιοῦτον εὐθὺς ὁρμῇ τινι θεοφορήτῳ ϗ ὅλῳ ϗ παντὶ δεδέχθαι θυμῷ, ὡς καὶ τῆς συνή- C θους χειροτονίας ϗ ψήφου κοινῆς αὐτὸν ἀξιῶσαι· ὅτι δὲ οὐκ ἄπο λόγου ϗ τὸ τοῖς μὲν ἄλλοις ἅπασι νόμοις μηδὲν μηδοτιοῦν προσγεγράφθαι, αὐτῷ δὲ μόνῳ τοῦτ' ἐκ περιουσίας ὑπάρξαι, οὐχ ὅπως εἴσεσθε σαφῶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλὰ ϗ φήσετ', εὖ οἶδα, μὴ χρῆναι ταῦτ' ἄλλως ἢ τοῦτον ἐσχηκέναι τὸν τρόπον, εἰ τὰς αἰτίας ἀμφοῖν λογιεῖσθε· εἰ γὰρ δὴ Σόλων μὲν ϗ Λυκοῦργος ϗ ὅστις ἕτε- D ρος τῶν νομοθετῶν, οὐδεμιᾶς τινος ἐπικειμένης ἀνάγκης, ἀλλ' ἀπὸ δημοτικωτάτου τῆς γνώμης ἐπὶ τοὺς νόμους ἧκον ϗ τὰς κοινὰς εἰσηγήσεις· Λεπτίνης δ' ὑπ' ἀνάγκης ϗ τοῦ μηκέθ' οἷός τε κινδυνεύουσαν ὁρᾶν ἐξ ἀτελείας τὴν πόλιν· ϗ εἰ μὲν οὐδένα τῶν πάντων δι' ὧν ἐνομοθέτουν ἐλύπουν· οὐδὲ γὰρ οὐδὲ γερῶν ἀπεστέρουν· ὁ δὲ πᾶν τοὐναντίον πολλοὺς ϗ παντοδαποὺς τοὺς ταύτης διὰ τῶν E νόμων ἐκπεπτωκότας, ἐκπεπολεμωκὼς ἑαυτῷ· οὔτ' ἐκείνους ἐχρῆν, διὰ τὸ μηδὲ τηνικαῦτα τοὺς ἀντιλέγοντας ἴσχειν, πρόνοιαν τοῦ μέλλοντος ἡντινοῦν πε-

quippe eam eiusdem esse naturae omni tempore necesse est; si certe sua veritati servanda appellatio est.

XXV. Dices fortasse: si aequa lex est, eamque stabilem ac tutam Leptines scit, cur ergo futurae quoque eiusdem securitati prospiciendum existimat? nullus enim legum lator sic de legibus quas ferebat umquam cogitavit; sed sufficere sibi putavit, si aequitatem in omnibus conservaret. Nunc quia tu unus haec consilia agitas, videris haud bonam de tua lege opinionem gerere. Age vero legem praeclaram esse et iustissimam et tutissimam et ad publica commoda natam, non solum, Athenienses, ex his quae dixi compertum est, sed etiam e significationibus a vobis editis, qui eam divino quodam impetu totisque animis excepistis, ita ut eam sollemni etiam manuum sublatione concordique suffragio sciveritis. Quod autem haud sine causa ceteris legibus nihil adscriptum fuerit, isti vero uni haec clausula accesserit, non solum id manifeste nostis, o Athenienses, verum etiam non dubito quin sitis adprobaturi, haud aliter hanc condi debuisse legem; si modo duas rei causas reputaveritis. Nam Solo et Lycurgus et quivis alius legum lator, nulla ingruente necessitate, sed civilis tantummodo impulsu animi ad condendas leges venerunt atque ad publicas institutiones; Leptines autem necessitate compulsus, quodque diutius urbem ab immunitate periclitantem spectare non posset. Illi nemini, apud quos leges scribebant, molesti erant, nullisque eos utilitatibus exuebant; e contrario hic multorum ex omni classe mortalium immunitate per legem deturbatorum odia in se convertit. Neque illos oportuit, quum nemo eis contradiceret, de futuro esse sollicitos; ut reapse hac cura vacarunt: neque fieri poterat ut Leptines, cui multi adversabantur, futuri temporis mentionem omitteret, quam utique non

A ποιῆσθαι, οὔκουν οὐδὲ πεποίηται· οὔτε τούτῳ διὰ τὸ πολλούς τινας τούτους
κεκτῆσθαι, σεσιγῆσθαι τὸ μέλλον, οὔκουν οὐδὲ σεσίγηται· ἀλλ' ὥσπερ τις ἄρι-
στος ἰατρὸς οὐ νόσους ἀκούμενος μόνον, ἀλλὰ καὶ φάρμακα ἄττα πρὸς τὸ μέλ-
λον ἐπιδιδοὺς, καὶ προσέτι κελεύων μὴ δι' ὧν ἡ νόσος ἐπῄει σιτίων, τούτων μη-
δοπωστιοῦν διὰ βίου μετέχειν ἐξεῖναι, ἐφ' ᾧ μὴ τῶν αὐτῶν καὶ αὖ πεπειρᾶσθαι·
B ὡς δὲ καὶ Λεπτίνης γράψας μηδένα εἶναι ἀτελῆ, ὃ δὲ μὴ δὲ τολοιπὸν ἐξεῖναι
δοῦναι προσγράφει· τό τε νῦν εἶναι, τό τ' ἐσαῦθις εἶναι καθάπαξ ἀσφαλιζόμενος·
καὶ τὰ μὲν τῆς πόλεως αἰεὶ προμηθούμενος, τὰ δὲ καὶ τοὺς ἐς νέωτα παρα-
πλησίους Δημοσθένει (1) τὰ τοιαῦτ' ἐσομένους ἀνείργων· εἰκὸς γὰρ εἰκὸς, μᾶλ-
λον δὲ πᾶσα ἀνάγκη, τὸν ἀεὶ χρόνον καὶ χρηστοὺς καὶ φαύλους ἐνεῖναι τῇ πόλει·
C εἰ δὲ καὶ τυραννίδος εἰς θέσιν νόμων ἐδέησεν οἱστισοῦν, τί καινὸν εἰ καὶ τῆς εἰσέ-
πειτ' ἀσφαλείας ὑπὲρ τοῦ κοινῇ λυσιτελοῦντος ἐδεήθη Λεπτίνης; ἀλλ' οὐ περὶ τῷ
νόμῳ μὰ τοὺς θεοὺς ὡς ἄν τις φῇ δεδιώς· ὁ γὰρ παρ' ὑμῶν, ὦ ἄνδρες ἀθη-
ναῖοι, καὶ τῆς ὑμετέρας ψήφου παντὸς μᾶλλον ἐπὶ τῷ βέλτιστος εἶναι τὸ συγκε-
χωρηκὸς ἐσχηκὼς, τί παρὰ τοῦτο φαῦλος ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα ληρῇ;
D κϛ. Οὕτως, ὦ Δημόσθενες, ἃ μὲν ὑπὲρ αὐτὸς σαυτὸν λέγειν ἐδόκεις, ταῦθ' ὑπὲρ
Λεπτίνου λέγων ὡς κάλλισθ' εὑρέθης· καὶ οἷς τοῦτον αἱρήσειν ἤλπισας, τούτοις αὐτὸς
καθάπαξ ἑάλως· καὶ ἀτελείας μὲν ὑπὲρ ἧς πάνθ' αὐτὸς καὶ ποιεῖν καὶ λέγειν ᾤου δεῖν,
ταύτης οὐδὲν ἐξωλέστερον ὦπται· ὃν δ' εἰσενήνοχε νόμον Λεπτίνης, τούτου μηδὲν ἀναγ-
καιότερον χρῆσθαι· ὥστε σοι καὶ χάριν ἂν εἰκότως ἔχοι Λεπτίνης οἷς ὅτι πλέον ἐντεῦθεν
E τοῦτον σεμνύνεις, ἢ εἰ συνειρήκεις τοεξαρχῆς· τότε μὲν γὰρ καὶ χαρίζεσθαι ἂν ἴσως ἐδόκεις,
καί τις ἀφῆκε βέλος ἐξ ἀφανοῦς· νυνὶ δὲ ἀνύποπτος ἡ μαρτυρία, ὡς ἄρα τῶν βελτίστων
καὶ λυσιτελεστάτων ἀνὴρ, τῷ καὶ παρὰ τῶν ἐχθρῶν αὐτῷ ταῦτ' ἐψηφίσθαι.

neglexit. Ac veluti praeclari medici est non solum morbis mederi, verum etiam pharmaca quaedam in tempus futurum suppeditare, praetereaque iubere ciborum illorum in omni vita abstinentiam per quos morbus invectus est, ne in eandem aegritudinis vicem reditus fiat; ita etiam Leptines, contra immunitatem lege perlata, adiecit quoque ne in posterum quidem id privilegium dari liceret: rem in praesenti scilicet atque in futuro confirmans: et simul urbi in perpetuum prospiciens, simul eos cohibens qui insequente anno aeque ac Demosthenes adversarii futuri erant. Quippe natura prorsus comparatum est, ut omni tempore boni atque improbi in civitate versentur. Quod si nonnullis ob condendas leges tyrannide quoque opus fuit, quid mirum, si Leptinem, commoditatis publicae causa, securitati in posterum tempus consulere oportuit? Neque tamen per deos, ut aliquis fortasse dicet, legi suae timebat: quam quum per vos, Athenienses, perque vestra suffragia optimam haberi liceat, quid iam stultus unus aut alter adversus eam delirabit?

XXVI. Atque adeo, Demosthene, quae pro te dicere existimabas, haec te pro Leptine dixisse belle comperimus: et quibus argumentis hunc a te captum iri sperabas, his ipse omnino irretitus es. Et immunitate quidem, pro qua nihil non faciendum dicendumque putasti, demonstratum est nihil esse perniciosius; quam vero intulit Leptines legem, eius apprime usum esse necessarium. Quare et merito gratiam tibi habet Leptines quod oratione tua legem eius fecisti illustriorem, quam si pedibus initio in eius sententiam ivisses: fortasse enim tunc gratiae causa id facere visus esses; aliquis vero ex occulto telum misisset. Nunc haud suspecto testimonio utimur, quod Leptines vir optimus atque utilissimus sit, quandoquidem haec ipsi laus ab inimicis etiam decreta est.

FINIS

(1) Reapse Demosthenes aliique nonnulli post annum a lege lata Leptinem accusaverunt, ut ait auctor argumenti demosthenicae orationis.

ARISTIDIS

contrariae orationis, nempe adversus Leptinem dictae, emendationes et variae lectiones ex vaticano codice cum principe veneta editione collato.

Aristidis aliam orationem, quae demosthenicae illius contra Leptinem argumentum aemulatur, primus in lucem protulit v. cl. Iacobus Morellius venetae ad D. Marci bibliothecae praeses ex unico qui tunc notus erat codice. Eandem ego orationem quum in vaticano codice, post hanc novam quam nunc edidi, offenderim et cum morelliana editione contulerim, ingentem deprehendi non tam variarum lectionum numerum, quam errorum colluviem qui venetum librum obsident. Equidem Morellii editoris summi viri nihil ego detractum famae velim, quem sua plurima in rem litterariam merita extra ingeniorum aleam ponunt. Et praeterea apud demosthenicam ipsam contra Leptinem orationem praeclara Solonis lege cavetur, quominus mortuo cuipiam male dicamus. Ergo tot menda atque omissiones sive a neglecta morelliani apographi cum vetere exemplari collatione manaverint, sive ab amanuensium incuria, sive ab oscitantia operarum typographicarum, sive denique interdum a legendi codicis properantia vel potius difficultate nexibusque litterarum non intellectis, id demum perinde est; dummodo nunc ope codicis vaticani aristideum scriptum utiliter ac sedulo castigemus: quod quidem nisi adeo prolixum fuisset, recudendum erat; verumtamen hoc consilio felicioribus ab arte typographica Germanis doctis permisso, nos interim tenuiore in speciem emendandi merito contenti erimus.

	editio veneta	*codex vaticanus*
P. 2. v. 1.	Ἀριστείδου πρὸς Λεπτίνην λόγος.	Εἰς τὸ ἐναντίον ὑπὲρ ἀτελείας.
8. v. 16.	πρὸς – νόμους	παρὰ – νόμους
10. v. 14.	ἐντεθυμεῖσθαι	ἐντεθυμῆσθαι
18.	μάλιστα	κάλλιστα
12. v. 4.	οὐχ᾽ ἥκιστα	οὐχήκιστα (1)
8.	ἀξιοῖ	ἀξιῇ
12.	παραμενεῖν	παραμένειν
14. v. 8.	ἐγῷμαι	ἐγ᾽ ῷμαι
13.	ἔδρασε	ἔδρασαν
15.	κατὰ σφᾶς	διὰ κατὰ σφᾶς
16.	κατὰ τοῦτο	τοῦτο
17.	τὰ μάλιστα	ταμάλιστα
16. v. 16.	ταῦτα	ταῦτ᾽
18. v. 1.	ἐκπέσωσιν	ἐκπέσωσι
8.	στερηθήσονται	στερήσονται
17.	ταύτης	ταυτησὶ
20.	κατὰ δήπου	κατ᾽ αὐτοὺς δήπου
20. v. 5.	σὺ δ᾽ οὐ καὶ τῶν	σὺ δ᾽ οὐδὲ τῶν
6.	τοσούτῳ	τοσοῦτο

(1) *His coniunctionibus abundant Attici. Quare non sunt in scriptis abolendae.*

	editio veneta	codex vaticanus
8.	ἀτυχεῖς	ἀδικεῖς
15.	οἷοί τ' ἐσόμεθα πεπορίσθαι	οἷοί τε πορίζειν ἐσόμεθα
17.	εἰς αὖθις	εἰσαῦθις
P. 22. v. 9.	δυστυχεῖ	δυστυχῆ
24. v. 4.	σὸν τοῦτον	σὸν δὴ τοῦτον
7.	ἔχειν	deest
14.	οὐ τοσοῦτον οἷς λέγει	οὐχ οἷς λέγει τοσοῦτον
17.	ἔχειν ἀτελείας	ὑπὲρ ἀτελείας
26. v. 10.	ἀλλ' οἶμαι τῷ	ἀλλ' οὐκ ἂν εἰπεῖν ἔχοις· ἀλλ' οἶμαι τὸ
28. v. 7.	ἀκριβίᾳ	ἀκριβείᾳ
11.	εἰ μὲν ἀπάτη	εἰ μὲν ἡμῶν ἀπάτη
16.	ἐστὶ	ἔστι
18.	ὃ	ᾧ
30. v. 4.	εὐορώντων	εὑρόντων
8.	ἡμῶν	ἡμᾶς
32. v. 4.	τῶν ἁπάντων μαρτυρίαν	τὴν ἁπάντων μαρτυρίαν
8.	ἐν τῷ ὄντι πολλῷ τῷ ὄντι	τῆς ἐν μέρει πολλῷ τῳόντι
18.	τε	τὲ
34 v. 7.	ἐπὶ τὴν	παρὰ τὴν
9.	ταῦτ' οὕτω	ταῦθ' οὕτω
13.	γενοιέναι	γέγονε
17.	ἀπέβη	ἀποβῇ
20.	κατορθεῖ	κατορθοῖ
36. v. 9.	εὕροις	εὕρῃς
36. v. 16.	τε	τὲ
38. v. 6.	τοῦτ' εἰ	τοῦ τί
15.	οὐ μόνον οὐκ	οὐ μόνον
19.	τοιοῦτο	τοιοῦτον
	ἀποφθαρθὲν	ἀποφανθὲν
40. v. 3.	εἴπερ τούτου	εἴ πέρ του
5.	εὖ ἴσθι σαυτὸν λανθάνειν	σαυτὸν εὖ ἴσθι λανθάνεις
12.	μὲν οὐκ ἔτι τ'	καὶ πάντ'
